THOMAS REDIGER

AVEC LE TEMPS

14

R 14

14.

(CVIII = S. I. 2. 5.)

Codex membranaceus forma oblonga (0,257 × 0,167 m.), foliorum 181, septendecim quaternionibus, ternione, quinque quaternionibus constans. Extremi quaternionis folium octavum excisum est. Scriptus est anno 1453 ab homine, qui latini sermonis gnarus erat, id quod apparet ex eo, quod idem adscripsit in marg. folii 178^r: *F. 1453. 25 Sep̄. Rome.*

Continetur codice:

Appiani Historia Romana. In capite folii 1^r manu recentiore superscriptum: „*Appiani Alexandrini Historia de bellis Romanorum civilibus.*“

fol. 1^r—4^v: „+ ἀππιανοῦ τῆς ἰταλικῆς ἱστορίας τὸ προοίμιον.“ inc.: ⟨τ⟩ὴν ῥωμαικὴν ἱστορίαν ἀρχόμενος des.: περὶ τούτου συγγραφή: = ed. Schweighaeuser I pag. 1—20,6. ed. Mendelssohn pag. 3—14,20.

fol. 4^v—5^r: inc.: ⟨τ⟩ὸ προοίμιον μόνον, des.: συνέθηκα τεύχεσιν:- = ed. Schweigh. III pag. 10 extr. — 12,7.

fol. 5^r—6^r: „+ ἐκ τῶν ἀππιανοῦ κελτικῶν:-“ inc.: ⟨κ⟩ελτοὶ ῥωμαίοις des.: βρεττανίαν:- = Schweigh. I pag. 71—77,3. Mendels. pag. 44,5—47,22.

fol. 6^r: „τοῦ ἀππιανοῦ ῥωμαικὴ ἱστορία, ἐν λόγοις εὕρηται περικλειομένη κβ̄·“ inc.: καὶ ὁ μὲν des.: εἰσὶν θ′ μόνοι: + = Schweigh. III pag. 12,9—13,9.

fol. 6^r—26^r: „+ ἀππιανοῦ ῥωμαικῶν συριακή:+“ inc.: ⟨ἀ⟩ντίοχος ὁ σελεύκου des.: ἀλλοτρία συγγραφῆ:- = Schweigh. I pag. 536—641. Mendels. pag. 371,1—441,6.

fol. 26^r—60^r: „+ ἀππιανοῦ λιβυκή:“ inc.: ⟨κ⟩αρχηδόνα τὴν des.: ἑκατὸν καὶ δύο: + = Schweigh. I pag. 304—500. Mendels. pag. 195,5—323,25. Post fol. 38^v 22 ὑπ᾽ ἀννίβου σεσωρευμένον (Mendels. pag. 240,6) lacuna est 10½ versuum. fol. 39^r inc.: ἀνώμαλον (ib. pag. 243,20 conf. vol. I pag. XVI).

fol. 60^r—61^r: „+ ἀππιανοῦ ἰλλυρικὴ ῥωμαικῶν:-“ inc.: ⟨ἰ⟩λλυριοὺς ἕλληνες des.: παθόντες:- = Schweigh. I pag. 830—835,4. Mendels. pag. 346,1—349,2.

fol. 61^r—75^v: „+ ἀππιανοῦ ῥωμαικῶν παρθική:-“ inc.: ⟨μ⟩ετὰ δὲ τοὺς des.: πόλεμον τρεψόμενος: + = Schweigh. III pag. 21—101, conf. Mendels. pag. 421 not. 7.

fol. 75^v—76^r: „+ ἀππιανοῦ ῥωμαικῶν μιθριδάτειος: +“ inc.: ⟨ὧ⟩δε μὲν ῥωμαῖοι des.: μέρη τέτακται· = Schweigh. I pag. 823,11—826,7. Mendels. pag. 560,23—562,17.

fol. 76^r—109^r: inc.: θράκας ἕλληνες des.: τοιόσδε· = Schweigh. I pag. 642—823,10. Mendels. pag. 441,8—560,22.

fol. 109^r: inc.: φαρνάκης des.: ἔτι ἔλιπεν: + = Schweigh. I pag. 826,8—829,16. Mendels. pag. 562,18—564,18.

fol. 109^v—178^r: „+ ἀππιανοῦ ῥωμαικῶν ιδ′. ἐμφυλίων α̃^{ον}: +“ inc.: ⟨ῥ⟩ωμαίοις des.: βίβλοι δεικνύουσιν:- = Schweigh. II pag. 1—392,6. Mendels. pag. 565,1—839,4. fol. 178^r 6: + τέλος ἐμφυλίων δεύτερον +.

De codice scripserunt Schweighaeuser vol. I pag. XXXII, Mendelssohn vol. I pag. XXV, vol. II pag. III. Usi sunt codice Schweighaeuser (a. 1783), qui varias lectiones sero acceptas tertio demum editionis suae volumini addidit (conf. Wachl. pag. 38), C. E. Ch. Schneider (a. 1837), Mendelssohn (a. 1880). T.

Appiani Alexandrini Historia de bellis Romanorum civilibus.

K. RHEDIGERSCHE STADT-BIBLIOTHEK ZU BRESLAU.

ἠν ῥωμαϊκὴν ἱστορίαν ἀρχόμενος συγγράφειν, ἀναγκαῖον ἡγησάμην προτάξαι τοὺς ὅρους ὅσων ἐθνῶν ἄρχουσι ῥωμαῖοι. εἰσὶ δὲ οἵδε· ἐν μὲν τῷ ὠκεανῷ, βρεττανῶν τὸ πλέον μέρος. διὰ δὲ τῶν ἡρακλείων στηλῶν ἐς τήνδε τὴν θάλασσαν ἐσπλέοντι τε καὶ ἐπὶ τὰς αὐτὰς στήλας περιπλέοντι, νήσων ἄρχουσι πασῶν καὶ ἠπείρων ὅσαι καθήκουσιν ἐπὶ τὴν θάλασσαν. ὧν εἰσιν ἐν δεξιᾷ, πρῶτοι μαυρουσίων ὅσοι περὶ τὴν θάλασσαν· ὅσα τε ἄλλα λιβύων ἔθνη μέχρι καρχηδόνος. καὶ τούτων ὑπέρθε νομάδες· οὓς ῥωμαῖοι καλοῦσι νουμίδας· καὶ τὴν χώραν νουμιδίαν. ἕτεροι δὲ λίβυες οἱ περιοικοῦντες τὰς σύρτεις μέχρι κυρήνης· κυρήνη τε αὐτή· καὶ μαρμαρίδαι· καὶ ἀμμώνιοι· καὶ οἱ τὴν μαρεῶτιν λίμνην κατοικοῦσι· καὶ ἡ μεγάλη πόλις ἣν ἀλέξανδρος ἔθηκε πρὸ αἰγύπτου. αἴγυπτός τε αὐτή. μέχρις αἰθιόπων τῶν ἑῴων· ἀνὰ τὸν νεῖλον πλέοντι· καὶ μέχρι πηλουσίου διὰ θαλάσσης. ἐπιστρέφοντι δὲ τὸν πλοῦν καὶ περιιόντι, συρία τε ἡ παλαιστίνη καὶ ὑπὲρ αὐτὴν μοῖρα ἀράβων. ἐχόμενοι δὲ τῶν παλαιστινῶν, φοίνικες ἐπὶ τῇ θαλάσσῃ· καὶ φοινίκων ὄπισθεν, ἥ τε κοίλη συρία· καὶ μέχρι ἐπὶ ποταμὸν εὐφράτην· ἀπὸ θαλάσσης ἄνω, παλμυρηνοί τε καὶ ἡ παλμυρηνῶν ψάμμος· ἐς αὐτὸν εὐφράτην καθήκουσα. κίλικές τε σύρων ἐχόμενοι καὶ καππαδόκαι· κιλίκων ὅμοροι. καὶ μέρος ἀρμενίων οὓς καλοῦσιν ἀρμενίαν βραχυτέραν. παρά τε τὸν εὔξεινον πόντον ἔθνη ἄλλα ὅσα ὑπὸ ῥωμαίων ὑπήκοα. σύροι μὲν δὴ καὶ κίλικες ἐς τήνδε τὴν θάλασσαν ἀφορῶσιν. ἀρμένιοι δὲ καὶ καππαδόκαι, ὅσα τε ποντικὰ ἔθνη καθήκουσι· καὶ ἄνω τὴν μεσόγαιον. ἐπὶ τὴν καλουμένην ἀρμενίαν μείζονα. ἧς ῥωμαῖοι οὐκ ἄρχουσι μὲν, ἐς φόρον κομίζουσιν· αὐτοὶ δὲ αὐτοῖς ἀποδεικνύουσι τοὺς βασιλέας. ἀπὸ δὲ καππαδοκῶν καὶ κιλίκων ἐς τὴν ἰωνίαν καταβαίνοντι, ἔστιν ἡ μεγάλη χερρόνησος· ὅ τε πόντος ὁ εὔξεινος· ἡ προποντίς· ὁ ἑλλήσποντος, ἐπὶ δεξιὰ καὶ τὸ αἰγαῖον· ἐκ δὲ λαιῶν τὸ παμφύλιον. ἢ αἰγύπτιον πέλαγος· λέγεται γὰρ ἀμφοτέρως χερρόνησον. καὶ ἔστιν αὐτῆς· οἱ μὲν

ἐς τὸ αἰγύπτιον πέλαγος ἀφορῶντες, πάμφυλοί τε καὶ λύκιοι·
καὶ μετ' αὐτοὺς κᾶρες μέχρι ἰώνων· οἱ δὲ ἐπὶ τὸν εὔξεινον· καὶ τὴν προ-
ποντίδα καὶ τὸν ἑλλήσποντον, γαλάταί τε καὶ βιθυνοὶ καὶ μυσοὶ καὶ
φρύγες· ἐν δὲ μεσογαίῳ, πισίδαι τε καὶ λυδοί. τοσαῦτα ἔθνη ἐν τῇ χερρο-
νήσῳ οἰκεῖ· καὶ πάντων ἄρχουσι ῥωμαῖοι. περάσαντες δέ, καὶ ἑτέρων
ἐθνῶν ἄρχουσιν ἀμφὶ τὸν πόντον· καὶ μυσῶν τῶν εὐρωπαίων καὶ θρᾳκῶν
ὅσοι περὶ τὸν εὔξεινον. ἀπὸ δὲ ἰωνίας κόλπος ἐστὶ θαλάσσης ὁ αἰ-
γαῖος· καὶ ἕτερος ἰονίου θαλάσσης· καὶ ὁ σικελικὸς πορθμός· καὶ ἡ
τυρρηνικὴ θάλασσα· μέχρι τῶν ἡρακλείων στηλῶν. τοῦτο μῆκός ἐστιν
ἀπὸ ἰωνίας, ἐπὶ τὸν ὠκεανόν. καὶ ἐν τῷδε αὐτῷ παράπλῳ ῥωμαίων
ὑπήκοα τοσαῦτα· ἥ τε ἑλλὰς πᾶσα· καὶ θεσσαλία καὶ μακεδόνες.
καὶ ὅσα πρόσοικα ἄλλα θρᾳκῶν· καὶ ἰλλυριῶν· καὶ παιόνων ἔθνη·
αὐτή τε ἰταλία μακροτάτη διὰ πάντων ἐθνῶν οὖσα· καὶ ἀπὸ τοῦ
ἰονίου παρήκουσα ἐπὶ πλεῖστον τῆς τυρρηνικῆς θαλάσσης, μέχρι
κελτῶν· οὓς αὐτοὶ γαλάτας προσαγορεύουσι. καὶ κελτῶν ὅσα ἔθνη·
τὰ μέν, ἐς τὴν δὲ τὴν θάλασσαν· τὰ δέ, ἐς τὸν βόρειον ὠκεανὸν ἀφορᾷ·
τὰ δέ, παρὰ ῥῆνον ποταμὸν ᾤκηται· ἰβηρία τε πᾶσα· καὶ κελτιβηρία
ἐπὶ τὸν ἑσπέριον καὶ βόρειον ὠκεανόν· καὶ τὰς ἡρακλείους στήλας, τελευ-
τῶντα. καὶ τούτων ἐπὶ καὶ ἐφ' ἑκάστου δηλώσω τὰ ἀκριβέστατα, ὅταν
εἰς ἕκαστον ἔθνος ἡ γραφὴ περιίῃ. νῦν δὲ ὅσον ὅροις μεγάλοις,
τὴν ἀρχὴν περιλαβεῖν, κατὰ μὲν θάλασσαν εἴρηται· κατὰ δὲ τὴν ἤπειρον
διιόντι· μοῖρά τε μαυρουσίων ἐστὶν ἡ, τῶν περὶ αἰθίοπας τοὺς περὶ ἑσπέραν·
καὶ ἡ τῆς θερμοτέρου καὶ θηριώδους ἄλλης λιβύης, μέχρι αἰθιόπων
τῶν ἑῴων. ταῦτα μὲν λιβύης ῥωμαίοις ὅροι. τῆς δὲ ἀσίας, πο-
ταμός τε εὐφράτης· καὶ τὸ καύκασον ὄρος· καὶ ἡ ἀρμενίας τῆς με-
ζονος ἀρχή· καὶ κόλχοι παρὰ τὴν εὔξεινον θάλασσαν ᾠκημένοι·
καὶ τὰ λοιπὰ τοῦ δὲ τοῦ πελάγους. ἐν δὲ τῇ εὐρώπῃ ποταμοὶ
δύο, ῥῆνός τε καὶ ἴστρος· μάλιστα τὴν ῥωμαίων ἀρχὴν ὁρίζουσι.
καὶ τούτων ῥῆνος μέν, ἐς τὸν βόρειον ὠκεανόν· ἴστρος δὲ ἐς τὸν εὔξει-
νον πόντον καταδιδοῖ. περάσαντες δέ τι, καὶ τοὺς κελτῶν τῶν
ὑπὲρ ῥῆνον ἄρχουσιν ἐνίων· καὶ γετῶν τῶν ὑπὲρ ἴστρον, οὓς
δακοὺς καλοῦσιν. ὅροι μὲν οὗτοι κατ' ἤπειρον· ὡς ἐν τύπῳ τάδε,

BIBL. UNIV. WRATISL.
1923

ἐς θήραν τῶν ἀκριβῶν· νῆσοι δὲ πᾶσαι ὅσαι τῆς ἐντὸς θαλάσσης
εἰσίν· αἵ τε κυκλάδες· καὶ σποράδες· καὶ ἰάδες· καὶ ἐχινάδες· καὶ τυρρη-
νίδες· καὶ γυμνησίαι· καὶ ὅσας ἄλλας ὀνομάζουσιν ἑτέρως, περί τε λιβυκὴν
καὶ τὸ ἰόνιον· καὶ αἰγαῖον· καὶ μυρτῷον· καὶ σικελικόν· καὶ ὅσα ἄλλα τῆς δὲ τῆς
θαλάσσης ὀνόματα. ὅσαι τε ἐξαιρέτως ὑπὸ τῶν ἐθνῶν ὀνομάζονται μεγάλαι
νῆσοι· κύπρος τε· καὶ κρήτη· καὶ ῥόδος· καὶ λέσβος· καὶ εὔβοια· καὶ σι-
κελία· καὶ σαρδώ· καὶ κύρνος· καὶ εἴ τις ἄλλη μικροτέρα τε καὶ μείζων·
ἅπαντα ταῦτ' ἐστὶ ῥωμαίοις ὑπήκοα. καὶ τὸν βόρειον ὠκεανόν· ἐς τὴν
βρεττανίδα νῆσον περάσαντες· ἤπειρον μεγάλης μείζονα τὸ κρά-
τιστον αὐτῆς ἔχουσιν ὑπὲρ ἥμισυ· οὐδὲν τῆς ἄλλης δεόμενοι· οὐ γὰρ
εὔφορος αὐτοῖς ἐστιν· οὐδ' ἣν ἔχουσι. τούτων τοσούτων καὶ τηλικούτων
ἐθνῶν ὄντων τὸ μέγεθος, ἰταλίαν μὲν αὐτὴν σὺν μόχθῳ τε καὶ μόλις,
ἐν πεντακοσίοις ἔτεσι κατειργάσαντο βεβαίως, καὶ τούτων τὰ ἡμίσεα
βασιλεῦσιν ἐχρῶντο. τὰ δὲ λοιπὰ τοὺς βασιλέας ἐκβαλόντες καὶ ἐπομό-
σαντες, οὐκ ἀνέξεσθαι βασιλέων· ἀριστοκρατίᾳ τε ἐχρήσαντο ἀπὸ τοῦδε.
καὶ προστάταις ἄρχουσιν ἐτησίοις. διακοσίοις δὲ μάλιστα ἑξῆς ἐπὶ τοῖς
πεντακοσίοις, ἐπὶ μέγα ἦλθεν ἡ ἀρχή· καὶ ξενικῆς τε δυνάμεως ἐκρά-
τησαν ἀπείρου· καὶ τὰ πλεῖστα τῶν ἐθνῶν, τότε ὑπηγάγοντο. γάιός τε
καῖσαρ ὑπὲρ τοὺς τότε δυναστεύσας· καὶ τὴν ἡγεμονίαν κρατυνάμενός τε
καὶ διαθέμενος, ἐς φυλακὴν ἀσφαλῆ· τὸ μὲν σχῆμα τῆς πολιτείας καὶ
τὸ ὄνομα ἐφύλαξε. μόναρχον δὲ αὑτὸν ἐπέστησε πᾶσι. καὶ ἔστιν ἥδε
ἡ ἀρχὴ μέχρι νῦν ὑφ' ἑνὶ ἄρχοντι. οὓς βασιλέας μέν, οὐ λέγουσιν,
ὡς ἐγὼ νομίζω· τὸν ὅρκον αἰδούμενοι τὸν πάλαι· αὐτοκράτορας δὲ
ὀνομάζουσιν· ὃ καὶ τῶν προσκαίρων στρατηγῶν ὄνομα ἦν· εἰσὶ δὲ ἔργῳ
τὰ πάντα βασιλεῖς. καὶ ἔστι καὶ τοῖσδε τοῖς αὐτοκράτορσιν ἐς τὸν παρόντα
χρόνον· ἐγγύτατα διακόσια ἔτη ἄλλα· ἐν οἷς ἥ τε πόλις μάλιστα κατε-
κοσμήθη· καὶ ἡ πρόσοδος ἐπὶ πλεῖστον ηὐξήθη· καὶ πάντα ἐν εἰρήνῃ μακρᾷ
καὶ εὐσταθεῖ προῆλθεν ἐς εὐδαιμονίαν ἀσφαλῆ. καί τινα καὶ τοῖς προτέροις
ἔθνεσιν, οἵδε οἱ αὐτοκράτορες, ἐς τὴν ἡγεμονίαν προσέλαβον· καὶ ἀφι-
στάμενα ἄλλα ἐκρατύναντο. ὅλως τε δι' εὐβουλίαν τὰ κράτιστα γῆς καὶ
θαλάσσης ἔχοντες. αὔξειν ἐθέλουσι μᾶλλον, ἢ τὴν ἀρχὴν ἐς ἄπειρον
ἐκφέρειν. ἐπὶ βάρβαρα ἔθνη πενιχρὰ καὶ ἀκερδῆ· ὧν ἐγώ τινας

εἶδον ἐν Ῥώμῃ πρεσβευομένους τε καὶ διδόντας ἑαυτοὺς ὑπηκό-
ους εἶναι· καὶ οὐ δεξαμένους βασιλέα· ἄνδρας, οὐδὲν αὐτοῖς χρησίμους
ἐσομένους, ἔθνεσί τε ἄλλοις ἀπείροις τὸ πλῆθος αὐτοὶ διδόασι τοὺς
βασιλέας· οὐδὲ αὐτῶν ἐς τὴν ἀρχὴν δεόμενοι· καὶ τῶν ὑπηκόων
ἐνίοις προσαναλίσκουσιν αἰδούμενοι· καίπερ ἐπιζημίους ὄντας,
ἀποθέσθαι τήν τε ἀρχὴν, ἐν κύκλῳ περικάθηνται μεγάλοις στρατο-
πέδοις· καὶ φυλάσσουσι τὴν τοσήνδε γῆν καὶ θάλασσαν, ὥσπερ χωρίον·
ἀρχή τε οὐδεμία προῆλθέ πω μέχρι νῦν ἐς τοσοῦτο μεγέθους καὶ
χρόνου· οὔτε γὰρ τὰ Ἑλλήνων· εἴ τις ὁμοῦ τὰ Ἀθηναίων καὶ Λακεδαι-
μονίων· καὶ Θηβαίων δυναστεύσαντων παρὰ μέρος, ἀπὸ τῆς Δαρείου
στρατείας· ὅθεν αὐτοῖς ἡ δόξα μάλιστα ἤρξατο μάλιστα ἐς τὴν Φιλίππου
τοῦ Ἀμύντου τῆς Ἑλλάδος ἡγεμονίαν συναγάγοι· πολλὰ ἂν ἐπιφανείη·
οἵ τε ἀγῶνες αὐτοῖς ἐγένοντο οὐκ ἐπὶ ἀρχῆς· περὶ κτήσεως μᾶλλον ἢ φιλο-
τιμίας πρὸς ἀλλήλους· οἱ λαμπρότατοι περὶ τῆς αὐτῶν ἐλευθερίας,
πρὸς ἀρχὰς ἄλλας ἐπιούσας· οἱ δέ τινες αὐτῶν ἐς Σικελίαν πλεύσαντες,
ἐπ' ἀρχῆς ἐλπίδι προσέπταισαν· καὶ εἴ τις ἐς τὴν Ἀσίαν ἐξῆλθε,
μικρὰ καὶ ὧδε δράσας, ἀπῆλθεν εὐθύς· ὅλως τε ἡ Ἑλληνικὴ δύναμις
καὶ περὶ ἐκθύμως ὑπὲρ ἡγεμονίας ἀγωνισαμένων, οὐ προῆλθεν ὑπὲρ
τὴν Ἑλλάδα βεβαίως· ἀλλὰ δῆλοι μὲν ἐγένοντο ἀδούλωτον αὐτὴν καὶ
ἀήττητον κατασχεῖν ἐπὶ πλεῖστον· ἀπὸ δὲ Φιλίππου τοῦ Ἀμύντου
ἢ Ἀλεξάνδρου τοῦ Φιλίππου, ἢ πάνυ μοι δοκοῦσι πρᾶξαι κακῶς καὶ
ἀναξίως αὐτῶν· ἥ τε τῆς Ἀσίας ἀρχή· ἔργων μὲν πέρι καὶ ἀρετῆς
οὐδὲ τοῖς σμικροτάτοις τῶν Εὐρωπαίων παραβάλλεται, διὰ ἀσθένειαν
καὶ ἀτολμίαν τῶν ἐθνῶν· καὶ τοῦτο δηλώσει καὶ ἥδε ἡ γραφὴ προϊοῦσα·
ὀλίγαις γὰρ μάχαις Ῥωμαῖοι· τοσούτων τῆς Ἀσίας ἐθνῶν κατέσχον, ὅσων
ἐπικρατοῦσι· καίτοι Μακεδόνων αὐτῶν συμμαχομένων· τὰ δὲ
πολλὰ περὶ Λιβύην καὶ τὴν Εὐρώπην ἐξεπόρθησαν· Ἀσσυρίων τε
αὖ· καὶ Μήδων· καὶ Περσῶν· τριῶν τῶν δὲ μεγίστων ἡγεμονιῶν, ἐς
Ἀλέξανδρον τὸν Φιλίππου συντιθεμένων· οὔπω ὁ χρόνος ἀφίκοιτο
τῶν ἐνακοσίων ἐτῶν, ὅσα τοῖς Ῥωμαίοις, ἐς τὸν παρόντα χρόνον· τό τε
μέγεθος τῆς ἀρχῆς τῆς ἐκείνων· οὐδὲ τὸ ἥμισυ νομίζω τῆσδε τῆς
ἡγεμονίας ἀπάντων τεκμαιρόμενος· ὅτι Ῥωμαίοις ἀπό τε δύσεων καὶ τῶν

πρὸς ἑσπέραν ὠκεανῶν, ἀπό τε Καυκάσου ὄρους καὶ ποταμοῦ Εὐφράτου·
καὶ Αἰθιόπων τῶν ἄνω δι' Αἰγύπτου καὶ Ἀράβων· ἐπὶ τὸν ἑῷον
ὠκεανὸν ἡ ἀρχὴ διέρχεται· καὶ ὅρος ἐστὶν αὐτοῖς ὁ ὠκεανὸς· ἀρχο-
μένου τε καὶ δυομένου τοῦ θεοῦ· θαλάσσης τε πάσης ἡγεμονεύουσι τῆς
ἐντὸς ὅλης καὶ νήσων ἁπασῶν· καὶ ἐν τῷ ὠκεανῷ Βρεττανῶν· Μή-
δοις δὲ καὶ Πέρσαις, ὅ τε πλεῖστος ἦν θάλασσα· ὁ Παμφύλιος κόλπος ἦν·
καὶ μία νῆσος ἡ Κύπρος· ἤ τι που ἄλλο σμικρὸν τῆς Ἰωνίας ἐν θαλάσσῃ·
τοῦ τε Περσικοῦ κόλπου· καὶ γὰρ τοῦδε ἐκράτουν· πόσον τι καὶ ὅτου
πέλαγός ἐστι· τὰ δὲ δὴ Μακεδόνων, τὰ μὲν πρὸ Φιλίππου τοῦ Ἀ-
μύντου, καὶ πάνυ σμικρὰ ἦν· καὶ ἐστὶν ὧν ἐπήκουσαν· τὰ δὲ αὐτοῦ
Φιλίππου, πόνου μὲν καὶ ταλαιπωρίας ἐγένετο οὐ μεμπτῆς· ἀλλὰ καὶ
ταῦτα περὶ τὴν Ἑλλάδα καὶ τὰ πρόσχωρα μόνα ἦν· ἐπὶ δὲ Ἀλεξάνδρου
μεγέθει τε καὶ πλήθει καὶ εὐτυχίᾳ· καὶ ταχυεργίᾳ διαλάμψασα ἡ ἀρχὴ
καὶ ὀλίγου δεῖν εἰς ἄπειρον καὶ ἀμίμητον ἦλθε ἦν· διὰ τὸ βραχύ-
τατον τοῦ χρόνου, προσέοικεν ἀστραπῇ λαμπρᾷ· ἧς γε καὶ διαλυθείσης
ἐς πολλὰς σατραπείας, ἐπὶ πλεῖστον δ' ἐξέλαμψε τὰ μέρη· καὶ τοῖς ἐμοῖς
βασιλεῦσι μόνοις, ἦν στρατιά τε πεζῶν μυριάδες εἴκοσι· καὶ μυ-
ριάδες ἱππέων, τέσσαρες· καὶ ἐλέφαντες πολεμισταί, τριακόσιοι·
καὶ ἅρματα ἐν μάχαις, δισχίλια· καὶ ὅπλα δ' ἐς διαδοχὴν μυριάσι
τριάκοντα· καὶ τάδε μὲν αὐτοῖς ἦν ἐν πεζομαχίαν· ἐν δὲ ναυ-
μαχίαν, κοντωτὰ καὶ ὅσα σμικρότερα ἄλλα δισχίλια· τριήρεις
δὲ ἀπὸ ἡμιολίας μέχρι πεντήρους, πεντακόσιαι καὶ χίλιαι·
καὶ σκεύη τριηρετικὰ διπλότερα τούτων· θαλαμηγά τε χρυσό-
πρυμνα· καὶ χρυσέμβολα· ἐς πολέμου πομπήν· οἷς αὐτοὶ διὰ
πλέοντες ἐπέβαινον οἱ βασιλεῖς, ὀκτακόσιοι· χρημάτων δὲ ἐν
τοῖς θησαυροῖς, τέσσαρες καὶ ἑβδομήκοντα μυριάδες ταλάντων
Αἰγυπτίων· ἐν γὰρ δὴ τοσοῦτο παρασκευῆς τε καὶ στρατιᾶς, ἐκ
τῶν βασιλικῶν ἀναγραφῶν, φαίνεται προαγαγών τε καὶ καταλιπὼν
ὁ δεύτερος αὐτῶν βασιλεὺς μετ' Ἀλέξανδρον· ὃς καὶ πορίσαι
δεινότατος ἦν βασιλέων· καὶ δαπανῆσαι λαμπρότατος, καὶ κατα-
σκευάσαι μεγαλουργότατος· φαίνεται δὲ καὶ πολλὰ τῶν ἄλλων
σατραπειῶν, οὐ πολὺ τούτων ἀποδέοντα· ἀλλὰ πάντα ἐν τοῖς

ἐπιγόνων αὐτῶν σὺν τρυφῇ· φθαρέντων δ' ἀλλήλοις ὁμοίως,
ἀρχαὶ μεγάλαι καταλύονται στασιάσασαι. τὰ δὲ Ῥωμαίων μεγέθει τε
καὶ εὐτυχίᾳ ἀνέσχε διὰ εὐβουλίαν καὶ χρόνον· ἔς τε τὴν περίκτησιν
αὐτῶν ἀρετῇ καὶ φερεπονίᾳ καὶ ταλαιπωρίᾳ πάντας ὑπερῆραν·
οὔτε ταῖς εὐπραγίαις ἐπαιρόμενοι, μέχρι βεβαίως ἐκράτησαν,
οὔτε συστελλόμενοι ταῖς συμφοραῖς· ὧν γε καὶ δύο μυριάδες ἀνδρῶν
ἐνίοτε μιᾶς ἡμέρας καὶ ἑτέρας τέσσαρες ἀπώλοντο· καὶ ἄλλης πέντε·
καὶ περὶ τῆς πόλεως αὐτῆς πολλάκις ἐκινδύνευσαν· καὶ λιμοί τε
καὶ λοιμοὶ συνεχεῖς, καὶ στάσις ὁμοῦ πάντα ἐπιπίπτοντα, οὐκ ἀπέ-
στησε τῆς φιλοτιμίας, ἕως ἑπτακοσίοις ἔτεσι, κακοπαθοῦντές τε
καὶ κινδυνεύοντες, ἀγχωμάλως τὴν ἀρχὴν ἐς τόδε προήγαγον· καὶ
τῆς εὐτυχίας ὤναντο διὰ τὴν εὐβουλίαν. ταῦτα δέ, πολλοὶ μὲν Ἑλλήνων,
πολλοὶ δὲ Ῥωμαίων συνέγραψαν· καὶ ἔστιν ἡ ἱστορία τῆς Μακεδονικῆς,
μεγίστης δὴ τῶν προτέρων οὔσης, πολὺ μείζων· ἀλλ' ἐντυγχάνοντά με
καὶ τὴν ἀρετὴν αὐτῶν, ἐν τῇ καθ' ἕκαστον ἔθνος ἰδεῖν ἐθέλοντα, ἀπέ-
φερεν ἡ γραφὴ πολλάκις ἀπὸ Καρχηδόνος ἐπὶ Ἴβηρας· καὶ ἐξ Ἰβήρων
ἐπὶ Σικελίαν. ἢ Μακεδονίαν. ἢ ἐπὶ πρεσβείας, ἢ συμμαχίας ἐς
ἄλλα ἔθνη γενομένας· καὶ αὖθις ἐς Καρχηδόνα ἢ Σικελίαν·
ὥσπερ ἀλώμενον· καὶ πάλιν ἐκ τούτων ἀτελῶν ἔτι ὄντων μετέφερον,
ἕως οὖν τὰ μέρη συνήγαγον ἐμαυτῷ. ὁσάκις ἐς Σικελίαν ἐστράτευσαν
ἢ ἐπρέσβευσαν. ἢ ὅτι οὖν ἔπραξαν ἐς Σικελίαν, μέχρι κατέστη-
σαν τὴν αὐτὴν ἐς τὸν κόσμον τὸν παρόντα, ὁσάκις τε αὖ Καρχη-
δονίοις ἐπολέμησαν. ἢ ἐσπείσαντο. ἢ ἐπρέσβευσαν ἐς αὐτοὺς
ἢ πρεσβείας ἐδέξαντο παρ' ἐκείνων. ἢ ἔδρασαν ὅτι οὖν. ἢ ἔπαθον
πρὸς αὐτῶν ἕως Καρχηδόνα κατέσκαψαν· καὶ τὸ Λιβύων ἔθνος
προσέλαβον καὶ αὖθις ᾤκισαν αὐτοὶ Καρχηδόνα καὶ Λιβύην
κατέστησαν ἐς τὰ νῦν ὄντα· καὶ τόδε μοι κατὰ ἔθνος ἕκαστον
ἐπράχθη· βουλομένῳ τὰ ἐς ἕκαστον ἔργα Ῥωμαίων καταμαθεῖν·
ἵνα τὴν τῶν ἐθνῶν ἀσθένειαν. ἢ φερεπονίαν. καὶ τὴν τῶν ἑλόντων
ἀρετὴν. ἢ εὐτυχίαν. ἢ εἴ τι ἄλλο συγκύρημα συνηνέχθη κατα-
μάθοιμι· νομίσας δ' ἄν τινα καὶ ἄλλον· οὕτως ἐθελῆσαι μαθεῖν τὰ
Ῥωμαίων, συγγράφω κατὰ ἔθνος ἕκαστον· ὅσα δὲ ἐν μέσῳ πρὸς

ἑτέρους αὐτοῖς ἐγένετο, ἐξαιρῶ καὶ ἐς τὰ ἐκείνων μετατίθημι·
τοὺς δὲ χρόνους ἐπὶ μὲν πᾶσι, περισσὸν ἡγοῦμαι καταλέγειν· τῶν
δὲ τῶν ἐπιφανεστάτων, ἐκ διαστήματος ὑπομνήσω· καὶ τὸ ὄνο-
μα Ῥωμαίοις πάλαι μὲν ἦν ἕν, ὥσπερ ἀνθρώποις ἅπασιν ἑκάστῳ· μετὰ
δέ, ἐγένοντο δύο· καὶ οὐ πολὺς χρόνος, ἐξ οὗ καὶ τέταρτον ἤρξατο τισὶν
ἐς ἐπίγνωσιν ἐκ παθῶν ἢ ἀρετῆς προστίθεσθαι. καθὰ καὶ τῶν
Ἑλλήνων τισίν, ἐπὶ τοῖς ὀνόμασιν ἐπικλήσεις. ἐγὼ δέ, ἔστι μὲν
ὅπου καὶ πάντων ἐπιμνήσομαι· καὶ μάλιστα ἐπὶ τῶν ἐπιφανῶν ἐς
γνωρισμὸν τῶν ἀνδρῶν· τὰ δὲ πολλὰ καὶ τούτους καὶ τοὺς ἄλλους, ἃ κυ-
ριώτατα ἡγοῦνται προσαγορεύσω. τριῶν δὲ βίβλων οὐσῶν, αἳ τὰ
ἐν τῇ Ἰταλίᾳ ὄντα αὐτοῖς πολλὰ συγγεγραμμένα συνάγουσι· τὰς
μὲν τρεῖς, ἡγητέον εἶναι Ῥωμαϊκῶν Ἰταλικάς· διὰ δὲ πλῆθος
ἔργων διῄρηνται· καὶ δηλοῦσιν, ἡ μὲν πρώτη, τὰ τῶν βασιλέων
ἑπτὰ γενόμενα ἔργα, ἐφεξῆς ἅπαντα, ὅσα ἐπ' αὐτῶν ὡς ἐγένετο·
καὶ αὐτὴν ἐπιγράφω, Ῥωμαϊκῶν Βασιλικήν· ἡ δ' ἑξῆς, τὰ ἐν
τῇ ἄλλῃ Ἰταλίᾳ· χωρίς γε τῆς παρὰ τὸν κόλπον τὸν Ἰόνιον·
ἐν δὲ συγκρίσει τῆς προτέρας ἣ δὲ λέγεται· ἡ ἑξῆς Ῥωμαϊκῶν
Ἰταλική. τελευταία δὲ ἐπιγράφεται Σαυνίταις· οἳ παρὰ τὸν Ἰόνιον
ᾤκουν· μεγάλῳ τε καὶ χαλεπῷ· ὀγδοήκοντα ἔτεσι συνεπλά-
κησαν· μέχρι καὶ τούσδε καὶ ὅσοι σφίσιν ἐγγὺς ἔθνη συνεμάχ(ει)
καὶ Ἕλληνας ὅσοι ὑπὸ τὴν Ἰταλίαν εἰσὶν ὑπηγάγοντο. καὶ
ἔστιν ἡ δὲ τῶν προτέρων ἐς σύγκρισιν Ῥωμαϊκῶν Σαυνι-
τική. τὰ δὲ λοιπὰ κατὰ τούτων ἑκάστη κατὰ λόγον ἐπιγράφονται·
Ῥωμαϊκῶν Κελτική τε. καὶ Σικελική. καὶ Ἰβηρική. Ἀννιβαϊκή.
καὶ Καρχηδονιακή. καὶ Μακεδονιακή. καὶ ἐφεξῆς ὁμοίως. τέ-
τακται δὲ αὐτῶν, ἄλλη μετ' ἄλλην. ὡς ἑκάστῳ πολέμῳ τὴν ἀρχὴν
πρὸς ἑτέρους λαβεῖν συνέπεσεν· κἂν τὸ τέλος τοῦ ἔργου μετὰ πολλὰ
ἕτερα γένηται· ὅσα δὲ αὐτοὶ Ῥωμαῖοι πρὸς ἀλλήλους ἐστασίασάν τε
καὶ ἐπολέμησαν ἐμφύλια· φοβερώτατα σφίσι ταῦτα μάλιστα
γενόμενα, ἐς τοὺς στρατηγοὺς τῶν στάσεων διῄρηται· τὰ μὲν, ἐς
Μάριόν τε καὶ Σύλλαν· τὰ δὲ ἐς Πομπήιόν τε καὶ Καίσαρα· τὰ δὲ,
ἐς Ἀντώνιον· καὶ τὸν Γάιον καὶ ὕστερον τὸν Σεβαστὸν ἐπίκλ(ησιν)· πρὸς

τοὺς ἀνδροφόνους τοῦ προτέρου Καίσαρος· τὰ δὲ, ἐς ἀλλήλους
αὐτῶν, Ἀντωνίου τε καὶ Καίσαρος στασιασάντων· ᾧ τινι καὶ τὴν τελευτὴν
τῶν ἐμφυλίων ὅτι καὶ Αἴγυπτος ὑπὸ Ῥωμαίοις, ἐς μοναρχίαν περιῆλ-
θεν. ὧδε μὲν, ἐς βίβλους ἕκαστα τῶν ἐθνῶν. καὶ στρατηγῶν τὰ
ἐμφύλια διῄρηται. καὶ δὲ τελευταία, καὶ τὴν στρατιὰν αὐτῶν ὅσην ἔ-
χουσιν. καὶ πρόσοδον ἣν καρποῦνται, καθ' ἕκαστον ἔθνος. καὶ εἴ τι προ-
σαναλίσκουσιν ἐς τὰς ἐπινείους φρουράς, ὅσα τε τοιουτότροπα
ἄλλα ἐπιδείξει. ἁρμόζει δὲ ἀπὸ τοῦ γένους ἄρξασθαι, τὸν περὶ τῆς
ἀρετῆς αὐτῶν συγγράφοντα. τίς δὲ ὢν ταῦτα συνέγραψα, πολλοὶ
μὲν ἴσασι καὶ αὐτὸς προέφηνα· σαφέστερον δ' εἰπεῖν· Ἀλεξανδρεύς, ἐς
τὰ πρῶτα ἥκων ἐν τῇ πατρίδι. καὶ δίκαις ἐν Ῥώμῃ συναγορεύσας
ἐπὶ τῶν βασιλέων μέχρι με σφῶν ἐπιτροπεύειν ἠξίωσαν. καὶ εἴ τῳ
σπουδὴ καὶ τὰ λοιπὰ μαθεῖν· ἔστι μοι καὶ περὶ τούτων συγγραφή:~
Τὸ προοίμιον μόνον, τῆς ἰταλικῆς τοῦ Ἀππιανοῦ ἱστορίας, τὴν προοῦσαν
ἐνταξάσθω. ἐπειδὴ ἐν τῇ τῶν ἰταλικῶν διηγήσει, καὶ τοῦ ἁλι-
καρνασσέως Διονυσίου ῥωμαϊκὴ ἀρχαιολογία, πασῶν ἐστὶν ἱστοριῶν
ἀξιολογωτέρα, ἐν εἴκοσι ταῖς ὅλαις βίβλοις. ὀρθοδικώτερον
διαλαμβάνουσα, περί τε τοῦ οἰκισμοῦ τῆς Ῥώμης. καὶ τοῦ γένους
αὐτῆς. καὶ τῶν πράξεων. ὅσα μέχρι τοῦ πρώτου πρὸς Καρχηδονίους
αὐτῆς πολέμου ἐπράχθησαν. καὶ ἄλλοι δὲ πολλοί, τὰ ῥωμαϊκὰ συνε-
γράψαντο· ὧν καὶ Δίων ἐστί· τὰ μὲν ἀρχαιότερα ἐπιδραμών· τὰ δὲ
τελευταῖα, καὶ μάλιστα ὅσα μετὰ τὴν μοναρχίαν ἐγένετο τῶν Καισάρων.
καὶ μέχρι τοῦ Ἀλεξάνδρου τοῦ τῆς Μαμμαίας υἱοῦ ἀναπέπαυκε τὴν
ἱστορίαν, ὀρθοδικώτερον ἀναγράψας. δεῖ μέντοι τὴν μὲν ἀρχαιο-
λογίαν τὴν ῥωμαϊκήν, ἐκ τοῦ Διονυσίου λαμβάνειν. εἴ τις μὴ τὴν
ἀκοὴν μόνον, ἀλλὰ καὶ τὴν γλῶτταν ὠφεληθῆναι, ἐκ τῶν ἀναγινωσκο-
μένων αἱροῖτο. τὰ δὲ μετὰ τοὺς μονάρχους ἐκ τοῦ Δίωνος. τὰς δὲ κατὰ
ἔθνος πράξεις, ἐκ τοῦ παρόντος Ἀππιανοῦ. ἀφ' οὗ ἀναλεξάμενος
ἔγωγε, τῶν μὲν ἐμφυλίων, τὰ τοῦ Αὐγούστου καὶ Ἀντωνίου. καὶ δὲ ἑξῆς
τούτοις τὰ Ῥωμαίοις πρὸς Αἰγυπτίους, ἄχρι Κλεοπάτρας γενόμενα·
ἔτι τε τὰ Ἰουδαϊκά. καὶ τὰ Ποντικά. καὶ τὰ Δακικά· οἷς ὁ Τραϊανὸς
ἐλαμπρύνετο· τά τε Ἰβηρικά· καὶ τὰ Ἀννιβικά· τά τε Καρχηδονιακά·

καὶ τὰ Σικελικά· καὶ πρὸς τούτοις, τὰ Μακεδονικά. καὶ τὰ Ἑλληνικά·
καὶ πολλῶν καὶ ἄλλων ὄντων. τούτοις ἀρκεσθεὶς, ἐν δυσὶν αὐτὰ συνέ-
θηκα τεύχεσιν:~

ἐκ τῶν Ἀππιανοῦ Κελτικῆς

Κελτοὶ Ῥωμαίοις ἐπεχείρησαν πρῶτοι. καὶ τὴν Ῥώμην εἷλον ἄνευ
τοῦ Καπιτωλίου καὶ ἐνεπρήκασι. Κάμιλλος δὲ αὐτοὺς ἐνίκησε
καὶ ἐξήλασε. καὶ μετὰ χρόνον ἐπελθόντας, αὖθις ἐνίκησε. καὶ
ἐθριάμβευσεν ἀπ' αὐτῶν, ὀγδοήκοντα γεγονὼς ἔτη. καὶ τρίτη δὲ
Κελτῶν στρατιὰ, ἐμβέβληκεν ἐς τὴν Ἰταλίαν. ἣν καὶ αὐτὴν οἱ Ῥω-
μαῖοι διεφθάρκασι, ὑφ' ἡγεμόνι Τίτῳ Κοΐντῳ. μετὰ δὲ ταῦτα
Βοιοί, Κελτικὸν ἔθνος, θηριωδέστατον, ἐπῆλθε Ῥωμαίοις. καὶ αὐτοῖς
Γάιος Σουλπίκιος δικτάτωρ, μετὰ στρατιᾶς ἀπήντα. ὅς τις καὶ
στρατηγήματί τινι οὕτω χρήσασθαι λέγεται· ἐκέλευσε γὰρ τοὺς ἐπὶ
τοῦ μετώπου τεταγμένους, ἐξακοντίσαντας ὁμοῦ, συγκαθίσαι
τάχιστα, μέχρι βάλωσιν οἱ δεύτεροι. καὶ τρίτοι καὶ τέταρτοι. τοὺς δ' ἀφι-
έντας ἀεὶ συνιζάνειν. ἵνα μὴ κατ' αὐτῶν, ἀνέχωνται τὰ δόρατα
βαλόντων δὲ τῶν ὑστάτων, ἀναπηδᾶν ἅπαντας ὁμοῦ. καὶ σὺν βοῇ
τάχιστα, ἐς χεῖρας ἰέναι. καταπλήξειν γὰρ ᾤετο τοὺς πολεμίους,
τοσῶνδε δοράτων ἄφεσιν. καὶ ἐπ' αὐτῇ ταχεῖαν ἐπιχείρησιν. τὰ δὲ δό-
ρατα ἦν, ἐοικότα ἀκοντίῳ. ἃ Ῥωμαῖοι καλοῦσιν ὑσσούς. ξύλου τε
τετραγώνου τὸ ἥμισυ. καὶ τὸ ἄλλο σιδήρου. τετραγώνου καὶ τόδε
καὶ μαλακοῦ. χωρίς γε τῆς αἰχμῆς. καὶ οἱ Βοιοὶ οὕτως, ὑπὸ Ῥωμαίων
τότε ἐφθάρησαν πανστρατιᾷ. ἄλλους δὲ πάλιν Κελτούς, ἐνίκα
Ποπίλιος. καὶ μετ' ἐκεῖνον τοὺς αὐτοὺς Κάμιλλος ὁ τοῦ Καμίλλου
υἱός. ἔστησε δὲ κατὰ Κελτῶν καὶ Παῦλος Αἰμίλιος τρόπαια. πρὸ δὲ
τῶν τοῦ Μαρίου ὑπατειῶν, πλεῖστόν τι καὶ μαχιμώτατον. τήν τε ἡλικί-
αν μάλιστα φοβερώτατον. χρῆμα Κελτῶν, εἰς τὴν Ἰταλίαν καὶ τὴν Γαλα-
τίαν ἐσέβαλε. καί τινας ὑπάτους Ῥωμαίων ἐνίκησε. καὶ στρατό-
πεδα κατέκοψεν· ἐφ' οὓς ὁ Μάριος ἀποσταλεὶς, ἅπαντας διέφθειρε·
τελευταῖα δὲ καὶ μέγιστα τῶν ἐς Γαλάτας Ῥωμαίοις πεπραγμένων
ἐστὶ, τὰ ὑπὸ Γαΐῳ Καίσαρι στρατηγοῦντι γενόμενα. μυριάσι τε γὰρ
ἀνδρῶν ἀπείρων. ἐν τοῖς δέκα ἔτεσιν ἐν οἷς ἐστρατήγησεν, ἐς χεῖρας
ἦλθον. εἴ τις ὑφ' ἓν τὰ μέρη συναγάγοι, τετρακοσίων πλείοσι·

καὶ τούτων ἑκατὸν μὲν ἐζώγρησαν· ἑκατὸν δὲ ἐν τῷ πόνῳ κατέκανον· ἔθνη δὲ τετρακόσια καὶ πόλεις ὑπὲρ ὀκτακοσίας, τὰ μὲν ἀφιστάμενα σφῶν· τὰ δὲ προσεπιλαμβάνοντες ἐκρατήσαντο·

πρὸ δὲ τοῦ Μαρίου, καὶ Φάβιος Μάξιμος ὁ Αἰμιλιανός, ὀλίγην κομιδῇ στρατιὰν ἔχων, ἐπολέμησε τοῖς Κελτοῖς· καὶ δώδεκα μυριάδας αὐτῶν, ἐν μιᾷ μάχῃ κατέκανε· πεντεκαίδεκα μόνους τῶν ἰδίων ἀποβαλών· καὶ ταῦτα μέντοι ἔπραξε, πιεζόμενος ὑπὸ τραύματος ὑπογύου· καὶ τὰ τάγματα ἐπιὼν καὶ παραθαρρύνων· καὶ διδάσκων ὅπως τοῖς βαρβάροις πολεμητέον· τὰ μὲν, ἐπὶ φορείου φερόμενος, τὰ δέ, καὶ βάδην χειραγωγούμενος·

καὶ Καῖσαρ δὲ πολεμήσας αὐτοῖς· πρῶτον μὲν Ἐλουητίους καὶ Τιγυρίους ἀμφὶ τὰς εἴκοσι μυριάδας ὄντας, ἐνίκησε· οἵτινες δ' αὐτῶν χρόνῳ ἔμπροσθεν Πείσωνος καὶ Κασσίου τινὰ στρατὸν ἑλόντες, ὑπὸ ζυγὸν ἐξεπεπόμφεσαν· ὡς ἐν χρονικαῖς συντάξεσι, δοκεῖ Παύλῳ τῷ Κλαυδίῳ· τοὺς μὲν οὖν Τιγυρίους ὑποστράτηγος αὐτοῦ Λαβιηνὸς ἐνίκησε· τοὺς δὲ ἄλλους, ὁ Καῖσαρ· καὶ Τρικούρους συμμαχοῦντας σφίσιν· εἶτα τοὺς μετὰ Ἀριοβίστου Γερμανούς· οἳ τὰ μεγέθη, μείζους τῶν μεγίστων ὑπῆρχον· καὶ τὸ ἦθος ἄγριοι· καὶ τὴν τόλμαν θρασύτατοι· καὶ θανάτου καταφρονηταί, δι' ἐλπίδα ἀναβιώσεως· καὶ κρύος ὁμοίως φέροντες θάλπει· καὶ πόᾳ ἐχρῶντο περὶ τὰς ἀπορίας τροφῇ· καὶ οἱ ἵπποι ξύλοις· ἦσαν δὲ ὡς ἔοικεν, οὐ φερέπονοι ἐν ταῖς μάχαις· οὐδὲ λογισμῷ ἐπιστήμῃ τινί, ἀλλὰ θυμῷ χρώμενοι καθάπερ θηρία· διὸ καὶ ὑπὸ τῆς Ῥωμαίων ἐπιστήμης καὶ φερεπονίας ἡσσῶντο· οἱ μὲν γὰρ μετὰ ὁρμῆς βαρυτάτης ἐπεπήδων αὐτοῖς· καὶ ὅλην ὁμοῦ τὴν φάλαγγα ἀνεώθουν· Ῥωμαῖοι δὲ ὑπομένοντες ἐν τάξει, καὶ κατεστρατήγουν αὐτούς· καὶ ὀκτάκις μυρίους αὐτῶν, ἡσσώντες ἀπέκτειναν· μετὰ τούτους ὁ Καῖσαρ τοῖς Καλο~ μένοις Βέλγαις ἐπιπεσών· ποταμόν τινα περῶσι, τοσούτους ἀπέκτεινεν, ὥστε τὸν ποταμὸν γεφυρωθέντα τοῖς σώμασι περᾶσαι· Νέρβιοι δὲ αὐτὸν ἔτρεψαντο· ἄρτι στρατόπεδον ἐξ ὁδοιπορίας κατασκευάζοντι αἰφνιδίως ἐπιπεσόντες, καὶ πάμπολλους ἐφόνευσαν· τοὺς δὲ ταξιάρχους καὶ λοχαγοὺς ἅπαντας· καὶ αὐτὸν ἐκεῖνον ἐς λόφον τινὰ μετὰ τῶν ὑπασπιστῶν συμφυγόντα, περιέσχον κύκλῳ· ὑπὸ δὲ τοῦ δεκάτου τάγματος αὐτοῖς ἐξ ὁδοιπορίας ἐπιπεσόντος, ἐφθάρησαν ἑξακισμύριοι ὄντες· ἦσαν δὲ

τῶν Κίμβρων καὶ Τευτόνων ἀπόγονοι· ἐκράτησε δὲ καὶ Ἀλλοβρίγων ὁ Καῖσαρ· Οὐσιπετῶν δὲ καὶ Ταγχρέων τεσσαράκοντα μυριάδας σὺν γυναιξί τε καὶ ἀστρατεύτοις συνεκόπησαν· Σούκαμβροι δὲ πεντακοσίοις ἱππεῦσι, τοὺς πεντακισχιλίους ἱππέας τοῦ Καίσαρος ἔτρεψαν, ἐξαίφνης ἐπιπεσόντες· καὶ δίκην ἔδοσαν, ἡττηθέντες μετ' αὐτά· ἐπέρασε καὶ τὸν Ῥῆνον πρῶτος Ῥωμαίων ὁ Καῖσαρ· καὶ ἐς τὴν Βρεττανίδα νῆσον ἠπείρου μείζονα οὖσαν μεγίστης, καὶ τοῖς τῇδε ἀνθρώποις ἄγνωστον ἔτι· ἐπέρασε δὲ κατὰ τὸν καιρὸν τῆς ἀμπώτεως· ἄρτι γὰρ τὸ πάθος ἐγίνετο τῆς θαλάσσης, καὶ ὁ στόλος ἐσαλεύετο· ἠρέμα πρῶτον, εἶτα ὀξύτερον· μέχρις ὅτε βιαίως· τρὶς διέπλευσεν ὁ Καῖσαρ ἐς τὴν Βρεττανίαν :-

τοῦ δ' Ἀππιανοῦ ῥωμαϊκῆς ἱστορίας, ἐν λόγοις διῃρημένης περιεχομένης κβ· ὁ μὲν α΄ λόγος περιέχει τὰ ἀπὸ Ῥωμύλου μέχρι τῶν βασιλέων ζ΄, τὰς πράξεις· ἐπιγράφεται δὲ, ῥωμαϊκῆς βασιλικῆς ἱστορίας· ὁ δὲ β΄, ῥωμαϊκῶν ἰταλική· ὁ δὲ γ΄ ῥωμαϊκῶν σαυνιτική· ὃς καὶ περὶ τῶν πολεμίων ἔχει πολέμων· ὁ δὲ δ΄ ῥωμαϊκῶν κελτική· ὁ δὲ ε΄ ῥωμαϊκῶν σικελική· ὁ δὲ ϛ΄ ῥωμαϊκῶν ἰβηρική· ὁ δὲ ζ΄ ῥωμαϊκῶν ἀννιβαϊκή· ὁ δὲ η΄ ῥωμαϊκῶν λιβυκή καὶ καρχηδονική· ὁ θ΄ ῥωμαϊκῶν μακεδονική δέ, ὁ ι΄· ὁ ια΄ ῥωμαϊκῶν ἑλληνικὴ καὶ ἰωνική· ὁ ιβ΄ ῥωμαϊκῶν συριακή· ὁ ιγ΄ ῥωμαϊκῶν παρθική· ὁ δὲ ιδ΄ ῥωμαϊκῶν μιθριδάτειος· ὁ δὲ ιε΄ ῥωμαϊκῶν ἰλλυρική· ὁ δὲ ιϛ΄ ἀράβιος· ἔτι δὲ τούτοις εἰσὶν οἱ ἐπιγραφόμενοι ῥωμαϊκῶν ἐμφυλίων θ΄· ὁ δὲ ἐφεξῆς κβ΄ ἐπιγράφεται ἑκατονταετία· ὁμοῦ λόγοι κβ΄· ἐξ ὧν ἐν τῷ παρόντι βιβλίῳ εἰσὶν οἱ μόνοι : +

+ Ἀππιανοῦ ῥωμαϊκῶν συριακή : +

[Ἀ]ντίοχος ὁ Σελεύκου τοῦ Ἀντιόχου, Σύρων καὶ Βαβυλωνίων καὶ ἑτέρων ἐθνῶν βασιλεύς· ἕκτος δὲ ἀπὸ Σελεύκου τοῦ μετὰ Ἀλέξανδρον Ἀσίας τῆς περὶ Εὐφράτην βεβασιλευκότος, ἐμβαλὼν ἐς Μηδίαν τε καὶ Παρθυηνὴν καὶ ἕτερα ἔθνη ἀφιστάμενα ἐπὶ πρὸ αὐτοῦ, καὶ πολλὰ δράσας, καὶ Μέγας Ἀντίοχος ἐπικληθείς, ἐπαιρόμενος τοῖς γεγονόσι καὶ τῇδε τῇ ἐπωνυμίᾳ, Συρίαν τε τὴν κοίλην καὶ Κιλικίας ἔστιν ἃ, Πτολεμαίου τοῦ Φιλοπάτορος Αἰγύπτου βασιλεύοντος ἔτι παιδὸς ὄντος, ἐπιδραμὼν ἀφείλετο· καὶ μηκέτι οὐδὲν ἐνθυμούμενος, ἤδη καὶ Ἑλλησποντίους καὶ Αἰολέας καὶ Ἴωνας· ὡς οἱ προσήκοντας ἄρχοντι τῆς Ἀσίας, ὅτι καὶ πάλαι

τῶν τῆς Ἀσίας βασιλέων ὑπήκουον· ἔς τε τὴν Εὐρώπην διαπλεύσας
Θρᾴκην ὑπηγάγετο· καὶ τὰ ἀπειθοῦντα ἐβιάζετο· Χερρόνησόν τε
ὠχύρου· καὶ Λυσιμάχειαν ᾤκιζεν· ἣν Λυσίμαχος μὲν ὁ Θρᾴκης ἐπὶ
Ἀλεξάνδρῳ βασιλεύσας ἔκτισεν ἐπιτείχισμα τοῖς Θρᾳξὶν εἶναι·
οἱ Θρᾷκες δ' ἀποθανόντος τοῦ Λυσιμάχου καθῃρήκεσαν. ὁ δ' Ἀντί-
οχος συνῴκιζε· τούς τε φεύγοντας τῶν Λυσιμαχέων κατακαλῶν, καὶ
εἴ τινες αὐτῶν αἰχμάλωτοι γεγονότες ἐδούλευον, ὠνούμενος· καὶ
ἑτέρους προσκαταλέγων, καὶ βοῦς καὶ πρόβατα καὶ σίδηρον
γεωργικὸν ἐπιδιδούς· καὶ οὐδὲν ἐλλείπων ἐς ταχεῖαν ἐπιτει-
χίσματος ὁρμήν. πάνυ γὰρ αὐτῷ τὸ χωρίον ἐφαίνετο λαμπρῶς
ἔχειν ἐπὶ ὅλην Θρᾴκην, καὶ ταμιεῖον ἐπίκαιρον ἐς τὰ λοιπὰ ὧν ἐπενόει
πάντων ἔσεσθαι. οἱ μὲν δὴ πλέονες αὐτῷ προσετίθεντο. καὶ οἱ
φρουρὰς ἐσεδέχοντο δέει τῆς δυνάμεως· Σμυρναῖοι δὲ καὶ Λαμψακηνοὶ
καὶ ἕτεροι ἔτι ἀντέχοντες, ἐπρεσβεύοντο ἐς Φλαμίνιον τὸν Ῥω-
μαίων στρατηγόν· ἄρτι Φίλιππον τὸν Μακεδόνα μεγάλῃ μάχῃ
περὶ Θετταλίαν νενικηκότα. ἐγίγνετο γὰρ δὴ καὶ τὰ Μακεδόνων
καὶ τὰ Ἑλλήνων ἐπιμεμιγμένα ἀλλήλοις ἀνὰ μέρη κατὰ χρόνους· ὡς μοι
ἐν τῇ Ἑλληνικῇ γραφῇ δεδήλωται. καὶ ἐγίγνοντό τινες Ἀντιόχῳ καὶ
Φλαμινίῳ διαπρεσβεύσεις ἐς ἀλλήλους· καὶ ἀπὸ [illegible]· ἐκ
πολλοῦ δὲ οἱ Ῥωμαῖοι καὶ Ἀντίοχος ὑπόπτως εἶχον ἀλλήλοις· οἱ μέν,
οὐκ ἀτρεμήσειν ὑπολαμβάνοντες Ἀντίοχον ἐπαιρόμενον ἀρχῆς τε
μεγέθει καὶ εὐπραξίας ὁρμῇ· ὁ δέ, Ῥωμαίους οἰόμενος αὐξομένους,
μάλιστα ἐμπόδιον ἔσεσθαι, καὶ κωλύσειν ἐς τὴν Εὐρώπην περαιούμενον.
οὐδενὸς δὲ περιφανοῦς γεγονότος αὐτοῖς ἐς ἔχθραν, ἀφίκοντο πρέ-
σβεις Ῥωμαίων περὶ Πτολεμαίου τοῦ Φιλοπάτορος· αἰτιώμενοι
Συρίαν τε καὶ Κιλικίαν Ἀντίοχον αὐτὸν ἀφῃρῆσθαι. καὶ οἱ Ῥωμαῖοι
τῆς ἀφορμῆς ἐπέβαινον ἀσμένως, κατὰ καιρὸν γενομένης. καὶ
πρέσβεις ἐς τὸν Ἀντίοχον ἔστελλον· οἳ λόγῳ μὲν ἔμελλον συναλλάξειν
Πτολεμαῖον Ἀντιόχῳ· ἔργῳ δὲ κατασκέψασθαι τὴν ὁρμὴν Ἀντιόχου
καὶ κωλύσειν ὅσα δύναιντο. τούτων δὲ τῶν πρέσβεων Γναῖος ἡγού-
μενος, ἠξίου τὸν Ἀντίοχον Πτολεμαίῳ μὲν ὄντι Ῥωμαίων φίλῳ
συγχωρεῖν ἀρχὴν ὅσων ὁ πατὴρ αὐτῷ κατέλιπε· τὰς δ' ἐν Ἀσίᾳ πόλεις,

ὧν Φίλιππος ὁ Μακεδὼν ἦρχεν, αὐτονόμους ἐᾶν. οὐ γὰρ εἶναι
δίκαιον Ἀντίοχον κρατεῖν ὧν Φίλιππον ἀφείλοντο Ῥωμαῖοι.
ὅλως δ' ἀπορεῖν ἔφη, τί τοσοῦτον στόλον ὁ Ἀντίοχος καὶ τοσαύτην
στρατιὰν ἄγων ἄνωθεν ἐκ Μήδων ἤθοι τῆς Ἀσίας ἐπὶ θάλατταν,
ἔς τε τὴν Εὐρώπην ἐσβάλοι, καὶ πόλεις ἐν αὐτῇ κατασκευάζοιτο
καὶ Θρᾴκην ἐπάγοιτο, εἰ μὴ ταῦτα ἐστὶν ἑτέρου πολέμου θεμέλια.
ὁ δ' ἀπεκρίνατο· Θρᾴκην μὲν τῶν προγόνων αὐτοῦ γενομένην τε
καὶ δι' ἀσχολίας ἐκπεσοῦσαν, αὐτὸς ἐπὶ σχολῆς ὢν ἀναλαμβάνειν· καὶ
Λυσιμάχειαν ἐγείρειν, οἰκητήριον Σελεύκῳ τῷ παιδὶ εἶναι· τὰς δ'
ἐν Ἀσίᾳ πόλεις αὐτονόμους ἐάσειν, εἰ χάριν οὐ Ῥωμαίοις ἀλλ' ἑαυτῷ
μέλλοιεν ἕξειν. Πτολεμαίῳ δ' ἔφη καὶ συγγενής εἰμι, καὶ ὅσον οὔπω
κηδεστὴς ἔσομαι· καὶ χάριν ὑμῖν αὐτὸν ὁμολογεῖν παρασκευάσω.
ἀπορῶ δὲ κἀγώ, τίνι Ῥωμαῖοι δικαίῳ τὴν Ἀσίαν πολυπραγμονοῦσιν,
ἐμοῦ τὴν Ἰταλίαν οὐ πολυπραγμονοῦντος. οὕτω μὲν ἀπ' ἀλλήλων
ἄπρακτοι διεκρίθησαν, ἀπορρηγνύντες ἤδη τὰς ἀπειλὰς ἐς τὸ
φανερώτερον. λόγου καὶ δόξης ἐμπεσούσης ὅτι Πτολεμαῖος ὁ Φιλοπάτωρ
ἀποθάνοι, κατὰ σπουδὴν ὁ Ἀντίοχος ἀπῄει· ὡς Αἴγυπτον ἔρημον
ἄρχοντος ἁρπασόμενος. καὶ αὐτῷ κατὰ Ἔφεσον Ἀννίβας ὁ Καρχη-
δόνιος ἐμβάλλει, φεύγων τὴν πατρίδα δι' ἐχθρῶν διαβολάς· οἳ Ῥω-
μαίοις αὐτὸν ἔφασκον εἶναι δύσεριν τε καὶ φιλοπόλεμον, καὶ
οὔποτε ἠρεμεῖν δυνάμενον. τότε δὴ ὅτε Καρχηδόνιοι Ῥωμαίοις
ὑπήκουον ἐν σπονδαῖς. Ἀννίβαν μὲν δὴ διώνυμον ἐπὶ στρατηγίαις
ὄντα, ὁ Ἀντίοχος ὑπεδέξατο λαμπρῶς καὶ εἶχεν ἀμφ' αὐτόν. περὶ
δὲ τὴν Λυκίαν Πτολεμαῖον περιεῖναι μαθών, Αἰγύπτου μὲν ἀπέγνω·
Κύπρον δ' ἐπιστὰς ἁρπάσαι ἀντ' Αἰγύπτου, διέπλει κατὰ τάχος
αὐτήν. χειμῶνος δ' ἀμφὶ τὸν Σάρον ποταμὸν συμπεσόντος, καὶ πολλὰς
τῶν νεῶν ἀποβαλών, ἐνίας δ' αὖ τοῖς ἀνδράσι καὶ φίλοις, ἐς Σελεύ-
κειαν τῆς Συρίας κατέπλευσε. καὶ τὸν στόλον κατεσκεύαζε [illegible]-
μένον· γάμους τε τῶν παίδων ἔθυεν Ἀντιόχου καὶ Λαοδίκης, ἀλλή-
λοις συναρμόζων. ἤδη δὲ τὸν πρὸς Ῥωμαίους πόλεμον ἐγνωκὼς
ἀποκαλύπτειν, ἐπιγαμίαις τοὺς ἐγγὺς βασιλέας προκατελάμ-
βανε. καὶ Πτολεμαίῳ μὲν ἐς Αἴγυπτον ἔπεμψε Κλεοπάτραν

τὴν Σύραν ἐπίκλησιν, προῖκα σὺν αὐτῇ τὴν Κοίλην ἐπιδιδούς·
ἣν αὐτὸς ἀφῄρητο τοῦ Πτολεμαίου· θεραπεύων ἤδη τὸ μειρά-
κιον, ἵν' ἐν τῷ πολέμῳ τῷ πρὸς Ῥωμαίους ἀτρεμοίη. Ἀντιοχίδα δ'
ἔπεμπεν Ἀριαράθῃ τῷ Καππαδοκῶν βασιλεῖ· καὶ τὴν ἔτι λοιπὴν, Εὐ-
μένει τῷ Περγάμου βασιλεῖ. ὁ δὲ, ὁρῶν γὰρ αὐτὸν ἤδη Ῥωμαίοις
τε πολεμησείοντα. καὶ πρὸς τῷδε τὸ χρεὼν τὸ κῆδος αὐτῷ συναπτό-
μενον, ἠρνήσατο· καὶ τοῖς ἀδελφοῖς Ἀττάλῳ τε καὶ Φιλεταίρῳ, θαυμάζουσιν
ὅτι κῆδος βασιλέως τοσοῦδε, γείτονος αὐτοῦ τε κατάρχοντος καὶ δεο-
μένου, παραιτοῖτο, ἐπεδείκνυ τὸν ἐσόμενον πόλεμον, ἂν μὲν ἀρχὴν τέ-
ως ἀμφοῖν ἕξειν ἰσοπαλῆ, σὺν χρόνῳ δ' ὑπεροίσειν τὰ Ῥωμαίων, ἀλ-
λὰ ψυχῇ ἂν καὶ ταλαιπωρίᾳ. ἔσεσθαι δ' ἔφη· Ῥωμαίων μὲν ἐπικρατούντων, βεβαί-
ως ἀρχῆς τῆς ἐμῆς ἄρξω· Ἀντιόχου δὲ νικῶντος, ἢ τοῖς μὲν ἀφαιρεθή-
σεσθαι πάντα πρὸς γείτονος· ἢ τοῖς δὲ ἔχοντα βασιλεύσειν, βασιλευόμενον ὑπ'
ἐκείνου. ὁ μὲν δὴ τοιοῖσδε λογισμοῖς τοὺς γάμους ἀπεώσατο· ὁ δ' Ἀντί-
οχος αὖθις ἐφ' Ἑλλήσποντον κατῄει· καὶ διαπλεύσας ἐς Χερρόνησον, πολλὰ
καὶ τότε τῆς Θρᾴκης ὑπηγάγετο καὶ κατεστρέφετο· Ἕλληνάς τε ὅσοι τοῖς Θρᾳξὶν
ὑπήκοοι ἦσαν, ἠλευθέρου· καὶ Βυζαντίοις ἐχαρίζετο πολλά, ὡς ἐπὶ καιροῦ
ἐπὶ τοῦ στόματος πόλιν ἔχουσι· Γαλάτας τε δώροις καὶ καταπλήξει τῆς
παρασκευῆς ἐς συμμαχίαν ὑπήγετο· ἀξιομάχους ἡγούμενος ἔσεσθαι,
διὰ τὰ μεγέθη τῶν σωμάτων. μετὰ δὲ τοῦτο ἐς Ἔφεσον κατῄει, καὶ πρέσβεις
ἐς Ῥώμην ἔπεμπε Λυσίαν τε καὶ Ἡγησιάνακτα καὶ Μένιππον. οἱ τῷ μὲν
ἔργῳ τῆς βουλῆς ἀποπειρασόμενοι, τῷ λόγῳ δὲ μηνύσοντες φησὶ τὸν
βασιλέα περὶ τὴν Ῥωμαίων φιλίαν ἐσπουδακότα, ὀργιζόμενον καὶ σφί-
σι μᾶλλον αὐτοῖς εἶναι δὴ ἀξιοῦσι, θαυμάζειν ὅτι κελεύουσι τῶν ἀν' Ἰωνίαν πόλεων
ἀφίστασθαι καὶ φόρους τέ τισιν ἀφιέναι, καὶ τῆς Ἀσίας ὅλης μὴ πολυπραγμονεῖν.
Καὶ Θρᾴκην ἑλεῖν ἃ τῶν προγόνων αὐτοῦ γενομένην· ἀποροῦ τοῖς φίλοις,
ἀλλὰ τοῖς κεκτημένοις τοὺς νῦν κρατηκότας ἐπικηδεύειν. οἱ δὲ, τῆς πρεσβεί-
ας συνιόντες ἐπὶ διάπειρα σφῶν ἀφιγμένης, Λάβραχος ἀπεκρίνατο
αὐτοῖς· ἐὰν Ἀντίοχος αὐτονόμους ἐᾶ τοὺς ἐν Ἀσίᾳ Ἕλληνας, καὶ τῆς Εὐρώπης
ἀπέχηται, Ῥωμαίοις αὐτὸν ἔσεσθαι φίλον, ἂν ἐθέλῃ. τοιαῦτα μὲν ἀπεκρί-
ναντο Ῥωμαῖοι. Καὶ τὰς αἰτίας ταῖς ἀποκρίσεσιν ἐνετίθεσαν. ὁ δ' Ἀντί-
οχος ἐς στρατιὰν ἐπινοῶν τὴν Ἑλλάδα ἐμβαλεῖν κἀκεῖθεν ἐπέρχεσθαι

τοῦ πρὸς Ῥωμαίους πολέμου, ἀνετίθετο τὴν γνώμην τῷ Καρχηδονίῳ
Ἀννίβᾳ. ὁ δὲ ἔφη, τὴν μὲν Ἑλλάδα ἐκ πολλοῦ τετρυχωμένην, ἔργον
οὐ χαλεπὸν εἶναι· τοὺς δὲ πολέμους ἅπασι χαλεποὺς μὲν οἴκοι, διὰ λιμὸν
τὸν ἐπιγιγνόμενον, ἔξω δὲ κουφοτέρους. καὶ τὰ Ῥωμαίων οὔποτε ἂν Ἀντίοχον
ἐν τῇ Ἑλλάδι καθαιρήσειν· ἀγορᾶς τε οἰκείας καὶ παρασκευῆς ἱκανῆς ἀπο-
ροῦντα· ἐκέλευεν οὖν τι προλαβεῖν τῆς Ἰταλίας, καὶ πολεμεῖν ἐκεῖθεν ὁρ-
μώμενον· ἵνα Ῥωμαίοις ἀσθενέστερα ᾖ καὶ τὰ οἴκοι καὶ τὰ ἔξω. ἔχω δὲ ἐμπειρί-
αν φησὶ τῆς Ἰταλίας, καὶ μυρίοις ἀνδράσι δύναμαι καταβαλεῖν αὐτῆς τὰ ἐπίκαιρα.
ἔν τε Καρχηδόνα τοῖς φίλοις ἐπιστεῖλαι, τὸν δῆμον ἐς ἀπόστασιν ἐγείρειν,
δυσφοροῦντά πως ἔφη ἑαυτοῦ, καὶ πρὸς Ῥωμαίους ἀπίστως ἔχοντα. τόλμης τε
καὶ ἐλπίδος ἀναπλησόμενον, εἰ πύθοιτό με ἐπιόντα τῇ Ἰταλίᾳ αὖθις.
ὁ δ' Ἀντίοχος, ἀκούσας τοῦ λόγου καὶ μέγα ὡς ἐπὶ τὴν ἐς τὸν πόλεμον ἡγού-
μενος Καρχηδόνα προσλαβεῖν, αὐτίκα αὐτὸν ἐπιστεῖλαι τοῖς φίλοις
ἐκέλευεν. ὁ δὲ οὐκ ἐπέστειλε μὲν, οὐ γὰρ ἀσφαλὲς ἡγεῖτό πω Ῥωμαίων τε
πάντα ἐγρηγορουμένων, καὶ τοῦ πολέμου μὲν φανερῶς γεγονότος. καὶ
πολλῶν οἱ διαφερομένων ἐν Καρχηδόνι, καὶ τῆς πόλεως οὐδὲν βέβαιον
οὐδὲ ἀσφαλὲς ἐχούσης· ἀλλὰ μετὰ πολλὰ ἀνέπεμπε τὴν Καρχηδόνα. Ἀρίστωνα
δὲ ἔμπορον Τύριον, ἐπὶ προφάσει τῆς ἐμπορίας ἔπεμπε πρὸς τοὺς φίλους,
ἀξιῶν, ὅταν αὐτὸς ἐς τὴν Ἰταλίαν ἐμβάλλῃ, τότε κἀκεῖνοι τὴν Καρχηδόνα
ἐς ἀπόστασιν ἐκ τῶν ἐπισυνθεσθέντων ἐγείρειν. Καὶ ὁ μὲν Ἀρίστων, οὕτως ἔπραξε.
οἱ δὲ τοῦ Ἀννίβου ἐχθροὶ αἰσθόμενοι τῆς Ἀρίστωνος ἐπιδημίας, ἐθορύβουν,
ὡς ἐπὶ νεωτέροις ἔργοις, καὶ τὸν Ἀρίστωνα ἐξῄτουν ἐπὶ ἰόντα. ὁ δὲ, ἵνα
τὴν διαβολὴν μὴ ἐξεργάσαιτο ἔχοιεν οἱ Ἀννίβου φίλοι, προύθηκε νύκτωρ
λαθὼν γράμματα πρὸ τοῦ βουλευτηρίου, ὅτι παρὰ τοῦ Ἀννίβας τοὺς βουλευτὰς
παρακαλεῖ, τὸ κοινῇ συνδράσαι μετ' Ἀντιόχου. καὶ τοῦτο πράξας, ἀπέ-
πλευσεν. ἅμα δ' ἡμέρᾳ, τὸ μὲν δέος ἐξήρητο τῶν Ἀννίβου φίλων, ἐκ τῆς Ἀρί-
στωνος ἐπινοίας, ὡς πρὸς ἅπαντας τὴν γραφὴν ἀπεσταλμένου. ἡ δὲ πόλις
ἐπεπλήρωτο θορύβου ποικίλου. δεομένων μὲν ἐχούσης Ῥωμαίοις· λήσεσθαι
δοῦ προσδοκῶντες. καὶ τὰ μὲν Καρχηδονίων ὧδε εἶχε· Ῥωμαῖοι δὲ πρέσβεις
ἑτέρους τε καὶ Σκιπίωνα τὸν Καρχηδόνι ἀφηγησάμενον τὴν ἡγεμονίαν ἐς
ὁμοίαν πεμφθέντα Ἀντιόχου τῆς γνώμης ἀποπειρᾶν καὶ τῆς παρα-
σκευῆς κατασκέψιν, ἐπὶ τὸν βασιλέα διοιχόμενον ἐς Πισίδας,

ἐν ἐφέσῳ περιέμενον· ἔνθα συνιόντες θαμινὰ ἐς λόγους τῷ
ἀννίβα· καρχηδόνος τε σφίσιν ἔτι οὔσης ἐνσπόνδου· καὶ οὔπω
φανερῶς ἀντιόχου πολεμοῦντος, καταμεμφόμενοι τὸν ἀννίβαν ὅτι τὴν
πατρίδα φύγοι, ῥωμαίων οὐδὲν οὔτε ἐς αὐτὸν, οὔτε ἐς τοὺς ἄλλους καρ-
χηδονίους, ἐπὶ ταῖς συνθήκαις ἁμαρτόντων· ἔπρασσον δὲ ταῦθ' ὕποπτον
ἐργαζόμενοι γενέσθαι τῷ βασιλεῖ τὸν ἀννίβαν, ἐκ τῆς συνεχοῦς
σφῶν ὁμιλίας τε καὶ συνόδου· τοῦθ' ὁ μὲν στρατηγικώτατος ἀννίβας
οὐ προενόησεν· ὁ δὲ βασιλεὺς πυθόμενος ὑπώπτευσε· καὶ ἀμβλύτερον
προσεῖχεν ἀπὸ τοῦδε ἐπίστευε τῷ ἀννίβᾳ· καὶ γάρ τι καὶ ζήλου
προϋπῆν ἐς αὐτὸν ἤδη φθόνου· μὴ τῶν γιγνομένων τὸν ἔπαινον
ἀννίβας ἀποφέροιτο· λέγεται δ' ἐν ταῖς δὲ ταῖς διατριβαῖς ἐν τῷ γυ-
μνασίῳ λεσχηνεῦσαί ποτε πρὸς ἀλλήλους, σκιπίωνα καὶ ἀννίβαν περὶ
στρατηγίας, πολλῶν ἐφεστώτων· καὶ τοῦ σκιπίωνος ἐρομένου τίς δοκοίη
στρατηγὸς ἄριστος γενέσθαι, τὸν ἀννίβαν εἰπεῖν· ὁ μακεδὼν ἀλέξανδρος·
σκιπίωνα δὲ σιγῆσαι μὲν ἐπὶ τῷδε εἴξαντα δῆθεν ἀλεξάνδρῳ· ἐπανε-
ρέσθαι δὲ τίς εἴη δεύτερος μετὰ ἀλέξανδρον· καὶ τὸν φάναι πύρρος ὁ ἠ-
πειρώτης, τὴν ἀρετὴν ἄρα τὴν στρατηγικὴν ἐν τόλμῃ τιθέμενον· οὐ
γάρ ἐστιν εὑρεῖν μεγαλοτολμοτέρους τῶνδε τῶν βασιλέων· δακνόμενον
δ' ἤδη τὸν σκιπίωνα, ὅμως ἐπανέρεσθαι τίνι δοίη τὰ τρίτα· πάντως
γοῦν ἐλπίζοντα ἕξειν τὰ τρίτα· τὸν δὲ, ἐμαυτὸν φάναι· νέος γὰρ ὢν
ἔτι, ἰβηρίας τε ἐκράτησα, καὶ στρατῷ τὰς ἄλπεις μετὰ ἡρακλέα
πρῶτος ὑπερῆλθον· ἔς τε τὴν ἰταλίαν, ὑμῶν οὐδενὸς ἐπιθαρροῦντος
ἐμβαλὼν, τετρακόσια ἀνέστησα ἄστη· καὶ περὶ τῆς πόλεως τὸν ἀγῶνα
πολλάκις ὑμῖν ἐνέστησα· οὔτε μοι χρημάτων οὔτε στρατιᾶς ἐπιπεμ-
πομένης ἐκ καρχηδόνος· ὡς δὲ αὐτὸν ὁ σκιπίων εἶδεν ἀπομηκύ-
νοντα τὴν σεμνολογίαν, ὑπεργελάσας· ποῦ δ' ἂν ἑαυτὸν ἔταττες
ὦ ἀννίβα, μὴ νενικημένος ὑπ' ἐμοῦ· τὸν δέ φασιν αἰσθανόμενον
ἤδη τῆς ζηλοτυπίας, εἰπεῖν· ὅτι ἔγωγε τάξαιμ' ἂν ἐμαυτὸν πρὸ ἀλεξάνδρου·
οὕτω μὲν ὁ ἀννίβας ἐπέμεινε τῇ σεμνολογίᾳ· καὶ τὸν σκιπίωνα
λαθὼν ἐθεράπευσεν, ὡς καθελόντα τὸν ἀμείνονα ἀλεξάνδρου· δια-
λυομένης δὲ τῆς συνόδου, σκιπίωνα μὲν ὁ ἀννίβας ἐπὶ ξενίαν
ἐκάλει· σκιπίων δὲ, ἐλθεῖν ἂν ἔφη μάλα προθύμως, εἰ μὴ συνῆσθα

νῦν ἀντιόχῳ, πρὸς ῥωμαίους ὑπόπτως ἔχοντι· ὧδε μὲν
ἐκεῖνοι τῆς στρατηγίας ἀξίως τὴν ἔχθραν ἀνέζον τοῖς πο-
λεμίοις· φλαμίνιος δ' οὐχ ὁμοίως· ἡττηθέντος γὰρ ὕστερον
ἀντιόχου, φεύγοντα τὸν ἀννίβαν, καὶ ἀλώμενον περὶ βιθυνίαν,
πρεσβεύων ἐφ' ἕτερα πρὸς προυσίαν, οὔτε τι πρὸς τοῦ ἀννίβου
προπαθὼν, οὔτε ῥωμαίων ἐντειλαμένων, οὔτε φοβερὸν ἔτι αὐτοῖς
γενέσθαι δυνάμενον καρχηδόνος κατεστραμμένης, ἔκτεινε διὰ τοῦ
προυσίου φαρμάκῳ· λεγόμενον μὲν ἐσχηκέναι ποτὲ χρησμὸν
ὧδε ἔχοντα· λίβυσσα κρύψει βῶλος ἀννίβου δέμας· οἰόμενον
ἐν λιβύῃ τεθνήξεσθαι· ποταμὸς δ' ἐστὶ λίβυσσος ἐν τῇ βιθυνίᾳ·
καὶ πεδίον ἐκ τοῦ ποταμοῦ λίβυσσα· καὶ τάδε μὲν ἐς ὑπόμνη-
μα τῆς ἀννίβου καὶ σκιπίωνος μεγαλονοίας, καὶ φλαμινίου
σμικρότητος παρεθέμην· ὁ δ' ἀντίοχος ἐκ πισιδῶν ἐς τὴν ἔφεσον
ἐπανήει· καὶ χρηματίσας τοῖς ῥωμαίοις πρέσβεσι, ῥοδίους μὲν καὶ
βυζαντίους καὶ κυζικηνοὺς καὶ ὅσοι ἄλλοι περὶ τὴν ἀσίαν ἕλληνες ἦσαν,
αὐτονόμους ἐπηγγείλατο ἐάσειν, εἰ γίγνοιτο αὐτῷ συνθήκη πρὸς
ῥωμαίους, αἰολέας δὲ καὶ ἴωνας οὐ συνεχώρει, ὡς ἐκ πολλοῦ καὶ τοῖς
βαρβάροις βασιλεῦσι τῆς ἀσίας ἠθισμένους ὑπακούειν· οἱ μὲν
δὴ ῥωμαίων πρέσβεις, οὐδὲν αὐτῷ συμβαίνοντες· οὐ γὰρ ἐπὶ τὸ
συμβάσεως ἐληλύθεσαν, ἀλλ' ἀποπειρῶν ᾤχοντο ἐς ῥώμην· ἦκε
δ' ὁμοῦ καὶ αἰτωλῶν πρέσβεις· ὧν θόας ἦρχεν, αὐτοκράτορα στρατη-
γὸν αἰτωλῶν ἀντίοχον ἀποφαίνοντες, καὶ διαβῆναι ἐς τὴν ἑλλάδα
ἤδη παρακαλοῦντες, ὡς ἐπὶ ἔργον ἕτοιμον· οὐδὲ ἀναμένειν
τὴν στρατιὰν ἀπὸ τῆς ἀσίας τῆς ἄνω κατιοῦσαν· ἀλλὰ τά τε αἰτωλῶν
ὑπεραίροντες· καὶ λακεδαιμονίων ἐπαγγελλόμενοι σφίσι καὶ φί-
λιππον ἐπὶ τοῖς λακεδαιμονίοις τὸν μακεδόνα ῥωμαίοις μηνίοντα
συμμαχήσειν, ἐπέσπερχον ἐς τὴν διάβασιν· ὁ δ' ἠρεθίζετο μάλα κούφως·
καὶ οὐδὲ τοῦ παιδὸς αὐτῷ προσαγγελθέντος ἐν συρίᾳ τεθνάναι, τῆς ὁρ-
μῆς τι ἐνέδωκε, διέπλει μετὰ μυρίων τότε ἐν ἀρχῇ χειμῶνος, ἐς εὔβοιαν·
καὶ τὴνδε μὲν αὐτὸς παρεστήσατο ἅπασαν, ἐνδοῦσαν ὑπὸ ἐκπλήξεως·
μένιππος δὲ αὐτοῦ στρατηγὸς, τοῖς περὶ δήλιον ῥωμαίοις ἐπιπεσὼν,
ἱερὸν δ' ἐστὶ τὸ χωρίον ἀπόλλωνος, τοὺς μὲν αὐτῶν ἔκτεινε· τοὺς δὲ ζῶ-

γρηστ· Ἀμύνανδρός τε ὁ Ἀθαμάνων βασιλεύς, ἐς συμμαχίαν Ἀντιόχῳ συνῆλθε, διὰ τοιᾶσδε προφάσεως· τῶν τις Μακεδόνων Ἀλέξανδρος, ἐν Μεγάλῃ πόλει τραφεὶς καὶ τῆς αὐτόθι πολιτείας ἐξωθείς, ἐτερατεύετο γένος Ἀλεξάνδρῳ τῷ Φιλίππου προσήκειν· γενομένους τε οἱ παῖδας ὠνόμασεν ἐπισείων ἐλπίσι, Φίλιππόν τε καὶ Ἀλέξανδρον καὶ Ἀπάμαν· ἣν Ἀμυνάνδρῳ πρὸς γάμον ἐνεγγύησεν. ἀγομένης δ' αὐτῆς Φίλιππος ὁ ἀδελφὸς ἐς τὸν γάμον, ἐπεὶ τὸν Ἀμύνανδρον ἑώρα ἀσθενῆ καὶ πραγμάτων ἄπειρον, παρέμενε τὴν ἀρχὴν διὰ τὸ κῆδος διοικῶν. τοῦτον οὖν τὸν Φίλιππον ὁ Ἀντίοχος τότε ἐπελπίζων ἐς τὴν Μακεδόνων ἀρχὴν ὡς οἰκεῖον κατάξειν, προσελάβετο τὴν Ἀθαμάνων ἐς τὴν συμμαχίαν. ἐπὶ δ' αὐτοῖς καὶ Θηβαίους, αὐτὸς ἐς Θήβας παρελθών τε καὶ δημηγορήσας. ὁ μὲν δὴ Θηβαίοις τε καὶ Ἀμυνάνδρῳ καὶ Αἰτωλοῖς ἐπὶ τοσῷδε πολέμῳ μάλα ματαίως ἐθάρρει· καὶ ἐς Θεσσαλίαν ἐσκόπει, πότερον ἤδη ἢ μετὰ χειμῶνα δέοι στρατεύειν. Ἀννίβαν δὲ ἐπὶ τῇ σκέψει τῇδε ἡσυχάζοντα, ἐκέλευε γνώμην πρῶτον ἐσενεγκεῖν. ὁ δ' ἔφη· Θεσσαλοὺς μὲν οὐ δυσχερὲς ἤ τε νῦν ἤ τε μετὰ χειμῶνα ἐθέλοις ὑπάγεσθαι· τὸ γὰρ ἔθνος ἐκ πολλοῦ πεπονηκός, ἔς τε σὲ νῦν καὶ ἐς Ῥωμαίους ὅτι γίγνοιτο νεώτερον, μεταβαλεῖ. ἤλθομεν δ' ἄνευ τῆς οἰκείας δυνάμεως, Αἰτωλοῖς ἐπαγγελίαις πεισθέντες, ὅτι καὶ Λακεδαιμόνιοι καὶ Φίλιππος ἡμῖν συμμαχήσουσιν· ὧν Λακεδαιμονίοις μὲν καὶ πολεμεῖν ἡμέρας ἀκούω μετὰ Ἀχαιῶν· Φίλιππον δὲ οὐχ ὁρῶ συμπαρόντα, δύναται γὰρ ἐν τῷδε τῷ πολέμῳ ῥοπὴν ὁποτέρωσε προσθοῖτο ποιῆσαι· τῆς δὲ γνώμης ἔχομαι τῆς αὐτῆς· τὴν στρατιὰν ἀπὸ τῆς Ἀσίας καλεῖν ὅτι τάχιστα· καὶ Ἀμυνάνδρῳ καὶ Αἰτωλοῖς τὰς [illegible] ἔχειν, [illegible] τὴν Ἰταλίαν πορθεῖν. ἵνα τοῖς οἰκείοις κακοῖς περισπώμενοι, τὰ σὰ λυπῶσιν ἥκιστα· καὶ περὶ τῶν σφετέρων δεδιότες, μηδαμοῦ προΐωσιν· ὁ δὲ τρόπος, οὐκέτ' ὅμοιος ἐς πρότερον· ἀλλὰ χρὴ τὸ μὲν ἥμισυ τῶν νεῶν τὰ παράλια τῆς Ἰταλίας πορθεῖν. τὸ δὲ ἥμισυ ναυλοχεῖν ἐφεδρεῦον ἐς τὰ συμφερόμενα· αὐτὸν δέ σε τῷ πεζῷ παντὶ προκαθήμενον τῆς Ἑλλάδος ἄγχου τῆς Ἰταλίας, δόξαν ἀεὶ ποιεῖν ἐσβολῆς· καὶ ἢν δυνηθῇς, ὁπότε καὶ ἐσβαλεῖν· Φίλιππον δὲ πειρᾶσθαι μὲν προσάγεσθαι μηχανῇ πάσῃ, πλεῖστον ἐς ἑκάτερον ἂν τῷδε τῷ πολέμῳ δυνάμενον. ἢν δὲ ἀπειθῇ, τὸν υἱὸν αὐτῷ Σέλευκον ἐπιπέμπειν διὰ Θρᾴκης· ἵνα καὶ ὅδε περισπώμενος οἰκείοις κακοῖς, μηδὲν ᾖ τοῖς πολεμίοις χρήσιμος. τοσάδε μὲν

ὁ Ἀννίβας εἶπε· καὶ ἦν ἄριστος πάντων. ὑπὸ δὲ φθόνου τῆς τε δόξης αὐτοῦ καὶ συνέσεως, οἵ τε ἄλλοι καὶ αὐτὸς οὐχ ἧσσον ὁ βασιλεύς, ἵνα μὴ δοκοίη σφᾶς ὁ Ἀννίβας τῆς στρατηγίας περιφρονεῖν, μηδὲ ἡ δόξα τῶν ἐσομένων ἐκείνου γένοιτο, μεθῆκαν ἅπαντα· πλὴν ὅτι Πολυξενίδας ἐπὶ στρατιὰν ἐς τὴν Ἀσίαν ἐπέμφθη. Ῥωμαῖοι δὲ περὶ τῆς ἐμβολῆς τῆς ἐς τὴν Ἑλλάδα Ἀντιόχου, καὶ τῶν ἐπὶ Δήλῳ Ῥωμαίων ἀναιρέσεώς τε καὶ αἰχμαλωσίας ἐπύθοντο, πολεμεῖν ἐψηφίσαντο. οὕτω μὲν ὁ Ἀντιόχου τε καὶ Ῥωμαίων πόλεμος, ἐκ πολλοῦ δι' ὑπονοίας ἀλλήλοις γενόμενος, τότε πρῶτον ἀπερρήγνυτο ἐς ἔργον. οἷα δ' Ἀντιόχου τῆς τε Ἀσίας τῆς ἄνω πολλῶν τε μεγάλων ἐθνῶν καὶ τῆς ἐπὶ θαλάσσῃ, χωρὶς ὀλίγων, ὅλης ἐπικρατοῦντος, ἔν τε τῇ Εὐρώπῃ ἤδη βεβηκότος ἤδη, καὶ δόξαν ἐπίφοβον καὶ παρασκευὴν ἱκανὴν ἔχοντος, πολλά τε ἄλλα καθ' ἑτέρων ἐξειργασμένου λαμπρά, δι' ἃ καὶ Μέγας ἦν ἐπώνυμον αὐτῷ, τὸν πόλεμον οἱ Ῥωμαῖοι χρόνιον σφίσι καὶ μέγαν ἔσεσθαι προσεδόκων. Φίλιππόν τε τὸν Μακεδόνα δι' ὑποψίας εἶχον, ἄρτι ὑπὸ σφῶν καταπεπολεμημένον· καὶ Καρχηδονίους μὴ οὐ πιστοὶ σφίσιν ὦσιν ἐπὶ ταῖς συνθήκαις, Ἀννίβου συνόντος Ἀντιόχῳ, τούς τε ἄλλους σφῶν ὑπηκόους ὑπονοοῦντες, μή τι πρὸς τὸ νεώτερον ἐς τὴν Ἀντιόχου δόξαν γένοιτο, στρατιὰν ἐφ' ἅπαντας ἐφεδρεύειν εἰρηνικῶς αὐτοῖς· καὶ στρατηγοὺς ἐπὶ τῇ στρατιᾷ περιέπεμπον, οὓς αὐτοὶ καλοῦσιν ἑξαπελέκεας· ὅτι τῶν ὑπάτων δώδεκα πελέκεσι καὶ δώδεκα ῥάβδοις ὥσπερ οἱ πάλαι βασιλεῖς χρωμένων, τὸ ἥμισυ τῆς ἀξιώσεως ἔστι τοῖσδε τοῖς στρατηγοῖς. καὶ τὰ ἡμίσεα παράσημα. ὥσπερ δὴ ἐν μεγάλῳ φόβῳ, καὶ περὶ τῆς Ἰταλίας ἐδείμαινον, μὴ οὐδ' αὐτὴ σφίσιν ἢ πιστὴ ἢ βέβαιος ἐπ' Ἀντιόχῳ· πεζὸν δὴ πολὺν ἐς Τάραντα διέπεμπον, ἐφεδρεύειν τοῖς ἐπιοῦσι· καὶ νεῶν στόλος τὴν παράλιον περιέπλει. τοσόσδε φόβος ἦν Ἀντίοχον τὰ πρῶτα. ὡς δὲ αὐτοῖς τὰ περὶ τὴν ἀρχὴν συνέστη τάχιστα πάντα, ἐπὶ τὸν Ἀντίοχον ἤδη κατέλεγον· ἀπὸ μὲν σφῶν αὐτῶν ἐς δισμυρίους ἄνδρας· ἀπὸ δὲ τῶν συμμάχων, τὸ διπλάσιον· ὡς ἅμα τῷ ἦρι τὸν Ἰόνιον διαβαλοῦντες. καὶ οἱ μὲν τὸν χειμῶνα ὅλον ἐν τούτῳ παρασκευῆς ἦσαν. ὁ δ' Ἀντίοχος ἤλαυνεν ἐπὶ Θεσσαλούς· καὶ γενόμενος ἐν Κυνὸς κεφαλαῖς, ἔνθα τὸ πταῖσμα τοῖς Μακεδόσιν ὑπὸ Ῥωμαίων γεγένητο, τὰ λείψανα τῶν τότε πεσόντων ἄταφα ἔτι ὄντα ἀθροίσας, μεγαλοπρεπῶς ἔθαψε, δημοκοπῶν ἐς Μακεδόνας καὶ Φίλιππον διαβάλλων, οὐ θάψαντα τοὺς ὑπὲρ αὐτοῦ πεσόντας. ὧν πυθόμενος ὁ Φίλιππος,

ἐνδιάζων ἔτι καὶ περισκοπῶν ὁποτέρωσε προσθοῖτο, αὐτίκα εἵλετο τὰ Ῥωμαίων· Βαίβιον τὸν στρατηγὸν αὐτῶν, ἔχοντά τινος πλησίον στρατοῦ, κελεύσας ᾗ ἤθελεν ἐντυχεῖν, πίστεις αὖθις ἐδίδου Ῥωμαίοις ἀδόλως συμμαχήσειν κατὰ Ἀντιόχου. φοῖς αὐτὸν ὁ Βαίβιος ἐπῄνει· καὶ θαρρήσας, αὐτίκα ἔπεμπε διὰ τῆς Μακεδονίας Ἄππιον Κλαύδιον μετὰ δισχιλίων πεζῶν ἐς Θεσσαλίαν. καὶ ὁ Ἄππιος ἀπὸ τῶν Τεμπῶν, τὸν Ἀντίοχον καὶ περικαθήμενον ἰδών, πῦρ πολὺ ἐγείρας, ἐπικρύπτων τὴν ὀλιγότητα· καὶ ὁ Ἀντίοχος ὡς Βαίβιον καὶ Φίλιππον παρόντας διαταραχθείς, ἐξέλιπε τὴν πολιορκίαν· πρόφασιν τὸν χειμῶνα ποιούμενος. καὶ ἐς Χαλκίδα παρῆλθεν, ἔνθα κόρης διαπρεποῦς ἔρωτι ἁλούς, ὑπὲρ ἔτη πεντήκοντα γεγονώς, καὶ τοσόνδε πόλεμον διαφέρων, ἔθυε γάμους καὶ πανηγύρεις ἦγε· καὶ τὴν δύναμιν ἐς πᾶσαν ἀργίαν καὶ τρυφὴν ἐπὶ τὸν χειμῶνα ὅλον ἀνῆκεν. ἀρχομένου δὲ ἦρος, ἐμβαλὼν ἐς Ἀκαρνανίαν, ᾔσθετο μὲν τῆς ἀργίας τοῦ στρατοῦ δυσέργου πρὸς ἅπαντα ὄντος· καὶ τῶν γάμων αὐτῷ καὶ τῆς πανηγύρεως μετεμέλησεν. ὑπαγόμενος δ' ὅμως τινὰ τῆς Ἀκαρνανίας, καὶ τὰ λοιπὰ πολιορκῶν, ἐπεὶ τάχιστα Ῥωμαίους ἐπύθετο περᾶν τὸν Ἰόνιον, ἐς Χαλκίδα ἀνεζεύγνυ. Ῥωμαῖοι δ' ὑπὸ σπουδῆς τῆς τότε, ἑτοίμοις ἱππεῦσι δισχιλίοις καὶ πεζοῖς δισμυρίοις καὶ ἐλέφασί τισιν, ἡγουμένου σφῶν Ἀκιλίου Μανίου Γλαβρίωνος, ἐς Ἀπολλωνίαν ἐκ Βρεντεσίου διαβαλόντες, ἐς Θεσσαλίαν ἐβάδιζον· καὶ τὰς πόλεις ἐξέλυον τῶν πολιορκιῶν. ἐν ὅσαις δ' ἦσαν Ἀντιόχου φρουραί, τὰς φρουρὰς ἐξέβαλλον· καὶ τὸν Μεγαλοπολίτην Φίλιππον αἰχμάλωτον ἔλαβον, ἐλπίζοντα ἔτι τὴν Μακεδόνων ἀρχήν. ἧλον δὲ καὶ τῶν Ἀντιόχου ἐς τρισχιλίους. ἅμα δὲ ταῦθ' ὁ Μάνιος εἰργάζετο· καὶ ὁ Φίλιππος ἐς Ἀθαμανίαν ἐμβαλών, πᾶσαν αὐτὴν ὑπήκοον ἔλαβεν, Ἀμυνάνδρου φυγόντος ἐς Ἀμβρακίαν. ὧν Ἀντίοχος αἰσθανόμενός τε καὶ τὴν ὀξύτητα τῶν γιγνομένων καταπλαγείς, ἔδεισεν, ὡς ἐπὶ αἰφνιδίῳ καὶ ταχείᾳ μεταβολῇ· καὶ τῆς συμβουλῆς Ἀννίβου τότε ᾔσθετο. ἐς τε τὴν Ἀσίαν ἄλλους ἐπ' ἄλλοις ἔπεμπε, ἐπισπέρχων Πολυξενίδαν ἐς τὴν διάβασιν. αὐτὸς δ' ὅσους εἶχε πανταχόθεν συνεκάλει. γενομένων δ' αὐτῷ τῶν μὲν οἰκείων πεζῶν μυρίων καὶ ἱππέων πεντακοσίων, ἐπεὶ δὲ καὶ τούτοις διά τινων συμμάχων Θερμοπύλας κατέλαβε· ὥστε τὴν δυσχωρίαν προβαλλόμενος τοῖς πολεμίοις. καὶ τὸν στρατὸν ἐκ τῆς Ἀσίας

ἀναμένων. ἡ δ' ὁδός ἐστιν αἱ Θερμοπύλαι, στενὴ καὶ ἐπιμήκης· καὶ αὐτὴν περιέχει, τῇ μὲν θάλασσα τραχεῖα καὶ ἀλίμενος· τῇ δέ, ἕλος ἄβατόν τε καὶ βαραθρῶδες. κορυφαί τε φασὶν ἐν αὐτῇ δύο ὀρῶν ἀπόκρημνοι· καὶ τούτων τὴν μέν, Τειχιοῦντα καλοῦσι· τὴν δέ, Καλλίδρομον. ἔχει δὲ ὁ τόπος θερμῶν ὑδάτων πηγάς· καὶ Θερμοπύλαι ἀπὸ τοῦδε ἐπικαλοῦνται. τεῖχος οὖν ἐνταῦθα διπλοῦν ὁ Ἀντίοχος ᾠκοδομήσατο· καὶ τὰς μηχανὰς ἐπὶ τὸ τεῖχος ἐπέθηκε· ἔς τε τὰς κορυφὰς τῶν ὀρῶν, Αἰτωλοὺς ἀνέπεμψε, μή τις λάθοι κατὰ τὴν λεγομένην ἀτραπὸν περιελθών, ᾗ δὴ καὶ Λακεδαιμονίοις τοῖς ἀμφὶ Λεωνίδαν, Ξέρξης ἐπέθετο· ἀφυλάκτων τότε τῶν ὀρῶν ὄντων. Αἰτωλοὶ δέ, χιλίους μὲν ἑκατέρῳ τῶν δὲ τῶν ἄκρων ἐπέστησαν· τοῖς δὲ λοιποῖς ἐστρατοπέδευον ἐφ' ἑαυτῶν περὶ πόλιν Ἡράκλειαν. ὁ δὲ Μάνιος ἐπεὶ κατεῖδε τὴν τῶν πολεμίων παρασκευήν, σημεῖον ἔδωκεν ἐς ἕω μάχης· καὶ δύο τῶν χιλιάρχων, Μάρκον Κάτωνα καὶ Λεύκιον Οὐαλέριον ἐκέλευσεν ἐκ νυκτὸς ἐπιλεξαμένους ἑκάτερον ὅσους ἐθέλοι, τὰ ὄρη περιελθεῖν· καὶ τοὺς Αἰτωλοὺς ἀπὸ τῶν ἄκρων ὅπῃ δύναιντο βιάσασθαι. τούτων ὁ μὲν Λεύκιος ἀπεκρούσθη τοῦ Τειχιοῦντος, ἀγαθῶν ἐνταῦθα τῶν Αἰτωλῶν γενομένων· ὁ δὲ Κάτων τῷ Καλλιδρόμῳ περιστρατοπεδεύσας, κοιμωμένοις ἔτι τοῖς ἐχθροῖς ἐπέπεσε περὶ ἐσχάτην φυλακήν· καὶ πολὺς ἀμφ' αὐτὸν ἐγίγνετο ἀγὼν βιαζόμενον ἐς ὑψηλὰ καὶ ἀπόκρημνα, κωλυόντων τῶν πολεμίων. ἤδη δὲ καὶ Μάνιος ἐπῆγε τὴν στρατιάν, Ἀντιόχῳ κατὰ μέτωπον ἐν λόχοις ὀρθίοις διῃρημένην· ὧδε γὰρ μόνως ἐν στενοῖς ἐδύνατο. καὶ ὁ βασιλεὺς τοὺς μὲν ψιλοὺς καὶ πελταστὰς προμάχεσθαι τῆς φάλαγγος ἐκέλευσε· αὐτὴν δὲ ἔστησε πρὸ τοῦ στρατοπέδου· ἐπὶ δεξιᾷ δ' αὐτῆς τοὺς σφενδονήτας· καὶ τοξότας ἐπὶ τῶν ὑπωρειῶν· τοὺς δὲ ἐλέφαντας ἐν ἀριστερᾷ· καὶ τὸ στῖφος ὃ μετ' αὐτῶν αἰεὶ συνετάσσετο, παρὰ τὴν θάλασσαν. γενομένης δὲ ἐν χερσὶ τῆς μάχης, τὰ μὲν πρῶτα τὸν Μάνιον οἱ ψιλοὶ πανταχόθεν ἐπιτρέχοντες ἐλύπουν· ἐπεὶ δὲ αὐτοὺς φιλοπόνως δεχόμενός τε καὶ ἀναχωρῶν καὶ αὖθις ἐπιὼν ἐτρέψατο, τοὺς μὲν ψιλοὺς ἡ φάλαγξ ἡ τῶν Μακεδόνων διαστᾶσα, ἐς αὐτὴν ἐδέξατο· καὶ συνελθοῦσα ἐκάλυπτε· καὶ τὰς σαρίσας ἐν τάξει πυκνὰς προυβάλλοντο· ᾧ δὴ μάλιστα οἱ Μακεδόνες ἐξ Ἀλεξάνδρου καὶ Φιλίππου κατεπλήσσοντο τοὺς πολεμίους. ἀντίοις

δόρασι πολλοῖς ἢ μακροῖς· οὐ τολμῶν περιάξειν· αἰφνιδίου δὲ
ὤφθη τῶν Αἰτωλῶν ἐκ τοῦ Καλλιδρόμου φυγὴ καὶ βοή· καταθεο-
μένων ἐς τὸ Ἀντιόχου στρατόπεδον· τὸ μὲν δὴ πρῶτον ἑκατέροις
ἄγνοια τοῦ γιγνομένου· καὶ θόρυβος ἦν ὥσπερ ἐν ἀγνοίᾳ· ὡς δὲ ὁ Κάτων
ἐπεφαίνετο διώκων αὐτοὺς μετὰ πολλῆς βοῆς, καὶ ὑπὲρ τὸ στρατό-
πεδον ἐγίγνετο ἤδη τὸ Ἀντιόχου, ἔδεισαν οἱ τοῦ βασιλέως πάλαι τε τῆς
Ῥωμαίων μάχης ἐπιφόβως ἐκ πολλοῦ πεπυσμένοι· καὶ σφᾶς ἤδη
ὑπὸ ἀργίας καὶ τρυφῆς δι' ὅλου τοῦ χειμῶνος ἐν διατριβῇ διεφθαρ-
μένων· τούς τε Αἰτωλοὺς οὐ σαφῶς μὲν οὐ καθορῶντες ὁπόσοι
τινὲς ἦσαν· ὑπὸ δὲ τοῦ φόβου πλείονας νομίζοντες εἶναι, καὶ περὶ τῷ στρατο-
πέδῳ δείσαντες, ἀκόσμως ἐς αὐτὸ κατέφευγον, ὡς ἀπ' αὐτοῦ τοὺς πο-
λεμίους ἀμυνούμενοι· Ῥωμαῖοι δὲ αὐτοῖς ἐπιθέοντες, συνεσέπεσον ἐς
τὸ στρατόπεδον· καὶ ἦν ἄλληκτος φυγὴ τῶν Ἀντιόχου ἄκοσμος· ὁ δὲ Μάνιος
μέχρι μὲν ἐπὶ Σκάρφειαν ἐδίωκεν αὐτούς, κτείνων τε καὶ ζωγρῶν· ἀπὸ
δὲ τῆς Σκαρφείας ἐπανιών, διήρπαζε τὸ στρατόπεδον τοῦ βασιλέως·
καὶ τοὺς Αἰτωλοὺς ἐπιδραμόντας τῷ Ῥωμαίων χάρακι παρὰ τὴν ἀπουσίαν
αὐτῶν, ἐξήλασεν ἐπιφανείς· ἀπέθανον δὲ ἐν τῇ μάχῃ καὶ τῇ διώξει,
Ῥωμαίων μὲν ἀμφὶ τοὺς διακοσίους· Ἀντιόχου δὲ σὺν τοῖς ληφθεῖσιν,
ἀμφὶ τοὺς μυρίους· αὐτὸς δὲ ὁ βασιλεύς, ἀπὸ μὲν τῆς πρώτης τροπῆς
μετὰ πεντακοσίων ἱππέων ἐς Ἐλάτειαν ἀμεταστρεπτὶ διέδραμεν· ἀπὸ δὲ
Ἐλατείας, ἐς Χαλκίδα καὶ ἐς Ἔφεσον· μετὰ Εὐβοίας τῆς νεογάμου· τοῦτο
γὰρ αὐτὴν ὠνόμαζεν, ἐπὶ τῶν νεῶν ἔφευγεν· οὐδὲ τούτων ἁπασῶν· ἀφορ-
μούσας γάρ τινας αὐτῶν διαφθείρας, ὁ Ῥωμαίων ναύαρχος ἐπαναχθείς, διέφθειρε·
οἱ δὲ ἐν ἄστει Ῥωμαῖοι τῆς νίκης πυθόμενοι, ταχείας τε οὕτω καὶ ἀχρόνου
σφίσι φανείσης, ἔθυον· ἐκ φοβερᾶς τῆς Ἀντιόχου δόξης τὴν πρώτην πεῖ-
ραν ἀπωσάμενοι· Φίλιππόν τε τῆς συμμαχίας ἀμειβόμενοι, ἀπέλυον αὐτοῦ
Δημήτριον, ὅμηρον ὄντα ἔτι παρὰ σφίσιν, ἔπεμψαν· καὶ τάδε μὲν ἦν
ἐν ἄστει· Μάνιος δὲ Φωκέας μὲν καὶ Χαλκιδέας καὶ ὅσοι ἄλλοι τῷ Ἀντιόχῳ
συνεπεπράχεσαν, δεομένους, ἀπέλυσε τοῦ δέους· τὴν δὲ Αἰτωλίαν
αὐτός τε καὶ Φίλιππος ἐπελθόντες, ἐδήουν· καὶ τὰς πόλεις ἐπολιόρκουν· Δαμόκρι-
τόν τε τὸν στρατηγὸν τῶν Αἰτωλῶν, ἐν ταύτῃ ὁ Μάνιος εἷλε κρυπτόμενον·
ὃς Φλαμινίνῳ παρὰ τὸν Τίβεριν ἠπείλει στρατοπεδεύσειν· ὁ μὲν δὴ Μάνιος

ἐπὶ Καλλιπόλεως διώδευε τὸ ὄρος, ὃ καλοῦσι Κόρακα· ὑψηλότατόν τε
ὀρῶν καὶ δύσβατον καὶ ἀπόκρημνον μετὰ στρατοῦ βαρυτάτου τε καὶ
λαφύρων κατάγομον· πολλοί τε ἐξέπιπτον ὑπὸ τῆς δυσβατίας ἐς τὰ
ἀπόκρημνα· καὶ σκεύεσιν αὐτοῖς καὶ ὅπλοις κατεφέροντο· καὶ αὐτούς, δυνη-
θέντας ἂν οἱ Αἰτωλοὶ συνταράξαι, οὐδὲ ὤφθησαν· ἀλλ' ἐς Ῥώμην περὶ
εἰρήνης ἐπρέσβευον· Ἀντίοχος δὲ τὴν στρατιὰν ἀπὸ τῶν ἄνω σατραπειῶν
κατὰ σπουδὴν ἐπὶ θάλασσαν ἐκάλει· καὶ τὰς ναῦς ἐπεσκεύαζε· ναυαρ-
χοῦντος αὐτῷ Πολυξενίδου, Ῥοδίου φυγάδος· ἔν τε Χερρονήσῳ καὶ
διαπλεύσας, πάλιν αὐτὴν ὠχύρου· καὶ Σηστὸν καὶ Ἄβυδον ἐκρατύνετο·
δι' ὧν ἔμελλε τὴν φάλαγγα τῶν Ῥωμαίων ἐς τὴν Ἀσίαν ὁδεύσειν τε καὶ περάσειν·
Λυσιμάχειαν δὲ ταμεῖον τῷδε τῷ πολέμῳ ποιούμενος, ὅπλα καὶ σῖτον
πολὺν ἐς αὐτὴν συνέφερεν· ἡγούμενος αὐτίκα οἱ Ῥωμαίους πεζῷ τε
πολλῷ καὶ ναυσὶν ἐπιθήσεσθαι· οἱ δὲ, Μανίῳ μὲν αἱροῦσι διάδοχον ἐπὶ
τὴν στρατηγίαν, Λεύκιον Σκιπίωνα· ὃς τότε αὐτοῖς ὕπατος ἦν· ἀπράκτῳ
δ' ἔτι καὶ ἀπειροπολέμῳ, σύμβουλον αἱροῦσι τὸν ἀδελφὸν Πόπλιον
Σκιπίωνα τὸν Καρχηδόνι τὴν ἀφῃρημένον τὴν ἡγεμονίαν· καὶ πρῶτον
ὀνομασθέντα Ἀφρικανόν· καὶ οἱ μὲν Σκιπίωνες, ἔτι ἦσαν ἐν παρασκευῇ·
Λίβιος δὲ φύλαξ τῆς Ἰταλίας, ἐπὶ τὴν ναυαρχίαν αἱρεθεὶς Ἀτιλίῳ διάδοχος,
αὐτίκα ταῖς τε ἰδίαις ναυσὶν αἷς τὴν Ἰταλίαν περιέπλει· καὶ παρὰ Καρχηδονίων
αὐτῷ πεμφθείσαις καὶ συμμαχίσιν ἄλλαις, ἐς Πειραιᾶ κατήχθη· καὶ τὸν
ὑπ' Ἀτιλίου στόλον παραλαβών, ἔπλει καταφράκτοις ὀγδοήκοντα· ἑπο-
μένου δ' Εὐμένους πεντήκοντα ἰδίαις· καὶ ἦν κατάφρακτον καὶ τῶνδε
τὸ ἥμισυ· ἔν τε Φωκίδι τῇ Φωκαέων μὲν Ἀντιόχου ὑπὸ δὲ ἐκπλήξεως αὐτοὺς
δεχομένων, κατήγοντο· καὶ τῆς ἐπιούσης ἐς ναυμαχίαν ἀνέπλεον· ἀντανή-
γετο δ' αὐτοῖς ὁ ναύαρχος τοῦ Ἀντιόχου Πολυξενίδας διακοσίαις ναυσί,
κουφοτέραις τῶν πολεμίων παρὰ πολύ· ᾧ δὴ καὶ μάλιστα προὔλαβε τοῦ
πελάγους ἔτι Ῥωμαίων ἀναπειρωμένων. καὶ δύο τῶν Καρχηδονίων ναῦς
ἰδὼν προπλεούσας, τρισὶ τῶν ἰδίων ἐπιπέμψας, εἷλε τὰς δύο κενάς·
ἐξαλομένων τῶν Λιβύων ἐς τὸ πέλαγος· Λίβιος δὲ ἐπὶ τὰς τρεῖς ἐφέρετο
πρῶτος ὑπὸ ὀργῆς τῇ στρατηγίδι νηΐ, πολὺ προέχων τοῦ στόλου· αἱ δὲ
ὡς μιᾷ σὺν καταφρονήσει, χεῖράς τε σιδηρᾶς ἐπέβαλλον· καὶ συνεστηκό-
των σκαφῶν, ὁ ἀγὼν ἦν ὡς πεζῷ· πολὺ δὲ κρείττονες ὄντες οἱ Ῥωμαῖοι

ταῖς δ᾽ εὐτολμίαις, ἐπιβαλόντες τὰς ἀλλοτρίας ἐκράτουν· καὶ μία ναῦς,
δύο ὁμοῦ φέροντες ἐπόνησαν· Καὶ τότε μὲν τῆς ναυμαχίας προαγώ-
νισμα ἦν· ἐπεὶ δὲ οἱ στόλοι συνέπεσον ἀλλήλοις, ἰσχύι μὲν καὶ προθυμί-
ᾳ τῶν Ῥωμαίων ἐπεκράτει· διὰ δὲ βραδυτῆτα τῶν σκαφῶν, τοὺς ἐχθροὺς
οὐκ ἐδύναντο καταλαμβάνειν· κούφαις ναυσὶν ὑποφεύγοντας· ἕως
οἱ μὲν, ἐς τὴν Ἔφεσον ὀξέως κατέφυγον· οἱ δὲ ἐς Χίον ἀπῄεσαν· ἔνθα
αὐτοῖς Ῥοδίων νῆες σύμμαχοι δέ ἦλθον ἑπτὰ καὶ εἴκοσιν. Ἀντίοχος
δὲ περὶ τῆς δὲ τῆς ναυμαχίας πυθόμενος, Ἀννίβαν ἔστειλεν ἐπὶ Συρίας,
εἰς νεῶν ἄλλων ἔκ τε Φοινίκης καὶ Κιλικίας παρασκευήν· Καὶ τὸν δὲ
μὲν ἐπανιόντα, Ῥόδιοι κατέκλεισαν ἐς Παμφυλίαν· καί τινας αὐτοῦ
τῶν νεῶν εἷλον· καὶ τὰς λοιπὰς ἐφεδρεύοντες ἐφύλαττον· Πούπλιος
δὲ Σκηπίων ἀφικόμενος ἐς Αἰτωλίαν μετὰ τοῦ ὑπάτου, καὶ τὸν μὲν
στρατὸν παραλαβὼν, τὰς μὲν ἐν Αἰτωλίᾳ πολιορκίας ὑπερεῖδεν ὡς
μικρὸν ἔργον· καὶ τοῖς Αἰτωλοῖς δεομένοις, ἐπέτρεψεν αὖθις ἐς Ῥώμην
πρεσβεῦσαι περὶ σφῶν· ἐπὶ δὲ τὸν Ἀντίοχον ἠπείγετο πρὶν ἐκβῆναι τῷ
ἀδελφῷ τὴν στρατηγίαν· διὰ δὲ Μακεδόνων ὁδεύων καὶ Θρᾳκῶν ἐπὶ τὸν Ἑλ-
λήσποντον, δυσχερῆ καὶ χαλεπὴν ὁδὸν αὐτῷ γενομένην ἄν, εἰ μὴ Φίλιππος
ὁ Μακεδὼν ὡδοποίει καὶ ὑπεδέχετο· καὶ παρέπεμπε, ἐζευγμένοις τε
ποταμοῖς ἐκ πολλοῦ καὶ ἀγοραῖς ἑτοίμοις· ἐφ᾽ οἷς αὐτὸν οἱ Σκηπίωνες
αὐτίκα τῶν ὑπολοίπων χρημάτων ἀπέλυσαν, ἐπεσταλμένοι τοῦθ᾽
ὑπὸ τῆς βουλῆς, ἂν πρόθυμον εὕροιεν· ἐπέστελλον δὲ καὶ Προυσίαν
τὸν Βιθυνῶν βασιλέα· καταλέγοντες ὅσοις βασιλεῦσι Ῥωμαῖοι συμμαχή-
σασι, τὰς ἀρχὰς ἐπηύξησαν· Φίλιππον δὲ φασὶ τὸν Μακεδόνα καὶ πο-
λέμῳ κρατήσαντες ἄρχειν ἐῶσι· καὶ τὸν παῖδα αὐτῷ τὸν ὅμηρον ἀπηλύ-
σαμεν· καὶ τὸ ἐπίλοιπον ὀφλημάτων χρημάτων· οἷς ὁ Προυσίας ἡσθεὶς, συνέ-
θετο συμμαχήσειν ἐπ᾽ Ἀντίοχον· Λίβιος δὲ ὁ ναύαρχος ἐπὶ τῆς ὁδοιπορίας
τῶν Σκηπιώνων ἐπύθετο, Παυσίμαχον μὲν τὸν Ῥόδιον μετὰ τῶν Ῥοδίων
νεῶν ἐν τῇ Αἰολίδι καταλιπὼν, καὶ μέρος τοῦ ἰδίου στόλου· ταῖς δὲ πλείοσιν
ἐς τὸν Ἑλλήσποντον ἔπλει, τὸν στρατηγὸν ὑποδεξόμενος· καὶ Σηστὸς μὲν
αὐτῷ καὶ Ῥοίτειον καὶ ὁ Ἀχαιῶν λιμὴν καί τινα ἄλλα προσέθετο· Ἄβυδον
δὲ ἀπειθοῦσαν ἐπολιόρκει· Παυσίμαχος δ᾽ οἰχομένου Λιβίου, πείρας
τε πυκνὰς καὶ μελέτας τῶν ἰδίων ἐποιεῖτο· καὶ μηχανὰς ποικίλας συνε-

πήγνυτο· πυρφόρα τε ἀγγεῖα σιδηρᾶ, ἐξῆπτε κοντῶν μακρῶν,
αἰωρεῖσθαι τὸ πῦρ ἐς τὸ πέλαγος· ἵνα τῶν μὲν ἰδίων σκαφῶν πολὺ
πρ[...] τοῖς δὲ πολεμίοις προσιοῦσιν ἐμπίπτοι· καὶ αὐτὸν τάδε
φι[...]λοπονούμενον, Πολυξενίδας ὁ Ἀντιόχου ναύαρχος· Ῥόδι-
ός τε ὢν καὶ ὅδε· καί τισιν αἰτίαις ἐκπεσὼν τῆς πατρίδος, ἐνήδρευε·
ὑπισχνούμενος τὸν Ἀντιόχου στόλον ἐγχειρίσειν, ἂν συνθοῖτο συμπράξειν
ἐς κάθοδον αὐτῷ· ὁ δὲ ὑπώπτευε μὲν ἐπίκλοπον ἄνδρα καὶ πανοῦργον,
καὶ ἐς πολὺ καλῶς ἐφυλάσσετο· γράψαντος δ᾽ αὐτῷ τοῦ Πολυξενίδου
περὶ τῆς προδοσίας ἐπιστολὴν αὐτόγραφον· καὶ ὅτι ἂν τῇ καὶ ἀναζεύ-
ξαντος ἀπὸ τῆς Ἐφέσου τὴν στρατιὰν ὑποκριθέντος ἐς χορτολογίαν
περιέπεμψαν, ὁ Παυσίμαχος τήν τε ἀνάζευξιν ὁρῶν, καὶ οἰηθεὶς
ἄν τινα περὶ προδοσίας ἐπιστολὴν αὐτόγραφον οὐκ ἀληθεύοντα πέμψαι,
παραχρῆμα ἐπιστείσας ἐξέλιπε τὰς φυλακάς· καὶ ἐς ἐπισιτολογίας καὶ αὐτὸς
περιέπεμπε· ὁ δὲ Πολυξενίδας, ἐπεὶ κατεῖδεν αὐτὸν ἐνηδρευμένον ἤδη,
αὐτίκα τὴν παρασκευὴν συνῆγε· καὶ Νίκανδρον τὸν πειρατὴν σὺν ὀλίγοις
ἐς τὴν Σάμον περιέπεμπε κατὰ τὴν γῆν ὄπισθεν τοῦ Παυσιμάχου
θορυβοποιεῖν· ἐκ δὲ μέσων νυκτῶν αὐτὸς ἐπέπλει· καὶ περὶ τὴν ἑωθινὴν
φυλακὴν ἐπέπεσεν ἔτι κοιμωμένῳ· ὁ δὲ ἐν αἰφνιδίῳ κακῷ καὶ ἀδο-
κήτῳ, τοὺς στρατιώτας ἐκέλευε τὰς ναῦς ἐκλιπόντας, ἀπὸ τῆς γῆς
ἀμύνεσθαι τοῖς πολεμίοις· προσπεσόντος δ᾽ ὄπισθεν αὐτῷ τοῦ Νικάνδρου,
νομίσας καὶ τὴν γῆν προειλῆφθαι· οὐχ ὑπὸ τῶν ἑωραμένων μόνων, ἀλλ᾽
ὡς νυκτὶ πολὺ πλειόνων, πάλιν ἐς τὰς ναῦς ἐνέβαινε θορυβούμενος·
πρῶτός τε ἐς μάχην ἀνήγετο καὶ πρῶτος ἔπεσε λαμπρῶς ἀγωνι-
ζόμενος· τῶν δ᾽ ἄλλων, οἱ μὲν ἐλήφθησαν· οἱ δ᾽ ἀπώλλοντο· καὶ τῶν νεῶν
ἑπτὰ μὲν αἱ τὸ πῦρ ἔφερον, οὐδενὸς αὐτῶν διὰ τὴν φλόγα προσιόντος,
ἔφυγον· τὰς δὲ λοιπὰς εἴκοσιν ὁ Πολυξενίδας ἀναδησάμενος, ἐς τὴν
Ἔφεσον κατήχθη· καὶ ἐπὶ τῇδε τῇ νίκῃ, Φώκαια αὖθις καὶ Σάμος
καὶ Κύμη πρὸς Ἀντίοχον μετετίθετο· δείσας δ᾽ ὁ Λίβιος περὶ τῶν σφε-
τέρων νεῶν, ἃς ἐν τῇ Αἰολίδι καταλελοίπει, κατὰ σπουδὴν ἐς αὐτὰς
ἐπανῄει· καὶ Εὐμένης πρὸς αὐτὸν ἠπείγετο· Ῥόδιοί τε Ῥωμαίοις ναῦς
ἑτέρας εἴκοσιν ἔπεμψαν· μικρὸν δὲ διαλιπόντες, ἅπαντες ἀνε-
θάρρησαν, καὶ ἐπὶ τὴν Ἔφεσον ἔπλεον· ὡς ναυμαχίαν ἐσκευασμένοι·

οὐδενὸς δ' αὐτοῖς ἀντεπιπλέοντος, τὸ μὲν ἐν μέσῳ τῶν νεῶν, ἐπὶ δὴ ξένης ἔστησαν ἀνὰ μέσον τῇ θαλάσσῃ μέχρι πολλοῦ· ταῖς δ' ὑπολοίποις ἐς γῆν πολεμίαν καταχθέντες ἐπολιόρκουν· μέχρι [illegible]νίκανδρος αὐτοῖς ἐκ τῆς μεσογαίας ἐπιπεσὼν, τήν τε λείαν ἀφεῖ[illegible]λετο, καὶ ἐς τὰς ναῦς κατεδίωξεν· οἱ μὲν δὴ πάλιν ἐς Σάμον ἀνήγοντο· καὶ ὁ χρόνος ἔληγε Λιβίῳ τῆς ναυαρχίας· τοῦ δ' αὐτοῦ χρόνου Σέλευκος ὁ Ἀντιόχου τὴν Εὐμένους γῆν ἐδῄου· καὶ Πέργαμον περιεκάθητο τοὺς ἄνδρας ἐς τὴν πόλιν κατακλείσας· ὅθεν ὁ Εὐμένης ἐς Ἐλαίαν τὸ τῆς ἀρχῆς ἐπίνειον διέπλει κατὰ σπουδήν· καὶ Λεύκιος Αἰμίλιος Ῥήγιλλος ὁ Λιβίου τὴν ναυαρχίαν παραδεδεγμένος· ἧκον δὲ καὶ παρὰ τῶν Ἀχαιῶν Εὐμένει σύμμαχοι· χίλιοι πεζοὶ καὶ ἱππεῖς ἑκατὸν ἐπίλεκτοι· ὧν Διοφάνης ὁ στρατηγὸς ἀπὸ τοῦ τείχους ἰδὼν τοὺς Σελευκείους παίζοντάς τε καὶ μεθύοντας ἐκ καταφρονήσεως, ἔπειθε τοὺς Περγαμηνοὺς ἑαυτῷ συνεκδραμεῖν ἐπὶ τοὺς πολεμίους· οὐχ ὑφισταμένων δ' ἐκείνων, ὁπλίσας τοὺς ἰδίους χιλίους καὶ τοὺς ἑκατὸν ἱππέας, καὶ προαγαγὼν ὑπὸ τὸ τεῖχος ἔστησεν ἀτρεμεῖν· ὑπερορώντων αὐτοὺς ἐς πολὺ τῶν πολεμίων, ὡς ὀλίγους τε, καὶ οὐ τολμῶντας ἐς χεῖρας ἐλθεῖν· ὁ δ' ἀριστοποιουμένοις ἐπιδραμὼν, ἐθορύβησέ τε, καὶ ἐτρέψατο τοὺς προφύλακας· τῶν δ' ἄλλων ἐπὶ τὰ ὅπλα ἀναπηδώντων καὶ τοὺς ἵππους περιχαλινούντων ἢ φεύγοντας διωκόντων, ἢ δυσχερῶς ἀναβαινόντων οὐκ [illegible], ἐκράτει πάνυ λαμπρῶς· ἐπιβοώντων ἄνωθεν ἀπὸ τοῦ τείχους τῶν Περγαμηνῶν, καὶ οὐδὲ τότε προελθεῖν ὑφισταμένων· κτείνας δ' ὅσους ἐδύνατο ὡς ἂν ἐπὶ [illegible] ταχείᾳ· καί τινας αἰχμαλώτους ἑλὼν ἄνδρας τε καὶ ἵππους, ἐπανῄει κατὰ σπουδήν· καὶ τῆς ἐπιούσης αὖθις ἵστη τοὺς Ἀχαιοὺς ἐπὶ τὸ τεῖχος· οὐδὲ τότε τῶν Περγαμηνῶν αὐτῷ συνεξιόντων· Σέλευκος δ' ἱππεῦσι πολλοῖς αὐτῷ προσεπελάσας ἐπροκαλούμενος· ὁ δὲ τότε μὲν οὐκ ἐπεξῄει, παρ' αὐτὸ τὸ τεῖχος ἑστὼς· ἀλλ' ἐφύλαττε· ἐπεὶ δὲ ὁ Σέλευκος περιμείνας ἐς μεσημβρίαν, καμνόντων ἤδη τῶν ἵππων ἐπέστρεφε καὶ ἐπανῄει, τοῖς τελευταίοις αὐτοῦ ὁ Διοφάνης ἐπιθέμενος καὶ θορυβοποιήσας, ἐκβλάψας ὅ τι καὶ τότε δυνατὸς ἦν, αὖθις ἐπανῄει πάλιν ἐπὶ τὸ τεῖχος· καὶ τόνδε τὸν τρόπον συνεχῶς ἔν τε χορτολογίαις καὶ ξυλίαις ἐνεδρεύων ἀεί τι ἠνώχλει, ἄχρι τε Πέργαμον τὸν Σέλευκον ἀνέστησε· καὶ ἀπὸ τῆς ἄλλης Εὐμένους χώρας ἐξήλασε· Πολυ-

ξενίδα δὲ καὶ Ῥωμαίοις μετὰ τοῦτο γίνεται ναυμαχία περὶ Μυόννησον· ἐν ᾗ Πολυξενίδας μὲν ναυσὶν ἐνενήκοντα καταφράκτοις· ὁ δὲ Λεύκιος ὁ Ῥωμαίων ναύαρχος ὀγδοήκοντα καὶ τρισί· καὶ τούτων ἦσαν ἐκ Ῥόδου πέντε καὶ εἴκοσιν· ὧν ὁ στρατηγὸς Εὔδωρος, ἐτέτακτο μὲν ἐπὶ τοῦ λαιοῦ κέρως· ἰδὼν δὲ ἐπὶ θάτερα Πολυξενίδαν πολὺ προύχοντα Ῥωμαίων, ἔδεισέ τε μὴ κυκλωθεῖεν, καὶ περιπλεύσας ὀξέως ἅτε κούφαις ναυσὶ καὶ ἐρέταις ἐμπείροις θαλάσσης, τὰς ναῦς τὰς πυρφόρους τῷ Πολυξενίδᾳ πρώτας ἐπῆγε λαμπομένας τῷ πυρὶ πάντοθεν· οἱ δὲ ἐμβαλεῖν μὲν αὐταῖς οὐκ ἐτόλμων διὰ τὸ πῦρ· κυκλοῦντες δὲ περιέπλεον, ἀνέκλινόν τε καὶ θαλάσσης ἐνεπίμπλαντο· καὶ ἐς τὰς ἐπωτίδας συνέπλοντο· μέχρι Ῥοδίας νεὼς ἐς Σιδονίαν ἐμβαλούσης, καὶ τῆς πληγῆς δυνατοῦ γενομένης, ἄγκυρα ἐκπεσοῦσα τῆς Σιδωνίας, ἐς τὴν Ῥοδίαν ἐπάγη τε καὶ συνέδησεν ἄμφω πρὸς ἀλλήλας· ὅθεν ἦν ὁ ἀγὼν ἀτρεμούντων τῶν σκαφῶν τοῖς ἐπιβάταις, ὡς πεζομαχία· καὶ προσιόντων ἄλλων ἐς ἐπικουρίαν ἑκατέροις πολλῶν, φιλονεικία τε ἀμφοῖν ἐγίγνετο λαμπρά· καὶ τὸ μέσον τῶν Ἀντιόχου νεῶν ἔρημον ἐκ τοῦδε γενόμενον, αἱ Ῥωμαίων νῆες διέπλεον· καὶ τοὺς πολεμίους ἀγνοοῦντας ἔτι, ἐκύκλουν· ὡς δὲ ἔμαθόν ποτε, ἐγίγνετο φυγὴ καὶ τροπή· καὶ διεφθάρησαν Ἀντιόχου νῆες μιᾶς δέουσαι τριάκοντα· ὧν τρεῖς καὶ δέκα αὐτοῖς ἀνδράσιν ἐλήφθησαν· Ῥωμαίων δὲ ἀπώλοντο μόναι δύο· καὶ ὁ Πολυξενίδας τὴν Ῥοδίαν ναῦν ἐπαγόμενος, ἐς τὴν Ἔφεσον κατήχθη· τοῦτο μὲν δὴ τῇ ναυμαχίᾳ τῇ περὶ τὴν Μυόννησον ἦν τέλος· οὔπω δ' αὐτῆς ὁ Ἀντίοχος αἰσθόμενος, Χερρόνησόν τε καὶ Λυσιμάχειαν ἐπιμελῶς ὠχύρου· μέγα ὡς ἦν τὸ ἔργον ἡγούμενος ἐπὶ Ῥωμαίους· ὅπου γε καὶ τὴν ἄλλην Θρᾴκην διελθεῖν στρατοπέδῳ, δυσόδευτον αὐτοῖς ὂν ἐδόκει καὶ δύσβατον, εἰ μὴ Φίλιππος διαφέροι· ἀλλ' ὁ Ἀντίοχος ὢν καὶ τὰ ἄλλα κουφόνους ἀεί, καὶ ταχὺς ἐς μεταβολήν, ἐπεὶ τῆς ἥσσης ᾔσθετο τῆς περὶ Μυόννησον, δαιμονίως ἐξεπλάγη· καὶ νομίσας αὐτῷ τι δαιμόνιον ἐπιβουλεύειν, παρὰ γὰρ λόγον ἕκαστον χωρεῖν, Ῥωμαίων τῇ θαλάσσῃ κρατούντων, ἐν ᾗ πολὺ προύχειν αὐτὸν ἐνόμιζε, τὸν Ἀννίβαν ἐς Παμφυλίαν κατακεκλεικότων, Φιλίππου δὲ Ῥωμαίοις τὴν παραπέμποντος ἄβατον ὁδόν, ὃν μάλιστα μνησικακήσειν αὐτοῖς ὧν ἔπαθεν ὑπελάμβανεν, ὑπὸ δὴ τῶνδε πάντων ἐκταρασσόμενός τε καὶ θεοῦ

βλάπτοντος ἢ διὰ τοὺς λογισμούς, ὅπερ ἅπασιν ἐπεισιόντων τῶν ἀτυχη-
μάτων ἐπιγίγνεται, Χερρόνησον ἐξέλιπε μεγάλῃ σπουδῇ, πρὶν καὶ
ἐς ὄψιν ἐλθεῖν τοῖς πολεμίοις· οὔτε μετενεγκὼν ὅσος ἦν αὐτῷ σῖ-
τος σεσωρευμένος πολύς, καὶ ὅπλα, καὶ χρήματα, καὶ μηχανάς, οὔτε
ἐμπρήσας, ἀλλ' ὑγιεῖς ἀφορμὰς τοσάσδε τοῖς πολεμίοις καταλιπών·
Λυσιμαχέας τε αὖ τῶν καθάπερ ἐκ πολιορκίας συμφεύγοντας μετ' οἰμωγῆς
ἅμα γυναιξὶ καὶ παιδίοις ὑπερεώρα. μόνου τοῦ διάπλου τοῦ ἐπὶ Ἀ-
βύδῳ ἄρξαι τοῖς πολεμίοις ἐπινοῶν, καὶ τὴν λοιπὴν ἐλπίδα τοῦ
πολέμου πᾶσαν ἐν τούτῳ τιθέμενος· οὐ μὴν οὔτε τὸν διάπλουν ἐφύ-
λαξεν ὑπὸ θεοβλαβείας, ἀλλ' αὐτὸ τὸ μέγιστον ἐπείχθη ἐπανελθεῖν φθάσων
τοὺς πολεμίους, οὐδὲ τὴν φυλακὴν αὐτῷ διάπλῳ κατέλιπεν. οἱ δὲ Σκη-
πίωνες, ἐπεὶ τῆς ἀναχωρήσεως αὐτοῦ ἐπύθοντο, Λυσιμάχειάν τε δρόμῳ
κατέλαβον, καὶ τῶν ἐν Χερρονήσῳ θησαυρῶν τε καὶ ὅπλων κρατήσαντες,
τὸν Ἑλλήσποντον ἐρημοῦντα φυλακῆς, διέβαινον μετὰ σπουδῆς.
ἔφθασάν τε Ἀντίοχον ἔτι ἀγνοοῦντα, ἐν Σάρδεσι γενόμενοι. ὁ δὲ κατα-
πλαγείς, ἐβαρυθύμει· καὶ τὰ ἴδια αὐτοῦ ἁμαρτήματα ἐς τὸ δαιμόνιον
ἀνατιθείς, Ἡρακλείδην τὸν Βυζάντιον ἔπεμπεν ἐπὶ Σκηπίωνας,
ἐπὶ διαλύσει τοῦ πολέμου· Σμύρναν τε καὶ Ἀλεξάνδρειαν αὐτοῖς διδοὺς
τὴν ἐπὶ Γρανίκῳ, καὶ Λάμψακον, δι' ἃς ἦρξεν αὐτοῖς ὁ πόλεμος· καὶ
τὸ ἥμισυ τῆς δαπάνης τοῦ δὲ τοῦ πολέμου. ἐνετέλλετο δὲ εἰ δέοι, καὶ
τῶν Ἰώνων πόλεων δοῦναι καὶ τῶν Αἰολίδων, ὅσαι τὰ Ῥωμαίων ἐν τῷδε
τῷ ἀγῶνι εἵλοντο· καὶ ὅτι ἄλλο αἰτοῖεν οἱ Σκηπίωνες. ταῦτα μὲν εἶχεν
ἐς τὸ φανερὸν λέγειν ὁ Ἡρακλείδης· ἰδίᾳ δὲ πρὸς Πούπλιον Σκηπίωνα
ἔφερε παρ' Ἀντιόχου χρημάτων τε πολλῶν ὑποσχέσεις, καὶ τοῦ παιδὸς
ἀφέσεις. ᾑρήκει γὰρ αὐτὸν ἐν τῇ Ἑλλάδι ὁ Ἀντίοχος, ἐς Δημητριάδα
ἐκ Χαλκίδος διαπλέοντα. καὶ ἦν ὁ παῖς Σκηπίων ὁ Καρχηδόνα ὕστερον
ἑλών τε καὶ κατασκάψας· καὶ δεύτερος ἐπὶ τῷδε τῷ Σκηπίωνι Ἀφρι-
κανὸς ὀνομασθείς, Παύλου μὲν υἱὸς τοῦ Περσέα τὸν Μακεδόνα ἑλόντος.
Σκηπίωνος δὲ τῷ γένει θυγατριδοῦς καὶ θέσει παῖς. κοινῇ μὲν οὖν οἱ
Σκηπίωνες Ἡρακλείδῃ τήνδε ἔδοσαν τὴν ἀπόκρισιν· ἐὰν ὁ Ἀντί-
οχος εἰρήνης δέηται, μὴ τῶν Ἰώνων μηδὲ τῶν Αἰολίδων αὐτὸν ἐκστῆναι
πόλεων, ἀλλὰ πάσης τῆς ἐπὶ τάδε Ταύρου· καὶ τὴν δαπάνην τοῦ πολέμου

πᾶσαν ἐκτεῖσαι, δι' αὐτὸν γενομένου. ἰδίᾳ δὲ ὁ Πούπλιος ἔφη τῷ Ἡ-
ρακλείδῃ, Ῥωμαίους, εἰ μὲν ἔτι Χερρονήσου καὶ Λυσιμαχείας κρατῶν ὁ
Ἀντίοχος ταῦτα προὔτεινεν, ἀσμένως ἂν λαβεῖν· τάχα δ' ἂν καὶ μόνον εἰ τὸν
Ἑλλήσποντον διάπλουν ἐφύλαξε· νῦν δ' αὐτοὺς καὶ διαπεράσαντάς τε καὶ ἐν
ἀσφαλεῖ γενομένους, καὶ τὸν χαλινόν, φασίν, ἐνθέντας καὶ ἐπὶ τῷ χαλινῷ τὸν
ἵππον ἀναβάντας, οὐκ ἀνέξεσθαι διαλύσεων ἐπὶ τοῖσδε. αὐτὸς δὲ χάριν
εἰδέναι τῷ βασιλεῖ τῆς προαιρέσεως· καὶ μᾶλλον εἴσεσθαι λαβὼν τὸν υἱόν.
ἀμείβεσθαι δ' αὐτὸν καὶ συμβουλεύειν δὲ δέχεσθαι τὰ προτεινόμενα,
πρὶν ἐς πεῖραν ἐλθεῖν μειζόνων ἐπιταγμάτων. ὁ μὲν δὴ Πούπλιος
ταῦτα εἰπών, ἐς Ἐλαίαν νόσῳ κλονούμενος ὑπεχώρει· σύμβουλον τῷ ἀδελ-
φῷ Γναῖον Δομέτιον καταλιπών. ὁ δ' Ἀντίοχος, οἷόν τι καὶ Φίλιππος
ὁ Μακεδὼν οἰηθείς, τῶν δὲ τῶν ἐπιταγμάτων οὐδὲν οὐδὲν τὸν πό-
λεμον ἀφαιρήσεσθαι, συνέταττε τὴν στρατιὰν περὶ τὸ πεδίον τὸ Θυα-
τείρων, οὐ μακρὰν ἀπὸ τῶν πολεμίων· καὶ Σκηπίωνι τὸν υἱὸν ἀπέ-
πεμπεν ἐς Ἐλαίαν. ὁ δέ, τοῖς ἄγουσι συνεβούλευε μὴ μάχεσθαι τὸν
Ἀντίοχον ἕως αὐτὸς ἐπανέλθοι. καὶ τῷδε πεισθεὶς ὁ Ἀντίοχος μετε-
στρατοπέδευεν ἀμφὶ τὸ ὄρος τὸ Σίπυλον· τεῖχός τε καρτερὸν τῷ στρατο-
πέδῳ περιετείχιζε· καὶ τὸν Φρύγιον ποταμὸν ἐν προβολῇ τοῖς πο-
λεμίοις ἐτίθετο, ἵνα μηδ' ἄκων ἀναγκάζοιτο πολεμεῖν. Δομέτιος
δὲ φιλοτιμούμενος τὸν πόλεμον ἐφ' ἑαυτῷ κριθῆναι, τὸν ποταμὸν
ἐπέρα μάλα θρασέως· καὶ σταδίους εἴκοσιν ἀπ' Ἀντιόχου διασχὼν,
ἐστρατοπέδευσε. τέτταρσί τε ἡμέραις ἐφεξῆς ἐξέτασσον ἑκάτεροι
πρὸ τὸν χάρακα τὸν ἑαυτῶν· καὶ μάχης οὐ κατῆρχον. τῇ πέμπτῃ δὲ
ὁ Δομέτιος ἐξέτασσεν αὖθις καὶ ἐπέβαινε σοβαρῶς· οὐκ ἀντεπιόντος
δὲ τοῦ Ἀντιόχου, τότε μὲν ἐγγυτέρω μετεστρατοπέδευε. μίαν δὲ ἄλλην
διαλιπών, ἐκήρυσσεν ἐν ἐπηκόῳ τῶν πολεμίων, ἐς ἀεὶ ἂν Ἀντί-
οχον καὶ ἄκοντι πολεμήσειν. ὁ δέ, συνταραχθεὶς αὖθις, μετέθετο τὰ
δόξαντα. καὶ δυνηθεὶς ἂν ἑστάναι μόνον ὑπὸ τὸ τεῖχος, καὶ καλῶς αὐτοῦ
ἀπὸ τοῦ τείχους ἀπομάχεσθαι μέχρι ῥαΐσειεν ὁ Πούπλιος, αἰσχρὸν
ἡγεῖτο μετὰ πλειόνων φυγομαχεῖν. ὅθεν ἐς μάχην παρετάσσετο. καὶ
ἐξῆγον ἔτι νυκτὸς ἀμφότεροι περὶ δευτέραν φυλακήν. διεκόσμει δ' αὐτῶν
ἑκάτερος ὧδε. τὸ μὲν λαιόν, εἶχον ὁπλῖται Ῥωμαίων μύριοι περὶ τὸν

ποταμὸν αὐτόν. καὶ μετ᾽ ἐκείνους ἦσαν ἰταλῶν ἕτεροι μύριοι· τρεῖς
ἑκατέρων ἐπὶ βάθος. ἐπὶ δὲ τοῖς ἰταλοῖς, ὁ δ᾽ Εὐμένους στρατὸς ἐτάσσετο.
καὶ Ἀχαιῶν πελτασταὶ περὶ τρισχιλίους. ὧδε μὲν εἶχε τὸ λαιόν. τὸ δεξιὸν
δ᾽ ἦν, ἱππεῖς, οἵ τε Ῥωμαίων καὶ ἰταλῶν καὶ Εὐμένους. οὐ πλείους οὐδ᾽
οὗτοι τρισχιλίων. ἀναμεμίχατο δ᾽ ἅπασι ψιλοί τε καὶ τοξόται πολλοί. καὶ
ἀμφὶ τὸν Δομέτιον αὐτὸν ἦσαν ἱππέων ἶλαι τέσσαρες. οὕτω μὲν ἐγί-
γνοντο πάντες ἐς τρεῖς μυριάδας. ἐστρατήγει δὲ τοῦ μὲν δεξιοῦ Δομέ-
τιος αὐτός. καὶ ἐς τὸ μέσον αὐτὸν ἵστη τὸν ὕπατον. τὸ δὲ λαιὸν ἔδωκ-
εν Εὐμένει. τῶν δ᾽ ἐλεφάντων οὓς εἶχεν ἐκ Λιβύης, οὐδὲν ἀναμένων ἐς
ἐπαφὴν χρήσιμον, ὀλίγων τε ὄντων καὶ βραχυτέρων οἷα Λιβύων,
δεδιότων δ᾽ οἷς μὲν κρότοις τοὺς μείζονας, ἔστησεν ὀπίσω ἅπαντας. ὧδε
μὲν διείλετο τὰ Ῥωμαίων. Ἀντιόχου δὲ ἦν ὁ στρατὸς ἅπας ἑπτάκις
μύριοι. καὶ τούτων τὸ κράτιστον ἦν ἡ φάλαγξ ἡ Μακεδόνων. ἄνδρες
ἑξακισχίλιοι καὶ μύριοι. ἐς τὸν Ἀλεξάνδρου καὶ Φιλίππου τρόπον
ἔτι κοσμούμενοι. ἵστη δ᾽ αὐτοὺς ἐν μέσῳ διελών, ἀνὰ χιλίους καὶ
ἑξακοσίους ἐς δέκα μέρη. καὶ τούτων ἑκάστου μέρους ἦσαν, ἐπὶ μὲν
τοῦ μετώπου πεντήκοντα ἄνδρες. ἐς δὲ τὸ βάθος δύο καὶ τριάκοντα.
ἐς δὲ τὰ πλευρὰ ἑκάστου μέρους, δύο καὶ εἴκοσιν. ἦν δ᾽ ὄψις ἡ τῆς μὲν
φάλαγγος, οἷα τείχους. τῶν δ᾽ ἐλεφάντων, οἷα πύργων. τοιοῦτον
μὲν ἦν τὸ πεζὸν Ἀντιόχῳ. ἱππεῖς δὲ καθ᾽ ἑκάτερον αὐτοῦ παρετετάχατο,
Γαλάται τε κατάφρακτοι, καὶ τὸ λεγόμενον ἄγημα τῶν Μακεδόνων.
εἰσὶ δὲ καὶ οἵδε ἱππεῖς ἐπίλεκτοι. καὶ παρὰ τοῦτο ἄγημα λέγονται. τάδε
μὲν ἐξ ἴσου τῆς φάλαγγος ἦν ἑκατέρωθεν. ἐπὶ δ᾽ αὐτοῖς τὰ κέρατα κατεῖχον.
ἐν μὲν δεξιᾷ ψιλοί τέ τινες καὶ ἕτεροι ἱππεῖς ἀργυράσπιδες. καὶ ἱπποτο-
ξόται διακόσιοι. τὸ δὲ λαιόν, Γαλατῶν τε ἔθνη, Τεκτοσάγαι τε καὶ Τρόκμοι
καὶ Τολιστόβιοι. καὶ Καππαδόκαι τινὲς οὓς ἔπεμψεν Ἀριαράθης. καὶ
μιγάδες ἄλλοι ξένοι. κατάφρακτός τε ἵππος ἐπὶ τοῖσδε ἑτέρα. καὶ ἣν
ἐκάλουν ἑταιρικήν, εὐόπλισμένη κούφως. ὧδε μὲν καὶ ὁ Ἀντίοχος
διέταξε. καὶ δοκεῖ τὴν ἐλπίδα λαβὼν ἐν τοῖς ἱππεῦσιν, τοὺς πολλοὺς στῆσ-
αι ἐπὶ τοῦ μετώπου. τὴν δὲ φάλαγγα, πυκνὴν ἐς ὀλίγον συναγαγεῖν ἀπει-
ροπολέμως. ᾗ δὴ μάλιστα ἔδει θαρρεῖν πάνυ ἠσκημένῃ. πολὺ δὲ
καὶ ἄλλο πλῆθος ἦν λιθοβόλων τε καὶ τοξοτῶν. καὶ ἀκοντιστῶν. καὶ πελταστῶν.

Φρυγῶν τε καὶ Λυκίων. καὶ Παμφύλων καὶ Πισιδῶν. Κρητῶν τε καὶ Τραλλιανῶν.
καὶ Κιλίκων. ἐς τὸν Κρητῶν τρόπον ἐσκευασμένων. ἱπποτοξόται τε ἐπὶ τού-
τοις Δάαι. καὶ Μυσοί. καὶ Ἐλυμαῖοι. καὶ Ἄραβες. οἳ καμήλους ὀξυ-
τάτας ἐπικαθήμενοι, τοξεύουσί τε εὐμαρῶς ἀφ᾽ ὑψηλοῦ, καὶ μαχαίραις
ὅτε πλησιάζοιεν, ἐπιμήκεσι καὶ στεναῖς χρῶνται. δρεπανηφόρα τε ἅρ-
ματα ἐν τῷ μεταιχμίῳ πρὸ πολεμεῖν τοῦ μετώπου τέτακται. καὶ εἴρητο
αὐτοῖς μετὰ τὴν πρώτην πεῖραν ὑποχωρεῖν. ὄψις τε ἦν ὡς δύο στρατῶν.
τοῦ μέν, ἀρχομένου πολεμεῖν. τοῦ δὲ ἐφεδρεύοντος. ἑκάτερον δ᾽ αὖ τῶν
ἐς κατάπληξιν ἐσκευασμένως, πλήθει τε καὶ κόσμῳ. ἐφειστήκει δὲ τοῖς
μὲν δεξιοῖς ἱππεῦσιν, Ἀντίοχος αὐτός. τοῖς δ᾽ ἐπὶ θάτερα, Σέλευκος υἱὸς
Ἀντιόχου. τῇ δὲ φάλαγγι, Φίλιππος ὁ ἐλεφαντάρχης. καὶ τοῖς προμάχοις,
Μένδις τε καὶ Ζεῦξις. ἀχλυώδους δὲ καὶ ζοφερᾶς τῆς ἡμέρας γενομένης,
ἥ τε ὄψις ἔσβεστο τῆς ἐπιδείξεως, καὶ τὰ τοξεύματα πάντα ἀμβλύτερα
ἦν, ὡς ἐν ἀέρι ὑγρῷ καὶ σκοτεινῷ. ὅπερ ἐπικατεῖδεν Εὐμένης, τῶν
μὲν ἄλλων κατεφρόνησε. τὴν δὲ ῥύμην τῶν ἁρμάτων τεταγμένην ἐφ᾽ αὑτῷ
μάλιστα δείσας, ὅσοι ἦσαν αὐτῷ σφενδονῆται καὶ ἀκοντισταὶ καὶ ἕτεροι
κοῦφοι, συναγαγών, προσέταξε τὰ ἅρματα περιθέοντας, ἐς τοὺς
ἵππους ἀκοντίζειν ἀντὶ τῶν ἐπιβατῶν. ἵππου γὰρ ἐν ἅρματι ζυγο-
μαχοῦντος, ἀχρεῖον τὸ λοιπὸν ἅρμα γίνεται. καὶ πολλὰ καὶ τῆς ἄλλης τάξεως
παραλύει. τὰ δρέπανα τῶν φιλίων δεδιότων. ὃ καὶ τότε συνηνέχθη γενέσθαι.
πληγέντων γὰρ τῶν ἵππων ἀθρόως, καὶ τὰ ἅρματα ἐς τοὺς ἵππους περιφερόντων,
αἵ τε κάμηλοι πρῶται τῆς ἀταξίας ᾐσθάνοντο, πλησίον τοῖς ἅρμασι παρα-
τεταγμέναι, καὶ μετ᾽ αὐτὰς ἡ κατάφρακτος ἵππος, οὐ ῥᾳδίως ὑπὸ τοῦ
βάρους τὰ δρέπανα ἐκφεύγειν δυναμένη. θόρυβός τε ἦν ἤδη πολὺς
καὶ τάραχος ποικίλος. ἀρξάμενος μὲν ἀπὸ τῶνδε μάλιστα. χωρῶν δὲ ἐπὶ
ὅλον τὸ μεταίχμιον. καὶ μείζων ὑπόνοια τοῦ ἀκριβοῦς. ὡς γὰρ ἐν διαστή-
ματι μακρῷ καὶ πλήθει πυκνῷ. καὶ βοῇ ποικίλῃ καὶ φόβῳ πολλῷ, τὸ μὲν ἀκριβὲς
οὐδὲ τοῖς ἄγχου τῶν πασχόντων καταληπτὸν ἦν. τὴν δὲ ὑπόνοιαν μειζόνως
ἐς τοὺς ἑξῆς ἕκαστοι μετέφερον. ὁ δ᾽ Εὐμένης, ἐπεὶ τὰ πρῶτα καλῶς ἐπέ-
πρακτο αὐτῷ, καὶ τὸ μεταίχμιον ὅσον αἵ τε κάμηλοι καὶ τὰ ἅρματα ἐπεῖχεν
ἐγεγύμνωτο, τοὺς ἰδίους ἱππέας. καὶ ὅσοι Ῥωμαίων αὐτῷ καὶ Ἰταλῶν παρε-
τετάχατο, ἐπῆγεν ἐπὶ τοὺς ἀντικρὺ Γαλάτας τε καὶ Καππαδόκας. καὶ

τὴν ἄλλην σύνοδον τῶν ἐξιν· μέγα τῇ κραυγῇ παρακαλῶν, ἐπὶ ἄνδρας
ἀπείρους τε μάχης ἐγγυμνωμένους τῶν προπολεμούντων· οἱ δ' ἐπεί-
θοντο. καὶ βαρείας σφῶν τῆς ἐμβολῆς γενομένης, τρέπουσι τούτους τε, καὶ
τοὺς παρατεταγμένους αὐτοῖς ἱππέας τε καὶ καταφράκτους, ἐκ πολλοῦ ταρασσο-
μένους διὰ τὰ ἅρματα· οὓς δὴ καὶ μάλιστα διὰ τὸ βάρος ὑποφεύγειν, ἢ ἀνα-
στρέφειν ἐλαφρῶς οὐ δυναμένους, κατελάμβανόν τε καὶ συνέκοπτον·
καὶ τάδε μὲν ἦν περὶ τὸ λαιὸν τῆς φάλαγγος τῶν Μακεδόνων· ἐν δεξιᾷ
δὲ, ᾗ περ αὐτὸς ὁ Ἀντίοχος συνετέτακτο, διακόψας τὸ σύνταγμα τῆς Ῥω-
μαίων φάλαγγος, ἀπέσπασεν ἐπὶ πολὺ διώκων. ἡ δὲ φάλαγξ ἡ τῶν Μακε-
δόνων τεταγμένη μὲν ὡς μεθ' ἱππέων ἐπὶ στενοῦ τε ἐς τετράγωνον·
γεγυμνωμένη δὲ τῶν ἱππέων ἑκατέρωθεν, τοὺς μὲν ψιλοὺς τοὺς ἐπὶ
τοῦ μετώπου σφῶν ἔτι προπολεμοῦντας, διαστᾶσα ἐς αὐτὴν ἐδέ-
ξατο· καὶ πάλιν συνῆψε· Δομετίου δ' αὐτὴν ἱππεῦσι πολλοῖς καὶ ψιλοῖς
ἐλαφρῶς οἷα πλινθίον συγκυκλώσαντος, οὔτ' ἐκδραμεῖν ἔτι
ἔχουσα, οὔτ' ἐξελίξαι βάθος ὄντι πολύ, μάλα καρτερῶς ἐκακο-
πάθει· καὶ ἠγανάκτουν, αὐτοὶ μὲν ταῖς ἐμπειρίαις οὐδὲν ἔχοντες
ἔτι χρῆσθαι, τοῖς δὲ πολεμίοις εὔβλητοι καὶ ἐπὶ τύχας πανταχόθεν
ὄντες. ὅμως δὲ τὰς σαρίσας ἐκ τετραγώνου προβαλλόμενοι πυ-
κνὰς προυκαλοῦντο Ῥωμαίους ἐς χεῖρας ἐλθεῖν· καὶ δόξαν ἐπιβαι-
νόντων ἀεὶ παρεῖχον· οὐ μὴν τι προεπήδων· πεζοί τε καὶ βαρεῖς ὄντες
ὑπὸ τῶν ὅπλων· καὶ τοὺς πολεμίους ἐφ' ἵππων ὁρῶντες. μάλιστα δὲ,
ἵνα μὴ τὸ τῆς τάξεως πύκνωμα ἐκλύσειαν· μετατάξασθαι γὰρ ἑτέρως οὐκ
ἔφθανον. Ῥωμαῖοι δ' αὐτοῖς οὐ προσεπέλαζον μὲν, οὐδ' ἐς χεῖρας ἤεσαν.
δεδιότες ἀνδρῶν ἠσκημένων ἐμπειρίαν τε καὶ συγκεκροτημένων ἀπόγνωσιν·
περιθέοντες δὲ, ἐσηκόντιζόν τε καὶ ἐτόξευον. καὶ οὐδὲν ἦν ἀχρεῖον ὡς
ἐν ὀλίγῳ πολλῶν συνεστώτων· οὐ γὰρ εἶχον οὔτ' ἐκκλῖναι τὰ βαλλόμενα,
οὔτε φερομένοις διαστῆναι· ὅθεν ἤδη πολλὰ κάμνοντες, ἀνεδίδοσαν ὑπὸ
τῆς ἀπορίας· καὶ βάδην ὑπεχώρουν σὺν ἀπειλῇ· πάνυ ἀσφαλῶς καὶ Ῥωμαίοις
ἐπιφόβως· οὔτε γὰρ τότε προσπελάζειν αὐτοῖς ἐτόλμων, ἀλλὰ περιθέοντες
ἔβλαπτον, μέχρι τῶν ἐλεφάντων ἐν τῇ Μακεδόνων φάλαγγι συνταραχθέντων
τε καὶ οὐχ ὑπακουόντων ἔτι τοῖς ἐπιβάταις, ὁ κόσμος ὁ τῆς φυγῆς συνε-
χεῖτο. καὶ ταύτῃ μὲν ὁ Δομέτιος ἐκράτει· καὶ ἐπὶ τὸ στρατόπεδον τοῦ Ἀντιό-

χου φθάσας, ἐβιάζετο τοὺς ἐν αὐτῷ φυλάσσοντας. ὁ δ' Ἀντίοχος ἐς πολὺ
διώκων πρόσω ἐκ τῆς Ῥωμαϊκῆς φάλαγγος ἐτέτακτο, οὐδενὸς
οὐδ' ἐκείνοις ἱππέως ἢ ψιλοῦ παρόντος ἐπικουρεῖν· οὐ γὰρ προετε-
τάχει Δομέτιος, ἡγούμενος οὐ δεήσεσθαι διὰ τὸν ποταμόν, μέχρι τοῦ
Ῥωμαίων χάρακος ἦλθεν. ἐπεὶ δ' αὐτὸν ὅ τε χιλίαρχος ὁ τοῦ χάρακος
φύλαξ ἀκμῆσι τοῖς φύλαξιν ὑπαντιάσας, ἐπέσχε τῆς ὁρμῆς· καὶ οἱ
φεύγοντες τοῖς δυναμένοις ἀναθαρροῦντες ἐπεστρέφοντο, ἐπανῄει
σοβαρὸς ὁ Ἀντίοχος ὡς ἐπινικῶν, οὐδενὸς τῶν ἐπὶ θάτερα πεπυσ-
μένος. Ἄτταλος δ' αὐτὸν ὁ Εὐμένους ἀδελφὸς, ἱππεῦσι πολλοῖς ὑπαντιά-
ζει· καὶ τοὺς μὲν ἐλαφρῶς ὁ Ἀντίοχος καταλιπὼν, διέδραμε· καὶ
παρατρεχόντων ἔτι καὶ [illegible], οὐκ ἐφρόντιζεν. ὡς δὲ κατεῖδε
τὴν ἧτταν, καὶ τὸ πεδίον ἅπαν νεκρῶν ἰδίων πλῆρες, ἀνδρῶν τε καὶ
ἵππων καὶ ἐλεφάντων, τό τε στρατόπεδον εἰλημμένον ἤδη κατὰ κράτος,
τότε δὴ καὶ ὁ Ἀντίοχος ἔφευγεν ἀμεταστρεπτί· καὶ μέχρι μέσων νυκτῶν
ἐς Σάρδεις παρῆλθε. παρῆλθε δὲ καὶ ἀπὸ Σάρδεων ἐς Κελαινὰς τὴν Ἀπάμειαν
καλουμένην, οἷ τὸν υἱὸν ἐπυνθάνετο συμφυγεῖν. τῆς δ' ἐπιούσης, ἐς Συρίαν
ἐκ Κελαινῶν ἀνεζεύγνυ· τοὺς στρατηγοὺς ἐν Κελαιναῖς καταλιπὼν, ὑπο-
δέχεσθαί τε καὶ ἀθροίζειν τοὺς διαφυγόντας. περί τε καταλύσεως πολέμου
πρέσβεις ἔπεμπε πρὸς τὸν ὕπατον. ὁ δὲ, τὰ οἰκεῖα ἔθαπτε· καὶ ἐσκύλευε
τοὺς πολεμίους· καὶ τὰ αἰχμάλωτα συνῆγεν. ἐφάνησαν δὲ νεκροὶ Ῥωμαίων
μὲν τῶν ἐξ ἄστεος, ἱππεῖς εἴκοσι καὶ τέσσαρες· καὶ πεζοὶ τριακόσιοι μάλιστα·
οὓς ὁ Ἀντίοχος ἔκτεινεν· Εὐμένους δὲ ἱππεῖς, πεντεκαίδεκα μόνοι. Ἀντιό-
χου δὲ σὺν τοῖς αἰχμαλώτοις εἰκάζοντο ἀπολέσθαι περὶ πεντακισμυρίους. οὐ
γὰρ ἐλαφρὸν ἦν ἀριθμῆσαι διὰ τὸ πλῆθος. καὶ τῶν ἐλεφάντων, οἱ μὲν, ἀνῄρηντο·
πεντεκαίδεκα δ' αἰχμάλωτοι γεγένηντο. ὡς δὲ ἐπινίκια λαμπροτάτη καὶ
παραλόγως τισὶ δοκοῦσα γενέσθαι· οὐ γὰρ εἰκὸς ἦν ὀλιγωτέρους
πολὺ πλειόνων ἐν ἀλλοτρίᾳ γῇ παρὰ τοσοῦτον ἐπικρατῆσαι, καὶ μάλιστα
φάλαγγος Μακεδόνων, ἐγγυμνασμένης, καὶ ἀνδρειούσης τότε μάλιστα·
καὶ δόξαν ἄμαχόν τε καὶ φοβερὰν ἐχούσης, οἱ μὲν Ἀντιόχου φίλοι τὴν προ-
πέτειαν αὐτοῦ τῆς ἐς Ῥωμαίους διαφορᾶς, καὶ τὴν ἐξ ἀρχῆς ἀπειρίαν τε
καὶ ἀβουλίαν ἐπεμέμφοντο· Χερρόνησόν τε καὶ Λυσιμάχειαν, αὐτοῖς
ὅπλοις καὶ τοσῇδε παρασκευῇ, μεθέντος ἐκ χειρῶν πρὶν καὶ ἐς πεῖραν

θήκη τοῖς πολεμίοις· τήν τε τοῦ Ἑλλησπόντου φυλακὴν ἐκλιπόντος,
Ῥωμαίων οὐκ ἂν ἀμογητὶ ἐπιθέμενων βιάσασθαι τὴν διάβασιν· καταμεμφόμενος δ᾽
αὐτοῦ τὴν περὶ τὴν θάλατταν ἀφροσύνην· ἀχρεῖον ἂν γενῶ, τὸ κράτιστον τοῦ
στρατοῦ πεποιηκότος· τήν τε ἐπιλαθομένων ἀνάπαυσιν συγκλείσαν ἀνδρῶν ἀρτι
πολεμίων μάλιστα, ἢ ἐν ἀνδράσι διαμελέτην χρόνον, ἐργάτας τε τοὺς περὶ πόλεμον.
ὁ δ᾽ ἐκ τοσῶνδε πολλῶν τὸ φρόνημα εὐτολμεῖσθαι ἐπαρθεὶς ἐξημμένοις· τοιαῦτα
μὲν ἦν τὰ περὶ Ἀντίοχον γενόμενα· Ῥωμαίοις δ᾽ ἐπῆρτο τὰ φρονήματα· καὶ
οὐδὲν ἔτι σφίσιν ἡγοῦντο ἄπορον, ὑπό τε ἀρετῆς καὶ θεῶν ἐπικουρίας·
καὶ γὰρ δὴ καὶ παράδοξον αὐτοῖς ἔφερε· οὕτω γε ὀλίγοι τε πολλοὺς, καὶ ἐξ ἐφόδου, καὶ
ἐν πρώτῃ μάχῃ καὶ ἐν ἀλλοτρίᾳ γῇ, τοσῶνδε ἐθνῶν καὶ παρασκευῆς βασιλικῆς·
καὶ μισθοφόρων στρατιᾶς· καὶ διὰ ἐξῆς πεδινοῦ· καὶ βασιλέως αὐτοῦ, μεγίστην τε ἀρχὴν κεκτη-
μένου καὶ ἐπίκλησιν μεγάλου, κεκρατηκότες ἡμέρᾳ μιᾷ· πολύ τε σφίσιν ἦν
τὸ ἔπος ἐν τοῖς λόγοις, ὡς βασιλεὺς Ἀντίοχος ὁ μέγας· τοιάδε μὲν δὴ καὶ Ῥωμαῖοι
περὶ σφῶν ἐμεγαλαύχουν· ὁ δὲ ὕπατος ἐπεὶ αὐτῷ ῥαΐσας ὁ ἀδελφὸς Πούπλιος
ἦλθεν ἀπὸ τῆς Ἐλαίας, ἐχρημάτιζε τοῖς Ἀντιόχου πρέσβεσιν· οἱ μὲν δὴ μαθεῖν
ἠξίουν, ὅ,τι ποιῶν ὁ βασιλεὺς Ἀντίοχος ἔσται Ῥωμαίοις φίλος· ὁ δὲ Πούπλιος
αὐτοῖς ὧδε ἀπεκρίνατο· αἴτιος μὲν αὐτῷ διὰ πλεονεξίας Ἀντίοχος τῶν
νῦν καὶ τῶν πρότερον γεγονότων· ὃς ἀρχὴν μεγίστην ἔχων τε, Ῥωμαίων αὐτὸν
ἐώντων ἔχειν, Πτολεμαῖον συγγενοῦς ἰδίου Ῥωμαίοις φίλον, συνεῖται τὴν Κοίλην
ἀφῄρητο· καὶ ἐς τὴν Εὐρώπην οὐδὲν αὐτῷ προσήκουσαν ἐμβαλὼν, Θρᾴκην
κατεστρέφετο· καὶ Χερρόννησον ὤχυρου· καὶ Λυσιμάχειαν ἤγειρε· ἔς τε τὴν Ἑλλάδα
διαβὰς, ἐδουλοῦτο τοὺς Ἕλληνας, οὓς Ῥωμαῖοι ἀρτι αὐτονόμους ἀφει-
μένους, μέχρι περὶ Θερμοπύλας ἡττηθεὶς μάχῃ· καὶ φυγὼν, οὐδ᾽ ὣς ἔληξε
τῆς πλεονεξίας· ἀλλὰ καὶ τῇ θαλάττῃ πολλάκις ἡττωθεὶς, σπονδῶν
μὲν ἔτι τὸν Ἑλλήσποντον ἡμῶν περαιουμένων ἐδεήθη· διὰ δὲ ὑπεροψίας
τὰ προτεινόμενα ὑπερεῖδε· καὶ στράτευμα αὖθις πολὺ καὶ παρασκευὴν ἄ-
πειρον ἐφ᾽ ἡμᾶς συναγαγὼν, ἐπολέμει· βιαζόμενος ἐς πεῖραν ἐλθεῖν τοῖς
ἀμείνοσι· μέχρις οὗ ἐνέπεσε μεγάλῳ κακῷ· ἡμᾶς δὲ, εἰκὸς μὲν ἦν αὐτῷ
μείζονα τὴν ζημίαν ἐπιθεῖναι, βιαζομένῳ πολλάκις Ῥωμαίοις ἐς χεῖρας
ἐλθεῖν, ἀλλ᾽ οὐχ ὑβρίζομεν ταῖς εὐπραξίαις· οὐδὲ ἐπιβαρύνομεν τοῖς ἑ-
τέρων ἀτυχήμασι· δίδομεν δὲ, ὅσα καὶ πρότερον αὐτῷ προὐτείνομεν, μικρὰ
ἄττα προσθέντες· ὅσα καὶ ἡμῖν ἔσται χρήσιμα, καὶ αὐτῷ λυσιτελῆ πρὸς τὸ

μέλλον ἐς ἀσφάλειαν· ἀπέχεσθαι μὲν αὐτὸν τῆς Εὐρώπης ὅλης· καὶ
Ἀσίας, τῶν ἐπὶ τάδε τοῦ Ταύρου· καὶ τούτοις ὅροι τεθήσονται· παραδοῦναι δ᾽
ἐλέφαντας ὅσους ἔχει· καὶ ναῦς ὅσας ἂν ἐπιτάξωμεν· ἐς τὸ λοιπὸν ἐλέφαντας
μὲν οὐκ ἔχειν· ναῦς δὲ ὅσας ἂν ὁρίσωμεν· δοῦναι δὲ καὶ εἴκοσιν ὁμήρους, οὓς
ἂν ὁ στρατηγὸς ἐπιγράψῃ· καὶ χρήματα ἐς τὴν τοῦδε τοῦ πολέμου δαπάνην
δι᾽ αὐτὸν γενομένην, τάλαντα Εὐβοϊκὰ αὐτίκα μὲν ἤδη πεντακόσια·
καὶ ὅταν δὲ τὰς σπονδὰς ἡ σύγκλητος ἐπιψηφίσῃ, δισχίλια καὶ
πεντακόσια· δώδεκα δὲ ἔτεσιν ἄλλα μύρια καὶ δισχίλια· τὸ μέρος
ἕκαστον ἔτους ἀναφερόμενα ἐς Ῥώμην· ἀποδοῦναι δ᾽ ἡμῖν καὶ αἰχμάλωτα καὶ
αὐτόμολα πάντα· καὶ Εὐμενεῖ, ὅσα λοιπὰ τῆς πρὸς Ἄτταλον τὸν Εὐμένους πατέρα
συνθήκης ἔχει· ταῦτα Ἀντιόχῳ παράσχοντι ἀδόλως, δίδομεν εἰρήνην τε
καὶ φιλίαν, ὅταν ἡ σύγκλητος ἐπιψηφίσῃ· τοσάδε προὔτεινεν ὁ Σκηπίων·
καὶ πάντα ἐδέχοντο οἱ πρέσβεις· τό τε μέρος αὐτίκα τῶν χρημάτων καὶ τὰ
εἴκοσιν ὁμήρους ἐκόμιζον· καὶ ἦν αὐτῶν Ἀντίοχος ὁ νεώτερος υἱὸς Ἀντιόχου·
ἐς δὲ τὴν Ῥώμην, οἵ τε Σκηπίωνες καὶ Ἀντίοχος πρέσβεις ἔπεμπον· καὶ ἡ
βουλὴ τοῖς ἐγνωσμένοις συνετίθεντο· καὶ ἔγραφον τὰς συνθήκας· τοῖς Σκη-
πίωνος λόγοις βεβαιοῦσαί τε· καὶ περὶ τῶν ἀορίστων ἐπιλέγουσαι· καὶ βραχέ-
α ἄττα προσεπιλαμβάνουσαι· ὅρια μὲν Ἀντιόχῳ τῆς ἀρχῆς εἶναι, δύο ἄκρας·
Καλύκαδνόν τε καὶ Σαρπηδόνιον· καὶ τὰς δὲ μὴ παραπλεῖν Ἀντίοχον ἐπὶ πολέμῳ·
ναῦς δὲ καταφράκτους δυοκαίδεκα ἔχειν μόνας· αἷς ἐς τοὺς ὑπηκόους πολέμου
κατάρχειν· πολεμούμενον δὲ καὶ πλείοσι χρῆσθαι· μηδένα δ᾽ ἐκ τῆς Ῥωμαίων
ξεναγεῖν· μηδὲ φυγάδας ἐξ αὐτῆς ὑποδέχεσθαι· καὶ τὰ ὅμηρα διὰ τριετίας
ἐναλλάσσειν, χωρίς γε τοῦ παιδὸς Ἀντιόχου· ταῦτα συγγραψάμενοί τε καὶ ἐς
τὸ Καπιτώλιον ἐς δέλτους χαλκᾶς ἀναθέντες, οὗ καὶ τὰς ἄλλας συνθήκας
ἀνατιθέασιν, ἔπεμψαν ἀντίγραφα Μαλλίῳ Βούλσωνι, τῷ διαδεξαμένῳ
τὴν Σκηπίωνος στρατηγίαν· ὁ δ᾽ ὤμνυε τοῖς Ἀντιόχου πρέσβεσι περὶ Ἀπάμειαν
τῆς Φρυγίας· καὶ ὁ Ἀντίοχος ἐπὶ τούτῳ πεμφθέντι Θέρμῳ χιλιάρχῳ· τοῦτο μὲν
δὴ Ἀντιόχῳ τῷ μεγάλῳ τοῦ πρὸς Ῥωμαίους πολέμου τέλος ἦν· καὶ ἐδόκει μετὰ τοῦδε
προαχθῆναι μὲν, διὰ χάριν τὴν ἐς τὸν παῖδα τοῦ Σκηπίωνος Ἀντιόχῳ γενομένην·
καί τινες τὸν Σκηπίωνα ἐπανήκοντα διέβαλλον ἐπὶ τῷδε· καὶ δήμαρχοι δύο
δωροδοκίας αὐτὸν ἐγράψαντο καὶ προδοσίας· ὁ δὲ, ἀδοξῶν καὶ ὑπερορῶν τοῦ
ἐγκλήματος, ἐπεὶ συνῆλθε τὸ δικαστήριον ἧς ἡμέρας ποτὲ Καρχηδόνα πε-

ἐστέψατο, φησὶ· προυπέμφθη ἐς τὸ Καπιτώλιον· καὶ ἐς τὸ δικαστήριον
αὐτὸς παρῆλθεν ἐπὶ λαμπροῦ σχήματος, ἀντὶ τοῦ οἰκτροῦ ἢ ταπεινοῦ
τῶν ὑπευθύνων· ὡς διὰ τὸ ἐπὶ τῷδε πάντας ἐκπλῆξαί τε καὶ εὐ-
νοϊκῶς ἐπὶ χρηστῷ διασιωπῆσαι ὅτι μεγαλόφρονα ἡγούμενον, προσα-
γαγεῖν· λέγειν δὲ ἀρξάμενος, τῆς μὲν κατηγορίας οὐδὲ ἐπεμνήσθη,
τὸν δὲ βίον ἑαυτοῦ ἢ ἐπιτηδεύματα ἢ ἔργα πάντα ἐπεξῄει· καὶ πο-
λέμους ὅσους ἐπολέμησεν ὑπὲρ τῆς πατρίδος· καὶ ἕκαστον αὐτῶν ὡς ἐπο-
λέμησεν· ὁσάκις τε ἐνίκησεν, ὡς ἐγένετο τοῖς ἀκροωμένοις τι ἡδονῆς,
διὰ τὴν ἰσορροπίαν τῆς σεμνολογίας· ἐπεὶ δέ ποτε προῆλθεν ἐπὶ Καρχηδόνα, ἐξάρας
ἐς φαντασίαν τάδε μάλιστα, ὁρμῆς αὐτούς τε ἐμπλησθεὶς, καὶ τὸ πλῆθος
ἀναπλήσας, εἶπεν, ὅτι τῇδε τῇ ἡμέρᾳ, ὦ ταῦτα δ' ἐνίκων· ἢ Καρχηδόνα ἐγὼ μὲν ὦ
πολῖται ὑπερεποίουν, τὴν τέως ὑμῖν ἐπιφοβωτάτην· ἄπειμι δὲ ἤδη θύσων
τῆς ἡμέρας ἐς τὸ Καπιτώλιον· ἢ ὑμῶν ὅσοι φιλοπόλιδες τῆς θυσίας μοι γιγνο-
μένης ὑπὲρ ὑμῶν, συναψάσθων· ταῦτα φήσας ᾔει ἐς τὸ Καπιτώλιον ἐν τάχει, μηδὲν
τῆς δίκης φροντίσας· ἅμα τε δ' αὐτῷ τὸ πλῆθος καὶ οἱ πλείονες τῶν δικαστῶν
συνεφήμιζον βοῇ· ἢ θύοντι ὁμοίως ἐπεφώνουν· οἱ κατήγοροι δὲ ἠπόρουν·
καὶ οὔτε αὐτῷ τὴν δίκην αὖθις ὡς ἀτελέστατον ἐτόλμησαν ἐπιγράψαι,
οὔτε μέμψασθαι δημοκοπίας, διὰ τὸ λαμπρὸν αὐτοῦ τὸν βίον ᾐδεσμένοι ὑπό-
νοιάν τε καὶ διαβολῆς· ὁ μὲν δὴ Σκιπίων, ὡς δὲ ἐγκλήματος ἀνάξιον τῶν
βεβιωμένων οἱ, κατεφρόνησε· σοφώτερον ἐμοὶ δοκεῖν ἢ Ἀριστείδου περὶ
κλοπῆς· ἢ Σωκράτους περὶ ὧν ἀνεκαλεῖτο, οὐδὲν ὑπόντων ὑπ' ἀδοξίας
ὅμοιοι, ἢ Σωκράτους εἰπόντος, ἃ δοκεῖ Πλάτωνι· μεγαλοφρονέστερον δὲ ἂν
ἢ Ἐπαμινώνδου· ὃς ἐβοιωτάρχει μὲν ἅμα Πελοπίδᾳ ἢ ἑτέρῳ· ἐξέπεμψαν
δὲ αὐτοὺς οἱ Θηβαῖοι, στρατὸν ἑκάστῳ δόντες, ἐπικουρήσοντας Ἀρκάσι ᾑρημένοις
πολεμουμένοις ὑπὸ Λακώνων· οἳ πως δόσαι ἐπενόουν ἀγασαμένοις, τῆς
διαβολῆς μετεκάλουν· οἱ δὲ, τοῖς διαδόχοις σφῶν τὴν ἀρχὴν ἐπὶ μῆνας ἓξ
οὐ μεθῆκαν· ἕως τὰ Λακεδαιμονίων φρούρια καθεῖλον· ἢ ἐπέστησαν αὖθις
στρατὸν Ἀρκάδων· Ἐπαμινώνδου τοῖς συστρατήγοις ἐς τοῦτο ἀναγκάζον-
τός τε, καὶ ὑποδεχομένου τὸ ἔργον αὐτοῖς ἀζήμιον ἔσεσθαι· ἐπεὶ δὲ αὐτοὺς
ἐπανήκοντας οἱ κατήγοροι καθ' ἕνα διώκοντες ἐτίμων τὸ θανάτου· θανάτῳ
γὰρ ὁ νόμος ἐζημίου γε τὸν ἐκ βίας ἀρχὴν ἄρξαντα ἀλλοτρίαν, οἱ μὲν ἕτεροι
διέφυγον· οἴκτῳ τε χρώμενοι ἢ λόγοις πλείοσι· καὶ τὴν αἰτίαν ἐς τὸν Ἐπαμι-

νώνδαν ἀναφέροντες αὐτόν, ὡς πολλάκις ὑποτιθέμενον αὐτοῖς καὶ λέ-
γοντι ἐπὶ μάρτυρσι ταῦτα· ὁ δὲ, κρινόμενος ὕστατος, ὁμολογῶν ἔφη
παρανόμως ἄρξαι τόνδε τὸν χρόνον· ἢ οὓς ἀπελύσατε νῦν, ἐς αὐτὸν ἀναγκάσαι·
ἢ οὐ παραιτοῦμαι τὸν θάνατον παρανομήσας· αἰτῶ δ' ὑμᾶς ἀντὶ τῶν προβε-
βιωμένων μοι κατὰ τὸν τάφον ἐπιγράψαι, οὗτός ἐστιν ὁ περὶ Λεῦκτρα νικήσας,
καὶ τὴν πατρίδα τοῖς ἐχθροῖς οὐχ ὑπομένουσαν· οὐδ' εἴ τις ξένος ἔχοι Λακωνικὸν
ὅπλον ἐπὶ τὴν πατρίδα αὐτὴν προάγων, οὗτος ὑπὸ τῆς πατρίδος ἀνῄρηται,
παρανομήσας ἐπὶ συμφέροντι τῆς πατρίδος· ταῦτ' εἰπὼν κατέβη τε τοῦ βήματος
ἢ παρεδίδου τὸ σῶμα τοῖς ἐθέλουσιν ἀπαγαγεῖν· οἱ δικασταὶ δὲ τῷ τε ὀνείδει
τοῦ λόγου, ἢ θαύματι τῆς ἀπολογίας, ἢ αἰδοῖ τοῦ ἀνδρὸς ἀπολογουμένου, τὰς
ψήφους οὐχ ὑποστάντες λαβεῖν, ἐξέδραμον ἐκ τοῦ δικαστηρίου· τάδε μὲν δή τις
ὡς ἐθέλοι συγκρινέτω· Μάνιος δὲ ὁ τοῦ Σκιπίωνος διάδοχος τῆς ἀφαιρεθείσης
Ἀντιόχου γῆς ἐπιὼν καθίστατο· ἢ Γαλατῶν τῶν Ἀντιόχῳ συμμαχησάντων,
Τολιστοβοίους ἀναφυγόντας ἐς τὸν Μύσιον Ὄλυμπον ἐπιμόχθως τοῦ ὄρους ἐπιβὰς,
στρεπτοφόρον, ὡς ἔκτεινε καὶ κατεκρήμνισεν, ὅσους ἐθέλησε ζωγρῆσαι διὰ τὸ
πλῆθος οὐκ ἐζώγρει· αἰχμαλώτους δὲ ἔλαβεν ἐς τετρακισμυρίους· ὧν
τὰ μὲν ὅπλα κατέκαυσε· τὰ δὲ σώματα οὐ δυνάμενος τοσόνδε πλῆθος ἐν πο-
λέμοις περιάγεσθαι τοῖς ἐγγὺς βαρβάροις ἀπέδοτο· Τεκτοσάγαις τε καὶ
Τρόκμοις, ἐκινδύνευσε μὲν ἐξ ἐνέδρας ἢ ἔφυγεν· ἐπανελθὼν δὲ ἀθροι-
ζομένους τε καὶ βεβιασμένους ὑπὸ πλήθους, περιέστησε τοῖς ψιλοῖς αὐτοῖς· ἢ
περιτρέχων ἐκέλευσεν ἀκοντίζειν, μήτε προσπλεκομένους, μήτε πλησιά-
ζοντας· οὐδενὸς δὲ βέλους ἀτυχοῦντος διὰ τὴν πυκνότητα τῶν πολεμίων,
ἔκτεινεν ὀκτακισχιλίους· καὶ ἐδίωξε τοὺς λοιποὺς ὑπὲρ Ἅλυν ποταμόν·
Ἀριαράθου δὲ τῶν Καππαδοκῶν βασιλέως, ἢ τοῦ δὲ συμμάχους πέμψαντος
Ἀντιόχῳ, δεδιότος τε καὶ δεομένου καὶ διακόσια τάλαντα πέμψαντος ἐπὶ
τῇ δεήσει, τὴν χώραν οὐκ ἐπέδραμεν· ἀλλ' ἐς τὸν Ἑλλήσποντον ἐπανῆλθε,
σὺν γάζῃ τε πολλῇ ἢ χρήμασιν ἀπείροις ἢ λείᾳ βαρυτάτῃ· καὶ στρατῷ
καταγόμῳ· τὸ δὲ ἐν τοῖς θέρει ἀλόγως πάμπαν, ὥρᾳ θέρους πλεῦσαι μὲν
ὑπερεῖδεν, οὔτε τὸ βάρος ὧν ἐπήγετο ποιησάμενος ἐνθύμιον, οὔτε
ἐπειγόμενος διαπονεῖν ἐν τῇ γῇ μάζην ὁδοιπορίαις ἔτι τὸν στρατὸν, οὐκ
ἐς πόλεμον ὁρῶντα, ἀλλ' ἐς οἶκον μετὰ λαφύρων ἐπανιόντα· διὰ δὲ
Θρᾴκης ὥδευσε στενὴν ἢ μακρὰν καὶ δύσβατον ὁδὸν πνίγους ὥρᾳ· οὔτε

μακεδόνι φιλίππῳ προεπέστελλεν ἀπαντᾶν ἵνα παραπέμψειεν
αὐτόν, οὔτε τὸν στρατὸν ἐν μέρει πολλὰ διάγων ἵνα κουφότερον βαδίζοι
καὶ τὰ χρήσιμα εὐπορώτερα ἔχοι· οὔτε τὰ σκευοφόρα συντάξας ἐς μέσους
ὀρθίους ἵνα εὐφυλακτότερα εἴη· ἀλλ᾽ ἀθρόως εἷλκεν ἅπαντας ἐπὶ μῆκος
πολύ· καὶ τὰ σκευοφόρα εἶχεν ἐν μέσῳ· μήτε τῶν προαγόντων δυναμένων
αὐτοῖς ἐπικουρεῖν, μήτε τῶν ὄπισθεν ὀξέως διὰ μῆκος ὁμοῦ καὶ στενό-
τητα τῆς ὁδοῦ· ὅθεν αὐτῷ πανταχόθεν ἐς τὰ πλάγια τῶν θρᾳκῶν ἐπικει-
μένων, πολὺ μέρος ἀπώλεσε τῆς τε λείας καὶ τῶν δημοσίων χρημάτων καὶ
αὐτοῦ τι τοῦ στρατοῦ· μετὰ δὲ τῶν ὑπολοίπων ἐς μακεδονίαν διεσώθη· ᾧ
δὴ καὶ μάλιστα ἐγένετο καταφανές, ὅσον ὤνησε παραπέμπων τοὺς σκη-
πίωνας ὁ φίλιππος· καὶ ὅσον ἥμαρτεν ἀντίοχος ἐκλιπὼν χερρόνησον.
ὁ δὲ μάνιος ἔκ τε μακεδονίας ἐς θεσσαλίαν διελθὼν καὶ ἐκ θεσσαλίας ἐς ἤ-
πειρον, ἐς βρεντέσιον ἐπέρα· καὶ τὴν λοιπὴν στρατιὰν ἐς τὰ οἰκεῖα διαφείς,
ἐπανῆκεν ἐς ῥώμην. ῥόδιοι δὲ καὶ εὐμενὴς ὁ περγάμου βασιλεύς, μέγα
φρονοῦντες ἐπὶ τῇ κατ᾽ ἀντιόχου συμμαχίᾳ, εὐμενὴς μὲν ἐς ῥώμην ἐ-
στέλλετο· ῥόδιοι δὲ πρέσβεις ἔπεμπον. ἡ δὲ βουλὴ ῥοδίοις μὲν ἔδωκε
λυκίους τε καὶ κᾶρας· οὓς οὐ πολὺ ὕστερον ἀπέστησεν αὐτῶν· ὡς προσθεμένων
τῷ μακεδόνι μᾶλλον ἢ σφίσι πολεμοῦσι τῷ περσεῖ προθυμοτέρων
γενομένων. εὐμενεῖ δὲ ἐπέδωκαν ὅσα λοιπὰ ἀφῄρηντο ἀντίοχον χωρὶς
ἑλλήνων τῶν ἐν αὐτοῖς. τούτων δὲ, ὅσοι μὲν ἀττάλῳ τῷ πατρὶ εὐμενοῦς ἐτέλουν
φόρους, ἐκέλευσαν εὐμενεῖ συμφέρειν· ὅσοι δ᾽ ἀντιόχῳ πρῶτον ἐτέλουν, ἀπέ-
λυσαν τῶν φόρων καὶ αὐτονόμους ἀφῆκαν. ὧδε μὲν ῥωμαῖοι διέθεντο τὰ δο-
ρίκτητα. ἀντιόχου δ᾽ ὕστερον τοῦ μεγάλου βασιλέως τελευτήσαντος, γίνεται
σέλευκος ὁ υἱὸς διάδοχος. καὶ τὸν ἀδελφὸν ὅδε ἀντίοχον ἐξέλυσε τοῖς ὑπὸ ῥω-
μαίοις ὁμηρείας· ἀντιδοὺς τὸν ἑαυτοῦ παῖδα δημήτριον. ἀντιόχου δὲ ἐπανι-
όντος ἐκ τῆς ὁμηρείας καὶ ὄντος ἔτι περὶ ἀθήνας, ὁ μὲν σέλευκος ἐξ ἐπιβουλῆς
ἡλιοδώρου τινὸς τῶν περὶ τὴν αὐλὴν ἀποθνήσκει· τὸν δ᾽ ἡλιόδωρον εὐμενὴς
καὶ ἄτταλος ἐς τὴν ἀρχὴν βιαζόμενον ἐκβάλλουσι· καὶ τὸν ἀντίοχον ἐς αὐτὴν
κατάγουσιν ἑταιριζόμενοι τὸν ἄνδρα· ἀπὸ γάρ τινων προσκρουμάτων ἤδη καὶ
οἵδε ῥωμαίοις ὑπεβλέποντο. οὕτω μὲν ἀντίοχος ὁ ἀντιόχου τοῦ μεγάλου, συρίας
ἐπεκράτησεν· ὅτῳ παρὰ τῶν σύρων ἐπώνυμον ἦν ἐπιφανής· ὅτι τῆς ἀρχῆς
ἁρπαζομένης ὑπὸ ἀλλοτρίων, βασιλεὺς οἰκεῖος ὤφθη. στεργόμενος δὲ φιλίᾳ

καὶ συμμαχίᾳ εὐμενεῖ, συρίας καὶ τῶν περὶ αὐτὴν ἐθνῶν ἐγκρατῶς ἦρχε· σατράπην
μὲν ἔχων ἐν βαβυλῶνι τίμαρχον· ἐπί τε ταῖς προσόδοις ἡρακλείδην· ἀδελφὼ
μὲν ἀλλήλοιν· ἄμφω δὲ αὐτοῦ γενομένω παιδικώ. ἐστράτευσε δὲ καὶ ἐπὶ ἀρταξίαν
τὸν ἀρμενίων βασιλέα· καὶ αὐτὸν εἷλεν, ἐτελεύτησεν ἐννεαετὲς παιδίον ἀπολιπὼν
ἀντίοχον· ᾧ προσέθηκαν ὄνομα εὐπάτορα οἱ σύροι, διὰ τὴν τοῦ πατρὸς ἀρετήν. καὶ τὸ παιδίον
ἔτρεφε λυσίας. ἡ δὲ σύγκλητος ἐπιφανέντος ὀλίγῳ τοῦ ἀντιόχου γαννικοῦ· καὶ
ταχέως ἀποθανόντος, δημήτριόν τε τὸν σελεύκου μὲν υἱόν, ἀντιόχου δὲ τοῦ ἐπιφανοῦς
ἀδελφιδοῦν· υἱωνὸν δὲ τοῦ μεγάλου ἀντιόχου· ἀντίον ὄντα τῷδε τῷ παιδὶ ὁμηρεύοντα
ἐν τῇ ῥώμῃ, καὶ ἔτος ἄγοντα εἰκοστὸν ἐπὶ τοῖς τρισί, ἐς τὴν βασιλείαν καταχθῆναι
παρακαλοῦντα ὡς αὐτῷ μᾶλλον προσήκουσαν, οὐ κατῆγον· οὐ συμφέρειν
σφίσιν ἡγούμενοι τελειότερον ἄρχειν σύρων ἀντὶ παιδὸς ἀτελοῦς. πυν-
θανόμενοι δὲ ἐν συρίᾳ στρατὸν ἐλεφάντων εἶναι καὶ ναῦς πλείονας τῶν συγκει-
μένων ἀντιόχῳ, πρέσβεις ἔπεμπον, οἳ τούς τε ἐλέφαντας συγκόψειν ἔμελλον
καὶ τὰς ναῦς διαπρήσειν· οἰκτρὰ δὲ ἦν ὄψις ἡ, ἀναιρουμένων θηρίων ἡμέρων
τε καὶ σπανίων· καὶ νεῶν κατεμπιπραμένων· καί τις ἐν λαοδικείᾳ λεπτίνης τὴν
ὄψιν οὐκ ἐνεγκών, γναῖον ὀκταούιον τὸν τῶνδε τῶν πρέσβεων ἡγεμόνα, ἀλει-
φόμενον τῷ γυμνασίῳ διεχρήσατο· καὶ τὸν μὲν ὀκταούιον ἔθαψεν ὁ λυσίας. δημή-
τριος δὲ αὖθις ἐς τὴν σύγκλητον ἐσελθών, ἐξῄτει τῆς γοῦν ὁμηρείας μόνης ἀπολυ-
θῆναι, ὡς ἀντιόχου μὲν ἀντιδοθείς, ἀντιόχου δὲ ἀποθανόντος· ἐπεὶ δ᾽ οὐκ ἐτύγχανεν
οὐδὲ τοῦδε, λαθὼν ἐξέπλευσε. καὶ δεξαμένων αὐτὸν ἀσμένως τῶν σύρων ἦρχε· τόν τε
λυσίαν καὶ τὸ παιδίον ἐπ᾽ αὐτῷ διαφθείρας· καὶ ἡρακλείδην ἐκβαλών· καὶ
τίμαρχον ἐπανιστάμενον ἀνελών· καὶ τἆλλα πονηρῶς τῆς βαβυλῶνος ἡγούμενον·
ἐφ᾽ ᾧ καὶ σωτὴρ ἀρξαμένων ἀπὸ βαβυλωνίων ὠνομάσθη. κρατυνάμενος δὲ τὴν
ἀρχὴν ὁ δημήτριος, στέφανόν τε ῥωμαίοις ἀπὸ χρυσῶν μυρίων χαριστήριον
τῆς ποτὲ παρ᾽ αὐτοῖς ὁμηρείας ἔπεμψε· καὶ λεπτίνην τὸν ἀνδροφόνον ὀκταουΐου·
οἱ δὲ, τὸν μὲν στέφανον ἐδέχοντο· λεπτίνην δὲ οὐκ ἔλαβον· ὡς δή τι τὸ ἔγκλημα
τοῖς σύροις ταμιευόμενοι. δημήτριος δὲ καὶ ἐκ τῆς καππαδοκῶν ἀρχῆς
ἀριαράθην ἐκβαλών, ὀλοφέρνην ἐπὶ χιλίοις ταλάντοις ἀντ᾽ αὐτοῦ κατή-
γαγεν· ἀδελφὸν εἶναι δοκοῦντα ἀριαράθου. καὶ ῥωμαίοις ἐδόκει μὲν ὡς
ἀδελφοὺς ἀριαράθην καὶ ὀλοφέρνην βασιλεύειν ὁμοῦ· ἐκπεσόντων δὲ καὶ
τῶνδε, καὶ ἀριοβαρζάνου μετ᾽ αὐτοὺς οὐ πολὺ ὕστερον ὑπὸ μιθριδάτου
τοῦ ποντικοῦ βασιλέως, ὁ μιθριδάτειος πόλεμος ἐπὶ τῷδε καὶ ἐφ᾽ ἑτέροις

ἦρξατο Σελευκίδαι. μέγιστός τε καὶ πολὺ προπώτατος ἔθνεσι πολλοῖς γενόμενος. καὶ παρατείνας ἔτη μάλιστα τεσσαράκοντα· ἐν οἷς πολλαὶ μὲν ἀρχαὶ Σύροις ἐκ τοῦ βασιλείου γένους ὀλιγοχρόνιοι παλίμπαλιν ἐγένοντο· πολλαὶ δὲ τροπαὶ ἢ ἐπαναστάσεις ἐπὶ τὰ βασίλεια. Παρθυαῖοί τε προαποστάντες ἐπὶ τῆς τῶν Σελευκιδῶν ἀρχῆς, Μεσοποταμίαν ἐξ αὐτοῖς περιέσπασαν· ἣ τοῖς Σελευκίδαις ὑπήκουε. ὁ βασιλεὺς Ἀρμενίων Τιγράνης, ὁ Τιγράνους, ἔθνη τινὰ τῶν περιοίκων ἰδίοις δυνάσταις χρώμενα ἑλών, βασιλεὺς ἀπὸ τοῦδε βασιλέων ἠξίωτο εἶναι· καὶ τοῖς Σελευκίδαις ἐπεστράτευεν, οὐ θέλουσιν ὑπακούειν. οὐχ ὑποστάντος δ' αὐτὸν Ἀντιόχου τοῦ Εὐσεβοῦς, ὁ Τιγράνης ἦρχε Συρίας τῆς μετ' Εὐφράτην· ὅσα γένη Σύρων μέχρις Αἰγύπτου. ἦρχε δὲ ὁμοῦ ἡ Κιλικία· καὶ γὰρ ἥδε τοῖς Σελευκίδαις ὑπήκουε· Μαγαδάτην στρατηγὸν ἐπὶ τάξας ἅπασιν ἐπὶ ἔτη τεσσαρεσκαίδεκα. Λευκόλλου δὲ τοῦ Ῥωμαίων στρατηγοῦ Μιθριδάτην διώκοντος ἐς τὸν Τιγράνην ὑποφεύγοντα, ὁ Μαγαδάτης ᾤχετο μετὰ τοῦ στρατοῦ Τιγράνῃ βοηθήσων. ἐν τῷδε παρελθὼν ἐς τὴν Συρίαν Ἀντίοχος ὁ Ἀντιόχου τοῦ Εὐσεβοῦς, ἦρχε τῶν Σύρων ἑκόντων. καὶ αὐτῷ Λεύκολλος μὲν ὁ Τιγράνῃ πρῶτος πολεμήσας, καὶ τῆς ἐπικτήτου γῆς αὐτὸν ἐξελάσας, οὐκ ἐφθόνησε τῆς ἀρχῆς πατρῴας. Πομπήιος δὲ ὁ ἐπὶ Λευκόλλῳ Μιθριδάτην ἐξελών, Τιγράνῃ μὲν Ἀρμενίαν συνεχώρησεν ἄρχειν· Ἀντίοχον δὲ ἐξέβαλε τῆς Σύρων ἀρχῆς, οὐδὲν ἐς Ῥωμαίους ἁμαρτόντα· ἔργῳ μὲν ὅτι ῥᾴδιον ἦν αὐτῷ στρατιὰν ἔχοντι πολλήν, ἀρχὴν ἄνοπλον ἀφελέσθαι· λόγῳ δὲ ὅτι τοὺς Σελευκίδας ὑπὸ Τιγράνους ἐκπεσόντας, οὐκ εἰκὸς ἦν ἔτι Συρίας ἄρχειν μᾶλλον ἢ Ῥωμαίους, Τιγράνην νενικηκότας. οὕτω μὲν δὴ Κιλικία τε ἡ Συρίας τῆς μεσογαίου ἡ κοίλη καὶ Φοινίκη καὶ Παλαιστίνη, ἡ ὅσα ἄλλα Συρίας ἀπὸ Εὐφράτου μέχρις Αἰγύπτου ἢ μέχρι θαλάσσης ὀνόματα, ἀμαχὶ Ῥωμαῖοι κατέσχον. ἓν δὲ γένος ἔτι τὸ Ἰουδαίων ἀνθιστάμενον, ὁ Πομπήιος ἐξεῖλε κατὰ κράτος· ἡ τὸν βασιλέα Ἀριστόβουλον ἔπεμψεν ἐς Ῥώμην· ἡ τὴν μεγίστην πόλιν Ἱεροσόλυμα ἡ ἁγιωτάτην αὐτοῖς κατέσκαψεν· ἣν δὴ καὶ Πτολεμαῖος ὁ πρῶτος Αἰγύπτου βασιλεὺς καθῃρήκει· καὶ Οὐεσπασιανὸς αὖθις οἰκισθεῖσαν κατέσκαψε, καὶ Ἀδριανὸς αὖθις ἐπ' ἐμοῦ. καὶ διὰ ταῦτ' ἐστὶν Ἰουδαίοις ἅπασιν ὁ φόρος τῶν σωμάτων βαρύτερος τῆς ἄλλης περιέσεως· ἔστι καὶ Σύροις καὶ Κίλιξιν ἐτήσιος, ἑκατοστὴ τοῦ τιμήματος ἑκάστῳ. Πομπήιος μὲν οὖν τῶν δὲ τῶν ὑπὸ τοῖς Σελευκίδαις γενομένων ἐθνῶν, τοῖς μὲν ἐπέστησεν οἰκείους βασιλέας ἢ δυνάστας.

καὶ Γαλατῶν τῶν ἐν Ἀσίᾳ· τοῖς δὲ δυνάσταις ἐβεβαίωσε τὰς τετραρχίας, συμμαχήσασιν οἱ, κατὰ Μιθριδάτου. καὶ οὐ πολὺ ὕστερον ἡ τάδε περιῆλθεν ἐς Ῥωμαίους, ἔστι καὶ ὅρος μάλιστα τοῦ ἐξ ἀσοῦ κατὰ μέρος. Συρίαν δὲ ὁ Πομπήιος Σκαῦρον τὸν ἐν τοῖς πολέμοις ἑαυτῷ γενόμενον ταμίαν ἔταξεν ἡγεῖσθαι. ἡ δὲ βουλὴ Φίλιππον τὸν Μάρκιον ἐπὶ Σκαύρῳ, ἡ Μαρκελλῖνον Λέντλον ἐπὶ Φιλίππῳ, ἄμφω στρατηγικοὺς κατὰ ἀξίωσιν. ἀλλὰ τῶνδε μὲν ἑκατέρῳ διετὴς ἐτρίφθη χρόνος, τοὺς γείτονας ἐνοχλοῦντας Ἄραβας ἀμυνομένῳ. καὶ τοῦδε χάριν ἐς τὸ ἔπειτα ἐγένοντο Συρίας στρατηγοὶ τῶν τὰ ἐπώνυμα ἀρξάντων ἐν ἄστει· ἵνα ἔχοιεν ἐξουσίαν καταλόγου τε στρατιᾶς ἢ πολέμου, οἷα ὕπατοι. καὶ πρῶτος ἐκ τῶνδε ἐπέμφθη Γαβίνιος μετὰ στρατιᾶς. καὶ πολεμεῖν ὁρμῶντα· Μιθριδάτης μὲν ὁ Παρθυαίων βασιλεὺς ἐκπεσὼν, ἡ ὁ δὲ τῆς ἀρχῆς, μετέπεισε χρήμασι πολλοῖς, ἀντὶ Παρθυαίων ἐπὶ Ἀλεξανδρέας. καὶ κατήγαγε μὲν Πτολεμαῖον ἐπὶ τὴν ἀρχὴν ὁ Γαβίνιος, Ἀλεξανδρεῦσι πολεμῶν· ὑπὸ δὲ τῆς τῶν Ῥωμαίων βουλῆς ἔφυγεν, ἐπὶ τῷ ἄνευ ψηφίσματος ἐς Αἴγυπτον ἐμβαλεῖν ἐπὶ πολέμῳ Ῥωμαίοις ἀπαισίῳ νομιζομένῳ. ἦν γάρ τι Σιβύλλειον αὐτοῖς ἀπαγορεῦον. ἐπὶ δὲ Γαβινίῳ μοι δοκεῖ Κράσσος ἄρξαι Σύρων· ᾧ τὸ πολεμοῦντι Παρθυαίοις, ἡ μεγάλη συμφορὰ γίγνεται. καὶ ἐπὶ Λευκίῳ Βύβλῳ μετὰ Κράσσον στρατηγοῦντι Συρίας, ἐς τὴν Συρίαν ἐσέβαλλον οἱ Παρθυαῖοι. Σάξα δὲ μετὰ Βύβλον ἡγουμένου, ἡ τὰ μέχρι Ἰωνίας ἐπέδραμον, ἀσχολουμένων Ῥωμαίων ἐς τὰ ἐς ἀλλήλους ἐμφύλια. ἀλλὰ τάδε μὲν ἐν τῇ ὡς ἂν τῇ Παρθικῇ συγγραφῇ λέξω. τῆς δὲ εἰ ὅλον τῆς δεούσης Συριακῆς, ὅπως μὲν ἔσχον οὖν Ῥωμαῖοι ἡ Συρίαν ἐς τὰ νῦν ὄντα ἀρκεῖ· οὐκ ἀπεικὸς δὲ οὖσαν Συριακήν, τὰ Μακεδόνων ἐπιδραμεῖν· οἳ πρὸ Ῥωμαίων Συρίας ἐβασίλευον. Ἀλέξανδρος μὲν δὴ βασιλεὺς ἦν ἐπὶ Πέρσαις Σύρων· ὅτι πάντων βασιλεὺς ὅσων ἦδεν. Ἀλεξάνδρου δὲ ἀποθανόντος ἐπὶ παισί, τῷ μὲν, βραχεῖ πάνυ· τῷ δὲ, ἔτι κυισκομένῳ, οἱ μὲν Μακεδόνες πόθῳ τοῦ Φιλίππου γένους, ἦλθον ἐς τὸν βασιλέα Ἀριδαῖον τὸν ἀδελφὸν Ἀλεξάνδρου. καίπερ οὐκ ἔμφρονα νομιζόμενον εἶναι· μετονομάσαντες δὲ Φίλιππον ἀντὶ Ἀριδαίου. τρεφομένων ἔτι τῶν παίδων Ἀλεξάνδρου, ἐφύλαξαν γὰρ δὴ καὶ τὴν κύουσαν· οἱ φίλοι δὲ ἐς σατραπείας ἀνένεμον τὰ ἔθνη, Περδίκκου διανέμοντος αὐτοῖς, ὑπὸ τῷ βασιλεῖ Φιλίππῳ. καὶ οὐ πολὺ ὕστερον τῶν βασιλέων ἀποθανόντων, βασιλεῖς ἐγένοντο οἱ σατράπαι.

Ἡ· ἐξελαυνόμενος τῆς ἀρχῆς ὑπὸ Ἡρώδου τοῦ ἀδελφοῦ μετῆγεν ἐξ Ἀραβ. ἐπὶ Παρθυαίους πόλεμον· δὲ αὐτὸν ἐνδεκτοῦ Αἰγύπτου βασιλεύς

Συρίας δὴ πρῶτος ἐγεγένητο σατράπης, Λαομέδων ὁ Μιτυληναῖος· ἔκ τε
Περδίκκου καὶ ἐξ Ἀντιπάτρου τοῦ μετὰ τὸν Περδίκκαν προστατεύσαντος τῶν
βασιλέων. Λαομέδοντα δὲ ἐπιπλεύσας Πτολεμαῖος ὁ τῆς Αἰγύπτου σατράπης,
ἔπειθε πολλοῖς χρήμασιν ἐγχειρίσαι οἱ Συρίαν· προβολήν τε οὖσαν Αἰ-
γύπτου καὶ ἐπὶ Κύπρον ὁρμητήριον. οὐ πειθόμενον, συνελάμβανεν· ὁ δὲ
τοὺς φύλακας διαφθείρας, πρὸς Ἀλκέταν ἔφυγεν ἐς Καρίαν. καί τινα χρόνον
ὁ Πτολεμαῖος ἦρχε Συρίας· καὶ φρουρὰς ἐν ταῖς πόλεσι καταλιπών, ἐς Αἴγυπτον
ἀπέπλει. Ἀντίγονος δὲ ἦν Φρυγίας μὲν καὶ Λυκίας καὶ Παμφυλίας σατράπης. ἐπί-
σκοπος δ' εἶναι τῆς ὅλης Ἀσίας ὑπ' Ἀντιπάτρου περῶντος ἐς τὴν Εὐρώπην ἀπο-
λελειμμένος, Εὐμενῆ τὸν Καππαδοκίας σατράπην ἐψηφισμένον εἶναι πολέ-
μιον τῶν Μακεδόνων ἐπολιόρκει. ὁ δέ, αὐτὸν ἐκφυγών, καὶ τὴν Μηδικὴν ἐκρά-
τυνε ἑαυτῷ. ἀλλ' Εὐμενῆ μὲν κτείνει καταλαβὼν ὁ Ἀντίγονος. καὶ ἐπανιών,
ὑπεδέχθη λαμπρῶς ὑπὸ Σελεύκου σατραπεύοντος ἐν Βαβυλῶνι. ὑβρί-
σαντος δέ τινα τῶν ἡγεμόνων τοῦ Σελεύκου, καὶ οὐ κοινώσαντος Ἀντιγόνῳ παρόν-
τος, χαλεπήνας ὁ Ἀντίγονος, ᾔτει λογισμοὺς κτημάτων τε καὶ χρημάτων. ὁ δέ, ἀσθενέ-
στερος ὢν Ἀντιγόνου, πρὸς Πτολεμαῖον ἐς Αἴγυπτον ὑπεχώρει. καὶ ὁ Ἀντίγονος
εὐθὺς ἐπὶ τῇ φυγῇ τοῦ Σελεύκου Βλίτορά τε Μεσοποταμίας ἡγούμενον παρέ-
λυσε τῆς ἀρχῆς, ὅτι Σέλευκον μεθῆκεν ἀπιόντα. καὶ τῆς Βαβυλῶνος καὶ τῶν
Μεσοποταμίων καὶ σατραπείας ἐκ Μήδων ἐπὶ τὸν Ἑλλήσποντον ἐθνῶν, καθίστατο
ἑαυτῷ, ἤδη καὶ Ἀντιπάτρου τεθνεῶτος. ἐπίφθονος ταῦθ' ἐκ τῶνδε τοῖς
ἄλλοις σατράπαις ἐγίγνετο, γῆς ἄρχων τοσῆσδε. διὸ δὴ μάλιστα τῷ Σελεύκῳ
παρακαλοῦντι, συνέθεντο Πτολεμαῖός τε καὶ Λυσίμαχος ὁ Θρᾴκης σατράπης,
καὶ Κάσανδρος ὁ Ἀντιπάτρου, Μακεδόνων ἐπὶ τῷ πατρὶ ἡγούμενος. ὁμοῦ πρε-
σβευσάμενοι τὸν Ἀντίγονον ἠξίουν, τὰ ἐπίκτητα αὐτῷ γενόμενα γῆν τε
καὶ χρήματα πρός τε σφᾶς νείμασθαι καὶ πρὸς τοὺς ἄλλους Μακεδόνας, οἳ τῶν
στρατιωτῶν ἐκπεπτώκεσαν. ἐπιγελάσαντος δὲ αὐτοῖς τοῦ Ἀντιγόνου,
οἱ μέν, ἐς πόλεμον καθίσταντο κοινόν· ὁ δέ, Ἀντίγονος παρεσκευάζετο. καὶ ἐξέ-
βαλλε τὰς φρουράς, ὅσαι ἔτι ἦσαν ἐν τῇ Συρίᾳ Πτολεμαίου· Φοινίκης τε καὶ τῆς
λεγομένης Κοίλης τὰ ἔτι ὄντα τοῦ Πτολεμαίου πρὸς ἑαυτὸν ἀθρόως περιέσπα.
χωρῶν δ' ὑπὲρ τὰς Κιλικίους πύλας, Δημήτριον τὸν υἱόν, ἀμφὶ δύο καὶ εἴκοσιν
ἔτη γεγονότα, ἐν Γάζῃ μετὰ τοῦ στρατοῦ καταλείπει· πρὸς τὰς ὁρμὰς Πτολεμαίου
τὰς ἀπ' Αἰγύπτου. τοῦτον ὁ Πτολεμαῖος ἐνίκα περὶ τὴν Γάζαν μάχῃ λαμπρᾷ.

καὶ τὸ μειράκιον ἐς τὸν πατέρα ἐχώρει. Πτολεμαῖος δ' αὖτε καὶ τὸν
Σέλευκον ἐς τὴν Βαβυλῶνα ἔπεμπε τὴν ἀρχὴν ἀναληψόμενον. καὶ
πεζοὺς ἐς τοῦτο ἔδωκεν αὐτῷ χιλίους καὶ τριακοσίους ἱππέας. καὶ σὺν
οὕτως ὀλίγοις ὁ Σέλευκος τήν τε Βαβυλωνίαν προθύμως αὐτὸν ἅμα τῶν
ἀνθρώπων ὑποδεχομένων ἀνέλαβε· καὶ τὴν ἀρχὴν μετ' οὐ πολύ, ἐς μέγα προή-
γαγεν. ὁ δ' Ἀντίγονος Πτολεμαῖον ἠμύνετο· καὶ ναυμαχίᾳ περὶ Κύπρον
ἐνίκα περιφανῶς· Δημητρίου τοῦ παιδὸς στρατηγοῦντος. ἐφ' ὅτῳ λαμ-
προτάτῳ γενομένῳ, ὁ στρατὸς ἀνεῖπεν ἄμφω βασιλέας, Ἀντίγονόν τε καὶ Δημή-
τριον· ἤδη καὶ τῶν βασιλέων τεθνεώτων· Ἀριδαίου τε τοῦ Φιλίππου
καὶ Ὀλυμπιάδος· καὶ τῶν υἱῶν Ἀλεξάνδρου. ἀνεῖπε δὲ καὶ Πτολεμαῖον ὁ
οἰκεῖος στρατὸς βασιλέα· ὡς μή τι διὰ τὴν ἧσσαν μειονεκτοίη τῶν νενική-
κότων. τοῖς δὲ μὲν δὴ τυχεῖν ὅμοιον συνηνέχθη κατ' ἐναντία. ἐπὶ τοῦτο δ' αὐτοῖς
ἀθρόοι οἱ λοιποί· καὶ βασιλεῖς ἀντὶ σατραπῶν ἐγίγνοντο. οὕτω δὴ καὶ ὁ
Σέλευκος ἐβασίλευσε τῆς Βαβυλωνίας. ἐβασίλευσε δὲ καὶ Μήδων· Νικάτωρ
κτείνας αὐτὸς ἐν τῇ μάχῃ, τὸν ὑπ' Ἀντιγόνου Μήδων σατράπην ἀπολε-
λειμμένον. πολέμοις δὲ ἐπολέμησε πολλοῖς Μακεδόσι καὶ βαρβάροις. καὶ
τούτων, Μακεδόσι μὲν δυσὶ μεγίστοις· τὸν μέν, ὕστερον Λυσιμάχῳ βασιλεύοντι
Θρᾴκης· τὸν δέ, πρότερον Ἀντιγόνῳ περὶ Ἰψὸν τῆς Φρυγίας· αὐτῷ στρατη-
γοῦντι καὶ αὐτῷ μαχομένῳ, καὶ ὑπὲρ ὀγδοήκοντα ἔτη γεγονότι. πεσόντος
δ' Ἀντιγόνου κατὰ τὴν μάχην, οἱ βασιλεῖς τὸν Ἀντίγονον ἅμα τῷ Σελεύκῳ
καθῃρηκότες, τὴν Ἀντιγόνου γῆν διενέμοντο. καὶ ὁ Σέλευκος τότε τῆς μετ'
Εὐφράτην Συρίας ἐπὶ θάλασσαν καὶ Φρυγίας τῆς ἀνὰ τὸ μεσόγαιον ἄρχειν διέ-
λαχεν. ἐφεδρεύων δ' ἀεὶ τοῖς ἐγγὺς ἔθνεσι καὶ δυνατὸς ὢν βιάσασθαι καὶ πιθανὸς
προσαγαγέσθαι, ἦρξε Μεσοποταμίας καὶ Ἀρμενίας καὶ Καππαδοκίας τῆς Σελευκίδος
λεγομένης· καὶ Περσῶν καὶ Παρθυαίων καὶ Βακτρίων καὶ Ἀράβων καὶ Ταπύρων· καὶ τῆς
Σογδιανῆς· καὶ Ἀραχωσίας καὶ Ὑρκανίας· καὶ ὅσα ἄλλα ὅμορα ἔθνη μέχρι Ἰνδοῦ
ποταμοῦ, Ἀλεξάνδρῳ γεγένητο δοριάλωτα· ὡς ὡρίσθαι τῷδε μάλιστα μετὰ
Ἀλέξανδρον, τῆς Ἀσίας τὸ πλέον. ἀπὸ γὰρ Φρυγίας ἐπὶ ποταμὸν Ἰνδὸν ἀνιόντι,
πάντα Σελεύκῳ κατήκουε. καὶ τὸν Ἰνδὸν περάσας, ἐπολέμησεν Ἀνδροκόττῳ
βασιλεῖ τῶν περὶ αὐτὸν Ἰνδῶν· μέχρι φιλίαν αὐτῷ καὶ κῆδος συνέθετο. καὶ
τῶνδε, τὰ μέν, πρὸ τῆς Ἀντιγόνου τελευτῆς· τὰ δέ, μετ' Ἀντιγόνου ἐποίησε.
λέγεται δ' αὐτῷ στρατιώτῃ βασιλεῖ ἔτι ὄντι, καὶ ἐπὶ Πέρσας ἑπομένῳ,

χρησμὸν ἐν Διδυμέως γενέσθαι· πυνθανομένῳ περὶ τῆς ἐς Μακεδονίαν
ἐπανόδου· μὴ σπεῦδ' Εὐρώπηνδε· Ἀσίη τοι πολὺ ἀμείνων· καὶ ἐν Μακεδονίᾳ
τὴν ἑστίαν αὐτῶν τὴν πατρῴαν οὐδενὸς ἅπτοντος, ἐκλάμπεσθαι πῦρ μέγα· καὶ ὄναρ
αὐτοῦ τὴν μητέρα ἰδεῖν, ὃν ἂν εὕροι δακτύλιον, δοῦναι φόρημα Σελεύκῳ· τὸν δὲ,
βασιλεύσειν ἔνθα ἂν ὁ δακτύλιος ἐκπέσοι· καὶ ἡ μὲν, εὗρεν ἄγκυραν ἐν σιδήρῳ
κεχαραγμένην· ὁ δὲ τὴν σφραγῖδα τήνδε ἀπώλεσε κατὰ τὸν Εὐφράτην. λέγεται καὶ
ἐς τὴν Βαβυλῶνα ἐπιόντα ὕστερον, προσκόψαι πρὸς λίθον· καὶ τοῦ λίθου ἀνασκα-
φέντος, ἄγκυραν ὀφθῆναι· θορυβουμένων δὲ τῶν μάντεων ὡς ἐπὶ συμβόλῳ
κατοχῆς, Πτολεμαῖον τὸν Λάγου παραπέμποντα εἰπεῖν, ἀσφαλείας τὴν ἄγκυραν, οὐ
κατοχῆς εἶναι σύμβολον· καὶ Σελεύκῳ μὲν διὰ τοῦτο ἄρα βασιλεύσαντι, ἡ σφραγὶς
ἄγκυρα ἦν. δοκεῖ δέ τισι καὶ σημεῖον ἔτι Ἀλεξάνδρου περιόντος καὶ φοροῦντος ἔτι ὄντος τοῦ
Σελεύκου στρατηγοῦ περὶ τῆς ἀρχῆς τοιόνδε γενέσθαι. Ἀλεξάνδρῳ γὰρ ἐξ Ἰνδῶν
ἐς Βαβυλῶνα ἐπανελθόντι, καὶ τὰς ἐν αὐτῇ τῇ Βαβυλωνίᾳ λίμνας, ἐπὶ χρείᾳ
τοῦ τὸν Εὐφράτην τὴν Ἀσσυρίδα γῆν ἄρδειν περιπλέοντι, ἄνεμος ἐμπεσὼν, ἥρ-
πασε τὸ διάδημα· καὶ φερόμενον ἐκρεμάσθη δόνακος ἐν τάφῳ τινὸς ἀρχαίου
βασιλέως. καὶ ἐσήμαινε μὲν ἐς τὴν τελευτὴν τοῦ βασιλέως καὶ τόδε· ναύτην δέ φασιν
ἐκκολυμβήσαντα, περιθέσθαι τῇ κεφαλῇ τὸ διάδημα καὶ ἐνεγκεῖν ἄβροχον
Ἀλεξάνδρῳ· καὶ λαβεῖν τῆς προθυμίας αὐτίκα δωρεὰν παρὰ τοῦ βασιλέως, τάλαντον
ἀργυρίου· τῶν δὲ μάντεων αὐτὸν ἀναιρεῖν κελευόντων, οἱ μὲν, πεισθῆναι τὸν Ἀλέ-
ξανδρον αὐτοῖς· οἱ δὲ, ἀντειπεῖν. εἰσὶ δὲ οἳ τάδε πάντα ὑπερελθόντες, οὐ ναύτην
ὅλως φασὶν, ἀλλὰ Σέλευκον ἐπὶ τὸ διάδημα τοῦ βασιλέως ἐκκολυμβῆσαι· καὶ περι-
θέσθαι Σέλευκον αὐτὸ τῇ κεφαλῇ, ἵνα ἄβροχον ᾖ· καὶ τὰ σημεῖα ἐς τέλος ἀμφοῖν
ἀποβῆναι· Ἀλέξανδρόν τε γὰρ ἐν Βαβυλῶνι μεταστῆναι τοῦ βίου· καὶ Σέλευκον τῆς
Ἀλεξάνδρου γῆς, ὅτι πλείστης μάλιστα τῶν δὲ τῶν Ἀλεξάνδρου διαδόχων βασι-
λεῦσαι. τοσαῦτα μὲν δὴ περὶ τῶν Σελεύκῳ προμαντευθέντων ἐπυθόμην. γίνεται
δὲ μετ' Ἀλέξανδρον ἡγεμὼν αὐτὸς τῆς ἵππου τῆς ἑταιρικῆς· ἧς δὴ καὶ
Ἡφαιστίων ἡγεῖτο Ἀλεξάνδρῳ· καὶ ἐπὶ Ἡφαιστίωνι Περδίκκας· μετὰ δὲ τὴν
ἵππον, σατράπης τε τῆς Βαβυλωνίας, καὶ βασιλεὺς ἐπὶ τῇ σατραπείᾳ. γενομένων
δὲ αὐτῷ τῶν πολέμων ἐπιτυχεστάτων, Νικάτωρ ἐπώνυμον γίνεται· τόδε
γὰρ ἀρέσκομαι μᾶλλον τοῦ Νικάτορα κτεῖναι. καὶ τὸ σῶμα ὄντι ἐρρωμένῳ τε καὶ
μεγάλῳ· καὶ ταῦρον ἄγριον ἐν Ἀλεξάνδρου θυσίᾳ ποτὲ, ἐκθορόντα τῶν δεσμῶν,
ὑποστῆναι μόνῳ καὶ ταῖς χερσὶ μόναις κατεργασαμένῳ, προστιθέασιν οἱ τοῖς

ἀνδριάσιν ἐπὶ τῷδε κέρατα. πόλεις δὲ ᾤκισεν ἐπὶ τὸ μῆκος τῆς ἀρχῆς
ὅλης, ἑκκαίδεκα μὲν Ἀντιοχείας ἐπὶ τῷ πατρί· πέντε δὲ ἐπὶ τῇ μητρὶ Λαοδι-
κείας· ἐννέα δὲ ἐπωνύμους ἑαυτῷ· τέσσαρας δὲ ἐπὶ ταῖς γυναιξί· τρεῖς Ἀπαμεί-
ας, καὶ Στρατονίκειαν μίαν. καὶ εἰσὶν αὐτῶν ἐπιφανέσταται καὶ νῦν, Σελεύκειαι
μὲν, ἥ τε ἐπὶ θαλάσσῃ, καὶ ἡ ἐπὶ τοῦ Τίγρητος ποταμοῦ· Λαοδίκεια δὲ,
ἐν τῇ Φοινίκῃ· καὶ Ἀντιόχεια ἡ ὑπὸ τῷ Λιβάνῳ ὄρει· καὶ ἡ τῆς Συρίας Ἀπά-
μεια. τὰς δὲ ἄλλας, ἐκ τῆς Ἑλλάδος ἢ Μακεδονίας ὠνόμαζεν· ἢ ἐπὶ ἔργοις
ἑαυτοῦ τισίν· ἢ ἐς τιμὴν Ἀλεξάνδρου τοῦ βασιλέως· ὅθεν ἐστὶν ἐν τῇ Συρίᾳ καὶ τοῖς ὑπὲρ
αὐτὴν ἄνω βαρβάροις, πολλὰ μὲν Ἑλληνικῶν, πολλὰ δὲ Μακεδονικῶν πολισμάτων
ὀνόματα· Βέρροια· Ἔδεσσα· Πέρινθος· Μαρώνεια· Καλλίπολις· Ἀχαΐα· Πέλλα·
Ὠρωπός· Ἀμφίπολις· Ἀρέθουσα· Ἀστακός· Τεγέα· Χαλκίς· Λάρισσα· Ἡραία·
Ἀπολλωνία· ἐν δὲ τῇ Παρθυηνῇ, Σώτειρα· Καλλιόπη· Χάρις· Ἑκατόμπυλος· Ἀ-
χαΐα· ἐν Ἰνδοῖς, Ἀλεξανδρόπολις· ἐν δὲ Σκύθαις, Ἀλεξανδρέσχατα. καὶ
ἐπὶ ταῖς αὐτοῦ Σελεύκου νίκαις ἐστί· Νικηφόριόν τε ἐν τῇ Μεσοποταμίᾳ· καὶ Νικό-
πολις ἐν Ἀρμενίᾳ τῇ ἀγχοτάτω μάλιστα Καππαδοκίας. φασὶ δὲ δὲ αὐτῷ τὰς
Σελευκείας οἰκίζοντι, τὴν μὲν ἐπὶ θαλάσσῃ, διοσημείαν ἡγήσασθαι κεραυνοῦ· καὶ διὰ τοῦτο
θεὸν αὐτοῖς κεραυνὸν ἔθετο· καὶ θρησκεύουσι καὶ ὑμνοῦσι καὶ νῦν κεραυνόν. ἐς δὲ τὴν
ἐπὶ τοῦ Τίγρητος, ἡμέραν ἐπιλεξαμένους τοὺς μάγους κελευομένους, καὶ τῆς ἡμέρας
ὥραν, ἡ τῶν θεμελίων ἄρξασθαι τῆς ὀρυχῆς ἔδει, ψεύσασθαι τὴν ὥραν τοὺς μάγους,
οὐκ ἐθέλοντας ἐπιτείχισμα σφίσι τοιοῦτον γενέσθαι. καὶ Σέλευκος μὲν ἐπὶ σκηνῆς
τὴν δεδομένην ὥραν ἀνέμενεν· ὁ δὲ στρατὸς ἐς τὸ ἔργον ἕτοιμος, ἀτρεμῶν, ἔστε Σέλευ-
κος σημήνειεν, ἄφνω κατὰ τὴν αἰσιωτέραν ὥραν, ἔδοξέν τινα κελεύειν ἐπὶ τὸ
ἔργον ἀνεπήδησεν· ὡς μηδὲ τῶν κηρύκων κωλυόντων ἔτι ἀνασχέσθαι· τὸ μὲν δὴ ἔργον,
ἐξετετέλεστο· Σελεύκῳ δὲ ἀθύμως ἔχοντι, καὶ τοὺς μάγους αὖθις ἀνακρίνοντι περὶ τῆς
πόλεως, ἄδειαν αἰτήσαντες εἶπον οἱ μάγοι· τὸ πεπρωμένον ὦ βασιλεῦ μοῖραν χείρονά τε
καὶ κρείττονα, οὐκ ἔστιν οὔτε ἀνδρὸς οὔτε πόλεως ἐναλλάξαι· μοῖρα δέ τις καὶ πόλεών
ἐστιν ὥσπερ ἀνδρῶν· καὶ τήνδε χρονιωτάτην μὲν ἔδοξε τοῖς θεοῖς γενέσθαι, ἀρχο-
μένην ἐκ τῆσδε τῆς ὥρας ἧς ἐγένετο· δυσμαίνοντες δὲ ἡμᾶς ὡς ἐπιτείχισμα
ἡμῖν ἐσομένην, παρεφέρομεν τὸ πεπρωμένον. τὸ δὲ κρεῖσσον ἦν καὶ μάγων πανούρ-
γων, καὶ βασιλέως ἀγνοοῦντος αὐτό. τοιγάρτοι τὸ δαιμόνιον τὰ αἰσιώτερα τῷ στρατῷ
προσέταξε. καὶ τοῦτο ἔνι σοι καταμαθεῖν ὧδε· ἵνα μή τι καὶ νῦν ἡμᾶς ἔτι τεχνάζειν
ἐπινοῇς· αὐτός τε γὰρ ὁ βασιλεὺς σὺν τῷ στρατῷ παρεκάθητο, καὶ κεκέλευστο αὐτός

ἐδεῖτο καὶ ἐς ἀναμένειν· ὁ δ' οὖν ἐπιθέστατος ὢν δεῖ πρὸς κίνδυνον τὸν ἐφ' ὁδόν, γὰρ ἦγε
σχέτο γνῶ, οὐδὲ ἀναπαύσεσθαι ἐπὶ τάγματος· ἀλλ' ἀνέθορεν, οὐδὲ ἀνὰ μέρος· ἀλλ' ἀθρόως
ἐπὶ σταθμοῖς αὐτοῖς· καὶ ἐνόμιζε κεκηρῦχθαι· ἐκεκήρυκτο δή· διόπερ οὐδὲ σοῦ κατε-
ρύκοντος αὐτοὺς ἔτι ἐπείθοντο· τί δ' οὖν, βασιλεῦ, ἐν ἀνθρώποις ἀνάγκης καρτερώτερον ἄλλο ἢ θεοῦ,
ὃς τῆς σῆς γνώμης ἐπεκράτησε· καὶ ἡγεμόνα σοι τῆς πόλεως ἀντὶ ἡμῶν· διὸ μὲν αὐ-
τὴν μέν τε ἐγένετο ἀντὶ τῶν οἰκείων· πῶς γὰρ ἐπὶ τὰ ἡμέτερα ἰσχύος ἰδίων ἄλλων τῶν
γένους ἀντιπαρῳκισμένου· ἡ μὲν δὴ πόλις σοι γέγονε σὺν τύχῃ καὶ μεγίστη δὴ καὶ χρόνιος
ἔσται· σὺ δὲ ἡμῖν ἐξαμαρτοῦσιν ὑπὸ δέους οἰκείων ἀγαθῶν ἀφαιρέσεως, τὴν σὴν συγγνώμην
βεβαίου. ταῦτα τῶν μάγων εἰπόντων, ὁ βασιλεὺς ἥσθη καὶ συνέγνω· τοιάδε μὲν ἐπὶ
ποιμένι περὶ Σελευκείας. ὁ δὲ Σέλευκος τὸν υἱὸν Ἀντίοχον περιὼν ἔτι, τῆς ἄνω γῆς βασι-
λέα ἀπέφηνεν ἀνθ' ἑαυτοῦ. καὶ εἰ τῷ μεγαλόφρον τοῦτο καὶ φαίνεται τὸ δὲ καὶ βασιλικόν, μεγαλο-
φρονέστερον ἔτι καὶ σοφώτερον ἤνεγκε τὸν ἔρωτα τοῦ παιδός· καὶ παρὰ τὸ πάθος αὐτοῦ σω-
φροσύνην. ἤρα μὲν γὰρ ὁ Ἀντίοχος Στρατονίκης τῆς αὐτοῦ Σελεύκου γυναικός, μη-
τρυιᾶς οἱ γενομένης, καὶ παιδίον ἤδη Σελεύκῳ πεποιημένης· συγγινώσκων δὲ
τὴν ἀθεμιστίαν τοῦ πάθους, οὔτε ἐπεχείρει τῷ κακῷ, οὔτε προύφερεν· ἀλλ' ἐνόσει καὶ
παρεῖτο· καὶ ἑκὼν ἐς τὸν θάνατον συνήργει· οὐδ' ὁ περιώνυμος ἰατρὸς Ἐρασίστρατος,
ἐπὶ μεγίσταις συντάξεσι Σελεύκῳ συνών, εἶχέ τινα κρίσιν τοῦ πάθους, μέχρι φυλάξας
καθαρὸν πάντων τὸ σῶμα, εἴκασεν εἶναι τῆς ψυχῆς τὴν νόσον· ᾗ δὴ καὶ ἐρρωμένῃ καὶ νο-
σούσῃ τὸ σῶμα συναισθάνεται. λύπας μὲν οὖν καὶ ὀργὰς καὶ τὰ ἄλλα πάθη ὁμολογεῖσθαι,
ἔρωτα δὲ ἐπικρύπτεσθαι πρὸς τῶν σωφρόνων. οὐδὲ δ' οὖν τοῦ Ἀντιόχου φράζοντος
αὐτῷ, λιπαροῦντι μαθεῖν ἀνὰ ἀπόρρητον, παρεκαθέζετο καὶ ἐφύλασσε τὰς τοῦ σώματος
μεταβολάς, ὅπως ἔχοι πρὸς ἕκαστον τῶν ἐσιόντων· ὡς δὲ εὗρεν ἐπὶ μὲν τῶν ἄλλων ἐκλυό-
μενον αἰεὶ τὸ σῶμα καὶ μαραινόμενον ὁμαλῶς, ὅτε δὲ ἡ Στρατονίκη παρείοι πρὸς αὐτὸν
ἐπισκεψομένη, τὴν μὲν γνώμην ὑπ' αἰδοῦς καὶ συνειδότος τότε μάλιστα αὐτὸν ἐνο-
χλούμενον σιωπῶντα, τὸ δὲ σῶμα καὶ ἄκοντος αὐτοῦ θαλερώτερόν τε γινόμενον καὶ
ζωτικώτερον, καὶ αὖθις ἀπιούσης ἀσθενέστερον, ἔφη τῷ Σελεύκῳ τὸν υἱὸν ἀνιάτως
ἔχειν αὐτῷ. ὑπεραλγήσαντος δὲ τοῦ βασιλέως καὶ ἐκβοήσαντος, ἐπεῖπεν· ἔρως ἐστὶ τὸ
πάθος, καὶ ἔρως γυναικός, ἀλλ' ἀδυνάτου. Σελεύκου δὲ θαυμάσαντος ὅτι τίνα μὴ
δύναιτο πεῖσαι Σέλευκος ὁ τῆς Ἀσίας βασιλεὺς ἐπὶ γάμῳ τοιοῦδε παιδὸς ἱκεσίαις τε καὶ
χρήμασι καὶ δωρεαῖς καὶ ὅλῃ τῇ τοσῇδε βασιλείᾳ, περιιούσῃ μὲν ἐς τόνδε τὸν κά-
μνοντα βασιλέα, διδομένῃ δὲ καὶ νῦν ἀντὶ τῆς σωτηρίας εἴ τις ἐθέλοι, καὶ μόνον
ἀξιοῦντος μαθεῖν, τίς ἐστι τὸ γύναιον, ὁ Ἐρασίστρατος ἔφη· τῆς ἐμῆς γυναικὸς ἐρᾷ.

Ἐρασίστρατος

Καὶ ὁ Σέλευκος εἶπεν· ὦ γαθέ, ἔφη, φίλος μὲν οὕτω καὶ εὐεργεσίαις ἔχων ἐφ' ἡμῖν, ἀρετῆς δὲ
καὶ σοφίας ἐν ὀλίγοις, οὐ σώσεις μοι νέον ἄνδρα καὶ βασιλικὸν καὶ φίλου καὶ βασιλέως υἱόν,
ἀτυχοῦντα καὶ σωφρονοῦντα καὶ τὸ κακὸν ἐπικρύπτοντα, καὶ προτιμῶντα
αὐτοῦ θάνατον, ἀλλ' ὑπερόψει μὲν οὕτως Ἀντίοχον, ὑπερόψει δὲ ἐπ' αὐτῷ καὶ
Σέλευκον; ὁ δ' ἀπομαχόμενος ἔτι παράλογον, ὡς ἄφυκτον· ὅτι μηδ' ἂν σὺ καίπερ
ὢν πατήρ, τῆς σῆς Ἀντίοχος εἰ ἤρα γυναικός, μεθῆκας ἂν αὐτῷ τὴν γυναῖκα. ἔνθα
δὴ πάντας ὤμνυ τοὺς βασιλείους θεοὺς ὁ Σέλευκος, ἦ μὴν ἑκὼν ἂν καὶ χαίρων μεθεῖναι.
καὶ διήγημα γενέσθαι καλὸν ἀμοιβαῖον ἀγαθοῦ πατρός, εὖ παῖδα σώφρονα καὶ ἐγκρατῆ
τοῦ κακοῦ καὶ ἀνάξιον τῆς συμφορᾶς. πολλά τε ὅμοια ἐπενεγκών, ἤρξατο ἄχθεσθαι
ὅτι μὴ αὐτὸς αὐτῷ γίνοιτο ἰατρὸς ἀτυχοῦντι, ἀλλὰ καὶ ταῦτα δέοιτο Ἐρασι-
στράτου. ὁ δὲ ἐπεὶ κατεῖδε τὴν ὁρμὴν τοῦ βασιλέως ἔργον ὑποφαίνουσαν οὐχ ὑπό-
κρισιν, ἀνεκάλυπτε τὸ πάθος· καὶ ὅπως αὐτὸ ἀνεῦροι κρυπτόμενον διηγεῖτο.
Σελεύκῳ δὲ ἡσθέντι, ἔργον μὲν ἐγένετο πεῖσαι τὸν υἱόν· ἔργον δὲ ἐπὶ τῷ καὶ τὴν
γυναῖκα. ὡς δὲ ἔπεισε, τὴν στρατιὰν συναγαγών, αἰσθομένην ἴσως ἤδη τι τοῦ,
κατελογίζετο μὲν αὐτοῖς τὰ ἔργα τὰ ἑαυτοῦ· καὶ τὴν ἀρχήν, ὅτι δὴ μάλιστα
τῶν Ἀλεξάνδρου διαδόχων, ἐπὶ μήκιστον προαγάγοι· διὸ καὶ γηρῶντι ἤδη,
δυσκράτητον εἶναι διὰ τὸ μέγεθος. ἐθέλω δέ, ἔφη, διελεῖν τὸ μέγεθος ἐς
τὴν ὑμετέραν τοῦ μέλλοντος ἀμεριμνίαν· καὶ τὸ μέρος ἤδη δοῦναι τοῖς ἐμοῖς φιλ-
τάτοις. δίκαιοι δ' ἐστέ μοι πάντες ἐς πάντα συναίρειν· οἱ μετὰ τοσοῦτον ἀρχῆς
καὶ δυνάμεως ηὐξήθητε ὑπ' ἐμοῦ μετ' Ἀλέξανδρον. φίλτατοι δ' εἰσί μοι καὶ
ἀρχῆς ἄξιοι, τῶν τε παίδων ὁ τέλειος ἤδη καὶ ἡ γυνή. ἤδη δ' αὐτοῖς καὶ παῖδες
ὡς νέοις γένοιντο ταχέως· καὶ πλέονες φύλακες ὑμῖν τῆς ἡγεμονίας εἶεν·
ἁρμόζω σφίσιν ἀλλήλους ἐφ' ὑμῶν· καὶ πέμπω βασιλεύειν τῶν ἐθνῶν
ἤδη τῶν ἄνω· καὶ οὐ Περσῶν ὑμῖν ἐπιθήσω ἔθη καὶ ἑτέρων ἐθνῶν μᾶλλον, ἢ τόνδε
τὸν κοινὸν ἅπασιν ἐπιθήσω νόμον· ἀεὶ δίκαιον εἶναι τὸ πρὸς βασιλέως ὑμῖν ὁριζό-
μενον. ὁ μὲν δὴ οὕτως εἶπεν· ἡ στρατιὰ δὲ ὡς βασιλέα τῶν ἐπ' Ἀλεξάνδρῳ
μέγιστον καὶ πατέρα ἄριστον, εὐφήμει. καὶ ὁ Σέλευκος Στρατονίκην καὶ τῷ παιδὶ τὰ
αὐτὰ προστάξας, ἔζευγνυ τὸν γάμον· καὶ ἐπὶ τὴν βασιλείαν ἐξέπεμπεν·
ἔργον ἀοίδιμον τόδε καὶ δυνατώτερον τῶν ἐν πολέμοις αὐτῷ γενομένων ἐργασά-
μενος. σατράπαι δὲ ἦσαν ὑπ' αὐτῷ δύο καὶ ἑβδομήκοντα· τοσαύτης ἐ-
βασίλευε γῆς· καὶ τὴν πλείονα τῷ παιδὶ παραδούς, ἦρχε τῶν ἀπὸ θαλάσσης
ἐπὶ Εὐφράτην μόνων· καὶ πόλεμον τελευταῖον Λυσιμάχῳ περὶ Φρυγίαν

πλέων ἐφ' Ἑλλήσποντον τῷ πολέμῳ, Λυσίμαχον μὲν ἐκράτει πεσόντος ἐν τῇ
μάχῃ· αὐτὸς δὲ τὸν Ἑλλήσποντον ἐπέρα· καὶ ἐς Λυσιμάχειαν ἀναβαίνων,
κτείνεται· Πτολεμαῖος δ' αὐτὸν ἑπόμενος, ἔκτεινεν· ὅτῳ κεραυνὸς ἐπί-
κλησις· υἱὸς ἦν ὁ κεραυνὸς ὁ δὲ Πτολεμαίου τοῦ σωτῆρος ἀπὸ Εὐρυδίκης τῆς Ἀντι-
πάτρου· καὶ αὐτὸν ἐκπεσόντα Αἰγύπτου διὰ δέος, ὅτι νεωτάτῳ παιδὶ ὁ
Πτολεμαῖος τὴν ἀρχὴν ἐπενόει δοῦναι, ὁ Σέλευκος οἷα φίλου παῖδα ἀτυχοῦντα,
ὑπεδέξατο καὶ ἔφερβε· καὶ ἐπήγετο πάντῃ φονέα αὐτοῦ· καὶ Σέλευκος μὲν
οὕτω τελευτᾷ, τρία καὶ ἑβδομήκοντα ἔτη βιώσας· καὶ βασιλεύσας ἐξ αὐτῶν,
δύο καὶ τεσσαράκοντα· καί μοι δοκεῖ καὶ ἐν τούτῳ αὐτῷ συνενεχθῆναι τὸ αὐτὸ
λόγιον· μὴ σπεῦδ' Εὐρώπην· Ἀσίη τοι πολλὸν ἀμείνων· ἦν γὰρ Λυσιμάχεια τῆς
Εὐρώπης ἤδη· καὶ τότε πρῶτον ἀπὸ τῆς Ἀλεξάνδρου στρατιᾶς ἐς τὴν Εὐρώπην
διεπέρα· λέγεται δὲ καὶ περὶ αὐτοῦ τοῦ θανάτου ποτὲ αὐτῷ χρωμένῳ, λόγιον
προαγορευθῆναι, Ἄργος ἀλευόμενος, τὸ πεπρωμένον εἰς ἔτος ἥξεις· εἰ δ' Ἄργει
πελάσαις, τότε κεν περὰ μοῖραν ὄλοιο. ὁ μὲν δή, Ἄργος τὸ ἐν Πελοποννήσῳ
καὶ Ἄργος τὸ Ἀμφιλοχικὸν· καὶ Ἄργος τὸ ἐν Ὀρεστείᾳ· ὅθεν οἱ Ἀργεάδαι Μακεδόνες·
καὶ τὸ ἐν τῷ Ἰονίῳ λεγόμενον οἰκῆσαι Διομήδην ἀλώμενον· καὶ ἔτι πού τις
ἄλλο Ἄργος ἐκαλεῖτο, πάντα ἀνεζήτει καὶ ἐφυλάττετο· ἀναβαίνοντι δὲ ἐς
τὴν Λυσιμάχειαν αὐτῷ ἀπὸ τοῦ Ἑλλησπόντου, βωμὸς ἦν ἐν ὄψει μέγας τε καὶ
περιφανής· καὶ πυθόμενος αὐτόν, ἢ τοὺς Ἀργοναύτας ἱδρύσασθαι παραπλέοντας
ἐν Κόλχοις, ἢ τοὺς Ἀχαιοὺς ἐπὶ Ἴλιον στρατεύοντας, καὶ διὰ τοῦτο ἔτι τὸν βωμὸν
τοὺς περιχώρους Ἄργος καλεῖν, ἢ διὰ τὴν ναῦν διαφθείροντας τὸ ὄνομα, ἢ διὰ
τὴν πατρίδα τῶν Ἀτρειδῶν, κτείνεται ταῦτα ἔτι μανθάνων ὑπὸ τοῦ Πτολεμαίου
προσπεσόντος ὄπισθεν· καὶ Σέλευκον μὲν ἔκαιε Φιλέταιρος ὁ Περγάμου
δυναστεύσας, πολλῶν χρημάτων τὸ σῶμα τὸν Κεραυνὸν αἰτήσας· καὶ τὰ λείψανα
ἔπεμψεν Ἀντιόχῳ τῷ παιδὶ αὐτοῦ· ὁ δ' ἐν Σελευκείᾳ τῇ πρὸς θαλάσσῃ κατέ-
θετο· καὶ νεὼν αὐτῷ ἐπέστησε, καὶ τέμενος περιέθηκε· καὶ τὸ τέμενος Νικατό-
ρειον ἐπικλήζεται· Λυσίμαχον δὲ πυνθάνομαι τῶν ὑπασπιστῶν ὄντα τῶν
Ἀλεξάνδρου, παρατροχάσαι ποτὲ ἐπὶ πλεῖστον αὐτῷ· καὶ καμόντα, τῆς οὐρᾶς
τοῦ βασιλέως ἵππου λαβόμενον, ἔτι συντρέχειν· πληγέντα δὲ ἐν τῷ μετώπῳ
ἐπὶ τὴν φλέβα ἐκ τῆς τοῦ βασιλέως δόρατος, αἱμορροεῖν· τὸν δὲ Ἀλέξανδρον
ἀπορίᾳ τῇ ἀμφὶ τῷ διαδήματι αὐτοῦ τὸ τραῦμα περιδῆσαι· καὶ ἐμπλη-
σθῆναι μὲν αἵματος τὸ διάδημα· τὸν δὲ Ἀλέξανδρον μάντιν Ἀρίστανδρον

φερομένῳ τῷ Λυσιμάχῳ καὶ ὧδε ἔχοντι, εἰπεῖν· ὅτι βασιλεύσει μὲν
οὗτος ὁ ἀνήρ, βασιλεύσει δὲ ἐπιπόνως· ὁ μὲν δὴ καὶ ἐβασίλευσε τεσσαρά-
κοντα ἔτη μάλιστα σὺν οἷς ἐσατράπευσε· καὶ ἐπιπόνως ἐβασίλευσε·
καὶ ἑβδομηκοντούτης ὤν, στρατευόμενος καὶ μαχόμενος, ἔπεσε· [illegible] δὲ
ἐπαναιρεθέντος αὐτῷ τοῦ Σελεύκου, κείμενον τὸ σῶμα τοῦ Λυσιμάχου,
κύων οἰκεῖος ἐν πολλῷ ὑπὸ μαχῶν, ἀλλὰ μάλιστα ὀρνέων καὶ θηρίων διεφύ-
λαξε· μέχρι Θώραξ ὁ Φαρσάλιος ἀνελὼν ἔθαψεν· οἱ δὲ, Ἀλέξανδρον φασὶ
θάψαι, τὸν αὐτοῦ Λυσιμάχου παῖδα· φυγόντα μὲν ὑποδείσας πρὸς
Σέλευκον, ὅτε Λυσίμαχος Ἀγαθοκλέα τὸν ἕτερον αὐτοῦ παῖδα ἀνεῖλεν·
ἀναζητούμενον δὲ ἐν τῷ τότε τὸ σῶμα καὶ ἐκ τοῦ κυνὸς μάλιστα ἀνευρόντα
ἤδη διεφθαρμένον· τὰ δὲ ὀστᾶ τοῖς Λυσιμαχεῦσιν ἐνθέσθαι, τῷ σφετέρῳ ἱερῷ.
καὶ τὸ ἱερὸν Λυσιμάχειον προσαγορεῦσαι· τοιοῦδε μὲν δὴ τέλους ἑκάτερος
τῶν δὲ τῶν βασιλέων συνηνέχθη· ἀνδρειοτάτων τε καὶ τὰ σώματα μεγί-
στων γενομένων· τοῦ μέν, ἐν ἑβδομήκοντα ἔτη, τοῦ δέ, ἐν πλείονα τούτων,
ἔτι ἄλλα τρία· μεμαχημένων ἐκ χειρὸς οἱ καὶ αὐτοί, μέχρι τοῦ θανάτου·
Σελεύκου δὲ ἀποθανόντος, διάδοχοι παῖς παρὰ πατρὸς ἐκδεχόμενοι τὴν
Σύρων ἀρχήν, ἐγένοντο οἵδε· Ἀντίοχος μὲν πρῶτος ὁ δέ, ὁ τῆς μητρυιᾶς
ἐρασθείς· ὃς καὶ Σωτὴρ ἐπεκλήθη· Γαλάτας ἐκ τῆς Εὐρώπης ἐς τὴν Ἀσίαν
ἐμβάλλοντας ἐξελάσας· Ἀντίοχος δὲ ἕτερος, ἐκ τοῦδε τοῦ γάμου
γενόμενος, ὅτῳ Θεὸς ἐπώνυμον ὑπὸ Μιλησίων γίνεται πρῶτον· ὅτι αὐτοὺς
Τίμαρχον τύραννον καθεῖλεν· ἀλλὰ τόνδε μὲν τὸν Θεὸν ἔκτεινεν ἡ γυνὴ φαρ-
μάκῳ· δύο δὲ εἶχε, Λαοδίκην καὶ Βερενίκην· ἐξ ἔρωτός τε καὶ ἐγγύης Πτο-
λεμαίου τοῦ Φιλαδέλφου θυγατέρα· καὶ αὐτὸν ἔκτεινε Λαοδίκη· καὶ
ἐπ' ἐκείνῳ Βερενίκην τε καὶ τὸ Βερενίκης βρέφος· καὶ Πτολεμαῖος ὁ
τοῦ Φιλαδέλφου ταῦτα τιννύμενος, Λαοδίκην τε ἔκτεινε καὶ ἐς Συρίαν
ἐνέβαλε· καὶ ἐς Βαβυλῶνα ἤλασε· καὶ Παρθυαῖοι τῆς ἀποστάσεως
τότε ἦρξαν, ὡς τεταραγμένης τῆς τῶν Σελευκιδῶν ἀρχῆς· ἐπὶ δὲ τῷ Θεῷ
βασιλεὺς γίνεται Σέλευκος υἱὸς τοῦ Θεοῦ τε καὶ Λαοδίκης, Καλλί-
νικος ἐπώνυμον· ἐπὶ δὲ Σελεύκῳ, δύο παῖδες αὐτοῦ Σελεύκου· καθ' ἡ-
λικίαν ἑκάτερος αὐτῶν· Σέλευκός τε καὶ Ἀντίοχος· Σελεύκῳ μὲν δὴ
ἀσθενεῖ τε ὄντι καὶ πενομένῳ καὶ δυσπειθῆ τὸν στρατὸν ἔχοντι, ἐπε-
βούλευσαν οἱ φίλοι διὰ φαρμάκων· καὶ ἔτη δύο μόνα ἐβασίλευσεν.

ὁ δὲ ἀντίοχος ὁ δὲ δὴ ἵνο μέγας ἐπίκλην· περὶ οὗ μοι πολλὰ εἴρηται, ῥωμαίοις πε-
πολεμηκότος· ἐβασίλευσε δὲ ἔτη ἑπτὰ καὶ τριάκοντα· καὶ αὐτοῦ περὶ τοῖν
παίδοιν προείπον, ἀμφοῖν βεβασιλευκότοιν, σελεύκου τε καὶ ἀντιόχου· σέλευκος
μὲν ἔτεσι δώδεκα· ἀπρακτῶς ἅμα καὶ ἀσθενῶς διὰ τὴν τοῦ πατρὸς συμφοράν· ἀντι-
όχου δὲ δώδεκα οὐ πλήρεσιν· ἐν οἷς ἀρταξίαν τὸν ἀρμένιον εἷλε· καὶ αἴγυπτον ἐ-
πεστράτευσεν ἐπὶ ἕκτον πτολεμαῖον ὀρφανευόμενον μετὰ ἀδελφοῦ· καὶ αὐτὸν περὶ
προσιόντι περὶ τὴν ἀλεξάνδρειαν, ποπίλλιος παρὰ ῥωμαίων πρεσβευτὴς ἧκε
φέρων δέλτον· ἐν ᾗ τάδε ἐγέγραπτο· μὴ πολεμεῖν πτολεμαίοις ἀντίοχον· ἀνα-
γνόντι δὲ αὐτῷ καὶ λέγοντι βουλεύσεσθαι, κύκλον τῇ ῥάβδῳ περιέγραψεν ὁ πο-
πίλλιος· καὶ εἶπεν· ἐνταῦθα βουλεύου· ὁ μὲν δὴ καταπλαγεὶς ἀνέζευξε.
καὶ τὸ τῆς ἐλυμαΐδος ἀφροδίτης ἱερὸν ἐσύλησε· καὶ φθίνων ἐτελεύτησε· παιδίον
ἐννεαετὲς ἀπολιπὼν, ἀντίοχον εὐπάτορα· ὥς μοι καὶ περὶ τοῦδε εἴρηται· εἴρηται
δὲ καὶ περὶ δημητρίου τοῦ μετ' αὐτόν· ὃς ὡμήρευεν ἐν ῥώμῃ· καὶ ὃς ὁμηρεύ-
σας ἐκφυγὼν, ἐβασίλευσε· σωτὴρ καὶ ὅδε πρὸς τῶν σύρων λεγόμενος ἐπὶ τῷ σελεύ-
κου νικάτορος παιδὶ ὠνομάσθη· ἐπανίσταται δὲ αὐτῷ τις ἀλέξανδρος· ψευδό-
μενος εἶναι τοῦ σελευκιδῶν γένους· καὶ πτολεμαῖος ὁ τῆς αἰγύπτου βασιλεὺς κατὰ μῖσος
δημητρίου συνελάμβανεν ἀλεξάνδρῳ· καὶ δημήτριος μὲν διὰ πτολεμαῖον ἐξέ-
πεσε τῆς ἀρχῆς· καὶ ἐτελεύτησε· τὸν δὲ ἀλέξανδρον ἐξέβαλε δημήτριος ὁ δημη-
τρίου τοῦ δὲ σωτῆρος υἱός· καὶ ἐπὶ τῷ δὲ ὡς νόθον τοῦ γένους ἄνδρα νικήσαντι,
νικάτωρ ὑπὸ τῶν σύρων ὠνομάσθη· ἐστράτευσε δὲ μετὰ σέλευκον ἐπὶ πα-
ρθυαίους· καὶ ὅδε μετὰ σέλευκον ἐστράτευσε· καὶ γενόμενος αἰχμάλωτος,
διῃτᾶτο ἐν φραάτου βασιλέως· καὶ ῥοδογούνην ἔζευξεν αὐτῷ τὴν ἀδελφὴν
ὁ βασιλεύς· παρὰ δὲ τὴν ἀναρχίαν τήνδε, δοῦλος ὢν βασιλέων διόδοτος παιδίον
ἀλέξανδρον ἐξ ἀλεξάνδρου τοῦ νόθου καὶ τῆς πτολεμαίου θυγατρὸς ἐπὶ τὴν βασι-
λείαν ἤγαγε· καὶ τὸ παιδίον κτείνας, αὐτὸς ἐπετόλμησε τῇ ἀρχῇ· τρύφων
ἀφ' ἑαυτοῦ μετονομασθείς· ἀλλὰ αὐτὸν ἀντίοχος ὁ ἀδελφὸς δημητρίου τοῦ αἰχμα-
λώτου πυθόμενος ἐν ῥόδῳ περὶ τῆς αἰχμαλωσίας, κατήγετο καὶ κτείνει ἐν τὰ πρῶτα
σὺν πόνῳ πολλῷ· καὶ στρατεύει ὅδε ἐπὶ τὸν φραάτην τὸν ἀδελφὸν αἰτῶν· ὁ μὲν
δὴ φραάτης αὐτὸν ἔδεισε· καὶ τὸν δημήτριον ἐξέπεμψεν· ὁ δὲ ἀντίοχος, καὶ ὣς
συνέβαλέ τε τοῖς παρθυαίοις· καὶ ἡσσώμενος, ἑαυτὸν ἔκτεινε· ἔκτεινε δὲ καὶ
δημήτριον ἐν τῇ βασιλείᾳ ἐπανελθόντα, ἡ γυνὴ κλεοπάτρα δολοφονήσασα
διὰ ζῆλον τοῦ γάμου ῥοδογούνης· δι' ὃν δὴ καὶ ἀντιόχῳ τῷ ἀδελφῷ τοῦ δημητρίου

προσεγεγάμητο· παῖδες δὲ ἦσαν αὐτῇ ἐκ μὲν δημητρίου, σέλευκός τε καὶ ἀντί-
οχος ὁ γρυπὸς ἐπίκλησιν· ἐκ δὲ ἀντιόχου, ἀντίοχος ὁ κυζικηνὸς
ἐπώνυμον· τούτων τὸν μὲν γρυπὸν ἐς ἀθήνας· τὸν δὲ κυζικηνὸν ἐς κύζικον
ἔπεμψε τρέφεσθαι· σέλευκον δὲ αὐτίκα ἐπὶ τῷ πατρὶ δημητρίῳ τὸ διάδημα ἐπι-
θέμενον, ἐπιτοξεύσασα ἔκτεινεν· ἢ δείσασα περὶ τῆς τοῦ πατρὸς δολοφονίας, ἤτε
μανιώδει πρὸς πάντας μίσει· μετὰ δὲ σέλευκον, ὁ γρυπὸς ἐγένετο βασιλεύς·
καὶ τὴν μητέρα οἱ φάρμακον κεράσασαν, πιεῖν ἠνάγκασεν· ἡ μὲν δὴ δίκην
ποτὲ ἔδωκεν· ἄξιος δὲ ἦν τῆς μητρὸς ὁ γρυπός· ἐπεβούλευσε γὰρ τῷ
κυζικηνῷ καὶ προσόντι ὁμομητρίῳ· ὁ δὲ μαθὼν, ἐπολέμησέ τε αὐτῷ καὶ
τῆς ἀρχῆς αὐτὸν ἐξήλασε· καὶ βασιλεὺς ἀντ' ἐκείνου τοῖς σύροις ἐγένετο·
ἀλλὰ καὶ τοῦδε σέλευκος ὁ ἀντιόχου τοῦ γρυποῦ παῖς ἐπιστρατεύσας οὔ τι π-
θῶ, παρείλετο τὴν ἀρχήν· βίαιος δὲ καὶ τυραννικώτατος ὤν, ἐν ἐσία μόψου
τῆς κιλικίας κατεπρήσθη κατὰ τὸ γυμνάσιον· καὶ αὐτὸν διεδέξατο ἀντίοχος
ὁ υἱὸς τοῦ κυζικηνοῦ· ὃν ἐπιβουλευόμενον ὑπὸ σελεύκου τοῦ ἀνεψιοῦ, οἱ μὲν
σύροι νομίζουσι περισωθῆναι δι' εὐσέβειαν· καὶ διὰ τοῦτο εὐσεβῆ προσωνόμασαν·
ἑταίρα δὲ αὐτὸν ἔσωσεν ἐρασθεῖσα τοῦ κάλλους· ἐμοὶ δὲ δοκοῦσιν, ἐπὶ χλεύῃ αὐτὸν
ποιήσασθαι τὸ ὄνομα οἱ σύροι· ἔγημε γὰρ οὗτος ὁ εὐσεβὴς σελήνην· ἣ τῷ πατρὶ
αὐτοῦ γεγάμητο τῷ κυζικηνῷ· καὶ τῷ γρυπῷ θείῳ γενομένῳ· τοιγάρτοι αὐτὸν
θεοῦ μετιόντος, ἐξήλασε τῆς ἀρχῆς τιγράνης· καὶ τὸν υἱὸν ἐκ τῆς σελήνης
αὐτῷ γενόμενον ἐν ἀσίᾳ τετραφέντα, ἀφ' ὅτου δὲ ἀσιατικὸν ἐπίκλην, πομ-
πήιος ἀφείλετο τὴν σύρων ἀρχήν, ὥς μοι λέλεκται· οὗτος μὲν ἑπτακαιδέκατον
ἐκ σελεύκου σύρων βασιλέα· ἐξαιρῶ γὰρ ἀλέξανδρόν τε καὶ τὸν ἀλεξάνδρου παῖδα
ὡς νόθους· καὶ τὸν δοῦλον αὐτῶν διόδοτον, βασιλεύσαντα ἐν ταῖς ἀσχολίαις ταῖς
πομπηίου ἐπὶ ἓν μόνον ἔτος· ἡ δὲ ἀρχὴ τῶν σελευκιδῶν, ἐν ἑβδομήκοντα
ἐπὶ διακοσίοις αὐτοὺς προῆλθε· καὶ εἴ τις ἐπισκοποίη τῶν ἀπὸ ῥωμαίων
χρόνων ἀλέξανδρον, προσθετέον ἐπὶ τοῖς διακοσίοις ἑβδομήκοντα ἔτεσι, τὰ τιγράνου
τεσσαρεσκαίδεκα· τοσάδε μὲν δὴ περὶ μακεδόνων τῶν συρίας βεβασιλευκότων
εἶχον εἰπεῖν, ὡς ἐν ἀλλοτρίᾳ συγγραφῇ :~

καρχηδόνα τὴν ἐν λιβύῃ φοίνικες ᾤκισαν· ἔτεσι πεντήκοντα πρὸ ἁλώσεως
ἰλίου· οἰκισταὶ δὲ αὐτῆς ἐγένοντο, ζῶρός τε καὶ καρχηδών· ὡς δὲ ῥωμαῖοι
καὶ αὐτοὶ καρχηδόνιοι νομίζουσι, διδὼ γυνὴ τυρία· ἧς τὸν ἄνδρα κατακαίνει
πυγμαλίων τύρου τυραννῶν· καὶ τὸ ἔργον ἐπέκρυπτεν· ἡ δὲ, ἐξ ἐνυπνίου τὸν

φόνον ἐπέγνω· καὶ μετὰ χρημάτων πολλῶν, καὶ ἀνδρῶν οἳ τὴν Πυγμαλίωνος
τυραννίδα ἔφευγον, ἀφικνεῖται πλέουσα εἰς Λιβύην· ἔνθα γε νῦν ἐστὶ
Καρχηδών· ἀξιωθέντες δ' ὑπὸ τῶν Λιβύων, ἐδέοντο χωρίου εἰς συνοι-
κισμὸν λαβεῖν· ὅσον ἂν βύρσα ταύρου περιλάβῃ· τοῖς δέ, ἐνέπεσε
μέν τι καὶ γέλωτος ἐπὶ τῇ τῶν Φοινίκων μικρολογίᾳ· καὶ ᾐδοῦντο ἀν-
τειπεῖν περὶ οὕτως βραχυτάτου· μάλιστα δὴ ἀποροῦντες, ὅπως ἂν πόλις ἐν
τηλικούτῳ διαστήματι γένοιτο· καὶ ποθοῦντες ἰδεῖν ὅ, τι ἐστὶν αὐτοῖς
τοῦτο τὸ σοφόν, συνέθεντο δώσειν, ἐπομόσαντες· οἱ δέ, τὸ δέρμα περιτεμόντες
εἰς ἱμάντα ἕνα στενώτατον, περιέθηκαν ἔνθα γε νῦν ἐστὶν ἡ Καρχηδονίων ἀκρό-
πολις· καὶ ἀπὸ τοῦ δὲ βύρσα ὀνομάζεται· χρόνῳ δ' ἐντεῦθεν ὁρμώμενοι καὶ
τῶν περιοίκων ἀμείνονες ὄντες τὰς χεῖρας ηὐξήθησαν, ναυσί τε χρώμενοι καθάπερ
οἱ Φοίνικες ἐργαζόμενοι, τὴν πόλιν τὴν ἔξω τῆς βύρσης περιέθηκαν· καὶ δυνά-
μενοι τὸ ἤδη, Λιβύης ἐκράτουν καὶ πολλῆς θαλάσσης· ἐκδήμοις τε πολέμοις
ἐστράτευον εἰς Σικελίαν· καὶ Σαρδὼ· καὶ νήσους ἄλλας· ὅσαι τῆς δὲ τῆς θαλάσσης
εἰσί, καὶ εἰς Ἰβηρίαν· πολλαχοῦ δὲ καὶ ἀποικίας ἐξέπεμπον· ἥ τε ἀρχὴ αὐτοῖς ἐ-
γένετο· δύναμιν μὲν ἀξιόμαχος τῇ ἑλληνικῇ· περὶ πλοῦτον δέ, μετὰ τὸ περσικόν.
ἑπτακοσίοις δ' αὐτοῖς ἔτεσιν ἀπὸ τοῦ συνοικισμοῦ, Ῥωμαῖοι Σικελίαν ἀφεί-
λοντο· καὶ Σαρδὼ μετὰ Σικελίαν· δευτέρῳ δὲ πολέμῳ, καὶ Ἰβηρίαν· ἔν τε τῇ ἀλλή-
λων ἐμβαλόντες μεγάλοις στρατοῖς, οἱ μέν, Ἀννίβου σφῶν ἡγουμένου, τὴν Ἰταλίαν
ἐπόρθουν ἑκκαίδεκα ἔτεσιν ἑξῆς· οἱ δέ, Λιβύην, Κορνηλίου Σκιπίωνος τοῦ
πρεσβυτέρου σφῶν στρατηγοῦντος· μέχρι τὴν ἡγεμονίαν Καρχηδονίων
ἀφείλοντο, καὶ ναῦς· καὶ ἐλέφαντας καὶ χρήματα σφίσιν ἐπέταξαν εἰσενεγκεῖν
ἐν χρόνῳ· δεύτεραί τε σπονδαὶ Ῥωμαίοις καὶ Καρχηδονίοις· αἳ δέ, διέμειναν
ἔτη πεντήκοντα· μέχρι λύσαντες αὐτάς, τρίτον πόλεμον καὶ τελευταῖον
ἀλλήλοις ἐπολέμησαν· ἐν ᾧ Καρχηδόνα Ῥωμαῖοι κατέσκαψαν· Σκιπίωνος
τοῦ νεωτέρου σφῶν στρατηγοῦντος, καὶ ἐπ' αὐτὸν ἔγνωσαν· αὖθις δ' ᾤκισαν
ἰδίοις ἀνδράσιν· ἀρχὴ ταύτῃ μάλιστα τῆς ἑτέρας· ὡς δ' ἄκαιρον ἐπὶ Λι-
βύην χωρεῖν· τούτων τὰ μὲν ἀμφὶ Σικελίαν, ἡ Σικελικὴ γραφὴ δηλοῖ· τὰ δὲ ἐν
Ἰβηρίᾳ γενόμενα, ἡ Ἰβηρική· καὶ ὅσα Ἀννίβας ἐν Ἰταλίᾳ ἐμβαλὼν ἔ-
πραξεν, ἡ Ἀννιβιακή· τὰ δὲ Λιβυκὰ γενόμενα ἀπ' ἀρχῆς, ἥδε συνάγει·
κἀρξάντων δ' αὐτῶν, ἀμφὶ τὸν Σικελικὸν πόλεμον οἱ Ῥωμαῖοι· ναυσὶ πεντήκοντα
καὶ τριακοσίαις ἐπιπλεύσαντες εἰς Λιβύην· καὶ πόλεις τινὰς εἷλον τε· καὶ

στρατηγὸν ἐπὶ τῇ δυνάμει καταλιπόντες Ἀτίλιον Ῥῆγλον· ὃς ἄλλας τε πόλεις
διακοσίας προσέλαβε, αἳ Καρχηδόνι ἔχθει πρὸς αὐτὸν μετετίθεντο, καὶ τὴν χώραν
ἐπιών, ἐπόρθει· Καρχηδόνιοι δέ, Λακεδαιμονίους στρατηγὸν ᾔτουν· οἱ ὁ μὲν οἱ
δι' ἀναρχίαν κακοπραγεῖν· οἱ μὲν δή, Ξάνθιππον αὐτοῖς ἔπεμψαν· ὁ δὲ Ἀτίλιος
ἀμφὶ λίμνῃ στρατοπεδεύων, ὥρᾳ καύματος, περιῄει τὴν λίμνην ἐπὶ τοὺς
πολεμίους· ὅπλων τε βάρει καὶ δίψει καὶ πνίγει καὶ ὁδοιπορίᾳ κακοπαθῶν·
καὶ βαλλόμενος ἀπὸ κρημνῶν ἄνωθεν· ὡς δὲ ἐπλησίασε περὶ ἑσπέραν, καὶ
ποταμὸς αὐτοὺς διεῖργεν, ὁ μέν, διαβὰς ἐπέρα τὸν ποταμόν· ὡς καὶ τῷδε,
τὸν Ξάνθιππον ἐκπλήξων· ὁ δέ, συντάξας μὲν τὴν στρατιὰν ἐπαφίησι
διὰ τῶν πυλῶν· ἐπιστὰς κεκμηκότος καὶ κακοπαθοῦντος περιέστησε.
καὶ τὴν νίκην πρὸς τῶν νικῶν ἐστέφθη· τῆς δὲ μὲν οὖν τῆς ἐπὶ δεσπ. Ξάν-
θιππος, κατέτυχεν· ἀπὸ γὰρ τρεῖς μυρίων ἀνδρῶν, οὓς ὁ Ἀτίλιος ἦγεν,
ὀλίγοι μόλις αὐτῶν εἰς Ἀσπίδα πόλιν διέδρασαν· οἱ δὲ λοιποὶ πεσόντες,
οἱ μέν, ἀπώλοντο· οἱ δὲ ἐζωγρήθησαν· καὶ μετ' αὐτῶν ὁ στρατηγὸς Ἀτίλιος
ὕπατος γεγονώς, αἰχμάλωτος ἦν· τὸν δὲ μὲν δὴ μετ' οὐ πολὺ κάμνοντες
οἱ Καρχηδόνιοι, σὺν οἰκείοις πρέσβεσιν ἔπεμψαν εἰς Ῥώμην· διαπραξόμενον
σφίσι διαλλαγάς, ἢ ἐπανήξοντα· καὶ ὁ Ἀτίλιος Ῥῆγλος, ἐν ἀπορρήτοις
τοῖς ἡγέσι Ῥωμαίων ἐπισκήψας ἐγκρατῶς ἔχεσθαι τοῦ πολέμου,
ἐπανῆλθεν εἰς Λιβύην ἕτοιμον· καὶ αὐτὸν οἱ Καρχηδόνιοι καθείρξαντες
ἐν γαλεάγρᾳ κέντρα πάντοθεν ἐχούσῃ, διέφθειραν· Ξανθίππῳ δὲ τὸ δυσ-
τύχημα, ξυμφορῶν ἦρξε· Καρχηδόνιοι γὰρ αὐτόν· ἵνα μὴ δοκοίη Λακε-
δαιμονίων ἔργον εἶναι τοῦτο, ὑποκρινάμενοι τιμᾶν δωρεαῖς πολλαῖς
καὶ προπέμψειν ἐπὶ τριήρων εἰς Λακεδαίμονα, τοῖς τριηράρχαις ἐνε-
τείλαντο· μετὰ τῶν συμπλεόντων Λακώνων καταποντίσαι· ὁ μὲν δή,
δίκην ἔδωκε τῆς δ' εὐπραξίας. καὶ τὰ δὲ κατὰ τοῦ πρώτου πολέμου Ῥω-
μαίοις περὶ Λιβύην διαπραχθέντα τε καὶ ἀτυχήματα· μέχρι Καρχηδόνιοι
Σικελίας Ῥωμαίοις ἀπέστησαν· ὅπως δὲ ἀπέστησαν ἐν τῇ Σικελικῇ γρα-
φῇ δεδήλωται· μετὰ δὲ τοῦτο, Ῥωμαίοις μὲν καὶ Καρχηδονίοις, εἰρήνη ἦν
ἐν ἀλλήλοις· Λίβυες δὲ ὅσοι Καρχηδονίων ὄντες ὑπήκοοι συμμεμαχή-
κεσαν αὐτοῖς ἐπὶ Σικελίαν· καὶ μεθ' ὧν ὅσοι μεμισθοφορήκεσαν, ἐγκλή-
ματά τινα μεθ' ὧν καὶ ὑποσχέσεων εἰς τοὺς Καρχηδονίους ἔχοντες,
ἐπολέμουν αὐτοῖς μάλα καρτερῶς· οἱ δέ, Ῥωμαίους εἰς συμμαχίαν

ὡς φίλους ἐκάλουν. καὶ αὐτοῖς οἱ Ῥωμαῖοι ξενολογεῖν ἐς μόνον τόνδε τὸν πόλεμον ἀπὸ τῆς Ἰταλίας ἐφῆκαν· ἀπείρητο γὰρ ἐν ταῖς σπονδαῖς καὶ τόδε. ἔπεμψαν δὲ καὶ διαλλακτῆρας, οἷς οἱ Λίβυες οὐχ ὑπήκουον. ἀλλὰ τὰς πόλεις ἐδήλωσαν ὑπηκόους εἶναι Ῥωμαίων, εἰ θέλοιεν. οἱ δ' οὐκ ἐδέξαντο. Καρχηδόνιοι δὲ ναυτικῷ πολλῷ ταῖς πόλεσιν ἐφεδρεύοντες, τὴν ἀγορὰν αὐτῶν ἀφῃροῦντο τὴν ἐκ τῆς θαλάσσης· ἀσπόρου δὲ τῆς γῆς ὡς ἐν πολέμῳ γιγνομένης, Λιβύων μὲν διὰ τὸν πόλεμον ἐκράτουν· ἐμπόρων δὲ ὅσοι παρέπλεον, ἐληΐζοντο(?) ἀπορίᾳ· τοὺς δὲ Ῥωμαίων κτείνοντες ἔβαλλον ἐς τὸ πέλαγος ἵνα λανθάνοιεν. καὶ διέλαθον ἐπὶ πολύ. γνωσθέντος δὲ τοῦ γιγνομένου, ποινὴν αἰτούμενοι, διεσ θοῦντο(?). μέχρι Ῥωμαίων ἐπιστρατεύειν αὐτοῖς ψηφισαμένων, Σαρδὼ καὶ τόδε ποινὴν ἔδωκαν ταῖς προτέραις συνθήκαις ἀνεγράφη. οὐ πολὺ δὲ ὕστερον οἱ Καρχηδόνιοι στρατεύουσιν ἐς Ἰβηρίαν· καὶ αὐτὴν κατὰ μέρος ὑπήγοντο. μέχρι Ζακανθαίων ἐπὶ Ῥωμαίους καταφυγόντων, Καρχηδονίοις ὅρος Ἰβηρίας ἐγένετο, μὴ διαβαίνειν τὸν Ἴβηρα ποταμόν. καὶ τὰς δὲ αὐτὰς σπονδὰς ἔλυσαν Καρχηδόνιοι, παραβάντες, Ἀννίβου σφῶν ἡγουμένου. διαβάντος δέ, ὁ μὲν Ἀννίβας διαστρατηγεῖν ἑτέροις τὰ Ἰβηρίας καταλιπών, ἐς τὴν Ἰταλίαν ἐσέβαλε. στρατηγοὶ δὲ Ῥωμαίων ἐν Ἰβηρίᾳ Πόπλιός τε Κορνήλιος Σκιπίων καὶ Γναῖος Κορνήλιος Σκιπίων, ἀλλήλοιν ἀδελφώ, λαμπρὰ ἔργα ἀποδεικνυμένω, θνήσκετον ἄμφω πρὸς τῶν πολεμίων. καὶ οἱ μετ' αὐτοὺς στρατηγοὶ κακῶς ἔπραττον μέχρι Σκιπίων ὁ Ποπλίου Σκιπίωνος τοῦ δὲ τοῦ περὶ Ἰβηρίαν ἀναιρεθέντος υἱός, ἐπιπλεύσας, καὶ δόξαν ἅπασιν ἐμβαλὼν ὡς ἥκοι κατὰ θεὸν καὶ δαιμονίῳ χρῷτο συμβούλῳ περὶ ἁπάντων, ἐκράτει τε λαμπρῶς, καὶ ἐπὶ δόξης ἐκ τοῦδε πολλῆς γενόμενος, τὴν μὲν στρατηγίαν τοῖς ἐπὶ διαδοχὴν ἐπιπεμφθεῖσι παρέδωκεν· ἐς δὲ Ῥώμην ἐπανελθών, ἠξίου πεμφθῆναι στρατηγὸς ἐς Λιβύην, ὡς ἀναστήσων Ἀννίβαν ἐξ Ἰταλίας. καὶ Καρχηδονίοις δίκην ἐπιθήσων ἐν τῇ πατρίδι. τῶν δὲ πολιτευομένων, οἱ μὲν ἀντέλεγον. οὐ χρῆναι κεκενωμένης ἄρτι τῆς Ἰταλίας τοσοῖσδε πολέμοις, καὶ πορθουμένης ἔτι πρὸς Ἀννίβου, καὶ Μάγωνος ἐν πλευραῖς ἐπ' αὐτὴν Λίγυάς τε καὶ Κελτοὺς ξενολογοῦντος, ἐς Λιβύην στρατεύειν· οὐδὲ τῶν ἀλλοτρίων χειροῦσθαι, πρὶν τὰ οἰκεῖα ἀπαλλάξαι τῶν πορθούντων. οἱ δέ, ὤοντο Καρχηδονίους νῦν μὲν ἀδεῶς ὄντας ἐφεδρεύειν τῇ Ἰταλίᾳ· οὐδὲν ἐνοχλουμένων οἴκοι· πολέμου δὲ οἴκοι σφίσι γενομένου, καὶ Ἀννίβαν μεταπέμψεσθαι. οὕτω

μὲν ἐκράτησε πέμπειν ἐς Λιβύην Σκιπίωνα. οὐ μὴν συνεχώρησαν αὐτῷ καταλέγειν στρατὸν ἐξ Ἰταλίας πονουμένης ἔτι πρὸς Ἀννίβου. ἐθελοντὰς δὲ εἴ τινες εἶεν, ἐπέτρεψαν ἐπάγεσθαι· καὶ τοῖς ἀμφὶ τὴν Σικελίαν ἔτι οὖσι χρῆσθαι. τριήρεις τε ἔδοσαν αὐτῷ κατασκευάσασθαι δέκα· καὶ πληρώματα αὐταῖς λαβεῖν. ἐπισκευάσαι δὲ καὶ τὰς ἐν Σικελίᾳ. χρήματα δ' οὐκ ἔδωκαν. πλὴν εἴ τις ἐθέλοι τῷ Σκιπίωνι κατὰ φιλίαν συμφέρειν. οὕτως ἀμελῶς ἥπτοντο τοῦδε τοῦ πολέμου τὰ πρῶτα· μεγίστου σφίσι καὶ ἐς ἀξιοτιμότατον μετ' ὀλίγον γενομένου. ὁ δὲ Σκιπίων ἐνθουσιῶν ἐπὶ Καρχηδόνι ἐκ πολλοῦ. καί τινας ἱππέας τε καὶ πεζοὺς ἐς ἑπτακισχιλίους μάλιστα ἀθροίσας, διέπλευσεν ἐς Σικελίαν. ἔχων ἀμφ' αὐτὸν ἄρτι γενομένων ἐπιλέκτους τριακοσίων· οἷς εἴρητο χωρὶς ὅπλων ἕπεσθαι. Σικελιωτῶν δ' αὖ τριακοσίους καταγράψας εὐδαίμονας, ἐκέλευσεν ἥκειν ἐν ἡμέρᾳ ῥητῇ ἐσκευασμένους ὅπλοις τε καὶ ἵπποις, ὅτι δύναιντο καλλίστοις. ὡς δὲ ἀφίκοντο, προὔθηκεν εἴ τις ἑαυτοῦ θέλοι τὸν στρατευσόμενον ἀντιδοῦναι. δεξαμένων δὲ πάντων, ἤγαγεν ἐς μέσον τοὺς τριακοσίους τοὺς ὅπλων ἐρήμους· καὶ ἐς τούσδε ἐκείνοις προσέταξε μετασκευάσασθαι. οἱ δὲ κούφως παρεδίδοσαν ὅπλα καὶ ἵππους. καὶ παρῆν τῷ Σκιπίωνι, τριακοσίους νέους Ἰταλιώτας ἔχειν ἀντὶ Σικελιωτῶν, καλλίστοις ἵπποις καὶ ὅπλοις ἀλλοτρίοις ἐσκευασμένους. καὶ [illegible] ἐπὶ τῷδε εἰδότας· οἷς δὴ καὶ προθυμοτάτοις ἐς πάντα χρώμενος διετέλει. Καρχηδόνιοι δὲ ταῦτα πυνθανόμενοι, Ἀσρούβαν μὲν τὸν Γέσκωνος, ἐπὶ θήραν ἐλεφάντων ἐξέπεμπον· Μάγωνι δ' ἀμφὶ τὴν Λιγυστίνην ξεναγοῦντι πεζοὺς ἀπέστελλον ἐς ἑξακισχιλίους. καὶ ἱππέας ὀκτακοσίους. καὶ ἐλέφαντας ἑπτά. καὶ προσέταξαν αὐτῷ, μεθ' ὅσων δύναιτο ἄλλων ἐμβαλεῖν ἐς Τυρρηνίαν. ἵνα τὸν Σκιπίωνα περισπάσειαν ἐκ Λιβύης. Μάγων μὲν δὴ καὶ τότε ἐβράδυνεν. Ἀννίβᾳ τε συνελθεῖν οὐ δυνάμενος πολὺ διεστῶτι. καὶ τὸ μέλλον αἰεὶ προορώμενος. Ἀσρούβας δ' ἀπὸ τῆς θήρας ἐπανελθών, κατέλεγε Καρχηδονίων τε καὶ Λιβύων ἐς ἑξακισχιλίους πεζοὺς ἐκ πάντων, καὶ ἱππέας ἑξακοσίους. δούλους τε ἠγόρασε πεντακισχιλίους, τὸ ναυτικὸν ἐρέσσειν. καὶ παρὰ τῶν νομάδων ἔλαβε δισχιλίους ἱππέας. καὶ ξένων ἐμισθοῦτο. καὶ πάντα ἐγύμναζε. διακοσίους σταδίους ἀποσχὼν ἀπὸ Καρχηδόνος. νομάδων δὲ τῶν ἐν Λιβύῃ δυνάσται μὲν ἦσαν κατὰ μέρη πολλοί. Σύφαξ δὲ ὑπὲρ ἅπαντας. καὶ τιμὴν εἶχε πρὸ τῶν ἄλλων ἐπιφανῆ. Μασυλίων δ' ἄρχοντος ἀλκίμου(?), παῖς ἦν τοῦ βασιλέως Μασσανάσσης· ὃς ἐτρέφετο μὲν ἐν Καρχηδόνι καὶ ἐπαιδεύετο. ὄντι δ' αὐτῷ

καὶ τὸ σῶμα καλλός. τοῦτον τρεφόμενον παρ' ἑαυτῷ· Ἀσρούβας ὁ Γέσκωνος οὐδενὸς Καρχηδονίων
δεύτερος ἐνεγγύησε τὴν θυγατέρα καίπερ ὄντι Νομάδι· Καρχηδόνιος ὤν. ὡς
δὲ ἐνεγγύησεν, ἐπήγετο ἐς Ἰβηρίαν στρατηγῶν, τὸ μειράκιον. Σύφαξ δὲ κνιζόμενος
ὑπ' ἔρωτος ἐπὶ τῇ παιδί, τὰ Καρχηδονίων ἐξελῄζετο· καὶ Σκηπίωνι διαπλεύ-
σαντι πρὸς αὐτὸν ἐξ Ἰβηρίας, συνέθετο συμμαχήσειν ἐπὶ Καρχηδονίους
ἰοῦντι. αἰσθόμενοι δὲ οἱ Καρχηδόνιοι, καὶ μέγα ποιούμενοι ἐς τὸν πρὸς Ῥωμαίους
πόλεμον Σύφακα προσλαβεῖν, ἐξέδοσαν αὐτῷ τὴν παρθένον. ἀγνοούντων καὶ
οὕτων ἐν Ἰβηρίᾳ· Ἀσρούβου τε καὶ Μασσανάσσου. ἐφ' οἷς ὁ Μασσανάσσης ὑπεραλγῶν,
συνετίθετο καὶ ὅδε ἐν Ἰβηρίᾳ τῷ Σκηπίωνι· λανθάνων ὡς ᾤετο Ἀσρούβαν. ὁ δ'
αἰσθόμενος, χαλεπῶς μὲν ἔφερεν ὑπὲρ τοῦ μειρακίου, καὶ τῆς θυγατρὸς· ὑβρισ-
μένοιν ἀμφοῖν. ἡγεῖτο δ' ὅμως τῇ πατρίδι συμφέρειν ἐκποδὼν Μασσανάσσην
ποιήσασθαι· καὶ ἐπανιόντι ἐς Λιβύην ἐξ Ἰβηρίας ἐπὶ θανάτῳ τοῦ πατρὸς συνέ-
πεμπε προπομποὺς ἱππέας· οἷς εἴρητο ἀφανῶς ἐπιβουλεύειν αὐτῷ· καὶ κτείνειν
ὅπῃ δύναιντο Μασσανάσσην. ὁ δ' αἰσθόμενος, ἐξέφυγε· καὶ τὴν πατρῴαν ἀρχὴν
ἐκρατύνετο· ἱππέας ἀθροίζων· οἷς ἡμέρας τε καὶ νυκτὸς ἦν ἔργον ἀκοντίοις πολλοῖς
χρωμένοις, ἐπελαύνειν, καὶ ἀναχωρεῖν. καὶ αὖθις ἐπελαύνειν. καὶ ὅλως ἐστὶν
αὐτοῖς ἡ μάχη φυγὴ καὶ δίωξις· ἴσασι δὲ καὶ λιμὸν φέρειν οἱ νομάδες οἵδε· καὶ
πόᾳ χρῆσθαι πολλάκις ἀντὶ σίτου. καὶ τὸ πάμπαν ὑδροποτοῦσιν. ὅ τε ἵππος
αὐτοῖς, κριθῆς μὲν οὐδ' ὅλως γεύεται, ποηφαγῶν αἰεί· πίνει δὲ διὰ πολλοῦ. τοιούτους
ὁ Μασσανάσσης ἐς δισμυρίους συναγαγών, ἐξ ἧς ἡμέρας ἐπὶ θήρας ἐλεηλάσθη ἐτρ-
έφετο ἐθνῶν· ἀπὸ τοῦδε καὶ ἔργα ἢ γυμνάσια εἶναι. Καρχηδόνιοι δὲ καὶ Σύφαξ νομί-
ζοντες ἐπὶ σφᾶς εἶναι τὴν παρασκευὴν τοῦ μειρακίου, οὐ γὰρ ἠγνόουν ἀδική-
σαντες αὐτόν, ἔκριναν προτέρῳ τῷδε πολεμεῖν· εἶτα καθελεῖν· ἢ τὸ ἕτερον Ῥωμαίοις
ἀντιτάξαι. Σύφαξ μὲν οὖν καὶ Καρχηδόνιοι, πλείστην ἦσαν ἄθροα πολύν· μετὰ δὲ
ἁμαξῶν ἡ παρασκευὴ βαρείας καὶ τρυφῆς ἐστρατεύοντο. Μασσανάσσης δὲ πόνῳ
τε πολλῷ πᾶσιν ὑπερῆρχε. καὶ ἱππικὸν μόνον ἦγε· ἢ ὑποζύγιον οὐδὲν οὐδὲ ἀγοράν·
ὅθεν ῥᾳδίως ὑπέφευγέ τε καὶ ἐπεχείρει. καὶ ἐς τὰ ὀχυρὰ ἀνεπήδα. πολλάκις
τε καταλαμβανόμενος, διεσκίδνα τὸ στράτευμα, ὅπῃ δύναιντο ἕκαστοι ἀποφεύγειν
κατὰ μέρη· καὶ σὺν ὀλίγοις αὐτὸς ὑπεκρύπτετό ποτε, μέχρις συνέλθοιεν αὐτῷ
νυκτὸς ἢ μεθ' ἡμέραν ἐς τὸ συγκείμενον. τρίτος δέ ποτε ἐν σπηλαίῳ κρυπτό-
μενος, ἔλαθε· τῶν πολεμίων περὶ τὸ σπήλαιον στρατοπεδευόντων· οὐ γὰρ ἐστίν ὅτε ἐ-
στάθμευεν ἐν στρατοπέδῳ. ἀλλὰ καὶ μάλιστα στρατηγῶν λανθάνειν ὅποι ποτὲ εἴη.

ὅθεν οὐκ εἶχον αὐτῷ συμπλέκεσθαι ὥσπερ ἐπιχειροῦντι οἱ πολέμιοι, ἀλλ' ἠμύνοντο
ἐπιόντα. ἀγορὰ δ' ἦν αὐτῷ καθ' ἑκάστην ἡμέραν, ὅ τι περ ἑσπέραν καταλάβοι
χωρίον, ἢ κώμην, ἢ πόλιν. λῃζομένῳ τε πάντα, καὶ διαρπάζοντι· καὶ μερίζο-
μένῳ τοῖς συνοῦσιν. ὅθεν αὐτῷ πολλοὶ τῶν νομάδων ἐπεφοίτων· μισθοὺς μὲν
οὐ διδόντι τεταγμένους· τὰς δὲ ὠφελείας πολὺ πλείονας ἔχοντι. ἡ Μασσανάσσης
μὲν Καρχηδονίοις, οὕτως ἐπολέμει. ὁ δὲ Σκηπίων, ἐπεί οἱ πάντα δὴ ἀπηρτη-
μένα γεγένητο ἐν Σικελίᾳ, ἐθύε δὴ καὶ Ποσειδῶνι. καὶ ἐς Λιβύην ἀνήγετο, ἐπὶ
νεῶν· μακρῶν μέν, δύο καὶ πεντήκοντα· φορτίδων δὲ τετρακοσίων. κέλητές τε
καὶ λέμβοι πολλοὶ συνέπλεον αὐτῷ. καὶ στρατιὰν ἦγε, πεζοὺς μὲν ἑξακις-
χιλίους ἐπὶ μυρίοις· ἱππέας δέ, χιλίους ἑξακοσίους. ἐπήγετο δὲ βέλη
καὶ ὅπλα, καὶ μηχανήματα ποικίλα· καὶ ἀγορὰν πολλήν. καὶ Σκηπίων μέν,
ὧδε ἔπλει. Καρχηδόνιοι δὲ καὶ Σύφαξ πυνθανόμενοι, ἔγνωσαν αὐτοῦ
προκατέχειν, καθαιρεῖν τε Μασσανάσσην. ἢ ἐς φιλίαν ὑπαγαγέσθαι. μέχρι
ὅπου Σκηπίωνος ἐπικρατήσαιεν. ὁ δ' οὖν καὶ ἐγνόει μὲν ἐξαπατώμενος
ἀντενεδρεύων δὲ καὶ μηνύων πάντα τῷ Σκηπίωνι, ἧκε πρὸς τὸν Ἀσρούβαν
ὡς συμμαχήσων μετὰ τῶν ἰδίων ἱππέων. καὶ ἐστρατοπέδευον οὐ μακρὰν ἀπ' ἀλλή-
λων, Ἀσρούβας τε καὶ Σύφαξ καὶ Μασσανάσσης· περὶ Ἰτύκην πόλιν. ἐν ᾗ ὁ
Σκηπίων καθορμισθεὶς ὑπ' ἀνέμων, ὁ αὐτὸς ἐστρατοπέδευσε περὶ αὐτήν. οὐ πολὺ
δ' ἀπέχων ὁ Ἀσρούβας αὐτοῦ στρατιὰν ἔχων, ἐς δισμυρίους πεζούς, καὶ ἱππέας
ἑπτακισχιλίους. ἢ ἐλέφαντας ἑκατὸν ἐπί τε τεσσαράκοντα. Σύφαξ μὲν οὖν,
εἴτε δείσας, ἢ τὸ ἄπιστος ἐς ἑκατέρους γιγνόμενος παρὰ μέρος, ἐσκήπτετό τι
λυπεῖν τὴν ἀρχὴν αὐτοῦ, τοὺς ὁμόρους βαρβάρους· καὶ ἀνεζεύγνυεν ἐς τὰ οἰκεῖα. ὁ
Σκηπίων δὲ κατ' ὀλίγους ἔπεμπεν ἐπιχειρεῖν τῷ Ἀσρούβᾳ. καί τινες αὐτῷ καὶ
τῶν πόλεων προσεχώρουν. νυκτὸς δὲ λαθὼν ὁ Μασσανάσσης, ἧκεν ἐπὶ τὸ στρατόπεδον
τοῦ Σκηπίωνος· ἡ δεξιωσάμενος αὐτόν, ἐδίδασκε τῆς ἐπιβουλῆς, ἔς τι χωρίον ἀπὸ
τεσσαράκοντα σταδίων Ἰτύκης· ἔνθα πύργος ἐστίν, Ἀγαθοκλέους ἔργον τοῦ Συρακου-
σίων τυράννου, μεθ' ἱππέων πεντακισχιλίων ἐνεδρεῦσαι. ἅμα δ' ἡμέρᾳ, τὸν Ἀσρούβαν
ἔπειθε· τὸν ἵππαρχον Ἄννωνα πέμψαι, τό τε πλῆθος τῶν ἐχθρῶν ἐπισκεψόμενον,
ἢ ἐς Ἰτύκην ἐσδραμούμενον· μή τι πλησιάζοντος πολεμίων, νεωτερίσειαν. καὶ
αὐτὸς ὑπισχνεῖτο, εἰ κινδυνεύοι, τὸ ἔργον ἐπιθέσθαι. Ἄννων μὲν δὴ χιλίους ἦγεν ἐπιλέκτους
ἱππέας Καρχηδονίων. ἢ Λιβύων τι πλῆθος· Μασσανάσσης δέ, νομάδας τοὺς ἑαυτοῦ·
ὡς δὲ ἐπὶ τὸν πύργον ἀφίκοντο. καὶ ὁ Ἄννων ξὺν ὀλίγοις ἐς τὴν Ἰτύκην σὺν ὀ-

λίγοις, μέρος τι τῆς ἐνέδρας ἐξεφαίνετο. καὶ ὁ μασσανάσσης, ἐκθέει τὸν
τεταγμένον ἐπὶ τοῖς ἱππεῦσι τῶν καρχηδονίων, ἐπιδραμεῖν αὐτοῖς ὡς
ὀλίγοις. καὶ αὐτὸς ἐκ βραχέος εἵπετο, ὡς ἐπιβοηθήσων. ἐν μέσῳ δὲ τῶν
λιβύων γενομένων, ἥ τε πλείων ἐνέδρα κατεφαίνετο, καὶ συνῆκον τισὶν αὐτῷ
ἑκατέρωθεν οἱ ῥωμαῖοι καὶ ὁ μασσανάσσης. πλὴν τετρακοσίων οἱ λοιποὶ ἐλήφθησαν
αἰχμάλωτοι. μασσανάσσης δὲ ἐπὶ τῷδε ἐξετέλεσε, ἅπαντα τῷ ἄννωνι
κατὰ σπουδὴν ὡς φίλος ἐπιὼν. καὶ συλλαβὼν αὐτὸν, ἀπήγαγεν ἐς τὸ τοῦ σκη-
πίωνος στρατόπεδον. καὶ ἀντέδωκεν ἀσδρούβᾳ, τῆς μητρὸς τῆς ἑαυτοῦ. σκηπίων
δὲ καὶ μασσανάσσης, τὴν χώραν ἐπόρθουν. καὶ ῥωμαίους ἐξέλυον, ὅσοι δεθέντες
ἔσκαπτον ἐν τοῖς ἀγροῖς. ἐξ ἰβηρίας ἢ σικελίας. καὶ ἀπ' αὐτῆς τῆς ἰταλίας πεμφθέντες
ὑπ' ἀννίβου. πολιορκοῦντι δ' αὐτοῖς πόλιν μεγάλην, ἣ ὄνομα λόχαι. καὶ πολ-
λῶν ἤδη γὰρ παρέσχουσιν, οἱ μὲν λοχαγοὶ προστιθεμένων τῶν κλιμάκων ἐπεκηρυκεύοντο
ἐκλιπεῖν τὴν πόλιν ὑπόσπονδοι. καὶ ὁ σκηπίων ἀνεκάλει τῇ σάλπιγγι τὴν
στρατιάν. ἡ δ' οὐχ ὑπήκουεν, ὑπ' ὀργῆς ὧν ἐπεπόνθεσαν. ἀλλ' ἐπιβᾶσα τοῖς
τείχεσι, καὶ γυναῖκας καὶ παιδία κατέσφαττον. ὁ δὲ, τοὺς μὲν ἐπιόντας λοχαγοὺς, ἀφῆκεν
ἀπαθεῖς. τὴν δὲ στρατιὰν, τὴν λείαν ἀφείλετο. καὶ τοὺς λοχαγοὺς οἳ συνεξήμαρτον, ἐκ
κλήρου σφῶν ἐν τῷ μέσῳ. καὶ τρεῖς τοὺς λαχόντας ἐκόλασε θανάτῳ. καὶ τάδε πράξας
αὐτὸς ἐξελαύνει. ἀσδρούβας δ' αὐτοῖς ἀνήδρευε. μάγωνα μὲν τὸν ἵππαρχον, ἐπι-
πέμψας ἐκ μετώπου. αὐτὸς δὲ ὄπισθεν ἐπιών. οἱ δ' ἐν μέσῳ γενόμενοι, τὸ ἔργον
ἐμερίσαντο. καὶ ἐν ἑκατέροις αὐτῶν ἑκάτερος ἐπιστραφεὶς, πεντακισχιλίους
τῶν λιβύων ἀπέκτειναν. καὶ χιλίους καὶ ὀκτακοσίους ἔλαβον αἰχμαλώτους.
τοὺς δὲ λοιποὺς ἐς τὰς πέτρας κατήραξαν. καὶ ὁ σκηπίων αὖθις ἐπὶ τοῖσδε, προσέ-
βαλεν ἰτύκῃ, κατά τε γῆν καὶ κατὰ θάλασσαν. δύο μὲν πεντήρεσιν ἐζευγμέναις
πύργον ἐπιθεὶς. ὅθεν τριπήχη βέλη, καὶ λίθους μεγάλους ἐς τοὺς πολεμίους ἠφίει.
καὶ πολλὰ μὲν ἤνυεν. πολλὰ δ' αὖ τε πάσχε θραυομένων τῶν νεῶν. χώματα δὲ ἦγε
μέγιστα. καὶ κριοῖς τὸ τεῖχος ὅτε προσπελάσειε τύπτων. δρεπάνοις τε ἐπισπῶν
ὅσαι βύρσαι ἐπ' αὐτοῦ καὶ ἄλλα σκεπαστήρια ἦν. οἱ δὲ, τὰ μὲν χώματα ὑπετάφρευον.
καὶ τὰ δρέπανα βρόχοις ἀνῆγον. καὶ τοὺς κριοὺς τῆς ὁρμῆς ἐξέλυον, ἐπιβάλλοντες
ἐπικάρσια δοκούς. ἐς δὲ τὰς μηχανὰς ἐξεπήδων μετὰ πυρὸς, ὅτε πνεῦμα φύλα-
ξειαν ἐς αὐτὰς ἐπίφορον. ὅθεν ὁ σκηπίων ἀπογνοὺς οὕτως αἱρήσειν τὴν πόλιν, ἐν
πολιορκίᾳ αὐτῆς καθίστατο. σύφαξ δὲ τῶν γιγνομένων πυνθανόμενος, ἧκε μετὰ
τοῦ στρατοῦ, καὶ οὐ μακρὰν ἐστάθμευεν ἀπορροῦβον. ἔτι δ' ὑποκρινόμενος ἦν αὐ-

φίλος ἑκατέροις. καὶ τὰ βραχὺ τὸν πόλεμον ἐγνωκὼς μέχρι νῦν ἐν τε ἑτέραι.
γὰρ σπουδάζουσαν πρὸς τῶν καρχηδονίων ἐπιγένοιντο. καὶ μισθοφόροι τινὲς
κελτῶν καὶ λιγύων ἐπήλθοσαν, ἐπεχείρει διαιτᾶν ἀλλήλοις. καὶ ἐδίκαιου
μήτε ῥωμαίους λιβύης, μήτε καρχηδονίους ἰταλίας ἐπιβαίνειν ἐπὶ πολέμῳ.
ἔχειν δὲ ῥωμαίους, σικελίαν καὶ σαρδώ. καὶ εἴ τινας ἄλλας νήσους ἔχουσι. ἰβηρίαν
δὲ τίς αἰτῇ, τοῖς πειθομένοις ἔφη συμμαχήσειν. ἅμα δὲ ταῦτ' ἔπραττε, καὶ
μασσανάσσην ἐπῆρε ἐπιθέσθαι πρὸς αὐτόν. τῶν τε μασσυλίων ἀρχὴν αὐτῷ βεβαι-
ώσειν ὑπισχνούμενος, καὶ τῶν θυγατέρων τριῶν μίαν, δώσειν ἐς γάμον ἣν ἂν ἐθέλῃ.
φέρε δὴ ταῦτα λέγων, χρυσίον. ἵνα ἄμα πείσῃ, δῶκε τῶν θεραπόντων αὐτοῦ,
τῷ κτείνειν μασσανάσσην ὑπισχνουμένῳ. ὁ μὲν δὴ μὴ πείθων, ἔδωκε δ' ἤνι
τὸ χρυσίον ἐπὶ τῷ φόνῳ. ὁ δὲ λαβὼν, ἔδειξε τῷ μασσανάσσῃ. καὶ τὸν δόντα ἤλεγξε.
σύφαξ δ' οὖν ὡς ἐσδοκῶν ἔτι λύσειν, φανερῶς τοῖς καρχηδονίοις συνεμάχει. πόλιν τε
ἐν μεσογείᾳ φυλάττουσαν ῥωμαίων παρασκευήν, καὶ σῖτον πολὺν ἔχουσαν, ἐκ προ-
δοσίας εἷλε. καὶ τοὺς φρουροὺς τοὺς αὐτῶν ἔκτεινεν, ὀκνήσαντας ἀπελθεῖν ὑποσπόν-
δους. σύμμαχόν τε ἄλλην πολλὴν συναγαγὼν μετεπέμπετο. καὶ οἱ μισθοφόροι πορθοῦντες
αὐτοῖς ἤδη. καὶ ἡ νῦν ἐς τὸ πλῆθος ἦχον, ὥστε ἐγγὺς πολεμεῖν. σύφακα μὲν, ὁρμώ-
μενον ἐπὶ τοὺς πολιορκοῦντας ἰτύκην. ἀσδρούβαν δὲ ἐπὶ τὸ σκηπίωνος στρατόπεδον.
τὰς δὲ ναῦς ἐς ταῖς ναυσὶν ἐπιπλεῖν. καὶ γίνεσθαι ταῦτα, τῆς ἐπιούσης ἡμέρας.
ἅπαντας ὁμοῦ. ἵνα μὴ διαρκέσῃ ἂν αὐτοῖς οἱ ῥωμαῖοι διὰ τὴν ὀλιγότητα. ὧν ἤδη
νυκτὸς ὄντος ὁ μασσανάσσης περί τινων πυνθανόμενος, μετέδωκε τῷ
σκηπίωνι. ὁ δὲ, ἐδίστασε καὶ ἠπόρει, μὴ ἐν πολλὰ αὐτῷ διαιρουμένου στρατοῦ, ἀσθενέ-
στερος ἐν πᾶσι γένηται. τοὺς οὖν ἡγεμόνας αὐτίκα νυκτὸς, ἐπὶ τὴν σκέψιν
ἐκάλει. καὶ ἀπορούντων ἁπάντων, ἐπὶ πολὺ σιωπῶν γενόμενος, ἔφη· τόλμης καὶ
ταχυτῆτος ἡμῖν ὦ φίλοι δεῖ. ἀμηχανία δ' ἀπογνώσεως. φθάσωμεν ἐπελθόντες
τοῖς πολεμίοις. ὅσα δ' ἐν τῷ δὲ πλεονεκτήσομεν, μάθετε ἤδη. ἐκείνους μὲν ἐκ-
πλήξει τὸ ἀδόκητον τῆς ἐφόδου καὶ τὸ παράδοξον τοῦ ἔργου, τῶν ὀλιγωτέρων
προεπιχειρούντων. ἡμεῖς δ' οὐκ ἐν πολλῷ διηρημένῳ τῷ στρατῷ ἀγωνιούμεθα. ἀλλ' ἀθρόοι.
οὐδὲ πᾶσιν ἐξομένῃ αὐτῇ ἅπασι τοῖς ἐχθροῖς. ἀλλ' οἷς ἂν ἐπιλεξώμεθα πρώτοις.
στρατοπέδοις οἱ δ' ἐφ' ἑαυτῶν ἕκαστοι. καὶ ἐσόμεθα αὐτοῖς κατὰ μέρος ἰσόμαχοι. τόλμῃ δὲ
καὶ τύχῃ προύχομεν. καὶ ἢν ὁ θεὸς δῷ τῶν πρώτων ἐπικρατῆσαι, τῶν ἄλλων κατα-
φρονήσομεν. οἷς δ' ἐπιχειρητέον ἐστὶ πρώτοις, καὶ τίς ὁ καιρὸς ἤτοι πρόσεστι τῆς ἐπι-
χειρήσεως, εἰ ἀρέσκει τὰ τῆς γνώμης, ὁρᾶτε. συντιθεμένων δὲ πάντων, ὁ μὲν καιρὸς,

ᾔτων, ἀθεὶς ἐπὶ χάρακα ἀπὸ τοῦδε τοῦ συλλόγου· νυκτὸς οὔσης, ὅτι καὶ τὸ
ἔργον ἐπιφοβερώτερον· καὶ ἀνέτοιμα τἀκεῖ· καὶ οὐδεὶς τῶν συμμάχων αὐτοῖς
δύναται βοηθεῖν ἐν σκότῳ· φθάσομέν τε οὕτως αὐτῶν τὰ βουλεύματα μόνως·
ἐγνωκότων ἡμῶν τῆς ἐπιούσης ἡμέρας ἐπιθέσθαι· πείθων δ' αὐτοῖς οὕτως ὡμ
στρατοπέδων, ἃ μὲν νῦν ἐστὶ πόρρω. καὶ οὐκ ἔστιν αὐτοῖς νυκτὸς ἐπιχειρεῖν· Ἀσ-
δρούβας δὲ καὶ Σύφαξ, οὐ μακρὰν ἀπ' ἀλλήλων· καὶ τούτοιν, Ἀσδρούβαν μὲν ἐπὶ
τὸ τοῦ πολέμου κεφάλαιον· Σύφαξ δέ, οἷ' ἂν νυκτὸς ἐπιτολμήσειε τῷ πόνῳ·
βάρβαρος ἀνὴρ. καὶ τρυφῆς γέμων ὁ δέ του· φόρει οὖν, ἡμεῖς μὲν ἐπὶ
Ἀσδρούβαν μετὰ παντὸς ἴωμεν τοῦ στρατοῦ· Μασσανάσσην δὲ τόνδε, ἐπιτάξωμεν
ἐφεδρεύειν τῷ Σύφακι χάρακι καὶ παρὰ δόξαν μὴ ἐξίῃ τοῦ στρατοπέδου· πεζοὶ δὲ
χωρῶμεν ἐπὶ τὸν χάρακα τοῦ Ἀσδρούβου· καὶ ἐπιόντες, ἐπιχωρῶμεν
ἐκ παντὸς μέρους, συμβαλεῖ δ' ἡ τέχνη, ἡ τόλμη θρασυτάτη· τούτων γὰρ
τὰ παρόντα δεῖται μάλιστα. τοῖς δ' ὥστε, οὐ γάρ ἐστιν αὐτοῖς χρῆσθαι νυκτὸς
ἔτι οὔσης, προπέμψω πορρωτέρω κυκλοῦσθαι τὸ στρατόπεδον τῶν πολεμίων·
ἵνα ἂν μὴ βιασθῶμεν, ὑποδέχοιντο ἡμᾶς· καὶ εἰ φιλίων καταφύγοιμεν, ἢ ἐπι-
κρατοῖμεν, ἐκφυγόντας ἐκείνους διώκοιεν καὶ διαχειροῖντο. ταῦτ' εἰπών, καὶ
τοὺς ἡγεμόνας ἐκπέμψας ὁπλίσαι τὸν στρατόν, αὐτὸς ἐθύετο τόλμῃ καὶ φόβῳ
μηδὲν ὡς ἐν νυκτὶ πανικὸν γενέσθαι· ἀλλὰ τὸν στρατὸν αὐτῷ θρασύτατον μά-
λιστα ὀφθῆναι. τρίτης δὲ ἤδη φυλακῆς, ἠρέμα τῇ σάλπιγγι ὑπεσήμαινε. καὶ
μετὰ σιγῆς βαθείας τῆς στρατιᾶς τοσοῦτος ἐβάδιζεν. ἕως οἱ μὲν ἱππεῖς περιέσχον
ἐν κύκλῳ τοὺς πολεμίους· οἱ πεζοὶ δ' ἐπὶ τὴν τάφρον αὐτῶν ἀφίκοντο. βοῇ δὲ
τότε παμμιγεῖ. καὶ σάλπιγξιν ἀθρόως. καὶ βυκανήμασιν ἐς κατάπληξιν
χρώμενοι, τοὺς μὲν φύλακας ἐξέωσαν ἐκ τῶν φυλακτηρίων· τὴν δὲ τάφρον ἔχουν·
καὶ τὰ σταυρώματα διέσπων. οἱ δ' ἤδη τολμηρότατοι προδραμόντες, ἐνέπρησαν
τινὰς σκηνάς. καὶ οἱ Λίβυες μετ' ἐκπλήξεως, ἀνεπήδων τε ἐξ ὕπνου, καὶ
τὰ ὅπλα μετελάμβανον. καὶ ἐς τὰς τάξεις ἀτάκτως ἐφέροντο. καὶ τῶν
παραγγελλομένων διὰ τὸν θόρυβον οὐ κατήκουον· οὐδὲ τοῦ στρατηγοῦ
τὸ ἀκριβὲς τῶν γινομένων εἰδότος. ἀλλὰ σκηνοῦντας ἔτι αὐτοὺς οἱ Ῥωμαῖοι καὶ
ὁπλιζομένους ἔτι καὶ ταρασσομένους κατελάμβανον. καὶ σκηνὰς πλέονας
ἐνεπίμπρασαν. καὶ τοὺς ἐν ποσὶν ἀνῄρουν· τοῖς δὲ ἦν ἥ τε βοὴ τῶν ἐχθρῶν.
καὶ ἡ ὄψις καὶ τὰ ἔργα φοβερώτατα, ὡς ἐν νυκτὶ καὶ ἀγνωσίᾳ τοῦ γινομένου
κακοῦ. ἡγούμενοί τε ὡς ἐλήφθη τὸ στρατόπεδον. καὶ τὸ πῦρ τῶν ἐμπρησμῶν

μένων σκηνῶν δεδιότες, ἐξέπιπτον ἑκόντες ἐξ αὐτῶν· καὶ ἐς τὸ πεδίον
ὡς ἀσφαλέστερον ἐξωθοῦντο. ὅθεν κατὰ μέρος ὁπότε τύχοιεν, ἀκόσμως διεδί-
δρασκον. καὶ ἐς τοὺς Ῥωμαίους ἱππέας οἳ κύκλῳ περιεστήκεσαν, ἐμπίπτοντες,
ἀπέθνησκον. Σύφαξ δὲ νυκτὸς μὲν ἔτι τῆς βοῆς αἰσθόμενος καὶ τὸ πῦρ ὁρῶν,
οὐκ ἐπεξῆλθεν· ἀλλὰ τῶν ἱππέων τινὰς ἐπικουρεῖν ἔπεμψεν Ἀσδρούβᾳ. οἷς ὁ
Μασσανάσσης ἐπιπεσὼν ἄφνω, πολὺν εἰργάσατο φόνον. ἅμα δ' ἡμέρᾳ μαθὼν
ὁ Σύφαξ Ἀσδρούβαν μὲν ἤδη ἀποφυγόντα, τῆς δὲ στρατιᾶς αὐτοῦ, τοὺς μέν, ἀπολω-
λότας. τοὺς δ' εἰλημμένους ὑπὸ τῶν πολεμίων, τοὺς δέ, διερριμμένους, καὶ τὸ στρατό-
πεδον αὐτῇ παρασκευῇ Ῥωμαίους ἔχοντας, ἀνεζεύγνυε φεύγων εἰς τὰ μεσόγεια
μετὰ θορύβου· πάντα καταλιπών. οἰόμενος δ' αὐτὸς ἀπὸ τῆς Καρχηδονίων διώξεως
αὐτῷ τὸν Σκηπίωνα ἐπανιόντα ἐπιστήσεσθαι. ὅθεν καὶ τοῦδε τὸν χάρακα καὶ
τὴν ἐν αὐτῷ παρασκευήν, εἷλε Μασσανάσσης. καὶ Ῥωμαῖοι διὰ τόλμης μιᾶς ἐν
ὀλίγῳ μέρει νυκτός, δύο στρατόπεδα. καὶ δύο στρατῶν πολὺ μειζόνων ἐκράτησαν ὁμοῦ.
ἀπέθανον δέ, Ῥωμαίων μέν, ἀμφὶ τοὺς ἑκατὸν ἄνδρας· τῶν δ' ἐχθρῶν, ὀλίγῳ δέον τρ-
τες μύριοι. καὶ αἰχμάλωτοι ἐγένοντο, δισχίλιοι καὶ τετρακόσιοι· τῶν δ' ἱππέων,
ἑξακόσιοι ἐπανιόντι τῷ Σκηπίωνι ἑαυτοὺς παρέδωσαν. καὶ τῶν ἐλεφάντων,
οἱ μέν, ἀνῄρηντο· οἱ δέ, τέτρωντο. Σκηπίων δέ, ὅπλων τε καὶ χρυσοῦ. καὶ ἀργύρου καὶ
ἐλέφαντος πολλοῦ. καὶ ἵππων ἄλλων τε καὶ Νομαδικῶν κεκρατηκώς. καὶ διὰ μέσας
τῆς δὲ νίκης λαμπροτάτης δὴ γενομένης ἐς γόνυ, τὰ Καρχηδονίων καταβαλών, ἀ-
παντα ἀριστεῖα, τῷ στρατῷ διεδίδου. καὶ τῶν λαφύρων τὰ ἀξιολογώτατα, ἐς Ῥώμην
ἔπεμψε. καὶ τὸν στρατὸν ἐγύμναζε φιλοπόνως· προσδοκῶν Ἀννίβαν τε αὐτίκα
ἀπὸ τῆς Ἰταλίας καὶ Ἄννωνα ἀπὸ Λιγυστίνων πελάσεσθαι. καὶ Σκηπίων μέν, περὶ ταῦ-
τ' ἦν. Ἀσδρούβας δὲ ὁ στρατηγὸς Καρχηδονίων, ἐν μὲν τῇ νυκτομαχίᾳ μεθ' ἱππέων
πεντακοσίων τετρωμένος, ἐς Ἄδδαν κατέφυγεν. ἔνθα μισθοφόρων τέ τινας ἐκ
τῆς μάχης ἐκπεσόντας, καὶ Νομάδας συνέλεγε, καὶ δούλους ἐς ἐλευθερίαν συνε-
κάλει. πυθόμενος δ' ὅτι Καρχηδόνιοι θάνατον αὐτοῦ κατέγνωσαν ὡς κακῶς
ἐστρατηγηκότος, καὶ Ἄννωνα τὸν Βομίλχαρος εἵλοντο στρατηγεῖν, ἴδιον αὐτοῦ τὸν
στρατὸν ἐποίει. καὶ κακούργους προσελάμβανε. καὶ ἐληΐζετο ἐς τὰς τροφάς.
καὶ ἐγύμναζεν, οἷς ἦν ἀμφὶ τρισχιλίους ἱππέας. πεζοὺς δέ, ὀκτακισχιλίους.
ὡς ἐν μόνῳ τῷ μάχεσθαι τὰς ἐλπίδας ἔχων. ὁ μέν, δὴ ταῦτα ποιῶν, Ῥωμαίοις
ἐπὶ πολὺ καὶ Καρχηδονίοις ἐπὶ πολὺ ἐλάνθανε. Σκηπίων δ' ἐπῄει αὐτῇ
Καρχηδόνι τὸν στρατὸν ὡπλισμένον, καὶ σοβαρῶς ἐς μάχην προεκαλεῖτο.

οὐδενὸς ἀξιοῦντος. Ἀμίλχαρ δὲ ὁ ναύαρχος ναυσὶν ἑκατὸν ἐπιπλεόμενος
ἐς τὸν ναύσταθμον ἀνήγετο τοῦ Σκιπίωνος· ἐλπίσας, αὐτόν τε φθάσειν
ἐπιόντα καὶ τὰς ναῦς ἐκ τῶν Ῥωμαίων εἴκοσι τριήρεις, ῥᾳδίως ταῖς ἑκατὸν
αἱρήσειν. ὁ δὲ Σκιπίων ἰδὼν αὐτοῦ τὸν ἀπόπλουν, προύπεμπέ τινα τὸ πρὸ
τοῦ λιμένος, ἐμφράξαι στρογγύλοις πλοίοις ἐπ' ἀγκυρῶν ἐκ διαστήματος· ἵνα
ὡς διὰ πυλῶν αἱ τριήρεις ἐκθέοιεν ὅτε καιρὸς εἴη. καὶ τὰ πλοῖα τοῖς κέρασι συν-
δῆσαί τε καὶ ἁρμόσαι πρὸς ἄλληλα· ἵνα ἀντὶ τείχους ᾖ. καταλαβὼν δὲ τοῦτο τὸ
ἔργον, ἠπείγετο τὸν πόνον. ἐβάλλοντο μὲν τῶν Καρχηδονίων ἀπό τε τῶν πλοίων καὶ ἀπὸ
τῆς γῆς καὶ ἀπὸ τοῦ τείχους αἱ νῆες ἐθραύοντο. καὶ κλονοῦσαι, περὶ ἑσπέραν
ἀπέπλευσαν. ἀπιούσαις δ' αὐταῖς, αἱ Ῥωμαίων ἐπέκειντο, ἐκθέουσαί τε διὰ τῶν
διαστημάτων· καὶ ὅτε βιάζοιντο ὑποχωροῦσαι. μίαν δὲ καὶ ἀνεδήσαντο κενὴν
ἀνδρῶν· καὶ πρὸς τὸν Σκιπίωνα ἀνήγαγον. μετὰ δὲ τοῦτο, ἐχείμαζον ἀμφότεροι·
καὶ Ῥωμαίοις μὲν ἦν ἐκ θαλάσσης ἀγορὰ δαψιλής· Ἰτυκαῖοι δὲ καὶ Καρχη-
δόνιοι λιμώττοντες ἐλῄστευον τοὺς ἐμπόρους· μέχρι Ῥωμαίων νῆες ἄλλαι
πεμφθεῖσαι τῷ Σκιπίωνι, ἐφορμοῦσαι τοῖς πολεμίοις καὶ τὰς λῃστρικὰς ἐκώ-
λυον. οἱ δὲ ἔκαμνον ἤδη σφόδρα τῷ λιμῷ. τοῦ δ' αὐτοῦ χειμῶνος, ἐπιόντος
οὖν τοῦ Σύφακος, Μασσανάσσης ᾔτησεν ἐπὶ τὴν στρατιὰν τὸ τέταρτον τῆς
Ῥωμαϊκῆς παρὰ Σκιπίωνος· καὶ λαβὼν, ἡγουμένου τῶν Ῥωμαίων Λαιλίου,
τὸν Σύφακα ἐδίωκεν. ὁ δὲ ὑπέφευγε, μέχρι καθορώμενος περί τινι ποταμῷ,
συνετάξατο ἐς μάχην. οἱ μὲν οὖν νομάδες ἐκ τοῦ ἀντιπέρας, ὡς ἔθος αὐτοῖς,
πολλὰ καὶ ἀθρόα ἠφίεσαν ἐπ' ἀλλήλοις. οἱ δὲ Ῥωμαῖοι προβαλλόμενοι τὰς
ἀσπίδας, ἐπῄεσαν. Σύφαξ δὲ Μασσανάσσῃ ἵετο ἐπ' αὐτὸν ὑπ' ὀργῆς· ὁ δ'
ἀντεπῄεσε γεγηθώς. ἀγῶνος πολλοῦ περὶ ἀμφοῖν γινομένου, τραπέντ-
ες οἱ τοῦ Σύφακος, ἐν φυγῇ τὸν ποταμὸν ἐπέρων. ἔνθα τις αὐτοῦ, τὸν Σύ-
φακος ἵππον ἔβαλεν. ὁ δ' ἀπεσείσατο τὸν δεσπότην. καὶ ὁ Μασσανάσσης ἐπι-
δραμὼν, εἷλέ τε αὐτὸν Σύφακα καὶ τὸν ἕτερον αὐτοῦ τῶν υἱῶν. καὶ τούτους δὲ
μὲν ἀθρόως ἔπεμψε Σκιπίωνι. ἀπέθανον δὲ ἐν τῇ μάχῃ. Σύφακος μὲν ἐς
μυρίους ἄνδρας· Ῥωμαίων δὲ, πέντε καὶ ἑβδομήκοντα· Μασσανάσσου δὲ,
τριακόσιοι. καὶ αἰχμάλωτοι Σύφακος, τετρακισχίλιοι. τούτων ἦσαν, Μασσυ-
λιοι δισχίλιοι καὶ πεντακόσιοι, τῶν ἐς Σύφακα ἀπὸ Μασσανάσσου μεταστάν-
των. καὶ αὐτοὺς ὁ Μασσανάσσης ἐπὶ τῷδε ᾔτησε παραλαβεῖν. καὶ λαβὼν, κατέ-
σφαξε. μετὰ δὲ τοῦτο, Μασσυλίων καὶ τὴν χώραν τὴν Σύφακος ἐπῄεσαν.

τῆς μὲν αὖθις ἐς τὴν ἀρχὴν τοῦ Μασσανάσσου καθιστάμενοι· τοὺς δὲ,
προσποιούμενοί τε καὶ τοὺς ἀπωθοῦντας ἀεὶ τῶν καταστρεφομένων. ἀφι-
κνοῦντο δ' αὐτοῖς καὶ ἐκ Κίρτης, πρέσβεις· τὰ βασίλεια τοῦ Σύφακος παρα-
διδόντες. ἰδίᾳ δὲ πρὸς Μασσανάσσην ἕτεροι παρὰ Σοφονίβας τῆς Σύ-
φακος γυναικὸς τὴν ἀνάγκην τοῦ γάμου διηγούμενοι. Σοφονίβαν μὲν
οὖν, ἀσμένως ἀναλαβὼν ὁ Μασσανάσσης, καὶ αὐτὴν ἐπανιὼν πρὸς Σκιπίωνα
αὐτὸς, ἐν Κίρτῃ κατέλιπε. προορώμενος ἄρα τὸ μέλλον. Σκιπίων δὲ ἤρετο
Σύφακα· τίς σε δαίμων ἔβλαψε φίλον ὄντα ἡμῖν ἐπὶ Λιβύην ἐλθεῖν προέ-
λοντα, ψεύσασθαι μὲν θεοὺς οὓς ὤμοσας, ψεύσασθαι δὲ μετὰ τῶν θεῶν Ῥωμαίους
καὶ μετὰ Καρχηδονίων ἀντὶ Ῥωμαίων ἑλέσθαι πολεμεῖν, τῶν ἐπὶ Καρχηδονίους
οὐ πρὸ πολλοῦ σοι βεβοηθηκότων; ὁ δ' ἔφη, Σοφονίβα, Ἀσδρούβα θυγάτηρ, ἧς ἐγὼ
ἤρων ἐπ' ἐμῷ κακῷ. φιλόπατρις δ' ἐστὶν ἰσχυρῶς, καὶ ἱκανὴ πάντα τινὰ πείθειν
πρὸς ἃ βούλεται. αὕτη με καὶ ἐκ τῆς ὑμετέρας φιλίας ἐς τὴν ἑαυτῆς μετέθηκε
πατρίδα. καὶ ἐς τόδε συμφορᾶς ἐκ τοσῆσδε εὐδαιμονίας κατέβαλε. σοὶ δὲ παραι-
νῶ· ἐκεῖ γὰρ ὑμέτερον γενόμενον καὶ Σοφονίβας ἀπηλλαγμένον· ναί γε ὑμῖν εἶναι
βέβαιον, φύλαξαι Σοφονίβαν, μὴ Μασσανάσσην ἐς ἃ βούλεται μεταγάγῃ. οὐ
γὰρ δὴ μὴ τὸ γυναικεῖον ποτὲ ἕλοιτο τὰ Ῥωμαίων, ἢ [illegible]. οὕτως ἐστὶν
ἰσχυρῶς φιλόπολις. ταῦθ' ὁ μὲν, ἔλεγεν ἢ [illegible] ἢ τε ζηλοτυπούμενος
καὶ Μασσανάσσην ἐς τὰ μέγιστα βλάπτων. ὁ δὲ Σκιπίων, Σύφακα μὲν συνε-
τόν τε φαινόμενον καὶ τῆς χώρας ἔμπειρον, ἐπὶ τὰ κοινὰ ἐπήγετο καὶ γνώμης
καὶ συμβουλῆς μετεδίδου· οἷόν τι καὶ Κροίσῳ τῷ Λυδῷ Κῦρος ἐχρῆτο. λοι-
δαφικόμενον. καὶ ταῦτα περὶ τῆς Σοφονίβας πυθόμενος παρὰ πολλῶν λεγόντων,
ἐκέλευσε τὸν Μασσανάσσην τὴν Σύφακος γυναῖκα παραδοῦναι. παραι-
τουμένου δὲ ἐκείνου καὶ τὰ περὶ αὐτῆς ἄνωθεν ὡς ἐγεγένητο διηγουμένου, τρα-
χύτερον ὁ Σκιπίων ἐκέλευεν αὐτὸν μηδὲν ἀφαιρεῖσθαι βίᾳ τῶν Ῥωμαϊκῶν
λαφύρων, ἀλλ' ἧς τὸ μὲν ἐγκαταθέντα, αἰτεῖν. καὶ πείθειν εἰ δύναιτο. ὁ δ' ἐχώ-
ρει οὖν ὁ Μασσανάσσης μετά τινων Ῥωμαίων, παραδώσων αὐτοῖς τὴν Σοφονίβαν.
κρύφα δὲ αὐτῇ φέρων φάρμακον, πρῶτος ἐνέτυχε· καὶ τὰ παρόντα
προὔθηκεν· ἢ πιεῖν, ἢ Ῥωμαίοις δουλεύειν ἑκοῦσαν. οὐδὲν τε εἰπὼν ἔτι,
ἐξήλασε τὸν ἵππον. ἡ δὲ, τὴν τροφὸν δείξασα τὴν κύλικα. καὶ δεηθεῖσα μηδὲν
ὀδύρεσθαι καλῶς ἀποθνήσκουσαν, ἔπιε τοῦ φαρμάκου. καὶ αὐτὴν ὁ Μασ-
σανάσσης τοῖς ἥκουσι Ῥωμαίων ἐπιδείξας, καὶ θάψας βασιλικῶς, ὑπέ-

γραφε πρὸς Σκηπίωνα· ὁ δὲ αὐτὸν ἐπαινέσας τε καὶ ὑπηγορήσας ὅτι πονηρ-
γίνεται κακῶς ἀπαλλάξει, ἐσφάλη τε τῆς ἐφόδου τῆς ἐπὶ Σύφακα· καὶ ἐδωρή-
σατο πολλοῖς. ἀχθέντος δὲ Ῥωμαίοις τοῦ Σύφακος, οἱ μὲν, ἠξίουν περισώζειν
ἄνδρα ἐν Ἰβηρίᾳ φίλον καὶ σύμμαχον αὐτοῖς γενόμενον· οἱ δὲ, κολάζειν
ὅτι τοῖς φίλοις ἐπολέμησεν. ὁ δὲ, ὑπὸ λύπης ἀπονοσῶν ἀπέθανεν. Ἀσρούβας
δὲ ἔτι ἀνακαλῶν τοὺς σωζομένους ἐγύμναζεν, ἔπεμψέ τινα πρὸς Ἄννωνα τὸν
στρατηγὸν τῶν Καρχηδονίων, ἀξιῶν αὐτῷ τὸν Ἄννωνα κοινωνῆσαι τῆς στρατηγίας·
καὶ ὑποδηλοῦν ὅτι πολλοὶ Σκηπίωνι συνῆσαν Ἴβηρες. οὓς ἐάν τις χρήμασιν
ἢ ὑποσχέσει διαφθείρῃ, τὸ Σκηπίωνος στρατόπεδον ἐμπρήσουσι· φησὶ δὲ καὶ
αὐτὸς, εἰ προμάθοι τὸν καιρὸν, ἥξειν ἐπὶ τὸ ἔργον. ταῦτα μὲν Ἀσρούβας.
ὁ δὲ Ἄννων, ἐς μὲν τὸν Ἀσρούβαν ἐπονούργει· τοῦ δὲ ἐγχειρήματος οὐκ
ἀπήλπισεν· ἀλλ᾽ ἄνδρα πιστὸν μετὰ χρημάτων καθάπερ αὐτόμολον, ἐς
τὸ Σκηπίωνος στρατόπεδον κατέπεμψεν. ὃς πιθανὸς ὢν ἐντυγχάνειν ἑκάστῳ,
διέφθειρε πολλούς. ἡμέραν τε συνθέμενος αὐτοῖς ἐπανῆλθε. καὶ τὴν ἡμέραν
ὁ Ἄννων τῷ Ἀσρούβᾳ μετέφερε. Σκηπίωνι δὲ θυομένῳ, κινδυνεύοντα ἱερὰ
ἐδήλου ἐμπρησμοῦ. καὶ περιπέμψας ἐς ἅπαν τὸ στρατόπεδον, ἤ πού τι
λαθραῖον εὑρίσκοι πῦρ, κατέπαυε. καὶ αὖθις ἐπὶ πολλὰς ἡμέρας ἔθυέ τε.
ὡς δ᾽ οὐκ ἀνίει τὰ ἱερὰ τὸν ἐμπρησμὸν ὑποδηλοῦντα, ὁ μὲν, ἐβαρυθύμει
καὶ μεταστρατοπεδεῦσαι διεγνώκει· ἱππέως δὲ Ῥωμαίου θεράπων Ἴβηρ, ὑπονοή-
σας τι περὶ τῶν συνθεμένων ὑπεκρίνατο συνειδέναι· ὡς τὸ πᾶν ἔμαθε καὶ ἐμήνυσε
τῷ δεσπότῃ. ὁ δὲ, αὐτὸν ἐς τὸν Σκηπίωνα ἤγαγε· καὶ τὸ πλῆθος ἠλέγχετο. καὶ
πάντας ὁ Σκηπίων ἔκτεινε· καὶ ἐξέρριψε πρὸ τοῦ στρατοπέδου. αἰτήσας δὲ ἡ ἀν-
γωνι μὲν ὁ ξενα πλησίον ὄντι· καὶ οὐκ ἦλθεν ἐπὶ τὸ συγκείμενον. Ἀσρούβας δὲ ἀ-
γνοῶν, ἀφίκετο· ὡς δὲ τὸ πλῆθος εἶδε τῶν νεκρῶν, ᾗ κατὰ τὸ συμβὰν ἀνεχώρει.
καὶ αὐτὸν ὁ Ἄννων ἐς τὸ πλῆθος διέβαλλεν, ὡς ἀφίκοιτο Σκηπίωνι διδοὺς ἑαυτόν.
ὁ δὲ οὐ λάβοι. Ἀσρούβας μὲν δὴ καὶ ἐκ τοῦδε, τοῖς Καρχηδονίοις ἦν μάλιστα με-
ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν, Ἀμίλχαρ μὲν ἄφνω ταῖς Ῥωμαίων ναυσὶν ἐπιπλεύσας,
μὲν ἔλαβε τριήρη καὶ φορτηγοὺς δύο· Ἄννων δὲ ἐπιθέμενος τοῖς πολιορκοῦσιν Ἰτύκην,
ἀπεκρούσθη. Σκηπίων δὲ χρονίου τῆς πολιορκίας οὔσης, ταύτην μὲν ἀφῆκεν οὐδὲν
ἀνύων· τὰς δὲ μηχανὰς ἐς Ἱππῶνα πόλιν μετετίθει. καὶ οὐδενὸς οὐδὲ ἐνταῦθα
προκόπτοντος αὐτῷ, κατακαύσας τὰ μηχανήματα, τὴν χώραν ἐπέτρεχε.
τοὺς μὲν ἀφίλους ἐπαγόμενος, τοὺς δὲ λῃζόμενος. Καρχηδόνιοι δὲ ἐπὶ ταῖς κακο-

πραγίαις δυσφοροῦντες, αἱροῦνται στρατηγὸν αὐτοκράτορα Ἀννίβαν· τὸν δὲ
ναύαρχον ἔπεμπον ἐπὶ νεῶν, ἐπισπέρχοντες αὐτὸν ἐπὶ τὴν διάβασιν. ἅμα δὲ
ταῦτ᾽ ἔπραττον, καὶ ἐς τὸν Σκηπίωνα περὶ εἰρήνης ἐπρεσβεύοντο. ἡγούμενοι,
τούτοις πάντως ἑνὸς τυχεῖν· ἢ τὴν εἰρήνην δέξεσθαι, ἢ χρόνον διατρίψειν ὡς ἀφί-
κοιτο Ἀννίβας. Σκηπίων μὲν οὖν αὐτοῖς ἀνοχάς τε ἔδωκε. καὶ τὴν δαπάνην τοῦ
στρατοῦ λαβὼν, πρεσβεύειν ἐφῆκεν ἐς Ῥώμην. οἱ δὲ, ἐπρέσβευον· καὶ τυχὸν ἐκτὸς
ἐσταθμεύον· ὡς ἔτι πολέμιοι. ἀχθέντες τε ἐπὶ τὴν βουλὴν, ἐδέοντο συγγνώ-
μης τυχεῖν· τῶν δὲ συμβουλευτῶν, οἱ μὲν, τῆς Καρχηδονίων ἀπιστίας ὑπεμίμνησκον,
ὡς ὁσάκις συνθοῖντο, παραβαίνειν. ὅσα τε Ἀννίβας δράσειε δεινὰ Ῥωμαίους καὶ
τοὺς Ῥωμαίων συμμάχους ἔν τε Ἰβηρίᾳ καὶ Ἰταλίᾳ. οἱ δὲ, τὸ τῆς εἰρήνης χρήσιμον, οὐ
Καρχηδονίοις μᾶλλον ἢ σφίσιν ὑποδεικνύοντες ἔσεσθαι. τῆς Ἰταλίας δὲ πολεμίοις
ἐκτετριμμένης. τότε τοῦ μέλλοντος περιδεεῖς ἐδόξησαν. ἔτι πολλοστὸν μένων
ἐπὶ τὸν Σκηπίωνα αὐτίκα σὺν μεγάλοις στρατοῖς· Ἀννίβου τε ἐξ Ἰταλίας καὶ
Μάγωνος ἐκ Λιγύων· καὶ Ἄννωνος ἀπὸ Καρχηδόνος. φοῖς ἀπορούντων ἐβουλεύοντο, συμ-
βούλους ἔπεμψαν τῷ Σκηπίωνι· μεθ᾽ ὧν ἔμελλε κρίνειν τε καὶ πράξειν ὅτι
δοκιμάσειε συνοίσειν. ὁ δὲ, ἐς τὴν εἰρήνην τοῖς Καρχηδονίοις ἐπὶ τοῖσδε
συνέβη· Μάγωνα μὲν ἀποπλεῖν ἐκ Λιγύων αὐτίκα. καὶ τοῦ λοιποῦ, Καρχηδο-
νίους μὴ ξενολογεῖν· ναῦς δὲ μακρὰς ἔχειν μὴ πλείους τριάκοντα. μὴ
δὲ πολυπραγμονεῖν τι, πέρα ὧν ἔχουσιν ἐντὸς τῶν λεγομένων Φοινικίδων
τάφρων· ἀποδοῦναί τε Ῥωμαίοις, ὅσους αἰχμαλώτους αὐτῶν ἔχουσι καὶ
αὐτομόλους· ἀργυρίου τε αὐτοῖς τάλαντα χίλια καὶ ἑξακόσια ἐσενεγκεῖν
ἐν χρόνῳ· ἔχειν δὲ Μασσανάσσην, Μασσυλίων τε καὶ τῆς Σύφακος ἀρχῆς
ὅσα δύναιτο. τάδε μὲν συνέθεντο ἀλλήλοις· καὶ πρέσβεις διέπλεον.
οἱ μὲν ἐς Ῥώμην τοὺς ὑπάτους ὁρκώσοντες. οἱ δ᾽ ἀπὸ Ῥώμης ἐς Καρχη-
δόνα· καὶ τὰ τῆς τῶν Καρχηδονίων ὤμνυε. Μασσανάσσῃ δὲ Ῥωμαῖοι
χαριστήρια τῆς συμμαχίας, στέφανόν τε ἀπὸ χρυσοῦ, καὶ σφραγῖδα χρυσῆν
ἔπεμπον· καὶ ἐλεφάντινον δίφρον· καὶ πορφύραν· καὶ στολὴν Ῥωμαϊκήν·
καὶ ἵππον χρυσοφάλαρον· καὶ πανοπλίαν. γιγνομένων δέ τι τούτων, ὁ Ἀννίβας
ἄκων ἐς Καρχηδόνα ἔπλει· τὴν δ᾽ τοὺς ἄρχοντας ἀπιστῶν τοῦ δήμου καὶ
ταχὺ στρατηγὸν ὑποφορώμενος· ἀπιστῶν δέ τι τὰς σπονδὰς ἔσεσθαι καὶ γένοιτο.
δὲ ἰδὼς, οὐκ ἐς πολὺ βεβαίους ἐσομένας, ἐς Ἀδρύμη τὸν Λιβυκὸν
κατήγετο πόλιν· καὶ σῖτον συνέλεγεν ἐπί τε ὠνῇ ἵππων περιέπεμπε.

καὶ τὸν Δακάσην τῶν νομάδων τῶν καλουμένων Ἀρεσκιδῶν ἐς φιλίαν
ὑπήγετο· καὶ στρατιὰς χιλίων αὐτομόλων ἱππέας αὐτῷ προσφυγόντας,
οἳ Σύφακος ὄντες πρότερον, γεγονότα Μασσανάσσου κατήκοοι τίσειν ὑπώπτευον·
τοὺς δ' ἵππους διέδωκε τῷ στρατῷ· ἦλθε δὲ καὶ Μεθώτυλος αὐτῷ Δακάσης ἕτερος
μετὰ χιλίων ἱππέων· καὶ Οὐέργας Σύφακος υἱὸς ἕτερος, ἐπὶ τῶν πλεόνων τῆς πατρῴας
ἀρχῆς ἐπικρατῶν· πόλεις τε Μασσανάσσου, τὰς μὲν ὑπήγετο· τὰς δὲ βίᾳ
ᾑρεῖτο· Νάρκην δὲ ἐνήδρευσεν ὧδε· ἀγορᾷ χρώμενος, ἐσέπεμψεν ὡς ἐς φίλων·
ὅτε δὲ ἔδοξεν ἐπιθέσθαι, πλείους ἐσέπεμψε ξιφίδια ἐπικρύπτοντας· οἷς εἴρητο
τὰ δίκαια ποιεῖν ἐν τοῖς πιπράσκουσι· μέχρις ἂν σημεῖον ἀκούσωσιν· τότε δ' ἐπι-
χειρεῖν τοῖς ἐντυχοῦσι· καὶ τὰς πύλας οἷς φυλάττειν· οὕτω μὲν εἷλε Νάρκην· Καρ-
χηδόνιοι δὲ ὅμως ἄρτι τὰς συνθήκας πεποιημένοι, καὶ Σκιπίωνος ἔτι παρόντος,
οὔπω τῶν ἰδίων πρέσβεων ἀπὸ Ῥώμης ἀνεστραφότων, ἀγορὰν Σκιπίωνος ὑπὸ χει-
μῶνος κατενεχθεῖσαν ἐς Καρχηδόνα, διήρπασαν· καὶ τοὺς πρέσβεις πεμφθέντας ἐπ' αὐτὴν
ἔδησαν πολλὰ τῆς βουλῆς ἀπειλούσης· καὶ προφαινούσης μέλλειν συνθήκας
ἀρτιγεγενημένας. οἱ δέ, καὶ τὰς συνθήκας ἐπεμέμφοντο ὡς ἀδίκως γενομένας,
καὶ τὸν λιμὸν ἔφασαν ἐνοχλεῖν ὑπὲρ τὰς πρεσβείας· Σκιπίων μὲν οὖν,
οὐκ ἠξίου πόλεμον κατάρχειν μετὰ σπονδάς· ἀλλ' ᾔτει δίκας ὡς φίλων
ἁμαρτόντας· οἱ δέ, καὶ τοὺς πρέσβεις αὐτοῦ κρατεῖν ἐπενόουν, ἕως ἀφίκοιντο
αὐτοῖς οἱ ἀπὸ Ῥώμης· ἀλλὰ τούσδε μέν, Ἀννίβας τε ὁμοῦ καὶ Ἀσδρούβας ὁ Ἔριφος
ἐξείλοντο τοῦ πλήθους· καὶ προύπεμπον δύο τριήρεσιν· ἕτεροι δέ, Ἀσδρούβαν
τὸν ναύαρχον ἔπεισαν· ὁρμοῦντα περὶ τὴν Ἀπόλλωνος ἄκραν, ὅταν ἀποστῶσιν
αἱ προπομποὶ τριήρεις ἐπιθέσθαι τοῖς τοῦ Σκιπίωνος· καὶ ὁ μέν, ἐπέθετο· καὶ
τῶν πρέσβεων τινὲς ἐκ τοξευμάτων ἀπέθανον· οἱ δὲ λοιποί, ἐπιτρωσκόμενοί τε
ἔφθασαν ἐς τὸν λιμένα τοῦ σφετέρου στρατοπέδου καὶ ἐξήλαντο τῆς νεὼς ἤδη
λαμβανομένης· παρὰ τοσοῦτον ἦλθον αἰχμάλωτοι γενέσθαι· ὧν οἱ ἐν ἄστει
Ῥωμαῖοι πυθόμενοι, τοὺς πρέσβεις τοὺς Καρχηδονίων οἳ περὶ τῆς εἰρήνης ἔτι
παρῆσαν, ἐκέλευον ἀποπλεῖν αὐτίκα ὡς πολεμίους· καὶ οἱ μέν, ἐξέπλεον· καὶ
ὑπὸ τοῦ χειμῶνος ἐς τὸ τοῦ Σκιπίωνος στρατόπεδον κατήγοντο· Σκιπίωνι δὲ
τῷ ναυάρχῳ πυθομένῳ περὶ αὐτῶν ὅ,τι δέοι ποιεῖν, οὐδὲν ὅμοιον ἔφη τοῖς Καρ-
χηδονίοις· ἀλλ' ἀπέπεμπε ἀπαθεῖς· μαθοῦσα δὲ ἡ γερουσία, τὸν δῆμον ὠνεί-
διζε τὴν σύγκρισιν· καὶ συνεβούλευε· καὶ μὲν δὴ ἐνθυμηθεὶς καὶ Σκιπίων· τὰ μὲν συγ-
κείμενα φυλάττειν· δίκας δὲ τῶν ἡμαρτημένων παρὰ Καρχηδονίων λαβεῖν.

οἱ δέ, καὶ αὐτὴν τὴν γερουσίαν δυσχεραίνοντες ἐκ πολλοῦ διὰ τὴν κακοπραγίαν,
ὡς οὐκ εὖ τὰ συμφέροντα προορωμένην, καὶ ὑπ' ἀνδρῶν δημοκόπων ἐρεθι-
ζόμενοί τε καὶ ἐς ἀλόγους ἐλπίδας ἐπαιρόμενοι, τὸν Ἀννίβαν ἐκάλουν μεθ' ἧς
εἶχε στρατιᾶς· ὁ δέ, ὁρῶν τὸ μέγεθος τοῦ πολέμου, Ἀσδρούβαν αὐτοῖς ἐκέλευε σὺν
τῇ προούσῃ δυνάμει καλεῖν· Ἀσδρούβας μὲν δὴ τῆς καταδίκης αὐτῷ λυθείσης,
προεδίδου τὸν στρατὸν Ἀννίβᾳ· καὶ οὐδ' ὡς ἐπιφαίνεσθαι τοῖς Καρχηδονίοις
ἐθάρρει· ἀλλ' ἐκρύπτετο ἐν αὐτῇ τῇ πόλει· Σκιπίωνος δὲ ναῦς τῇ Καρχηδόνι ἐπιστᾶσα,
ἦργεν αὐτοὺς ἀγορᾶς ἀπὸ θαλάσσης· οὐκ ἀπορουμένων οὐδ' ἀπὸ τῆς γῆς· ἀπόρου
διὰ τὸν πόλεμον γενομένης. τῶν δ' αὐτῶν ἡμερῶν, Ἀννίβου καὶ Σκιπίωνος ἱππο-
μαχία γίγνεται περὶ Ζάμαν· ἐν ᾗ Σκιπίων ἐπλεονέκτει· καὶ ταῖς ἐπιούσαις, ἀκρο-
βολισμοὶ ἦσαν ἐς ἀλλήλους· ἕως αἰσθόμενος ὁ Σκιπίων Ἀννίβαν ἰσχυρῶς τε
ἀπορούμενον, καὶ περιμένοντα ἀγορὰν φερομένην, νυκτὸς ἔπεμψε Θέρμον
χιλίαρχον ἐπὶ τοὺς ἄγοντας αὐτήν· καὶ λόφον ὁ Θέρμος ἐν στενῇ διόδῳ καταλαβών,
ἔκτεινε τῶν Λιβύων ἐς τετρακισχιλίους· καὶ ἐζώγρησεν ἑτέρους τοσούσδε· καὶ
τὴν ἀγορὰν ἤνεγκε τῷ Σκιπίωνι· ὁ δ' Ἀννίβας ἐς ἔσχατον ἀφιγμένος ἀπορίας,
καὶ τὸ πρὶν ἐπινοῶν ὅπως δύναιτο λαθέσθαι, πρέσβεις ἐς Μασσανάσσην ἔπεμπεν
ὑπομιμνήσκων τε τῆς ἐν Καρχηδόνι διατριβῆς καὶ παιδεύσεως, καὶ παρακαλῶν
ἐπὶ οἷς συναγαγεῖν ἐς συνθήκας Σκιπίωνα· τὰ γὰρ πρότερα τοῦ δήμου καὶ
δημοκόπων τινῶν τοῦ δήμου ἁμαρτήματα γενέσθαι· ὁ δέ, τῷ ὄντι τεθραμμένος
τε καὶ πεπαιδευμένος ἐν Καρχηδόνι, καὶ τὸ ἀξίωμα τῆς πόλεως αἰδούμενός τε
καὶ φίλος ὢν ἔτι πολλοῖς ἐκεῖθεν, ἐδεήθη τοῦ Σκιπίωνος· καὶ συνήγαγεν
αὐτοὺς αὖθις ἐς τὰς συνθήκας· ὥστε Καρχηδονίους τάς τε ναῦς καὶ
τοὺς ἄνδρας οὓς ἔλαβον Ῥωμαίοις ἀγορὰν φέροντας, ἀποδοῦναι· καὶ τὰ ἡρ-
πασμένα ἅπαντα, ἢ τῶν ἀπολωλότων τιμὴν ἣν ἂν αὐτὸς ὁ Σκιπίων ποιῇ·
τοῦ ἀδικήματος, χίλια τάλαντα ἐσενεγκεῖν· τὰ δὲ μὲν κατὰ τὰ συγκείμενα.
καὶ γενομένων ἀνοχῶν, μέχρις αὐτὰ μάθωσι Καρχηδόνιοι, ὁ μὲν Ἀννίβας
ἐξ ἀπόρου πεδίου ἐσώζετο· Καρχηδονίων δὲ ἡ μὲν βουλή, τὰ συμβάντα
ὑπερησπάζετο· καὶ παρεκάλει τὸν δῆμον ἐμμεῖναι τοῖς ἐγνωσμένοις. τήν τε
κακοπραγίαν σφῶν τὴν ἐς ἅπαντα διηγουμένη, καὶ τὴν περιοῦσαν ἀπορίαν
στρατοῦ τε καὶ χρημάτων καὶ ἀγορᾶς· οἱ δέ, οἷον ὄχλος, ἀφρόνως ἡγοῦντο τοὺς
στρατηγοὺς σφῶν, δι' ἃ αὐτοῖς ταῦτα Ῥωμαίοις συντίθεσθαι· ἵνα δ' ἐκείνων
δυναστεύωσι τῆς πόλεως· ὁ καὶ Ἀννίβαν γε καὶ Ἀσδρούβαν, οὐ πρὸ πολλοῦ

ποιῆσαί τε τὸ στρατόπεδον νυκτὸς ἐγχειρήσαντα τοῖς πολεμίοις — μετ' ὀλίγον καὶ ἐς αὐτὸν ἐθελῆσαι τῷ Σκιπίωνι ἐκδοῦναι. ἐπὶ τῷδε πεφευγότα, κρίνεσθαί τε μέλλοντα ἐν τῇ πόλει· βοῆς τε ἐπὶ τούτῳ καὶ θορύβου γενομένου, τῆς ἐκκλησίας τινὲς καταλιπόντες, ἐζήτουν Ἀσδρούβαν περιιόντες. ὁ δὲ ἔφθασε μὲν ἐς τὸν τοῦ πατρὸς τάφον καταφυγών, καὶ φαρμάκῳ διαχρησάμενος αὑτόν· οἱ δὲ κἀκεῖθεν αὐτοῦ τὸν νέκυν ἐξελόντες· καὶ τὴν κεφαλὴν αὐτοῦ ἀποτεμόντες, περιέφερον ἐπὶ δόρατος ἀνὰ τὴν πόλιν. Ἀσδρούβας μὲν δὴ καὶ τὸ πρῶτον ἀδίκως ἐξεπεπτώκει· καὶ τὸ δεύτερον ψευδῶς διεβέβλητο ὑπὸ Ἄννωνος· καὶ τότε πρὸς Καρχηδονίων οὕτως ἀνῄρητο. καὶ οὕτως ἀποθανὼν ὑβρίζετο. Καρχηδόνιοι δέ, ἐπέστελλον Ἀννίβᾳ λῦσαι τὰς ἀνοχὰς καὶ πολεμεῖν Σκιπίωνι· κρῖναι δ' ὅτι τάχιστα τὸν πόλεμον μάχῃ διὰ τὴν ἀπορίαν. ὁ μὲν δή, πέμψας ἔλυσε τὰς ἀνοχάς· καὶ Σκιπίων, Πάρθον τε μεγάλην πόλιν, αὐτίκα προσπεσὼν εἷλε· καὶ πλησίον Ἀννίβου μετεστρατοπέδευεν. ὁ δέ, ἀνεζεύγνυε· τρεῖς τοῖς Ῥωμαίοις κατασκόπους ἐπιπέμψας· οὓς ὁ Σκιπίων, ἔλαβέ τε καὶ οὐκ ἔκτεινεν ὥσπερ ἔθος τοὺς κατασκόπους κτείνειν· ἀλλ' ἐς τὸ στρατόπεδον καὶ τὰς ὁπλοθήκας καὶ τὰ μηχανήματα περιαχθῆναι κελεύσας. καὶ τὴν στρατιὰν γυμναζομένην ἰδεῖν, ἀπέλυσε φράζειν Ἀννίβᾳ περὶ ἑκάστων. ὁ δέ, ἠξίωσεν ἔτι συνελθεῖν ἐς λόγους Σκιπίωνι· καὶ συνελθών, ἔλεγε Καρχηδονίους ἀγανακτῆσαι τὸ πρότερον ἀρχὴν διὰ τὰ χρήματα· καὶ τοῦτ' ἐκλυθείη· Σικελίαν δὲ μόνον ἀξιοῖεν οἱ Ῥωμαῖοι καὶ Ἰβηρίαν· καὶ νήσων ὅσων ἄρχουσι κρατεῖν, ἔστ' ἂν τὰς συνθήκας βεβαιῶσιν· ὁ δέ, πολὺ ἔφη κέρδος Ἀννίβᾳ τῆς φυγῆς ἔσται τῆς ἐξ Ἰταλίας, εἰ ταῦτα προσλάβοι παρὰ Σκιπίωνος· καὶ ἀπηγόρευε πέμπειν ἔτι πρὸς αὐτόν. διαπειλησάμενοί τε ἀλλήλοις, ἀνεζεύγνυον ἑκάτερος ἐς τὸ αὑτοῦ στρατόπεδον. πόλις δ' ἐστὶν Κίλλα· καὶ παρ' αὐτὴν λόφος εὐφυὴς ἐς στρατοπεδείαν· ὃν ἐπινοῶν ὁ Ἀννίβας προλαβεῖν, ἔπεμψέ τινας διαγράφειν τὸ στρατόπεδον· καὶ αὐτὸς ἀναστήσας, ἐβάδιζεν ὡς ἔχων τὸν λόφον· Σκιπίωνος δ' αὐτὸν φθάσαντός τε καὶ προλαβόντος, ἀποληφθεὶς ἐν πεδίῳ μέσῳ καὶ ἀνύδρῳ, διετέλει τὴν νύκτα πᾶσαν ὀρύσσων φρέατα· καὶ ὁ στρατὸς αὐτῷ διαμώμενος τὴν ψάμμον, ὀλίγον καὶ θολερὸν ἔπινον ἐπὶ μόχθῳ· ἄδειπνοί τε καὶ ἄσιτοι· καὶ ἐν τοῖς ὅπλοις ἔνιοι διενυκτέρευσαν· ὧν ὁ Σκιπίων αἰσθανόμενος, προσέβαλεν ἅμα ἕῳ, κεκμηκόσιν ἐξ ὁδοῦ καὶ ἀγρυπνίας καὶ ἀνυδρίας. Ἀννίβας δὲ ἤχθετο μὲν οὐχ ὅτε βούλοιτο συνιὼν ἐς μάχην· ἑώρα τε ὡς εἴ τε μένοι κατὰ χώραν, κακοπαθήσων ὑπὸ τῆς

ἀνυδρίας· εἴ τε φύγοι, τὰ φρονήματα τῶν ἐχθρῶν ἀναστήσων· καὶ πολλὰ πεισόμενος ὑπ' αὐτῶν ἐπικειμένων· ὅθεν ἀναγκαῖον ἦν αὐτῷ μάχεσθαι. καὶ παρετάσσετο αὐτίκα, ἄνδρας μὲν ἐς πεντάκις μυρίους· ἐλέφαντας δὲ ὀγδοήκοντα· ἱστὰς δέ, πρώτους μὲν τοὺς ἐλέφαντας ἐκ διαστημάτων, ὅλον τοῦ μετώπου φοβερώτατα κατασκιάσας· καὶ ἐπ' αὐτοῖς ἦν τὸ τέταρτον τῆς στρατιᾶς, Κελτοί καὶ Λίγυες. τοξόται τε αὐτοῖς ἀναμεμίχατο πάντῃ καὶ σφενδονῆται· Μαυρούσιοι καὶ Γυμνήσιοι. τούτων δὲ ὄπισθεν ἡ δευτέρα τάξις ἦν· Καρχηδόνιοί τε καὶ Λίβυες. τρίτοι δ' οἱ ἐξ Ἰταλίας ἑπόμενοι αὐτῷ· οἷς δὴ καὶ μάλιστα ὡς πλέον δεδιόσιν ἐθάρρει. ἡ δ' ἵππος, περὶ τὰ κέρατα ἦν. οὕτω μὲν Ἀννίβας ἐξέταττε. Σκιπίωνι δ' ἦσαν ἀμφὶ τοὺς δισμυρίους καὶ τρισχιλίους· ἱππεῖς δ' Ἰταλῶν καὶ Ῥωμαίων, χίλιοι καὶ πεντακόσιοι. συνεμάχει δὲ Μασσανάσσης, ἱππεῦσι νομάσι πολλοῖς· καὶ Δακάμας ἕτερος δυνάστης, ἱππεῦσιν ἑξακοσίοις. τὸ μὲν οὖν πεζόν, ἐς τρεῖς καὶ ὅδε τάξεις ἐπέταττεν· ὁμοίως Ἀννίβᾳ· λόχους δ' ὀρθίους ἐποιεῖτο πάντας· ἵνα δι' αὐτῶν οἱ ἱππεῖς εὐχερῶς διαθέοιεν· πρὸ δ' ἑκάστου λόχου προμάχους κατὰ μέτωπον· οἳ ξύλα παχέα διπήχεα μάλιστα πυκνά· καὶ τὰ πολλὰ αὐτῶν σεσιδηρωμένα, ἔμελλον ὡς καταπέλτας ἐκ χειρὸς ἐς τοὺς ἐλέφαντας ἐπιόντας ἀφήσειν· παρήγγελτο δ' αὐτοῖς τε καὶ τοῖς ἄλλοις πεζοῖς, ἐκκλίνειν τὴν ὁρμὴν τῶν θηρίων· καὶ περιθέοντας ἀκοντίζειν ἐς αὐτὰ συνεχῶς· καὶ προσπελάζοντας ὅτε δύναιντο, ὑποτέμνειν τὰ νεῦρα. οὕτω μὲν οἱ πεζοὶ διετετάχατο τῷ Σκιπίωνι. τοὺς δ' ἱππέας, τοὺς μὲν νομαδικοὺς ἐπέστησε τοῖς κέρασιν· εἰθισμένους τὴν τῶν ἐλεφάντων ὄψιν καὶ ὀδμὴν φέρειν· τοὺς δὲ Ἰταλικοὺς διὰ τὸ ἀήθες, ὀπίσω [illegible]ντων, ἑτοίμους ἐπελθεῖν διὰ τῶν διαστημάτων, ὅτε τὴν πρώτην τῶν ἐλεφάντων ὁρμὴν ὑπομείνειαν οἱ πεζοί. παρ' ἕκαστον δὲ τῶν ἱππέων τῶνδε, ὑπηρέτης ἦν· πολλὰ ἀκόντια φέρων· οἷς ἐπενόει τὰ θηρία ἀμύνεσθαι. οὕτω μὲν αὐτῷ καὶ ἡ ἵππος εἶχε. παρεδίδου δὲ τὸ μὲν δεξιόν, Λαιλίῳ· τὸ δὲ λαιόν, Ὀκταουΐῳ. ἐν δὲ τοῖς μέσοις ἦσαν αὐτός τε καὶ Ἀννίβας κατὰ δόξαν ἀλλήλων· ἔχοντες ἀμφ' αὐτοὺς ἱππέας ἐπικουρήσοντας ὅπῃ τι πονούμενον ἴδοιεν, ὁ μὲν Ἀννίβας τετρακισχιλίους· ὁ δὲ Σκιπίων χιλίους· καὶ τοὺς τριακοσίους Ἰταλοὺς οὓς αὐτὸς ὥπλισεν ἐν Σικελίᾳ. ἐπεὶ δὲ ἕτοιμα ἦν αὐτοῖς, ἐπέτρεχε τοὺς ἰδίους ἐπισπέρχων ἑκάτερος. ὁ μὲν Σκιπίων, τοὺς θεοὺς κατακαλῶν ἐν ὄψει τῶν στρατευομένων· ἐς οὓς οἱ Καρχηδόνιοι παρεσπονδήκεσαν, ὁσάκις ἔλυον τὰ συγκείμενα· καὶ τὴν στρατιὰν ἀξιῶν, μὴ ἐς τὸ πλῆθος

τῶν πολεμίων ἀφορμήν· ἀλλ' ἐν τὴν ἀρετὴν αὐτῶν. ἢ καὶ πρότερον τῶν δε
τῶν ἐχθρῶν πλειόνων ὄντων ἐπεκράτησεν ἐν τῇ δὲ τῇ γῇ· ἡ δ' ἔστι καὶ
τοῖς νικήσασιν ἐπὶ τῷ μηδ' ὅλον τι φόβος ἢ δέος ἢ ἀμφιβολία, πόθεν τὰ
τοῖς νενικημένοις πλεονάζειν ἀνάγκη. τοιαῦτα μὲν ὁ Σκιπίων ὑπερέθιζέ τε
καὶ παρηγόρει τῆς ὀλιγότητος. ὁ δ' Ἀννίβας, τῶν τε ἐν Ἰταλίᾳ γεγονότων ἔργων
ὑπεμίμνησκεν αὐτούς, ὡς λαμπρὰ καὶ μεγάλα πράξειαν· οὐκ ἐπὶ νομάσιν,
ἀλλ' ἐπὶ πᾶσιν Ἰταλοῖς κατὰ τὴν Ἰταλίαν. καὶ τὴν ὀλιγότητα τῶν ἐχθρῶν
αὐτόθεν ἐς ὄψιν ἐπεδείκνυε. καὶ παρεκάλει μὴ χείρους ὀλιγωτέρων ἐν οἰ-
κείᾳ γῇ πολεμοῦντας ὀφθῆναι. τὸν δὲ κίνδυνον τοῦ παρόντος ἀγῶνος
καὶ τὸ μέγεθος, ἑκάτερος τοῖς ἰδίοις ὑπερεπῇρεν. Ἀννίβας μέν, ὅτι Καρ-
χηδόνα καὶ Λιβύην ἅπασαν ὁ ἀγὼν ὅδε κρινεῖ. ἢ δουλωθεῖσαν ἢ κρατοῦσαν
εἶναι, ἢ ἐς τὸ ἔπειτα ἄρχειν ἁπάντων ἐπεκράτουν. Σκιπίων δ' ὅτι νικω-
μένοις μὲν οὐδ' ἀναχώρησίς ἐστιν ἀσφαλής. ἐπικρατοῦσί τε, ἀρχὴ μεγάλη
προσγίγνεται, καὶ ἀνάπαυλα πόνων τῶν παρόντων· καὶ ἐν τὰ οἰκεῖα ἀπόπλους
καὶ ἐς τὸ μέλλον κλέα. τοιαῦτα προεξώρμησε τοὺς ἰδίους ἑκάτερος, ἐπὶ τὸν ἀ-
γῶνα συνήεσαν. Ἀννίβας μὲν σάλπιγξι κατάρξας. Σκιπίων δ' αὖ τὰ χαλ-
κηλάσας. συνιόντων δ' αὐτῶν, οἱ μὲν ἐλέφαντες κατῆρχον τῆς μάχης, ἐς τὸ
φοβερώτατον ἐσκευασμένοι· καὶ τοῖς κέντροις ἐξοτρυνόμενοι πρὸς τῶν ἐπι-
καθημένων. περιθέοντες δ' αὐτοῖς οἱ νομάδες ἱππῆς, ἐσηκόντιζον ἀθρόοι. μέχρι
τρωθέντες τε καὶ φεύγοντες καὶ δυσπειθῶς ἔτι ἔχοντας, ἀπήγαγον ἐκ τῆς μάχης
οἱ ἐπιβάται. καὶ τάδε μὲν ἦν περὶ τοὺς ἀμφὶ τὰ κέρατα ἐλέφαντας. οἱ δ' ἐν μέσῃ
τῇ φάλαγγι, τοὺς Ῥωμαίων πεζοὺς κατεπάτουν· ἀπείρους τε ὄντας τοιᾶσδε
μάχης καὶ βαρεῖς ὑπὸ τῆς ὁπλίσεως. καὶ παρ' αὐτό, φάλαγγα ἀκόλως ἐλώκαν,
οὐ δυναμένοις. ἕως ὁ Σκιπίων τοῖς ἱππεῦσι τοῖς Ἰταλικοῖς, ὁπλισμένοις
κουφότερον ἐσκευασμένοις ἐπαγαγών, ἀποβῆναι τῶν ἵππων ταρασσομένων
ἐκέλευσε. καὶ τοὺς ἐλέφαντας περιθέοντας ἐσακοντίζειν. πρῶτός τε αὐτὸς
ἀποβάς, ἔτρωσε τὸν προπηδῶντα τῶν ἐλεφάντων. θαρρησάντων δὲ τῶν ἄλλων,
καὶ τιτρωσκομένων ἤδη πανταχόθεν αὐτοῖς, καὶ οἱ ἐλέφαντες ὑπεχώρουν. γενομένης
τῆς μάχης καθαρᾶς ἤδη, ὁ ἀγὼν ἐγίγνετο μόνων ἀνδρῶν τε καὶ ἵππων. τὸ
μὲν οὖν δεξιὸν τῶν Ῥωμαίων, ὃν Λαίλιος ἐπεστάτει, τρέπεται τοὺς ἀντιπάλους νομάδας.
Μασσανάσσου βαλόντος αὐτῶν τὸν δυνάστην Μασαάθην· ὀξέως δ' αὐτοῖς ὁ Ἀννίβας
ἐπιδραμὼν συνέταξε τὴν μάχην. τὸ δὲ λαιόν, ἔνθα Ῥωμαίων μὲν Ὀκτάουιος ἦρχε

στάτει. τῶν δὲ πολεμίων Κελτοί τε καὶ Λίγυες ἦσαν, ἐπόνει μάλα καρτερῶς ἑ-
κατέροις. καὶ Σκιπίων μὲν ἔπεμπε Θέρμον τὸν χιλίαρχον ἐπικουρεῖν,
μετ' ἐπιλέκτων. Ἀννίβας δὲ ἐπὶ τὸ λαιὸν συνέστησεν, ἐν τοὺς Λίγυας καὶ Κελτοὺς
μεθ' ὅθεν. ἐπάγων ἅμα τὴν δευτέραν τάξιν Καρχηδονίων τε καὶ Λιβύων καὶ
κατιδὼν δ' αὐτὸν ὁ Σκιπίων, ἀντιπαρῆγε καὶ τὸ ἕτερον στῖφος. δύο δὲ στρατηγοῖν
δεξιῶν ἐν ἀγῶνα συνιόντων, ἔρις ἦν τῶν ὑφ' ἑκατέρῳ λαμπρά, καὶ δέος. καὶ προ-
θυμίᾳ οὐδετέροις ἐνέλιπε. σφοδροῦ καὶ ὀξέος ὄντος, πόνου τε καὶ παρακλήσεως.
μακρᾶς δὲ καὶ ἀκρίτου τῆς μάχης οὔσης, οἱ στρατηγοὶ τοὺς κάμνοντας ἠλεοῦντες,
ὁρμῶν ἐπ' ἀλλήλους. ὡς ἐν σφίσι τῆς κρίσεως ταχυτέρας ἐσομένης. καὶ ἐκόν-
τισαν ὁμοῦ. Σκιπίων μὲν Ἀννίβου τὴν ἀσπίδα. ὁ δ' Ἀννίβας ἔτυχε τοῦ ἵππου.
καὶ ὁ ἵππος ὑπὸ τῆς πληγῆς, ἐξεφέρετο ὀπίσω τὸν Σκιπίωνα. μέχρι περιβὰς
ἕτερον ἵππον, αὖθις ἐν τὸν Ἀννίβαν ἠκόντισε. ἀλλὰ πέτυχεν αὐτοῦ καὶ τότε.
τὸν δὲ ἱππέα τὸν ἐγγὺς ἔβαλεν. ἧκε δ' ἐν τούτῳ καὶ Μασσανάσσης πυθόμενος.
καὶ οἱ Ῥωμαῖοι τὸν στρατηγὸν ὁρῶντες στρατιωτικῶς σφῶν ὑπερμαχόμενον,
καρτερώτερον τοῖς πολεμίοις ἐνέπεσον καὶ ἐτρέψαντο. καὶ φεύγοντας
ἐδίωκον. οὐδὲ περιθέοντος αὐτοῖς τοῦ Ἀννίβου καὶ δεομένου στῆναι.
καὶ τῆς μάχης αὖθις ἐν ἐπανελθεῖν, ἔτι ἐπείθοντο. ἀπογνοὺς δ' αὖ-
τὸν ὁ Ἀννίβας τοὺς ἐξ Ἰταλίας οἱ συνῆλθον τὰς. ἐφεδρεύοντας ἔτι καὶ ἀτρε-
μοῦντας, ἦγεν ἐπὶ τὴν μάχην. ἐλπίσας Ῥωμαίοις ἀτελῶς διώκουσιν, ἀσυν-
τακτοτέροις ἐπιπεσεῖσθαι. οἱ δέ, τὸ ἐνθύμημα αὐτοῦ θεασάμενοι, μετὰ
σπουδῆς ἀλλήλους ἐκ τῆς διώξεως ἐκάλουν. καὶ συνετάσσοντο αὖθις ἐν
μάχῃ. οὔτε δ' ἵππων σφίσι παρόντων. οὔτε ἀκοντίων ἔτι ὄντων, ξίφεσιν
ἐν ἀλλήλοις ἐχρῶντο καὶ συνεπλέκοντο. φόνος τε ἦν πολὺς ἐνθάδε
μάλιστα. καὶ τραύματα μέγιστα. καὶ ἐπιόντων στόνος. καὶ ἀναιρούντων
μεγαλαυχία. μέχρι ποτὲ καὶ τούσδε ἐτρέψαντο οἱ Ἰταλοί. καὶ φεύγουσιν
εἵποντο. κρίσις τε ἦν λαμπρὰ τοῦ πολέμου. καὶ ὁ Ἀννίβας ἐν τῇ φυγῇ,
θεασάμενος ἱππέων νομάδων πλῆθος συνεστῶς, προσδραμών, ἠξίου
μὴ περιιδεῖν αὐτόν. καὶ πείσας, ἐπῆγε τοῖς διώκουσιν. ἐλπίσας ἐργά-
σασθαί τι παλινδιώξειν. πρώτοις δὲ Μασσυλίοις ἐντυχών, ἐμάχετο.
καὶ μόνος ἦν αὐτὸς Μασσανάσσου καὶ Ἀννίβου συνελθόντων. φερομένων
δὲ καὶ τῶν δὲ ἐπ' ἀλλήλους ὑπὸ προθυμίας, ἐν μὲν τὴν ἀσπίδα ὁ Μασσανάσσης
ἠκόντισε βαλών. ὁ δὲ Ἀννίβας, καὶ τότε ἔτυχε τοῦ ἵππου. καὶ ὁ Μασσανάσσης

ἐκπεσών, πεζὸς ἐπὶ τὸν Ἀννίβαν ὥρμα· τόν τε ἐπελαύνοντα οἱ πρὸ τῶν
ἄλλων ἱππέα βαλών, ἀπέκτεινε· καὶ τῶν λοιπῶν τὰ ἀκόντια ἐς τὴν ἀσπί-
δα ἐκδεχόμενος, ἓν τῶν ἐμπεπηγότων ἐξεῖλε· καὶ ἀκοντίσας ἐς τὸν
Ἀννίβαν αὖθις, οὐδ᾽ ὡς ἐπετύγχανεν· ἀλλὰ τὸν ἐγγὺς ἱππέα καὶ ὅδε
ἀπέκτεινεν· ἕτερον δ᾽ ἐξέλκων, ἐς τὸν βραχίονα ἐτρώθη· καὶ ὑπεχώρησεν
ἐκ τῆς μάχης ἐπ᾽ ὀλίγον· Σκηπίων δὲ πυθόμενος, ἔδεισε περὶ τῷ Μασσανάσσῃ·
καὶ ἐς τὸ ἔργον ἠπείγετο· καὶ εὗρε τὸν Μασσανάσσην, ἐς τὴν μάχην αὖθις
ἐφ᾽ ἵππον φερόμενον ἕτερον, τὸ τραῦμα ἐπιδησάμενον· ὅ τε ἀγὼν ἦν
ἴσος αὖθις αὐτοῖς· καὶ καρτερός, αἰδουμένων τοὺς στρατηγοὺς ἑκατέρων·
ἕως ὁ Ἀννίβας ἐπί τινος λόφου θεασάμενος Ἴβηρας καὶ Κελτοὺς συνεστῶτας,
ἐξίππευσεν ὡς κάμνουσιν ἐπαρήξων· τότε γὰρ οἱ μαχόμενοι, τῆς μὲν αἰτίας
οὐ συνιέντες· τὴν δ᾽ ἀποχώρησιν αὐτοῦ φυγὴν ὑπολαβόντες εἶναι, τὸν ἀ-
γῶνα μεθῆκαν ἑκόντες· καὶ ἔφυγον ἀκόσμως· οὐχ ὅπῃ ἑώρων Ἀννίβαν·
ἀλλ᾽ ὅπῃ τύχοιεν ἕκαστοι· καὶ οἱ μέν, οὕτως ἐλύθησαν· Ῥωμαῖοι δ᾽ αὐτοῖς
ὡς τετελεσμένης τῆς μάχης, εἵποντο ἀτάκτως· οὐδ᾽ αὐτοὶ τῆς Ἀννίβου
προαιρέσεως συνιέντες· ὁ δὲ Ἀννίβας φραξάμενος Ἴβηρσι καὶ Κελτοῖς·
καὶ ὁ Σκηπίων αὖθις ἐκ τῆς διώξεως τοὺς Ῥωμαίους ἀνεκαλεῖτο μετὰ σπου-
δῆς· καὶ παρέταξε πολὺ πλέονας τῶν ἀπὸ τοῦ λόφου καταβεβηκότων·
ὅθεν αὐτῷ οὐ δυσχερῶς περιεγίνετο· Ἀννίβας δὲ ὡς τῆσδε τῆς πείρας
τῆς τελευταίας γενομένης ἀποτυχών, ἔφυγεν ἤδη σαφῶς ἀπογνοὺς ἁπάντων·
καὶ αὐτὸν εἵποντο ἱππεῖς ἄλλοι τε πολλοί· καὶ Μασσανάσσης, ἀσθενῶς
ὢν ἐκ τοῦ τραύματος, αἰεί τε πλησιάζων· καὶ μέγα ποιούμενος αἰχ-
μάλωτον Ἀννίβαν ἀναγαγεῖν Σκηπίωνι· τὸν δέ, νὺξ ἐρρύσατο· καὶ σκότος·
μετὰ εἴκοσιν ἱππέων τῶν διωχθέντων σὺν αὐτῷ συνδυνῆσαι τοῖς δρόμοις,
ἐς πόλιν κατέφυγεν ἣ ὄνομα Θῶν· ἔνθα εὑρὼν ἔτι ἐγγὺς καὶ Ἴβηρας ἱππέας
πολλοὺς ἀπὸ τῆς ἥττης συμπεφευγότας· δείσας οὖν περὶ μὲν τῶν Ἰβήρων
ὡς βαρβάρων ταχὺ δρώντων· περὶ δὲ Βρεττίων ὡς Ἰταλῶν ὁμοεθνῶν Σκηπίωνι·
μὴ ἐς συγγνώμην ὧν ἐξημάρτον ἐς τὴν Ἰταλίαν προσαγάγωσιν αὐτὸν τῷ Σκη-
πίωνι, λαθὼν ἐξέφυγε μεθ᾽ ἑνὸς ἱππέως ᾧ μάλιστα ἐπίστευε· σταδίους δὲ
ἐς τρισχιλίους δύο νυξί τε καὶ ἡμέραις, ἧκεν ἐς πόλιν ἐπὶ θαλάσσῃ Ἀ-
δρύμητον· ἔνθα τι μέρος ἦν αὐτῷ στρατιᾶς ἐπὶ φυλακῇ· περιπέμπων
δὲ τὰ πλησίον· καὶ τοὺς ἐκ τῆς μάχης διαφυγόντας ἀναλαμβάνων, ὅπλα

μηχανήματα εἰργάζετο· Σκηπίων δὲ νίκην [illegible] νικήσας,
τὰ μὲν ἄχρηστα τῆς λείας, ἐνεπίμπρη· λαφυραγωγήσας αὐτός· ὥσπερ +
ἠθάσι Ῥωμαῖοι στρατηγοί· χρυσίου δὲ ἐς Ῥώμην τάλαντα δέκα καὶ ἀργυρίου
,β καὶ φ'· καὶ ἐλέφαντα εἰργασμένον· καὶ τοὺς ἐπιφανεστάτους τῶν αἰχμαλώτων,
ἔπεμψε· καὶ Λαίλιον ἐξαγγελοῦντα περὶ τῆς νίκης ἐπὶ νεώς· τὰ δὲ λοιπὰ
ἀποδόμενος, τὴν τιμὴν ἐπιδιεῖλε τῷ στρατῷ· καὶ δῶρα τοῖς ἀριστεύουσιν
ἔδωκε· καὶ Μασσανάσσην ἐστεφάνου καὶ τότε· καὶ τὰς πόλεις ἐπιὼν ἐχει-
ροῦτο· τὸ μὲν δὴ τέλος τῆς Ἀννίβου τε καὶ Σκηπίωνος ἐν Λιβύῃ μάχης, τό τε
πρῶτον ἀλλήλοις ἐς χεῖρας ἐλθόντων, τοῦτ᾽ ἦν· ἀπέθανον δὲ Ῥωμαίων
μὲν δισχίλιοι καὶ πεντακόσιοι· Μασσανάσσου δ᾽ ἔτι πλείονες· τῶν πο-
λεμίων δισμύριοι καὶ πεντακισχίλιοι· αἰχμάλωτοι δὲ ἐλήφθησαν ὀκτακισχί-
λιοι καὶ πεντακόσιοι· καὶ Ἴβηρες ηὐτομόλησαν πρὸς Σκηπίωνα, τριακό-
σιοι· καὶ Νομάδες πρὸς Μασσανάσσην, ὀκτακόσιοι· οὔπω δὲ ταῦτα Καρχηδό-
νιοι τῶνδε· οὔπω Ῥωμαῖοι πυθόμενοι, οἱ μέν, ἐπέστελλον Μάγωνι ξενα-
γοῦντι ἔτι Κελτοῖς, ἐσβαλεῖν ἐς τὴν Ἰταλίαν εἰ δύναιτο· ἢ ἐς Λιβύην μετὰ
τῶν μισθοφόρων καταπλεῦσαι· οἱ δέ, τῶν δὲ τῶν γραμμάτων ἁλόντων ὑπὸ
Ῥωμαίων κομισθέντων, στρατιὰν ἄλλην καὶ ἵππους καὶ ναῦς καὶ χρήματα ἔ-
πεμψαν τῷ Σκηπίωνι· ὁ δέ, ἤδη τῇ Καρχηδόνι κατὰ μὲν τὴν γῆν, ἔπεμπεν
Ὀκταούιον· ταῖς δὲ ναυσὶν αὐτὸς ἐπέπλει· καὶ οἱ Καρχηδόνιοι τὴν ἧτταν
Ἀννίβου πυθόμενοι, πρέσβεις ἐπὶ κηρυκίου προσέπεμπον τῷ Σκηπίωνι·
ὧν ἡγοῦντο Ἄννων τε ὁ μέγας λεγόμενος, καὶ Ἀσρούβας ὁ Ἔριφος· οἱ τὸ κη-
ρύκιον ὑψηλὸν ἔστησαν ἐπὶ τὰς πρώρας· καὶ τὰς χεῖρας ὤρεγον ἐς τὸν Σκηπίωνα
ἱκετῶν τρόπον· ὁ δέ, αὐτοῖς ἐκέλευσεν ἥκειν ἐς τὸ στρατόπεδον· καὶ ἐλθοῦσιν, ἐφ᾽
ὑψηλοῦ προκαθήμενος ἐχρημάτιζεν· οἱ δέ, μετ᾽ οἰμωγῆς ἑαυτοὺς ἔρριπτον
ἐς τὸ ἔδαφος· καὶ τῶν ὑπηρετῶν ἀνιστάντων καὶ λέγειν κελευόντων ὅ τι θέλοι,
Ἀσρούβας ὁ Ἔριφος εἶπεν· ὁμοῦ μέν ἐστιν ὦ Ῥωμαῖοι· καὶ ἄγνωστον τῶνδε· Δημηγορία
ὅτι Καρχηδόνιοι ἔμφρονες, καθ᾽ ὧν ἁμαρτήματα ὧν ἡμῖν ἐπικαλεῖτε·
τοὺς γὰρ πρέσβεις ὑμῶν οὐδ᾽ ἐξημάρτηται ἢ πεισθεὶς ὁ κοινὸς ὑπόλοιπος, περι-
εσῴζομεν ἡμεῖς· ὑμᾶς ἐπέμπομεν· χρὴ δ᾽ ὑμᾶς μηδὲ Καρχηδονίων
καταγινώσκειν ἁπάντων, οἵ γε τὴν εἰρήνην καὶ πρότερον ᾐτήσαμεν, λαβόντες
προθύμως ὤμνυον· εἰ δ᾽ αἱ πόλεις ἐπὶ τὸ χεῖρον ἐπιστεύοντο· καὶ τὸ πρὸς
χάριν ἀεὶ παρὰ τοῖς πλήθεσιν ἐπικρατεῖ· ἃ καὶ ἡμεῖς ἐπάθομεν· οὔτε πει-

πλεονεκτήσαντες. ὥστε ἐπισχεῖν· ἰδίᾳ τοὺς ἐκ τῶν μὲν διαβαλλόντων ἡμᾶς, παρὰ δὲ ὑμῖν
τὴν παρρησίαν ἀφῃρημένων· μηδὲ διὰ τὸ τῆς ὑμετέρας ἀπειθείας ἢ δυσβουλίας
ἡμαρτημένα, τὰ παρ' ἡμῶν κρίνητε· ἀλλ' ἔστω τὸ πεπονθέναι τοῖς ἐπιτριβοῦσι
δίκη μὲν ἱκανὴ δοκεῖ, τὸν λιμὸν ὑποστῆναι· καὶ τὴν ἀνάγκην ἡγεῖσθαι ἡμῶν ὑπὸ
τοῦ πάθους· οὐ γὰρ δὴ τῶν αὐτῶν ἔργον ἑκουσίων ἦν· ἄρτι μὲν περὶ εἰρήνης
παρακαλεῖν· πρεσβεύματα τοσαῦτα διαλύσασθαι· καὶ τῶν νεῶν τῶν μακρῶν πλὴν
ὀλίγων ἀφίστασθαι· καὶ τὸ πολὺ τῆς ἀρχῆς ὑμῖν παρεῖναι· καὶ περὶ τῶνδε,
ὁμήρους αἴτε φόρου καὶ πέμψαντας ἐς Ῥώμην· ἐπιδόντων τῶν ἡμετέρων
πρέσβεων παρ' ὑμῖν, ἑκόντας ἁμαρτεῖν· ἀλλὰ μάλιστα μὲν θεῶν τις ἔβλαψε·
ἡ ὀχλοκρατία τῆς ἀγορᾶς ὑμῶν ἐς Καρχηδόνα καταγαγών· ἐπὶ δὲ τῷ χειμῶνι ὁ
λιμὸς ὑμᾶς ἀφείλετο· μὴ καλῶς ὑπὸ τῶν ἄλλων τριηράρχων φρουρῆσαι ἐπιόντων ἐν
δεήσουσι τάς· οὐδὲ λογισμὸν αἴτιον ἄξιον παραπλήσιον ἔχοντα τήν καὶ ἀ-
τυχοῦντος· εἰ δὲ καὶ ὡς, ἀδικεῖν ὑμῖν δοκοῦμεν, οὐ κατὰ τύχην, ὁμολογοῦμεν
αὐτὸ καὶ παρακαλοῦμεν· ἐπὶ δὲ τῶν μὲν μηδὲν ἁμαρτόντων, δικαιολογία·
τῶν δ' ἁμαρτόντων παράκλησις· φιλανθρωπίας ἐστὶν ὅσῳ δ' ἀτυχοῦντες ἔλεος, τὰ ἀνθρώπινα
ἐπιφορωμένων· ὅταν αἰσθωνται διὰ τὰς αἰφνιδίους μεταβολάς, παρακαλοῦντας
τοὺς ἐχθροὺς ἀδικίαν δεδεμένων· ὁ δὴ καὶ ἡ Καρχηδονίων πόλις, ἡ τῆς Λιβύης
μεγίστη καὶ δυνατωτάτη, ναυσὶ, καὶ χρήμασι, νόμου καὶ ἐλέφασι, καὶ στρατῷ
πεζῷ τε καὶ ἱππικῷ. καὶ ὑπηκόοις πολλοῖς ἑπτακοσίοις ἔτεσιν ἀνθήσασα,
καὶ Λιβύης πάσης. ἐθνῶν τε ἄλλων καὶ νήσων. καὶ θαλάσσης τοσῆσδε ἄρξασα.
καὶ ὑμῖν αὐτοῖς ἐς ἀμφήριστον ἐπὶ πλεῖστον ἐλθοῦσα, νῦν οὐκ ἔτι τῆς θαλάσσης
καὶ ταῖς ναυσίν. οὐδὲ τοῖς ἐλέφασιν ἢ ἵπποις. οὐδὲ τοῖς ὑπηκόοις· ὧν πάντων
ὑμῖν ἀφίσταται, τὰς ἐλπίδας τῆς σωτηρίας· ἀλλ' ἐν αὐτοῖς ὑμῖν ἔχει τοῖς πρό-
τερον θορυβοῦσι καλῶς· ἃ χρὴ θεωροῦντας ὑμᾶς· καὶ τὴν ἐπ' αὐτοῖς νέμεσιν φυλατ-
τομένους· μετριοπαθῆ χρῆσθαι ταῖς εὐπραξίαις. καὶ τῆς σφετέρας αὐτῶν ἐν
Ῥώμαις μεγαλοφροσύνης. καὶ τῆς Καρχηδονίων πολιτείας ἄξια πρᾶξαι. τάς τε
τοῦ δαίμονος μεταβολὰς, ἐνεπιφθόνως ἐν ταῖς ἡμετέραις συμφοραῖς λαμβάνεσθαι·
ἵνα καὶ πρὸς τοῖς θεοῖς ἀναμάρτητα ἦ τὰ ὑμέτερα ὑμῖν. καὶ πρὸς ἀνθρώπους ἀξιέ-
παινα πάντα· οὐ γὰρ ἁμαρτάνοντάς γε καὶ νῦν οἱ Καρχηδόνιοι δέος ἐστὶν, οἳ τοσήνδε
μετάνοιαν καὶ δίκην τῆς περὶ ἄγνωμοσύνης ὑφίστανται· ἔστι δ' ἁμαρτίας σοί
τοῖς μὲν σώφροσιν, ἡ δ' εὐβουλία φυλακή· τοῖς δ' ἁμαρτοῦσι, τὸ προπαθεῖν καὶ
μεταγνῶναι. βεβαιοτέροις τε φησὶν ἐστὶ τοῖς γνοῦσι θεοῖς μένειν γενέσθαι τῶν

ἀνθρώπων. οὐδ' ἄξιον Καρχηδονίοις ὑμᾶς ὠμότητα καὶ ἁμαρτίαν ἐπικαλοῦντας,
ταῦτα μιμεῖσθαι· τοῖς μὲν γὰρ ἀτυχοῦσιν, ἑτέρων ἁμάρτημα ἀρκοῦσιν ὑπὸ τῆς
ἀπορίας συμφοραί· τοῖς δ' εὖ πράσσουσιν, οὐδ' ἐξουσία τὸ φιλάνθρωπον ἐστὶν. ὑμῖν
δ' ἐλεεῖν οὐδὲ συμφέρον ἐν τῇ ἀρχῇ ὑμετέρᾳ ἐστὶ, πόλιν τοσήνδε καθαιρεῖν μᾶλλον
ἢ περισώζειν· ἐπεὶ δὲ ἄμεινον μὲν ὑμᾶς τῶν ἡμετέρων συμφορῶν κριταὶ ἡμᾶς
δ' ὑμεῖς ἐν τῇ ἑαυτῶν σωτηρίᾳ, διὸ ταῦτα μάλιστα φερόμενοι ἐκ πάντων· τὸ τῆς
Καρχηδονίων πόλεως ἀξίωμα ἀρχῆς. καὶ τὴν ὑμετέραν αὐτῶν ἐς πάντα μετριο-
πάθειαν. ἢ μετὰ τῶν ὅπλων, ἐς τοσοῦτον ὑμᾶς ἐπὶ ἀρχῆς καὶ δυνάμεως. ἔσοι δὲ
σώθη καὶ σὺν ἀραδιδῶτε τὴν εἰρήνην χρησόμεθα περὶ αὐτῆς, περὶ τοῦ λέγειν τοῖς
ὑμῖν τὰ ἑαυτῶν τιθεμένων· τοσαῦτα εἰπὼν ὁ πρέσβυς, ἐπέκλαυσε· ὁ δὲ Σκη-
πίων μεταστησάμενος αὐτοὺς, ἐβουλεύετο μετὰ τῶν ἀρίστων ἐπὶ πολύ· ὡς δὲ ἔκρινεν,
ἐσκαλέσας αὐτοὺς, ἔλεγεν ὧδε, ἐστὲ μὲν οὐδεμιᾶς συγγνώμης ἄξιοι, πολλάκις
ἐς σπονδὰς ἡμῶν ὑβρίσαντες, καὶ τὰ τελευταῖα νῦν, καὶ ἐς πρέσβεις ἁμαρτόντες οὕτω
φανερῶς καὶ ἀθεμίτως, ὡς μήτε ἐξαρνεῖσθαι μήτε ἀντιλέγειν, ὅτι μὴ τῆς ἐσχάτης
ἄξιοι τιμωρίας εἶεν· τί δὲ δὴ κατηγορεῖν τῶν ὁμολογούντων; ἐν ἱκεσίᾳ καταφεύγετε, οἱ
μηδ' ὄνομα Ῥωμαίων ὑπολιπόντες ἄν· εἰ ὑμᾶς ἐκρατήσατε. ἀλλ' ἡμεῖς μὲν, οὐδέποθ'
ὑμῖν ὅμοια ποιήσομεν· ἐπεὶ καὶ τοὺς πρέσβεις ὑμῶν ἐπιόντας ἐν Ῥώμῃ, παρεσπον-
δηκότων ὑμῶν, καὶ ἐς πρέσβεις ἁμαρτόντων, ἥ τε πόλις ἀπέλυσε· καὶ ἐγὼ
καταλαβὼν τὰς ἐς τὸ στρατόπεδον, πρὸς ὑμᾶς ἤδη πολεμοῦντας ἀπέπεμψα
ἀπαθεῖς· χρὴ δ' ὑμᾶς καταγινώσκοντας αὐτῶν, ὅτι ἂν λάβητε, κέρδος ἡγεῖσθαι.
λέξω δὲ ἅ μοι δοκεῖ· καὶ ἡ σύγκλητος ἐπιψηφιεῖ ἃ ἂν δοκιμάσῃ. δίδομεν
ὑμῖν καὶ ἔτι τὴν εἰρήνην ὦ Καρχηδόνιοι, ἢν τάς τε ναῦς τὰς μακρὰς παρα-
διδῶτε Ῥωμαίοις. χωρὶς δέκα μόνων, καὶ τοὺς ἐλέφαντας ὅσους ἔχετε, καὶ ὅσα ἥρ-
πάσατε πρώην. ἢ τῶν ἀπολωλότων τιμὴν, ἐμοῦ τὰ ἀμφίβολα κρίνοντος. καὶ
αἰχμαλώτους πάντας καὶ αὐτομόλους· καὶ ὅσους Ἀννίβας ἐξ Ἰταλίας ἤγαγε. ταῦτα
μὲν ἐντὸς τριάκοντα ἡμέραις, ἀφ' οὗ ἂν ἡ εἰρήνη κριθῇ· ἐν δὲ ἑξήκοντα ἡμέραις,
Μάγωνα χρὴ Λιγύων ἀποστῆναι. καὶ τὰς φρουρὰς ὑμᾶς ἐξάγειν ἐκ τῶν πό-
λεων, ὅσαι ἐντὸς φοινικίδων τάφρων εἰσί· καὶ ὅσα αὐτῶν ἔχετε ὅμηρα,
ἀποδοῦναι. καὶ ἐς Ῥώμην ἑκάστου ἔτους, ἀναφέρειν δὲ Εὐβοϊκὰ τάλαντα, διακόσια,
ἐπὶ πεντήκοντα ἔτεσιν αὐτούς. καὶ μήτε ξενολογεῖν ἀπὸ Κελτῶν ἢ Λιγύων ἔτι.
μήτε Μασσανάσσῃ. μήτε ἄλλῳ Ῥωμαίων φίλῳ πολεμεῖν, μηδὲ στρατεύειν τινὰ Καρ-
χηδονίων ἐπὶ ἐκείνους ἀπὸ τοῦ κοινοῦ. τὴν δὲ πόλιν ὑμᾶς ἔχειν. καὶ τὴν

. Δημηγορία.
Σκηπίωνος

χώραν ὅσην ἐντὸς τῶν φοινικίδων τάφρων εἴχετε, ἐμοῦ διαπλέοντος ἐς λιβύην· ῥωμαίοις τε εἶναι φίλους καὶ συμμάχους, κατὰ γῆν καὶ κατὰ θάλασσαν· ἢν ἀρέσκῃ ταῦτα τῇ βουλῇ· ἀρεσάντων δέ, ῥωμαίους ἀναχωρεῖν ἐκ λιβύης ἐν πεντήκοντα καὶ ἑκατὸν ἡμέραις. ἀνοχάς τε ἢν ἐθέλητε λαβεῖν, ἔστε πρεσβεύοιτε ἐς ῥώμην, δώσετε μὲν αὐτίκα ὅμηρα, πεντήκοντα καὶ ἑκατὸν παῖδας οὓς ἂν αὐτὸς ἐπιλέξωμαι· δώσετε δὲ ἐς δαπάνην τῇ στρατιᾷ, ἄλλα τάλαντα χίλια καὶ ἀγοράν· καὶ γενομένων τῶν σπονδῶν, ἀπολήψεσθε τὰ ὅμηρα. ταῦτα τοῦ σκιπίωνος εἰπόντος, οἱ μὲν πρέσβεις, ἔφερον ἐς καρχηδόνα τοῖς [illegible]· σκιπίωνος δὲ τοῦ πλήθους ἐν ἐκκλησίᾳ ἐπὶ πολλὰς ἡμέρας, τοῖς μὲν ἀρίστοις ἐδόκει τὰ προτεινόμενα δέξασθαι, καὶ μὴ περί τινων ἀπειθοῦντας, κινδυνεύειν περὶ ἁπάντων· τὸ δὲ ἀγοραῖον πλῆθος οὕτω προὔλεγεν ἐκλογιζόμενοι μᾶλλον, ὅτι τὰ ἀφαιρείμενα ἔχουσι τοσῶνδε ἐσόμενα, καὶ πειθοῖ ἠγανάκτουν· ἐν λιμῷ τὸν σῖτον οἱ ἄρχοντες αἱροῦνται ῥωμαίοις ἀντὶ τῶν πολιτῶν ἐς τὰς ἀνοχὰς παρασχεῖν· ἐφ' ἑκαστόν τε αὐτῶν ζημιούμενοι, πᾶσιν ἠπείλουν, τὰς οἰκίας αὐτῶν διαρπάσειν καὶ καταπρήσειν· τέλος δὲ ἔγνωσαν, ἀννίβαν. ἔχοντα μὲν ἤδη πεζοὺς ὀκτακισχιλίους· ἵππους δὲ πεντακοσίους· σταθμεύοντα δὲ ἐν πόλει μαρθαμᾶ, σύμβουλον ἐπὶ τοῖς παροῦσι καλεῖν· ὁ δ' ἧκε· καὶ τῶν μετρίων δεδιότων, μὴ φιλοπόλεμος ἀνὴρ ἐπιτρίψῃ τὸ πλῆθος, πάνυ σεμνῶς ἐκέλευε τὴν εἰρήνην δέχεσθαι· ὁ δὲ δῆμος, καὶ τοῦτον ὑπὸ ὀργῆς βλάσφημον ἐβλασφήμει καὶ πᾶσιν ἠπείλει, μέχρι τῶν γνωρίμων, τοὺς μὲν ἐς μασσανάσσην καταφυγεῖν, τοὺς δὲ ἐς αὐτοὺς ῥωμαίων αὐτομολῆσαι τῆς πόλεως ἀπογνόντων· οἱ δὲ καρχηδόνιοι πυθόμενοι σῖτον πολὺν ἐν ἐμπορείῳ τινὶ ὑπὸ ἀννίβου σεσωρευμένον,

ἀνώμαλον καὶ ἐπίφθονον ἐστὶν ἀλλὰ καὶ σκιπίων ἔοικεν ὑφορώμενος, ἐπιστεῖλαι μὲν ἡμῖν τὴν ἑαυτοῦ γνώμην, ἐπιτρέπειν δὲ ὡς καὶ βραδυνόντων, ζημιωθήσεται· εἰκὸς δὲ καὶ ἄγνοιαν καὶ τὰ ἐν ἀμείνονι ἡμῶν ἐκλογίζεσθαι. καὶ πλέον τι συνορᾶν, οὐ γῆ ἐπὶ τῶν ἔργων. λοιπὸν ἡμῖν τελικυροῦντες αὐτὸν τὴν παραίνεσιν ἀνδρὰ φιλόπολιν, καὶ στρατηγὸν ἄριστον. ὅσου δὲ λιβύην ἡμᾶς ὁρμωμένων, προώξαντες, καὶ στρατιὰν οὐ λαβὼν αὐτῷ συνῆκε τοῦτο· καὶ τὰ σκιπίωνος προηγούμενα ἡμῖν ἐν ὄψει ἐκκαλύπτομεν· ὁ καὶ μάλιστα ἄξιον, ὅτι ῥαθύμως ἔχοντες ἐπαρχῆς τοῦ δὲ τοῦ πολέμου, νῦν ἔχετε φιλονείκως καὶ ἀμέτρως. ἃ δέ τις ταῦτα μὲν ἡγεῖται καλῶς ἔχειν· δέδιε δὲ μὴ καὶ νῦν τὰς σπονδὰς παραβῶσιν οἱ καρχηδόνιοι, μάλιστα μὲν ἤκουσαν αὐτοῖς ἤδη, σπονδῶν φυλακῆς αἰτίαν εἶναι· πολλὰ ἐκ τῶν παραβάσεων παθόντας· καὶ τὸ δ' ὅτε ἦσαν ἐν τῷ μέσῳ, ποιήσασθαι περὶ πολλοῦ· ἔξεστιν ἐν τῷ ὕστερον· ἐκεῖ δὲ τῶν αὐτοῦ συμμάχων, ἄρτι μὲν καταφρονεῖν τῶν καρχηδονίων, ὡς οὐδὲν ἔτι ἰσχυόντων, δεδιέναι δ' αὖθις, ὡς ἀποστῆναι δυναμένοις. ἢν μὲν δὲ τὸ φυλάσσειν αὐτοὺς ἐν τῷ μὴ πάλιν αὐξῆσαι, τοῦ νῦν ἀνθρώπου χρεέστερον ἐστί· νῦν μὲν γάρ, διὰ συγγνώσεως μαχέονται ὕστερον δ' ἂν, δεδιότας τηρήσομεν· ἄλλως δὲ κακῶν δεῖ καὶ χωρὶς ἡμῶν. οἷς οὔτε περίοικοι πάντες ἐπικίνδυνοι ἐπαινοῦντες τῆς ἀσεβείας, καὶ μασσανάσσης ἀνὴρ πιστότατος ἡμῖν ἐφεδρεύσει παρὼν ἀεί· ἢ δ' ἄρα τις καὶ τῶνδε τῶν καταφρονεῖ, ὅπως δ' αὐτὸς ἐκλέξεται τὴν σκιπίωνος ἀρχὴν τὴν ἑαυτοῦ μόνον σκοπεῖ. καὶ σκοπεῖ καὶ τὰ τῆς τύχης αὐτῶν τέλος ἀπαντήσειν, τί καὶ χρησόμεθα τῇ πόλει λαβόντες αὐτήν, ἢν καὶ λάβωμεν. ἀνελοῦμεν ἄρδην. ὅτι σῖτον ἡμῶν καὶ ναῦς ἥρπασαν, ἃ μηδὲ πολλῶν ἄλλων ἀξίαν εἶναι ἀποδοῦναι; ἢ τοῦτο μὲν οὐ πράξομεν· γέμεσιν δὲ θεῶν φυλασσόμενοι καὶ ψόγον ἀνθρώπων. μασσανάσσῃ δὲ χαριούμεθα; ἀλλ' εἰ καὶ φίλος ἐστίν, οὐ χρὴ προσποιεῖν· οὐ δ' ἐκείνον ἀμέτρως. ἡγεῖσθαι δὲ τὸ εἶναι αὐτῶν ἐν ἀλλήλοις, τῷ ῥωμαίων κοινῷ σύμφορον. ἀλλ' ἐς προσόδους τὴν χώραν ἀνύσομεν; ἀλλ' ἡ φυλακὴ ξυστρατιᾷ τὴν πρόσοδον ἀναλώσει. πολλῆς γὰρ ὡς ἐν πολλοῖς περιοίκοις καὶ πᾶσι βαρβάροις δεησόμεθα. ἀλλὰ ἀποίκους πέμψομεν ἐς μέσον τοσούσδε νομάδας; οἳ τῶν μὲν βαρβάρων ἰσχυόντων ἀεὶ ἀναστήσονται. ἢν δὲ ἐπικρατήσωσιν αὐτῶν, ἐς τὸ μέλλον ἡμῖν ἔσονται φοβεροὶ καὶ ἐπίφθονοι. χώραν τοσήνδε, καὶ πολὺ κρείττονα τῆς ἡμετέρας ἔχοντες. ἃ καὶ αὐτὰ μοι δοκεῖ σκιπίων ὁ σκηπτ[illegible] ἰδὼν ἡμῖν μὲν δέχεσθαι τὰς καρχηδονίων παρακλήσεις. πειθόμεθα οὖν καὶ τοῖς δεομένοις καὶ τῷ στρατηγῷ. ὁ μὲν, ὧδε εἶπε· ποῦπλιος δὲ κορνήλιος, κορνήλιος λέντλος ὁ συγγενὴς τοῦ τότε ὄντος ὑπάτου· καὶ τὸν σκιπίωνος διαδέξασθαι

Δημηγορία τοῦ ...

προσδοκῶντος, ἀντέλεγεν ὧδε· τὸ μὲν συμφέρον ἐστὶ μόνον ἐν τοῖς πο-
λεμίοις ὦ ἄνδρες χρὴ σκοπεῖν· ὅσῳ δ' ἀσθενεστέραν ἔτι καὶ νῦν ἀποφαίνουσιν οὗτοι
τὴν πόλιν, φυλάξασθαι χρὴ τὴν ἀπιστίαν αὐτῆς, μετὰ τῆς δυνάμεως· ἢ τὴν ἰσχὺν
προανελεῖν, ἐπεὶ μὴ τὴν ἀπιστίαν δυνάμεθα· οὐδ' ἔσται μὲν καιρὸς τελείας
τὸν ἀπὸ Καρχηδονίων φόβον, ἐπὶ τῆς διότι προσδεῖ τοῦ προϊόντος· ἐν ᾧ πάντες
ἴσμεν ἀσθενῆ σφᾶς, πρὶν αὖθις αὐτοὺς ἐς ἑκάτερον αὐξῆσαι· οὐ μέντοι τὸν τοῦ
δικαίου λογισμὸν ἂν διαφύγοιμι· οὐδ' ἀμετρίας μοι δοκῶ δέξεσθαι ὅσε φθάσαι τὴν
πόλιν ἐπὶ Καρχηδονίοις, οἳ παρὰ μὲν τὰς εὐπραξίας ἀεὶ κουφοὶ καὶ ἐνυβρί-
ζουσιν ἐς ἅπαντας, ἐν δὲ ταῖς συμφοραῖς παρακαλοῦσιν· ἂν δὲ τύχωσιν, αὖθις
ἐπὶ ταῖς συνθήκαις μετατίθενται· οὔτε ἀσπονδῶν ἐστὶν αὐτοῖς αἰδώς, οὔτε λόγος
ὅρκων, οὓς οὗτος ἀξιοῖ περισώζειν, δεδιέναι με μὴν θεῶν τῶν ἐκείνων φθόνον· ἐς οὓς
αὐτοῖς τοῖς θεοῖς ἡγοῦμαι ἐς τόδε τὴν Καρχηδόνα περιενεγκεῖν, ἵνα δῶσί ποτε
δίκην τῆς ἀσεβείας, οἳ περὶ Σικελίαν καὶ Ἰταλίαν καὶ Ἰβηρίαν. καὶ αὐτὴν Λι-
βύην, καὶ πρὸς ἡμᾶς καὶ πρὸς τοὺς ἄλλους αἰεὶ συνετίθεντο καὶ παρώρμη-
σαν ἀνὰ καὶ σχετλίαι ἔδρων· ὧν τὰ ἄλλα ποτὲ αὖ μὲν πρὸ τῶν ἡμετέρων δίκῃ ἐφ' ἡμᾶς
ἵνα εἰδῆτε πάντας ἐφησθησομένους Καρχηδονίοις, εἰ δίκην δοῖεν· οὗτοι
Ζακανθαίων πόλιν ἔνσπονδον καὶ φίλην ἡμῖν,
ὕβρισαν ἐκτέμνοντες· οὐδὲν ἀδικοῦντες· τοιγάρτοι νῦν κρίνω τοὺς ὑπηκόους ἡμῶν, ἐπὶ συν-
θήκαις λαβόντες. οὓς μὲν τοὺς ἐν Νουκερίᾳ καὶ ἄλλους ἐν πόλεσιν, τοὺς μὲν βουλευτὰς
αὐτῶν, ἐς τὰ βαλανεῖα συνέκλεισαν· ἀποκαίοντες τὰ βαλανεῖα ἀπέπνιξαν· τοὺς δὲ
δήμους ἀπιόντας κατηκόντισαν· Ἀχερραίων δὲ τὴν βουλήν, ἐν ἀσπονδαῖς ἐς τὰ φρέατα
ἐνέβαλον· ἐς τὰ φρέατα ἐνέχωσαν· Μάρκον τε Κορνήλιον, ὕπατον ἡμῶν ὁμόσαντες ὅρκοις
ἀπατήσαντες, ἦγαγον μέν, ὡς ἐπισκεψόμενον αὐτῶν τὸν στρατηγὸν ἀνθρώπου ἄν-
συνδρπάσαντες δέ, ἀπήγαγον ἐς Λιβύην ἐκ Σικελίας αἰχμάλωτον μετὰ δυοῖν καὶ εἴκοσι
νεῶν· ἔκτειναν δὲ καὶ Ῥήγλον αἰκισάμενοι στρατηγὸν ἕτερον ἡμῶν, ὑπὸ δὲ ὅρκια ἀπ-
επανήκοντα πρὸς αὐτούς· ὅσα δ' ἀργύρια ἃ ἐς πολεμῶν. ἢ ἐνεδρῶν. ἢ ἐπιορκῶν.
ἔν τε πόλεσιν ἃ στρατόπεδα ἡμῶν. καὶ λήγων ἐν τοῖς συμμάχοις ἔδρασεν Ἀννίβας αὐτός,
τάς τε πόλεις πορθῶν. καὶ τοὺς αὑτῷ συστρατευσαμένους κατακαίνων, μακρὸν ἂν εἴη
καταλέγειν· πλὴν ὅτι τετρακοσίας ἡμῶν ἀνέστησεν ἄστη· τοὺς δ' αἰχμαλώτους
ἡμῶν, τοὺς μέν, ἐς τάφρους καὶ ποταμοὺς ἐμβάλλοντες, ὡς γεφύραις ἐπέβαινον.
τοὺς δέ, τοῖς ἐλέφασιν ὑπέβαλλον· τοὺς δ' ἀλλήλοις μονομαχεῖν ἐκέλευον, ἀδελφοὺς ἀ-
δελφοῖς συνιστάντες, ἃ περὶ ὧν ἐστί. τὰ δ' ἔναγχος, ταῦτα· περὶ εἰρήνης ἐπρέσβευ-

βον, ἐν ταὐτῷ τε ἐπεκάλουν καὶ ὤμνυον. οἱ πρέσβεις αὐτοῖς ἔτι παρῆσαν·
ἀνδ' ἐλιβύη τὰς ναῦς ἡμῶν διήρπαζον· καὶ τοὺς στρατιώτας κατέδεον· τοσοῦτον αὐ-
τοὶ διὰ τὴν ὠμότητα ὑπέστη· τούτοις οὖν, τίς ἐστιν ἔλεος. ἢ μετριοπάθεια παρὰ
τῶν, τοῖς οὐδὲν μετρίον οὐδ' ἥμερον ἐς οὐδένας εἰργασμένοις· τοῖς ὥς φησι
Σκιπίων· ἃς ἔλαβον τοῦ ἡμῶν, οὐδ' ἂν ὀνομάσαι Ῥωμαίοις πολίταις ἐστίν. ἀλλὰ πίστις ἐστὶ
βέβαιος ἐν τίνι; ποία. τίς σπονδή. τίς ὅρκος οὐκ ἐπατήθη. τίς δὲ συνθήκη
χάρις εἰς ἣν οὐχ ὕβρισαν. μὴ μιμησώμεθα ἀφ' ᾗ κλείουσιν αὐτοῖς· τὴν γὰρ συνθήκην
ἡμᾶς λύομεν, οἱ μὴ ποτε τιθέμενοι· ἀλλὰ τὴν ὠμότητα φησὶν αὐτῶν μὴ μιμη-
σώμεθα· φίλοις οὖν καὶ συμμάχοις ποιησόμεθα τοῖς ὠμοτάτοις; οὐδέτερον τού-
των ἄξια. ἀλλ' ἐπιτρεπτέον ἢ μὲν αὐτοῖς νόμῳ νενικημένων, ὡς πολλοὶ σφᾶς
ἐπέτρεψαν· σκεψόμεθα δ' ἡμεῖς. καὶ ὅτι ἂν δῶμεν, ἀντὶ χάριν. οὐχὶ συνθήκην
νομίσουσιν εἶναι· διαφορὰ δὲ τούτοιν ἑκατέρου, ὧδε. μεχρὶ μὲν συντίθενται,
παραβήσονται καθάπερ καὶ πάλαι; πρόφασιν ἂν ἤ τινα τῶν συνθηκῶν φέροντες,
ὡς ἐν αὐταῖς ἐλαττούμενοι· τὰ δ' ἀμφίλογα, δ' εὐπρόφασιστα· ὅταν δὲ παραδῶσιν
αὐτοῖς. ἃ τὰ ὅπλα περιελώμεθα. ἃ τὰ σώματα φῇ ἡμῖν γένηται. καὶ πιστωθῶσιν ὅτι
μηδὲν αὐτοῖς ἐστὶν ἴδιον, τὰ μὲν φρονήματα αὐτῶν καταβήσεται· ἀσπασίως δὲ ὅτι
ἂν παρ' ἡμῶν λάβωσιν ὡς ἀλλότριον. ἃ μὲν οὖν Σκιπίωνι ἐτέρως δοκεῖ, τὰς γνώ-
μας ἔχετε συγκρίνειν· εἰ δὲ συνθήσεται Καρχηδονίοις χωρὶς ἡμῶν, τί καὶ ἐπε-
στείλεν ὑμῖν. ἐγὼ μὲν γάρ, ὡς ὑμῶν κυρίοις οὖσι περὶ τοῦ δὲ κρῖναι τὴν γνώμην
εἶπον ἡγούμενος ξυνοίσειν τῇ πόλει· τοιαῦτα μὲν ὁ ποὺ πλίος εἶπεν. ἡ δὲ
βουλὴ κατὰ ἄνδρα περιέκαστον ψηφον ἤτει. καὶ ἐς τὴν Σκιπίωνος γνώμην αὖ
πάλιν συνέδραμον. ἐγίγνοντο οὖν αἱ συνθῆκαι τρίται αἵδε Ῥωμαίοις ἃ Καρχη-
δονίοις πρὸς ἀλλήλους. καὶ ὁ Σκιπίων ἐν αὐταῖς ἔδοξε μάλιστα τοῖς Ῥωμαίοις συν-
θῆναι γενέσθαι. ἤτε τῶν ἀρχηγῶν οὐκ ἀρεστὸν, ἤτε ὡς ἀρκοῦν Ῥωμαίοις ἐς
δ' εὐτυχίαν, τὸ μόνον ἀφῃρῆσθαι Καρχηδονίοις τὴν ἡγεμονίαν. εἰσὶ γάρ, οἳ καὶ
τόδε νομίζουσιν, αὐτὸν ἐς Ῥωμαίων σωφρονισμὸν ἐθελῆσαι γείτονα καὶ ἀντί-
παλον αὐτοῖς φόβον ἐς ἀεὶ καταλιπεῖν. ἵνα μή ποτε ἐξυβρίσειαν ἐν μεγέθει
τύχης καὶ ἀμεριμνίᾳ. καὶ τόδε οὕτω φρονῆσαι τὸν Σκιπίωνα, ὁ οὐ πολλῷ
ὕστερον ἔδειξε τοῖς Ῥωμαίοις Κάτων ἐπιπλήττων προσεξαμαρτάνουσι κατὰ Ῥοδίων.
ὁ δὲ Σκιπίων ταῦτα συνθέμενος, ἐκ Λιβύης ἐς τὴν Ἰταλίαν σὺν τῷ στρατῷ
περαιοῦται· ἃ ἐς τὴν Ῥώμην ἐσήλαυνε θριαμβεύων. ἐπιφανέστατα δὴ
τῶν πρὸ αὐτοῦ, καὶ ὃ τρόπος ᾧ νῦν χρώμενοι διατελοῦσιν, ἐστὶ τοιόσδε· ἐστε-

περὶ θριάμβου

φανωθέντων, ἅπαντες. ἡγοῦνται δὲ σαλπικταί τε καὶ λαφύρων ἅμαξαι. πύρ-
γοι τε παραφέρονται μιμήματα τῶν εἰλημμένων πόλεων· καὶ γραφαὶ καὶ σχή-
ματα τῶν γεγονότων· εἶτα χρυσὸς καὶ ἄργυρος ἄσημός τε καὶ σεσημασμένος·
καὶ εἴ τι τοιουτότροπον ἄλλο· καὶ στέφανοι, ὅσοι τὸν στρατηγὸν ἀρετῆς οὕνεκα ἀνα-
δοῦσιν, ἢ πόλεις, ἢ σύμμαχοι, ἢ τὰ ὑπ' αὐτῷ στρατόπεδα. βόες δὲ ἐπὶ τούτοις
λευκοί. καὶ ἐλέφαντες ἦσαν ἐπὶ τοῖς βουσί, καὶ καρχηδονίων αὐτῶν καὶ νο-
μάδων, ὅσοι τῶν ἡγεμόνων ἐλήφθησαν. αὐτοῦ δ' ἡγοῦνται τοῦ στρατηγοῦ, ῥαβ-
δοῦχοι φοινικοῖς χιτῶσιν ἐνδεδυκότες. καὶ χορὸς κιθαριστῶν τε καὶ τιτυ-
ριστῶν, ἐς μίμημα τυρρηνικῆς πομπῆς· περιεζωσμένοι τε καὶ στεφάνην
χρυσῆν ἐπικείμενοι· ἴσα τε βαίνουσιν ἐν τάξει, μετὰ ᾠδῆς καὶ μετ' ὀρχήσεως·
λυδοὺς αὐτοὺς καλοῦσιν· ὅτι οἱ μὲν τυρρηνικοὶ λυδῶν ἄποικοι. τούτων δέ τις
ἐν μέσῳ πορφύραν ποδήρη περικείμενος, καὶ ψέλια καὶ στρεπτὰ ἀπὸ
χρυσοῦ, σχηματίζεται ποικίλως ἐς γέλωτα, ὡς ἐπορχούμενος τοῖς πολεμί-
οις. ἐπὶ δ' αὐτῷ θυμιατηρίων πλῆθος. καὶ ὁ στρατηγὸς ἐπὶ τοῖς θυμιά-
μασιν, ἐφ' ἅρματος καταγεγραμμένου ποικίλως. ἐστεμμένος μὲν, ἀπὸ χρυσοῦ
καὶ λίθων πολυτίμων· ἐσταλμένος δὲ ἐς τὸν πάτριον τρόπον, πορφύραν ἀστέρων
χρυσῶν ἐνυφασμένην· καὶ σκῆπτρον ἐξ ἐλέφαντος φέρει. καὶ δάφνην ἣν ἀεὶ
ῥωμαῖοι νομίζουσι νίκης σύμβολον. ἐπιβαίνουσι δ' αὐτῷ ἐπὶ τὸ ἅρμα,
παῖδές τε καὶ παρθένοι. καὶ ἐπὶ τῶν παρηόρων ἑκατέρωθεν ἠίθεοι συγγε-
νεῖς. καὶ παρέπονται ὅσοι παρὰ τὸν πόλεμον ἦσαν αὐτῷ γραμματεῖς τε καὶ
ὑπηρέται καὶ ὑπασπισταί. καὶ μετ' ἐκείνους ἡ στρατιὰ κατά τε ἴλας καὶ τάξεις
ἐστεφανωμένη πᾶσα, καὶ δαφνηφοροῦσα. οἱ δὲ ἀριστεῖς, καὶ τὰ ἀριστεῖα ἐπί-
κεινται. καὶ τῶν ἀρχόντων, οὓς μὲν ἐπαινοῦσιν. οὓς δὲ, σκώπτουσιν. οὓς δὲ ψέγουσιν.
ἀφελὴς γὰρ ὁ θρίαμβος καὶ ἐν ἐξουσίᾳ λέγειν ὅ τι θέλοιεν. ἀφικόμενος δὲ ἐς
τὸ καπιτώλιον ὁ σκηπίων, τὴν μὲν πομπὴν, κατέπαυσεν. εἱστία δὲ τοὺς φίλους
ὡς πάτριον ἐστὶν ἐς τὸ ἱερόν. καὶ τέλος εἶχε ῥωμαίοις ὁ δεύτερος πρὸς καρ-
χηδονίους πόλεμος. ἀρξάμενος ἀπὸ ἰβηρίας. λήξας δὲ ἐν λιβύῃ ἐς τάσδε
τὰς περὶ αὐτῆς καρχηδόνος σπονδάς. καὶ ὀλυμπιάδες ἐν τοῖς ἕλλησιν ἦσαν,
ἀμφὶ τὰς ἑκατὸν τεσσαράκοντα καὶ τέσσαρας. μασσανάσσης δὲ, καρχηδο-
νίοις τε μηνιῶν, καὶ ῥωμαίοις θαρρῶν, ἐπέβαινε γῆς πολλῆς τῶν καρχη-
δονίων, ὡς γενομένης ποτὲ ἑαυτοῦ. καὶ οἱ καρχηδόνιοι ῥωμαίους παρεκάλουν
σφίσι μασσανάσσην συναλλάξαι. οἱ δὲ πέμπουσι διαλλακτάς. οἷς εἴρητο

συμπράττειν ὅσα δύναιντο μασσανάσσῃ. καὶ τῶν μὲν τῆς γῆς ἀπετέμετο καρχη-
δονίων ὁ μασσανάσσης. καὶ συνθῆκαι καρχηδονίοις καὶ πρὸς τοῦτον ἐγένοντο·
αἳ διέμειναν ἐς ἔτη πεντήκοντα· ἐν οἷς μάλιστα ἡ καρχηδὼν εἰρηνεύουσα,
ὁμαλῶς ἐς μέγα δυνάμεως καὶ ἀνδρίας ἦλθεν. ἔκ τε πεδίων ἀκάρπων
καὶ θαλάσσης ἀγαθῆς καιρῷ. οἷα δ' οἷον ἐν ταῖς εὐτυχίαις γίνεται, οἱ μὲν, ῥωμαΐ-
ζον. οἱ δὲ, ἐδημοκράτιζον. οἷς δ' ἤρεσκε μασσανάσσης. ἡγοῦντο δὲ ἑκάστων,
οἱ καὶ δόξῃ καὶ ἀρετῇ προύχοντες. τῶν μὲν ῥωμαϊζόντων, ὁ μέγας ἄννων. τῶν δὲ ἀ-
ρεσκομένων τὰ μασσανάσσου, ἀννίβας ὁ ψὰρ ἐπικαλούμενος. τῶν δὲ δημο-
κρατιζόντων, ἀμίλχαρ· ᾧ σαυνίτης ἐπώνυμον ἦν. καὶ καρθάλων. οἳ φυλά-
ξαντες, ῥωμαίους τε κελτίβηρσι πολεμοῦντας καὶ μασσανάσσην τῷ υἱῷ
πρὸς ἴβηρσι συγκεκλεισμένων, πείθουσι τὸν καρθάλωνα βοήθαρχον
ὄντα· καὶ ἐπὶ τῇ ἐπαρχίᾳ τὴν χώραν περιιόντα, ἐπιθέσθαι τῆς μασσα-
νάσσου σκηνουμένοις ἐν ἀμφιλόγῳ γῇ. ὁ δὲ, καὶ ἔκτεινέ τινας αὐτῶν, καὶ
περιήλασε. τούς τε ἐν τοῖς ἀγροῖς λίβυας, ἐπὶ τοὺς νομάδας ἤγειρεν.
ἄλλα τε πολλὰ αὐτοῖς ἔργα πολέμων ἐς ἀλλήλους γίγνεται. μέχρι ῥωμαίων
ἕτεροι πρέσβεις ἐπῆλθον ἐς διαλλαγάς. οἷς ὁμοίως εἴρητο μασσανάσσῃ
βοηθεῖν ἀδήλως. οἳ ἐβεβαίωσαν· οἱ δὲ, τῷ μασσανάσσῃ ὅσα προειλήφει
μετὰ τέχνης ὧδε, εἰπόντες μὲν, οὐδὲν· οὐδὲ ἤκουσαν· ἵνα μή τι ὡς ἐν δίκῃ
μασσανάσσης ἐλαττῷτο. ἐν μέσῳ δὲ ἀμφοῖν γενόμενοι, τὰς χεῖρας διέσχον.
καὶ τοῦτο ἦν αὐτοῖς κέλευσμα πρὸς ἀμφοτέρους διαλλάξεως. οὐ πολὺ δὲ
ὕστερον, ὁ μασσανάσσης ἠμφισβήτει καὶ τῶν λεγομένων μεγάλων πε-
δίων, καὶ χώρας πεντήκοντα πόλεων. ἣν τύσκαν προσαγορεύουσιν. ἐφ' οἷς
πάλιν οἱ καρχηδόνιοι, κατέφυγον ἐπὶ ῥωμαίους. οἱ δ' ὑπέσχοντο μὲν
αὐτοῖς καὶ τότε πρέσβεις πέμψειν ἐς δίαιταν. διέτριψαν δὲ, ἕως ᾔκασαν
πολλὰ τῶν καρχηδονίων διεφθάρθαι. καὶ τότε πρέσβεις ἔπεμψαν, καὶ
κάτωνα. οἳ ἐς τὴν ἀμφίλογον γῆν ἀφικόμενοι, ἠξίουν σφίσιν ἀμφο-
τέρους περὶ ἁπάντων ἐπιτρέπειν. μασσανάσσης μὲν οὖν, οἷα πλεονεκ-
τῶν, καὶ ῥωμαίοις ἀεὶ θαρρῶν, ἐπέτρεπεν. οἱ καρχηδόνιοι δ' ὑπώπτευον,
ἐπεὶ καὶ τοὺς πρότερον ᾔδεσαν οὐκ εὖ δικάσαντας. ἔφασαν οὖν τὰς συν-
θήκας τὰς ἐπὶ σκηπίωνος, οὐδὲν χρῄζειν δικαιωτηρίου δὲ διορθώσεως, ὅσα
μὴ ἐξ αὐτῶν παραβαίνοιτο μόνα. οἱ δ' οὐκ ἀνασχόμενοι περὶ μέρους δικάζειν,
ἐπανῄεσαν. καὶ τὴν χώραν περιεσκόπουν ἀκριβῶς τε εἰργασμένην, καὶ

κάτων

κατασκευὰς μεγάλας ἔχουσαν· ᾔδουν δὲ τὴν πόλιν εὐπαθοῦντες, ὅσοι τε τὸ
δυνάμενον ἦν, καὶ τὸ πλῆθος ὃ συνηύξητο, ἐκ τῆς οὐ πρὸ πολλοῦ κατὰ σκηπίωνα διαφθο-
ρᾶς. ἐπανελθόντες δὲ ἐς ῥώμην, ἔφραζον, οὐ ζήλου μᾶλλον γίγνεσθαι αὐτοῖς τὰ
καρχηδονίων· πόλεως δυσμενοῦς τε καὶ γείτονος δ' ἄρα ῥᾳδίως οὕτως αὐξανο-
μένης· καὶ ὁ κάτων μάλιστα ἔλεγεν, οὐδὲ ποτὲ ῥωμαίοις βέβαιον, οὐδὲ τὴν ἐλευ-
θερίαν ἔσεσθαι, πρὶν ἐξελεῖν καρχηδόνα· ὧν ἡ βουλὴ πυνθανομένη, ἔκρινε
μὲν πολεμεῖν· ἔτι δὲ ἐζήτει προφάσεων, καὶ τὴν κρίσιν ἀπόρρητον εἶχον.
κάτωνα δ' ἐξ ἐκείνου φασὶν ἐν τῇ βουλῇ συνεχῆ γνώμην λέγειν, καρχη-
δόνα μὴ εἶναι· σκηπίωνα δὲ τὸν νασικᾶν, τὰ ἐναντία ἀξιοῦν· καρχηδόνα
ἐᾶν ἐς φόβον ἤδη καὶ τόνδε, ῥωμαίοις ἐκδιαιτωμένοις ἤδη· καρχηδονίων δ' οἱ
δημοκρατίζοντες, τοὺς τὰ μασσανάσσου φρονοῦντας ἐξέβαλον· ἐς τεσσαρά-
κοντα μάλιστα ὄντας· καὶ ψῆφον ἐπήνεγκαν φυγῆς, καὶ τὸν δῆμον ὥρκωσαν,
μήτε καταδέξασθαί ποτε, μήτε ἀνέξεσθαι, τῶν λεγόντων καταδέχεσθαι· οἱ δ'
ἐξελαθέντες, ἐπὶ τὸν μασσανάσσην κατέφυγον, καὶ ἐξώτρυνον ἐς πόλεμον.
ὁ δὲ καὶ αὐτὸς οὕτως ἔχων, ἔπεμψε τῶν παίδων ἐς καρχηδόνα, γολόσσην τε καὶ
μικίψαν ἀξιῶν, καταδέχεσθαι τοὺς δι' αὐτὸν ἐξεληλαμένους· τούτοις προ-
σιοῦσι, τὰς πύλας ὁ βοήθαρχος ἀπέκλεισε· δείσας, μὴ τὸν δῆμον οἱ συγγενεῖς
τῶν φευγόντων καταδακρύσειαν· γολόσσῃ δὲ καὶ ἐπανιόντι, ἀμίλχαρ ὁ
σαυνίτης ἐπέθετο· καὶ τινὰς μὲν ἔκτεινεν· αὐτὸν δὲ ἐθορύβησεν· ἐφ' οἷς
ὁ μασσανάσσης προφάσεις τάσδε ποιούμενος, ἐπολιόρκει πόλιν ὀρόσκοπαν·
καὶ τῆσδε παρὰ τὰς συνθήκας ἐφιέμενος· οἱ δὲ καρχηδόνιοι, πεζοῖς μὲν δισ-
μυρίοις καὶ πεντακισχιλίοις· ἱππεῦσι δὲ πολιτικοῖς τετρακοσίοις, ἀσρούβ-
του τότε σφῶν βοηθάρχου στρατηγοῦντος, ἐπὶ τὸν μασσανάσσην ἐστράτευον· καὶ
πλησιάζουσιν αὐτοῖς, ἀσάσις τε καὶ σούβας ταξίαρχοι μασσανάσσου, διενεχ-
θέντες τι τοῖς παισὶ μασσανάσσου, προσέδραμον ἐς αὐτομολίαν· ἱππέας
ἄγοντες ἑξακισχιλίους· οἷς ἐπαρθεὶς ὁ ἀσδρούβας, μετεστρατοπέδευεν ἐγγυ-
τέρω τοῦ βασιλέως· καὶ ἐν ταῖς ἀκροβολίαις, ἐπικρατῶν ἦν· ὁ δὲ μασσανάσσης
ἐνεδρεύων αὐτόν, ὑπεχώρει κατ' ὀλίγον οἷα φεύγων, ἕως προσήγαγεν ἐς πεδίον
μέγα καὶ ἔρημον· οὗ πανταχόθεν ἦσαν λόφοι καὶ ἀπόκρημνα· καὶ ἀγορᾶς ἀπορία·
τότε δὲ ἐπιστρέψας, ἐστρατοπέδευεν ἐν τοῖς πεδινοῖς· ὁ δὲ ἀσδρούβας, ἐς τοὺς λόφους,
ὡς ὀχυρωτέρους ἀνέδραμε· καὶ οἱ μέν, τῆς ἐπιούσης ἔμελλον ἐς χεῖρας ἥξειν·
σκηπίων δ' ὁ νεώτερος, ὁ τὴν καρχηδόνα ὕστερον ἑλών, ὑποστρατευόμενος τότε

σκιπίων ὁ νεώτερος

νασικᾶς

λευκόλλῳ κελτίβηρσι πολεμοῦντι, ἐς τὸν μασσανάσσην ἀφῖκτο πεμφθεὶς,
ἐλέφαντας αἰτῆσαι· καὶ αὐτῷ μασσανάσσης τοὺς ἱππέας ὡς ἐς μάχην ἐπι-
μελούμενος, ἱππέας ἀπαντῆσαι ἔπεμψε· καὶ τῶν παίδων τισὶν ἐκέλευεν, ἡγεῖσθαι·
αὐτὸς δὲ ἅμα ἕῳ, τὸν στρατὸν ἐξέτασσεν· ὀγδοηκοντούτης μὲν ὢν καὶ ὀκτὼ
γεγονώς ἔτη, ἱππεύων δὲ ἔτι καρτερῶς, καὶ γυμνὸν τὸν ἵππον ἀναβαίνων, ὡς
ἔθος ἐστὶ νομάσι, καὶ στρατηγῶν καὶ μαχόμενος· εἰσὶ γὰρ λίβυες οἱ νομάδες,
εὐρωστότατοι· καὶ μακρόβιοι οὗτοι μακροβιώτατοι· αἴτιον δ' ἴσως, ὅτι χειμὼν,
οὐ πολὺ κρύος ἔχων, ὑφ' οὗ φθείρεται πάντα· καὶ τὸ θέρος οὐ κατακαῖον ὥσπερ
αἰθίοπάς τε καὶ ἰνδούς· διὸ καὶ τῶν θηρίων τὰ δυνατώτατα, ἥδε ἡ γῆ φέρει·
καὶ οἱ ἄνδρες, ἐν ὑπαίθρῳ καὶ πόνοις εἰσὶν αἰεί· ὀλίγος τε ὁ οἶνος αὐτοῖς· καὶ ἡ
τροφὴ πᾶσιν ἁπλῆ τε καὶ λιτή· ὁ μὲν δὴ μασσανάσσης ἐπιβὰς ἵππον,
διεκόσμει τὸν στρατόν· καὶ ἀσρούβας ἀντεξῆγε τὸν λαὸν αὐτῷ πολὺ πλῆθος·
ἤδη γὰρ καὶ τῷδε, πολλοὶ προσεληλύθεσαν ἐκ τῆς χώρας· ὁ δὲ σκηπίων,
ἐθεᾶτο τὴν μάχην ἀφ' ὑψηλοῦ, καθάπερ ἐκ θεάτρου· ἔλεγέ τε πολλάκις ὕστερον
ἀγῶσι συνενεχθεὶς ποικίλοις, οὐ πώποτε ὧδε ἡσθῆναι· μόνον γὰρ ἐφορᾶν τόνδε τὸν πόνον
ἀφρόντιστος, ἀνδρῶν δέκα μυριάδας ἐς μάχην συνιόντας· ἔλεγέ τε
σεμνύνων, δύο πρὸ αὐτοῦ τὴν θέαν ταύτην ἰδεῖν ἐν τῷ τρωϊκῷ πολέμῳ, τὸν δία
ἀπὸ τῆς ἴδης, καὶ τὸν ποσειδῶνα ἐκ σαμοθρᾴκης· γενομένης δὲ τῆς μάχης
ἐς νύκτα ἀπ' ἠοῦς, καὶ πολλῶν πεσόντων ἑκατέρωθεν, ἔδοξεν ἐπικρατέστερος
ὁ μασσανάσσης γενέσθαι· καὶ αὐτῷ ὑποστρέφοντι ἀπὸ τοῦ ἔργου, ὁ σκηπίων ὤφθη·
ὁ δὲ αὐτὸν οἷα φίλον ἐκ πάππου, περιεῖπε θεραπεύων· ὅθεν οἱ καρχηδόνιοι
μαθόντες, ἐδέοντο τοῦ σκηπίωνος πρὸς μασσανάσσην σφᾶς συναλλάξαι· ὁ δὲ, συνή-
γαγε μὲν αὐτούς· γιγνομένων δὲ προκλήσεων, οἱ καρχηδόνιοι τῷ μασσανάσσῃ, τὴν
μὲν περὶ τὸ ἐμπόριον γῆν, ἔλεγον καταλιπεῖν· καὶ ἀργυρίου τάλαντα δώσειν διακό-
σια αὐτίκα· καὶ ὀκτακόσια σὺν χρόνῳ· τοὺς δὲ αὐτομόλους αἰτοῦντος, οὐχ ὑπέ-
στησαν οὐδ' ἀκοῦσαι· ἀλλ' ἄπρακτοι διεκρίθησαν· καὶ σκηπίων μὲν ἐς ἰβηρίαν
ἐπανῄει, τοὺς ἐλέφαντας ἔχων· μασσανάσσης δὲ τὸν λόφον τῶν πολεμίων περι-
ταφρεύσας, ἐφύλασσε μηδὲ μέλλειν αὐτοῖς ἀγορὰν ἐσφέρεσθαι· οὐδ' ἄλλως ἐγγὺς
οὔσης· ἐπεὶ αὐτῷ μόλις ἐκ μακροῦ σφόδρα ἐπιμόχθως ἐφέρετο πολλή·
ἀσδρούβας δ' αὖθις μὲν ἐδόκει δεῖσθαι διεκπαῖσαι τοὺς πολεμίους· ἐρρω-
μένου τε ὄντος ἔτι καὶ ἀπαθοῦς τοῦ στρατοῦ· ἀγορὰν δὲ ἔχων μασσανάσσου πλείονα, προσ-
καλεῖσθαι τὸν μασσανάσσην ἐνόμιζε· καὶ περιέμενε πυνθανόμενος ἅμα

ἔθος

αἴτιον μακροβίων

καὶ ῥωμαίων ἐπιέναι πρέσβεις ἐς διαλύσεις· οἱ δ' ἦλθον μέν· ἐνετέταλτο δ' αὐτοῖς, εἰ
μασσανάσσης ἡσσῷτο, λῦσαι τὴν διαφοράν· εἰ δ' ἐπικρατοίη, καὶ παροξῦναι·
οἱ μὲν δὴ τὸ ἑαυτῶν ἔπραξαν· ὁ δὲ λιμός, τὸν ἀσδρούβαν καὶ τοὺς καρχηδονίους ὀξέως ἐπίεζε
τοῖς σώμασι πάντα ἔχοντας ἀσθενῶς, ὑποζυγίων μὲν οὐκέτι τοῖς πολεμίοις ἐδύναντο τῇ
δ' ὑποζύγια πρῶτον· εἶτα τοὺς ἵππους ἐπὶ τοῖς ὑποζυγίοις ἔφαγον· καὶ ἱμάντας ἕ-
ψοντες ἤσθιον· καὶ νόσοι αὐτοῖς ἰδέαι πᾶσαι κατελάμβανον ἔκ τε πονηρᾶς τροφῆς,
καὶ ἀκινησίας ἔργων, καὶ ὥρας ἔτους (συνεκέκλειστο γὰρ ἐν ὀλίγῳ χωρίῳ· καὶ τὸ πλέον στρατό-
πεδον ὄχλος ἀνθρώπων, λίβυες ἄφθονοι· τῶν τε ξύλων αὐτοῖς, ἐν τῷ ἐπικοιναι πολι-
ορκούντων, τὰ ὅπλα κατέκαιον· καὶ τῶν ἀποθνησκόντων, οὐδεὶς οὐδὲ ἐξεφέρετο,
μασσανάσσου τὴν φυλακὴν οὐκ ἀνιέντος· οὔτε ἐξέκαιον ξύλων ἀπορίᾳ· ὁ
δὲ φθόρος αὐτοῖς, ἦν πολύς τε καὶ ἐπιώδυνος· συνῴκουν νεκροῖς καὶ σηπο-
μένοις σώμασι· τό τε πλεῖστον ἤδη τοῦ στρατοῦ διέφθαρτο· καὶ τὸ ὑπόλοιπον
οὐδεμίαν σφίσι σωτηρίας ὁρῶντες ἐλπίδα, τοὺς αὐτομόλους ὑπέσχοντο
ἐκδοῦναι τῷ μασσανάσσῃ· καὶ πεντακισχίλια ἀργυρίου τάλαντα, πεντήκοντα
ἔτεσιν ἐσενεγκεῖν· τούς τε φυγάδας σφῶν, καταδέξασθαι παρὰ τὸν ὅρκιον·
αὐτοὶ διὰ μιᾶς πύλης τοῖς ἐχθροῖς καθ' ἕνα διεξελθεῖν σὺν χιτωνίσκῳ
μόνῳ. γολόσσης δ' αὐτοῖς ἀπιοῦσι, χαλεπαίνων τῆς οὐ πρὸ πολλοῦ διώ-
ξεως, ἥ τε σύνοδος τοῦ πατρός· ἥ τε δι' αὐτόν, νομάδας ἱππέας ἐπέπεμψεν·
οἳ ἀμυνομένους, οὔτε ὅπλον ἔχοντας ἐς ἄμυναν, οὔτε φυγεῖν ὑπ' ἀσθενείας
δυναμένους, ἔκτεινον· ἔκ τε μυριάδων πέντε στρατῶν, ὀκτακισχιλίων ἀνδρῶν
ὀλίγοι ἐπανῆλθον ἐς καρχηδόνα περισωθέντες· καὶ σὺν αὐτοῖς ἀσδρού-
βας τε ὁ στρατηγός, καὶ ἕτεροι τῶν ἐπιφανῶν· τοιόσδε μὲν ὁ μασσανάσσου
καὶ καρχηδονίων πόλεμος ἦν· ἐκ δὲ χρόνου ἐπ' αὐτῷ, ὅ τε τελευταῖος λιβυκὸς
ὁ τρίτος ῥωμαίοις· καὶ καρχηδόνιοι τῷ μασσανάσσου πταίσματι
συμπεσόντος ἀσθενεστάτης ὑπ' αὐτοῦ τῆς πόλεως γενομένης, αὐτόν τε
μασσανάσσην ἐδεδοίκεσαν ἐγγὺς ἔτι ὄντα μετὰ πολλοῦ στρατοῦ· καὶ
ῥωμαίους δὴ μηνίοντας αἰεὶ σφίσι, καὶ πρόφασιν θησομένους τὰ ἐς τὸν
μασσανάσσην γενόμενα· ὧν οὐδέτερον κακῶς ὑπενόουν· αὐτίκα γὰρ
οἱ ῥωμαῖοι πυθόμενοι, στρατὸν ἐπήγειρον ἐν ὅλῃ τῇ ἰταλίᾳ· τὸ μὲν
χρήματα οὐ λέγοντες· ὡς δ' ἂν ὀξέως ἔχοιεν ἐς τὰ παραγγελλόμενα χρῆσθαι·
καὶ οἱ καρχηδόνιοι νομίζοντες ἐκλῦσαι τὴν πρόφασιν, ἐπεκήρυττον ἀσ-
δρούβαν τε τὸν στρατηγήσαντα τοῦδε τοῦ πρὸς μασσανάσσην πολέμου. καὶ

καρθάλωνα τὸν βοήθαρχον· καὶ εἴ τις ἐφῆπτο τοῦ ἔργου, θάνατον ἔγνωσαν· ἐκείνοις
τὴν αἰτίαν τοῦ πολέμου περιφέροντες, ἐς ῥώμην πρέσβεις ἔπεμπον·
οἳ κατηγόρουν μὲν αὐτοῦ μασσανάσσου· κατηγόρουν δὲ καὶ τῶνδε τῶν ἀνδρῶν,
ὡς ἀμυνομένων αὐτὸν ὀξέως τε καὶ προπετῶς· καὶ τὴν πόλιν ἐς πρόφασιν
ἔχθρας ἐμβαλλόντων· ὡς δέ τις ἐν βουλῇ αὐτῶν τοὺς πρέσβεις ἤρετο· ὅπως
οὐκ ἐν ἀρχῇ τοῦ πολέμου τοὺς αἰτίους, ἀλλὰ μετὰ τὴν ἧσσαν ἐξεκήρυξαν καὶ
πρὸς ἡμᾶς ἐν βουλῇ πάλαι ἐγνωκότα πολεμῆσαι· ὡς προφάσεις ἀρέσκοιεν,
ὧδε ἀπεκρίνατο καρχηδονίων, οὐ πρὸς ῥωμαίους ἱκανῶς ἀπολογήσασθαι·
πάλιν ὁ αὐτὸς ἀγωνιῶν τὸν ἐρωτῶν, εἰ δοκοῖεν ἁμαρτεῖν· τί παθόντες ἀπο-
λύσονται τὸ ἔγκλημα· οἱ δέ, οὕτως ἔφασαν τῷ ῥήματι. εἰ τὸ ἱκανὸν ποιή-
σετε ῥωμαίοις· ζητούντων δὲ ἐκείνων, ὅ τι εἴη τὸ ἱκανόν, οἱ μέν, ᾤοντο ῥω-
μαίους ἐθέλειν τοῖς χρήμασι προσεπιθεῖναι τοῖς ἐπὶ σκηπίωνος ὡρισ-
μένοις· οἱ δέ, μασσανάσσῃ τῆς ἀμφιλόγου γῆς μεταστῆναι· ἀποροῦντες οὖν,
πάλιν ἐς ῥώμην ἔπεμπον παρακαλοῦντες γνῶναι σαφῶς, ὅ τι ἦν αὐτοῖς
τὸ ἱκανόν· οἱ δὲ αὖθις ἔφασαν εἰδέναι καρχηδονίους καλῶς· ἀπιόντες,
ἀπεπέμφθησαν· οἱ μὲν δὴ ἐν φόβῳ καὶ ἀπορίᾳ ἦσαν· ἐν τούτῳ, ἰτύκη δὲ ἡ λιβύης ἰτύκη.
μεγίστη μετὰ καρχηδόνα πόλις, λιμένας τε ἔχουσα εὐόρμους· στρατοπέδων
καταγωγὰς δαψιλεῖς, ἑξήκοντα σταδίοις ἀπὸ καρχηδόνος ἀφεστῶσα· καὶ
ἐς πόλεμον αὐτοῖς ἐπικειμένη, τὰ καρχηδονίων ἄρα ἀπογνοῦσα, καὶ
τὸ πάλαι μῖσος ἐς αὐτοὺς ἐκφέρουσα σὺν καιρῷ, πρέσβεις ἐς ῥώμην ἔπεμψεν·
οἳ τὴν ἰτύκην ῥωμαίοις ἐπέτρεπον· ἡ δὲ βουλή, καὶ τέως ἐς τὸν πόλεμον ὁρ-
μῶσά τε καὶ παρασκευαζομένη, πόλεως ὀχυρᾶς οὕτως καὶ ἐπικαίρου γενο-
μένης, ἐξέφηνέ τε τὴν γνώμην· καὶ ἐς τὸ καπιτώλιον οὗπερ εἰώθασι περὶ
πολέμου σκοπεῖν συνελθοῦσα, ἐψηφίσατο καρχηδονίοις πολεμεῖν· στρατη-
γούς τε τοὺς ὑπάτους αὐτίκα ἐξέπεμπον· ἐπὶ μὲν τοῦ πεζοῦ, μάρκον μα- μάρκος μανίλ
νίλιον· ἐπὶ δὲ τοῦ στόλου, λεύκιον μάρκιον κηνσωρῖνον· οἷς ἐν ἀπορρήτῳ λεύκιος μάρκιος κηνσω-
λέλεκτο, μὴ ἀνασχεῖν τοῦ πολέμου, πρὶν καρχηδόνα κατασκάψαι· οἱ μὲν δή, ρῖνος
θύσαντες, ἐς σικελίαν ἔπλεον· ὡς ἐκεῖθεν ἐς τὴν ἰτύκην διαβαλοῦντες·
ναυσὶ δ' ἐφέροντο, πεντήκοντα μὲν πεντήρεσιν· ἑκατὸν δὲ ἡμιολίαις· ἀ-
φράκτοις δὲ καὶ κερκούροις καὶ στρογγύλοις πολλοῖς· στρατὸν ἦγον, ὀκτακισ-
μυρίους πεζούς· καὶ ἱππέας, ἐς τετρακισχιλίους μάλιστα ἅπαντας· ὥστε τὴν
ἐπιφανῆ στρατείαν καὶ προὖπτον ἐλπίδα, πᾶς τις ἀστῶν καὶ συμμάχων ὥρμα·

καὶ πολλοὶ συνέθεον τε παρήγγελλον ἐς τὸν κατάλογον. Καρχηδονίοις δὲ προσέπεσε μὲν ἥ τε κρίσις τοῦ πολέμου καὶ τὸ ἔργον ὁμοῦ δι᾽ ἑνὸς ἀγγέλου· ὁ γὰρ αὐτὸς ἔφερέ τε τὸ ψήφισμα τοῦ πολέμου καὶ τὰς ναῦς ἐδήλου πλεῖν ἐπὶ σφᾶς. ἐκπλαγέντες οὖν, ἀπεγίγνωσκον αὑτῶν· ἀπορίᾳ τε νεῶν, καὶ νεότητος ἀπωλείᾳ τοσῆσδε, οὐ συμμάχους ἔχοντες, οὐ μισθοφόρους ἑτοίμους, οὐ σῖτον ἐς πολιορκίαν συνενηνεγμένον, οὐκ ἄλλο οὐδέν, ὡς ἐν ἀκηρύκτῳ καὶ ταχεῖ πολέμῳ· οὐδ᾽ αὐτοὶ διαρκεῖν ἐνδεχόμενοι, Ῥωμαίοις τε καὶ Μασσανάσσῃ. πρέσβεις οὖν ἑτέρους ἐς Ῥώμην ἔπεμπον αὐτοκράτορας, ὅπῃ δύναιντο τὰ παρόντα διαθέσθαι. οἷς ἡ σύγκλητος εἶπεν, ἐὰν τοῖς ὑπάτοις ἔτι οὖσιν ἐν Σικελίᾳ τριάκοντα ἡμερῶν τῶνδε οἱ Καρχηδόνιοι τριακοσίους τοὺς ἐνδοξοτάτους σφῶν παῖδας ἐς ὅμηρα παράσχωσι, καὶ τἆλλα κατακούσωσιν αὐτῶν, ἕξειν Καρχηδόνα ἐλευθέραν τε καὶ αὐτόνομον, γῆν ὅσην ἔχουσιν ἐν Λιβύῃ. ταῦτα μὲν ἐς τὸ φανερὸν ἐψηφίσαντο, καὶ τοῖς πρέσβεσιν ἔδοσαν ἐς Καρχηδόνα φέρειν τὸ δόγμα· ἀπορρήτως δὲ τοῖς ὑπάτοις ἐπέστελλον, ἔχεσθαι τῶν ἰδίᾳ σφίσιν ἐντεταλμένων. οἱ δὲ Καρχηδόνιοι, τῇ μὲν γνώμῃ ὑπώπτευον, οὐκ ἐπὶ συνθήκῃ βεβαίᾳ τὰ ὅμηρα παρέχοντες· οἷα δ᾽ ἐν κινδύνῳ τοσῷδε τὰς ἐλπίδας, ἐν τῷ μηδὲν ἐλλείπειν τιθέμενοι, σπουδῇ προλαβόντες τὴν προθεσμίαν, τοὺς παῖδας ἐς Σικελίαν ἦγον, ὀδυρομένων τε αὐτοὺς ἐπικλαιόντων οἰκείων καὶ μάλιστα τῶν μητέρων. αἳ σὺν ὀλολυγῇ μανικῇ τῶν τε τέκνων ἐξήπτοντο, καὶ νεῶν τῶν φερουσῶν αὐτά, καὶ στρατηγῶν τῶν ἀγόντων ἀντελαμβάνοντο. καὶ κάλων διασπῶσαι, καὶ ναύταις συνεπλέκοντο, καὶ τὸν πλοῦν ἐκώλυον. εἰσὶ δ᾽ αἳ καὶ μέχρι πολλοῦ τῆς θαλάσσης παρένεον, δεδακρυμέναι τε καὶ ἐς τὰ τέκνα ἀφορῶσαι. αἱ δ᾽ ἐπὶ τῆς γῆς τὰς κόμας ἐτίλλοντο, καὶ τὰ στέρνα ἐκόπτοντο ὡς ἐπὶ πένθει. ἐδόκουν γάρ, ὄνομα μὲν εἶναι περὶ τῶν ὁμήρων, ἔργῳ δέ, τῆς πόλεως ἔκδοσιν, ἐπ᾽ οὐδεμιᾷ συνθήκῃ τῶν δὲ τῶν παίδων διδομένων. καὶ πολλαὶ καὶ τοῦτο ἐπιθειάζουσαι καὶ ἐπεμαντεύοντο τῇ πόλει, μηδὲν αὐτὴν ὀνήσειν τοὺς παῖδας ἐκδιδομένους. ἐν μὲν τῇ Καρχηδόνι, τῶν ὁμήρων ἡ ἀναγωγὴ τοιάδε τις ἦν. ἐν δὲ τῇ Σικελίᾳ, παραλαβόντες αὐτοὺς οἱ ὕπατοι, διέπεμπον ἐς Ῥώμην· καὶ τοῖς Καρχηδονίοις ἔφασαν ἐς τὸ τέλος τοῦ πολέμου τὰ λοιπὰ ἐρεῖν ἐν Ἰτύκῃ. διαπλεύσαντες δὲ ἐς αὐτήν, ἐστρατοπέδευον. ὁ μὲν πεζός, ἔνθα πάλαι τὸ Σκιπίωνος ἦν στρατόπεδον· αἱ δὲ νῆες, ἐν τοῖς λιμέσι τοῖς Ἰτυκαίων. ἀφικομένων δὲ καὶ πρέσβεων ἐκ Καρχηδόνος, οἱ μὲν ὕπατοι προυκάθηντο ἐπὶ βήματος ὑψηλοῦ, ἡγεμόνων τε σφίσι καὶ χιλιάρχων παρεστώτων. ἡ στρατιὰ

δὲ καθ᾽ ἑκάτερον, ἐπὶ μῆκος πολύ· ὅπλοις τε ἐπισήμοις ἐσκευασμένη, καὶ τὰ σημεῖα φέρουσα ὀρθά· ἵνα οἱ πρέσβεις τὸ πλῆθος ἐκ τούτων συμβάλλοιεν. ἐπεὶ δ᾽ οἱ μὲν ὕπατοι τῷ σαλπιγκτῇ προστάξαντες ὑποσημῆναι σιωπήν, ὁ δὲ κῆρυξ ἀνεῖπε τοὺς Καρχηδονίων πρέσβεις προσιέναι, οἱ μὲν εἰσήγοντο διὰ τοῦ στρατοπέδου μακροῦ, τοῦ βήματος οὐ προσεπέλαζον· ἀλλὰ περισχοινίσματι εἴργοντο μέσῳ. οἱ δ᾽ ὕπατοι, λέγειν αὐτοὺς ἐκέλευον ὅτι χρῄζοιεν. οἱ πρέσβεις ἔλεγον ἐλεεινὰ πολλὰ καὶ ποικίλα· συνθηκῶν τε πέρι τῶν σφίσι πρὸς Ῥωμαίους γενομένων, καὶ Καρχηδόνος αὐτῆς, ἐν κλέει καὶ πλήθει καὶ δυνάμει καὶ ἀρχῆς ἐπὶ πολὺ μεγίστης ἐν γῇ καὶ θαλάσσῃ γενομένης. οὐκ ἐπὶ σεμνολογίᾳ δὲ φασὶν λέγειν· οὐ γὰρ εἶναι καιρὸν ἐν συμφοραῖς σεμνολογίας· ἀλλ᾽ ἐς σωφρονίζειν ὑμᾶς, ὦ Ῥωμαῖοι, καὶ μετριοπαθεῖν ἐκ τῆς ἡμετέρας μεταβολῆς, ὁ ἐξετάζων ἔσω. κράτιστοι δέ, ὅσοι τοὺς πταίσαντας ἐλεοῦντες, τὸ φθόνον δὲ ἐπιποιοῦνται, τῷ μηδὲν ἐς ἄλλας τύχας ἁμαρτεῖν. καὶ τάδε μὲν ὑμῶν ἀξία καὶ τῆς ὑμετέρας εὐσεβείας ἦν, πρὸς ποιῆσαι μάλιστα ἀνθρώπων. ἡ δὲ ἡμετέρα τύχη, καὶ μὲν ἐχθρῶν κόρος ἐστὶν ἀτυχημάτων, ὅσα πεπόνθαμεν. οἱ τὴν ἡγεμονίαν τῆς τε γῆς καὶ θαλάσσης ἀφῃρήμεθα· καὶ τὰς ναῦς ἡμῖν παρεδώκαμεν, καὶ ἄλλας οὐκ ἐπικτώμεθα· καὶ θήρας καὶ κτήσεως ἐλεφάντων ἀπέστημεν· καὶ ὅμηρα τὰ κράτιστα καὶ πάλαι καὶ νῦν παρεδώκαμεν· καὶ φόρον τὸν ὡρισμένον εὐτάκτως οἱ πρότεροι ἀναλαμβάνομεν. καὶ τάδε ἤρκεσε τοῖς πατράσιν ὑμῶν, οἷς ἐπολεμήσαμεν. καὶ συνθήκας ἐπὶ τούτοις ἐγράψαντο ἡμῖν, ὡς φίλοις τε καὶ συμμάχοις. καὶ ὅρκος διῄτησαν τὰς συνθήκας ἀμφοῖν ὁμοίως. κἀκεῖνοι μὲν ἡμῖν, οἷς ἐπολεμήσαμεν, πιστοὶ μετὰ ταῦτα ἐγένοντο. ὑμᾶς δέ, οἷς οὐδ᾽ ἐς χεῖρας ἤλθομεν, τί τῶν δὲ τῶν συνθηκῶν αἰτιώμενοι παραβεβλῆσθαι, τὸν δὲ πόλεμον ὀξέως οὕτως ἐψηφίσασθέ τε καὶ ἀκηρύκτως ἐπηγάγετε ἡμῖν; πότερον οὐ διδομένων τῶν φόρων; ἢ ναῦς ἔχομεν; ἢ τοῖς ἐπὶ φθόνοις ἐλέφαντας; ἢ οὐκ ἤδετε, οἱ τῶν πεντεμυριάδων τῶν χθὲς ἀπολομένων ὑπὸ λιμοῦ, ἀλλὰ Μασσανάσσῃ πεπολεμήκαμεν; πολλά γε πλείονα καὶ τὰ νῦν καὶ πάντα δι᾽ ὑμᾶς ἐφερόμεθα. ἀπαύστως δὲ χώρας ἀθεμίστως ἐς ἡμᾶς, καὶ τὸ ἔδαφος ἐν ᾧ ἐγράφη καὶ ἐπαιδεύθη, γῆν ἄλλην ἡμῶν ἀπέσπασε περὶ τὸ ἐμπόριον. καὶ λαβὼν καὶ τήνδε, ἐπέβαινεν ἑτέρας. μέχρι τὰς συνθήκας ἡμεῖς τὰς πρὸς ὑμᾶς συνέχεεν. εἰ τοῦτό ἐστιν ἡ τοῦ πολέμου πρόφασις. ἡμᾶς δέ, καὶ τοῖς ἀμυνομένοις αὐτὸν ἐξεκηρύξαμεν· καὶ πρὸς ὑμᾶς πρέσβεις ἐπέμψαμεν, οἳ περὶ τούτων ἀπελογοῦντο. καὶ ἑτέρους αὐτοκράτορας ὅπως ἐθελήσετε σώσεσθαι. τίος οὖν ἔδει

νεῶν ἢ στόλου καὶ στρατοῦ, πρὸς ἄνδρας οὐχ ὁμολογοῦμεν μὴ ἀμφοτέρων,
ἐς αὐτὴν δὲ ὑμῖν ἐπιτρέποντας. ὅτι δὲ οὐκ ἀπατῶντες ὑμᾶς, οὐδὲ μὴ κρυ-
πτόμενοι παθεῖν ὅτι ἂν ζημιώσητε ταῦτα προτείνομεν, ἐπιδεῖξαι ταῦτα,
ὅτε τοὺς ἀρίστους παῖδας ἐς ὅμηρα ἀνδαιτοῦσιν ὑμῖν, λαβεῖν ὡς τὸ δόγμα ἐκέλευσε,
τὰς τριάκοντα προλαβόντες ἡμέρας ἀπεστάλκαμεν. τοῦ δὲ αὐτοῦ δόγματος
ἐστὶν, ἢν παράσχωμεν ὑμῖν τὰ ὅμηρα, τὴν Καρχηδόνα ἐλευθέραν ἐᾶν καὶ
αὐτόνομον, κεκτημένην ἃ ἔχομεν. οἱ μὲν δὴ πρέσβεις, τοσαῦτα εἶπον·
Κηνσωρῖνος δ' ἐπαναστὰς, ἀντέλεξεν ὧδε· τὰς μὲν αἰτίας τοῦ πολέμου, τί δεῖ
λέγειν ὑμῖν ὦ Καρχηδόνιοι πρεσβεύσασιν ἐς Ῥώμην ἢ παρὰ τῆς συγ-
κλήτου μαθοῦσιν· ὃ δὲ ἐψεύσασθε περὶ ἡμῶν, τοῦθ' ὑμᾶς ἐλέγξω. ἢ γὰρ
τὸ δόγμα δηλοῖ. καὶ ἡμᾶς ὑμῖν ἀνοικεῖα προτείνομεν τὰ ὅμηρα παρα-
λαμβάνοντες τὰ λοιπὰ τῶν δοξάντων ἐπικηρύσσειν ἐν Ἰτύκῃ. τῶν
μὲν οὖν ὁμήρων, τῆς τε ταχυτῆτος ἢ ἐπιλέξεως, ἐπαινοῦμεν ὑμᾶς. τί δὲ
ὅπλων δεῖ, τοῖς ἀρκυλόγοις καθαρῶς· φέρετε πάντα ὅσα δημόσια τε ἢ ἰδίᾳ
ἕκαστος ἔχει ὑμῶν· βέλη τε καὶ καταπέλτας ἡμῖν παράδοτε. ὁ μὲν οὕτως
εἶπεν· οἱ δὲ πρέσβεις ἔφασαν, ἑτοίμως μὲν ἢ τοῖς δεῖ ὑπακοῦσαι· ἀπορεῖν δὲ,
ὅπως Ἀσδρούβαν ᾧ θάνατον ἐπεκηρύξαν, δύο μυριάδας ἀνδρῶν ἤδη
συναγαγόντα, ἢ αὐτῇ Καρχηδόνι παραστρατοπεδεύοντα ἀμυνοῦνται. ὑπο-
σχόντων δὲ τῶν ὑπάτων, ὅτι Ῥωμαῖοι τούτων ἐπιμελήσονται· οἱ μὲν, ἢ ταῦτα δεύ-
τερον ὑπέσχοντο. καὶ συμπεμφθέντες αὐτοῖς Κορνήλιος τε Σκηπίων ὁ Νασικᾶς
ἢ Γναῖος Κορνήλιος ὁ Ἱσπανὸς ἐπίκλησιν, παρελάμβανον εἴκοσι μυριάδας
πανοπλιῶν καὶ βελῶν ἢ ἀκοντίων πλῆθος ἄπειρον· καὶ καταπέλτας ὀξυβελεῖς
τε καὶ λιθοβόλους, ἐς δισχιλίους· καὶ φερομένων αὐτῶν, ἡ μὲν ὄψις ἦν λαμ-
πρὰ ἢ παράλογος· ἁμαξῶν τοσῶνδε ὑπ' αὐτῶν τῶν πολεμίων ἀγομένων. οἱ δὲ
πρέσβεις εἵποντο αὐτοῖς· ἢ ὅσοι τῆς γερουσίας ἢ τῆς πόλεως ἄριστοι. καὶ ἱερεῖς. καὶ ἄλλοι
ἐπιφανεῖς· ἔμελλον οὖν τοὺς ὑπάτους ἐς οἶκτον προσπεσόντες ἢ ἔλεον ἄξειν· ἀχθέν-
τες δὲ, αὐτῷ κόσμῳ τοῖς ὑπάτοις παρέστησαν· ὁ Κηνσωρῖνος. ἦν γὰρ ἐς τὰ πάντα ἱκανώ-
τερος τοῦ συνάρχου, ἀναστὰς καὶ τότε. καὶ σκυθρωπάσας ἐπὶ πολὺ, ἔλεξεν ὧδε.
τῆς μὲν εὐπειθείας ὑμᾶς Καρχηδόνιοι ἢ προθυμίας τῆς μέχρι νῦν ἔς τε τὰ ὅ-
μηρα ἢ τὰ ὅπλα, ἐπαινοῦμεν· χρὴ δὲ ἐν τοῖς ἀναγκαίοις, βραχυλογεῖν· ὑποστῆ-
σατε γενναίως τὸ λοιπὸν τῆς συγκλήτου κέλευσμα· ἐκστῆτε τῆς Καρχηδόνος ἡμῖν.
καὶ ἀνοικίσασθε ὅπῃ θέλετε τῆς ὑμετέρας ὀγδοήκοντα σταδίους ἀπὸ θαλάσσης.

τὴν δὲ γὰρ ἤδη μὲν ἔγνωσται κατασκάψαι. οἱ δ' ἔτι λέγοντος αὐτοῦ, τὰς χεῖ-
ρας ἐς τὸν οὐρανὸν ἀνέσχον μετὰ βοῆς· καὶ τοὺς θεοὺς ὡς ἠπατημένοι κατεκάλουν·
πολλά τε καὶ δύσφημα Ῥωμαίους ἐβλασφήμουν· ἢ θανατῶντες, ἢ ἔκφρονες
ὄντες, ἢ τοὺς Ῥωμαίους ἐς μίασμα πρέσβεων ἐρεθίζοντες. ἔς τε τὴν γῆν σφᾶς
ἐρρίπτουν· καὶ χερσὶ καὶ κεφαλαῖς αὐτὴν ἔτυπτον. οἱ δὲ, καὶ τὰς ἐσθῆτας περιε-
ρρήγνυντο· καὶ τοῖς σώμασι τοῖς ἑαυτῶν ἐνύβριζον ὡς ὑπὸ ἀγνοίας ἐνηδρευμένοι.
ἐπεὶ δέ ποτε αὐτοῖς ὁ οἶστρος ἐπῆξε, σιωπὴ πολλὴ καὶ κατήφεια ἦν οἷα νεκρῶν κει-
μένων. Ῥωμαῖοι δὲ ἐξεπλήσσοντο. καὶ ὕπατοι, φέρειν αὐτοῖς ἐγνώκεσαν ὡς ἐπὶ
ἀλλοκότῳ κελεύσματι μέχρι παύσαιντο ἀγανακτοῦντες. καλῶς εἰδότες
ὅτι τὰ μέγιστα δεινὰ αὐτίκα μὲν ἐς θρασύτητα ἐκπλήσσει, σὺν χρόνῳ δὲ κατα-
δουλοῖ τὴν τόλμαν ἡ ἀνάγκη. ὃ καὶ τότε ἔπαθον οἱ Καρχηδόνιοι. παρὰ γὰρ τὴν
σιωπὴν ἁπτομένου σφῶν τοῦ κακοῦ μᾶλλον, ἀγανακτεῖν μὲν ἔτι ἐπαύσαντο.
ἀνέκλαιον δὲ καὶ κατεθρήνουν ἑαυτούς τε καὶ παῖδας καὶ γυναῖκας ἐξ ὀνόματος.
καὶ πατρίδα αὐτὴν ὡς ἐν ἀνθρώπου ἀκουούσης λέγοντες οἰκτρὰ καὶ πολλά. οἱ δὲ ἱερεῖς
καὶ τὰ τῶν ἱερῶν ὀνόματα, καὶ τοὺς ἐν αὐτοῖς θεοὺς, ἀνεκάλουν ὡς παροῦσι.
κακὰ γνοῖς προφέροντες τὴν ἀπώλειαν. ἦν τε παμμιγὴς καὶ ἐλεεινὸς
οἶκτος οἰμωζόντων ὁμοῦ τά τε κοινὰ καὶ τὰ ἴδια. μέχρι καὶ Ῥωμαίους αὐτοῖς
ἐπιδακρῦσαι. τοῖς δὲ ὑπάτοις, ἔστη μὲν οἶκτος ἀνθρωπίνης μεταβολῆς. σκυθρω-
ποὶ δὲ ἀνέμενον ἢ τούτων κόρος αὐτοῖς ἐπιγένηται. ὡς δὲ ὀδυρόμενοι ἔληξαν,
αὖθις ἦν σιωπή. καὶ λογιζόμενοι αὐτοῖς δὴ ἀδοντες. ὡς ἡ μὲν πόλις ἐστὶν ἄνοπλος,
ἔρημος, ὀχυροῦ. οὐ καταπέλτην. οὐ βέλος. οὐ ξίφος ἔχουσα. οὐκ ἄνδρας οἰκείους
ἱκανοὺς ἀπομάχεσθαι· πέντε μυριάδων ἄναγχος διεφθαρμένων. ξενικὸν
δὲ οὐδὲν ἔστιν. οὐ φίλος. οὐ σύμμαχος. οὐ καιρὸς ἐς ταῦτα. ἔχουσι δ' αὐτὰ οἱ πο-
λέμιοι. καὶ τὰ τέκνα καὶ τὰ ὅπλα καὶ τὴν χώραν. καὶ περικάθηνται τῷ ἄστει ἐνόπλοι
ναυσὶ καὶ πεζῷ. καὶ μηχανήμασι. καὶ ἵπποις. Μασσανάσσης δὲ ἐχθρὸς
ἕτερος ἐν πλευραῖς, θορυβοῦμεν ἔτι καὶ ἀγανακτήσεως ἐπέσχον, ὡς οὐδὲν
ἐν ταῖς συμφοραῖς ὠφελούντων. ἐς δὲ λόγους αὖθις ἐτράποντο. καὶ Βάννων,
ᾧ ἐπίκλησις Γίλλας ἐπώνυμον ἦν, ἐπιφανέστατος ὢν ἐν τοῖς τότε παροῦσιν, αἰτήσας
ἄφεσιν, ἔλεξεν· εἰ μὲν ἔστι τῶν πρότερον εἰρημένων ἔτι πρὸς ὑμᾶς ὦ
Ῥωμαῖοι λόγος, ὁρῶμεν. οὐχ ὡς δίκαια προφέροντες. οὐ γάρ ἐστιν ἐν καιρῷ
τοῖς ἀτυχοῦσιν ἀντιλογία. ἀλλ' ἵνα μάθητε ὡς οὐκ ἀπροφάσιστός ἐστιν
ὑμῖν ὃ ἡγούμεθα ἐφ' ἡμῖν. οὐδὲ ἄλογος. ἡμεῖς γὰρ Λιβύης ἄρχοντες καὶ θαλάσσης

ὅτι πλείστοις, ἐπὶ ἡγεμόσιν ὑμῖν ἐπολεμήσαμεν· τὰς δὲ ἐσπεισάμεθα ἐπὶ
Σκηπίωνος, ὅτε τὰς ναῦς ὑμῖν παρέδομεν καὶ τοὺς ἐλέφαντας ὅσους εἴχομεν· καὶ
φόρους ἐταξάμεθα δώσειν καὶ δίδομεν ἐν καιρῷ· προσαιδέσθητε θεῶν τῶν τότε ὀμοσ-
μένων, φείσασθε μὲν ἡμῶν· φείσασθε δὲ τῶν Σκηπίωνος ὅρκων· ὀμόσαντος
ἔσεσθαι Ῥωμαίων Καρχηδονίους συμμάχους καὶ φίλους· οὐδὲ ἔστιν ἐν τούτῳ ὅτι
ἡμάρτομεν· οὐ ναῦς ἔχομεν· οὐκ ἐλέφαντας· οὐ τοὺς φόρους ἐκλείπομεν· ἀλλὰ
συνεμαχήσαμεν ὑμῖν, ἐπὶ τρεῖς βασιλέας· μηδὲ τοῦ παραστῆναι καταγι-
νώσκετε, εἰ ταῦτα πρῶτον εἴπομεν ὅτε τὰ ὅπλα ᾔτειτε· αἵ τε γὰρ συμφοραί,
ποιοῦσι μακρολόγους· καὶ ἅμα συνθηκῶν οὐδὲν ἐν ταῖς ἱκεσίαις δυνατώτε-
ρον· οὐδὲ ἔχομεν ἐν οὐδενὶ ἑτέρῳ ἀντιλόγῳ καταφυγήν, οἳ τὴν δύναμιν ὑμῖν
ἅπασαν ἐξέδομεν· τὰ μὲν δὴ πρότερα, τοιαῦτα· ὧν ὁ Σκηπίων ἐστὶν ἡμῖν ὦ Ῥωμαῖοι
βεβαιωτής· τῶν δὲ παρόντων, ὑμεῖς ὦ ὕπατοι δημιουργοὶ καὶ μάρτυρές ἐστε
ἡμῖν· ὅμηρα ᾐτήσατε; καὶ τὰ κράτιστα ἠγάγομεν ὑμῖν· ὅπλα ᾐτήσατε; καὶ
πάντα ἐλάβετε· ὧν οὐδὲ οἱ ληφθέντες ἐν ταῖς πολιορκίαις ἑκόντες μεθίενται·
ἐπιστεύσαμεν δὲ ἡμεῖς, τῷ Ῥωμαίων ἤθει καὶ τρόπῳ· καὶ γὰρ ἡ σύγκλητος ἡμῖν ἐπέστειλε
καὶ ὑμεῖς τὰ ὅμηρα αἰτοῦντες ἔφατε, τὴν Καρχηδόνα αὐτόνομον ἐάσειν εἰ λάβοιτε·
εἰ δὲ προσέκειτο καὶ τὰ λοιπὰ ὑμῶν ἀνέξεσθαι κελευόντων, οὐκ εἰκὸς ἦν ὑμᾶς ἐπὶ
μὲν τοῖς ὁμήροις αἰτήματι φάναι τὴν πόλιν αὐτόνομον ἐάσειν [illegible], ἐν δὲ
προσθήκῃ τῶν ὁμήρων ποιεῖσθαι τὴν Καρχηδόνος αὐτῆς καταστροφήν. εἰ δὲ θέμις
ὑμῖν ἐστὶν ἀνελεῖν, πῶς ἐλευθέραν ἔτι ἀφήσετε, ἢ αὐτόνομον ὡς λέγετε; ταῦτα μὲν
ἔχομεν εἰπεῖν περί τε τῶν προτέρων συνθηκῶν, περί τε τῶν πρὸς ὑμᾶς γενο-
μένων· εἰ δὲ καὶ τούτων οὐκ ἀνέξεσθε, παρίεμεν ἅπαντα· ὃ τοῖς ἀτυχοῦσιν
ἔστι λοιπόν, ὀδυρόμενοι δεόμεθα· πολλὴ δὲ ἡ ἱκεσία, διὰ ἀφθονίαν κακῶν.
ὑπέρ τε γὰρ πόλεως παρακαλοῦμεν, ἀρχαίας· χρησμοῖς καὶ θεῶν συνῳκισμένης,
καὶ ὑπὲρ δόξης, ἐπὶ μέγα προελθούσης· καὶ ὀνόματος, ἐπιφοιτήσαντος ἐπὶ τὴν
γῆν ὅλην· ὑπέρ τε ἱερῶν τῶν ἐν αὐτῇ πολλῶν δὲ καὶ θεῶν, οὐδὲν ἀδικούντων· οἷς μὴ
παννυχίδας ἀφέλησθε καὶ πομπὰς καὶ ἑορτάς· μηδὲ τοῖς τάφοις τὰ ἐναγίσματα,
οὐδὲν ὑμῖν ἔτι τῶν νεκρῶν ἐπιζημίων ὄντων· εἰ δὲ καὶ ἡμῶν ἐστιν ἔλεος, φατὲ
δὲ καὶ ἡμᾶς ἐλεεῖν· οἳ συγχωρεῖτε μετοικίσασθαι, φείσασθε πολιτικῆς ἑστίας·
φείσασθε ἀγορᾶς· φείσασθε βουλαίου θεοῦ· πάντων τε τῶν ἄλλων ὅσα τοῖς ἔτι ζῶσι
τερπνά τι μέλει· τί γὰρ δὴ δέος ἐστὶν ὑμῖν ἔτι Καρχηδόνος, οἳ τὰς ναῦς
ἔχετε ἡμῶν καὶ τὰ ὅπλα, καὶ τοὺς ἐπιφθόνους ἐλέφαντας· περὶ δὲ τῆς ἀνοικίσεως,

εἴ τῳ δοκεῖ τοῦτο ὡς παρηγορεῖν ἡμᾶς ποιεῖσθαι, ἔστι τὸ δὲ ἀμήχανον, ἀνδράσιν
ἐν ἠπείρῳ ἀνοικισθεῖσι θαλασσοβιώτοις· ὧν δι᾿ ἄπειρον πλῆθος ἐργάζεται τὴν θάλασσαν.
δίδομεν δὲ ὑμῖν ἀντίδοσιν, αἱρετώτερον ἡμῖν, καὶ εὐκλεέστερον ὑμῖν· τὴν μὲν πόλιν
ἐᾶτε τὴν οὐδενὸς ὑμῖν αἰτίαν· αὐτοὺς δὲ ἡμᾶς, οὓς ἀνοικίζετε, ἐθέλετε διαχρήσασθαι,
οὕτως ἂν δόξετε χαλεπαίνειν οὐχ ἱεροῖς, θεοῖς καὶ τάφοις· καὶ πόλει μηδὲν ἀδι-
κούσῃ· δόξης δὲ ἀγαθῆς καὶ εὐσεβοῦς ἐφίεσθαι, Ῥωμαῖοι, παρὰ πάντα τὰ ἔργα· καὶ μετριο-
παθεῖν ἐν τοῖς εὐτυχήμασιν ἐπαγγέλλεσθε, καὶ τοῦτο θεοῖς ἂν αἰεὶ λάβοιτε καταλο-
γίζεσθε· μὴ δὴ πρὸς Διὸς καὶ θεῶν, τῶν τε ἄλλων καὶ οἳ Καρχηδόνα ἔτι ἔχουσί τε,
καὶ μή ποτε μνησικακῆσαι ἂν ὑμῖν, μηδὲ παισὶν ὑμετέροις, μὴ ἀγαθὴν δόξαν
ὑμῶν αὐτῶν, ἐν ἡμῖν πρώτοις διαβάλητε· μηδὲ τοσοῦτο δ' ἔργον τὸ δύσκλειον ὑμῶν
καταμιάνητε· χαλεπὸν μὲν ἐργασθῆναι, χαλεπὸν δὲ ἀκουσθῆναι· παρὰ πρώτοις
ὑμῖν δ' ἁπάντων τοῦ βίου γενησόμενον· πόλεμοι γάρ, πολλοὶ μὲν Ἕλλησιν ἐγένοντο
καὶ βαρβάροις· πολλοὶ δὲ ὑμῖν ὦ Ῥωμαῖοι πρὸς ἑτέρους· καὶ οὐδείς πω κατέ-
σκαψε πόλιν· χεῖράς τε πρὸ μάχης καθιεῖσαν, καὶ ὅπλα καὶ τέκνα παραδοῦσαν,
καὶ εἴ τις ἐστὶν ἑτέρα ἀνθρώποις ἄλλη ζημία, καὶ ταύτην παθεῖν ὑπομένουσαν· προφέρον-
τες δ' ὑμῖν ὁρκίους θεούς, καὶ τύχην ἀνθρωπίνην. καὶ τὴν φοβερωτάτην τοῖς εὐ-
τυχοῦσι νέμεσιν, δεόμεθα μήτε ἐς τὴν ὑμετέραν εὐπραξίαν ὑμᾶς ὑβρίσαι,
μήτε τὰς ἡμετέρας συμφορὰς ἐς ἀνήκεστον προαγαγεῖν· συγχωρῆσαι δ' εἰ μὴ δι-
δότε τὴν πόλιν ἔχειν, ἐᾶσαί γε τὴν σύγκλητον ἔτι πρεσβεῦσαι περὶ αὐτῆς δεηθῆναι·
βραχὺ δ' ὁρᾶτε τὸ διάστημα τοῦ χρόνου, βάσανον μὲν ἡμῖν φέρον μακρὰν ἐν ὀ-
λίγῳ, διὰ τὴν τῶν ἐσομένων ἀμφιβολίαν· ὑμῖν δὲ τὸ μὲν ἀσφαλὲς ἴσον, ἢ
νῦν ἢ μετ' ὀλίγον τὰ δοκοῦντα δρᾶν· τὸ δ' εὐσεβὲς καὶ φιλάνθρωπον ἐπιγίνεται.
τοιαῦτα μὲν ὁ Βάννων· οἱ δὲ ὕπατοι, δῆλοι μὲν ἦσαν ἐσκυθρωπακότες
παρὰ πάντα τὸν λόγον, ὅτι μηδὲν ἐνδώσουσιν αὐτοῖς· παυσαμένου δέ, ὁ Κην-
σωρῖνος ἔλεξε· περὶ μὲν ὧν ἡ σύγκλητος προσέταξε, τί δεῖ πολλάκις λέγειν;
προσέταξε γὰρ καὶ χρὴ γενέσθαι· οὐδὲ ἀναθέσθαι δυνάμεθα, τὰ ἤδη κεκηρυγ-
μένα γενέσθαι· ταῦτα δὲ εἰ μὲν ὡς ἐχθροῖς ἐπεκηρύττομεν, ἔδει μόνον εἰπεῖν
ποιεῖν ἀναγκάζειν· ἐπεὶ δὲ ἐπ' ὠφελείᾳ κοινῇ, τάχα μέν τι καὶ ἡμῶν, τὸ δὲ
πλέον ὑμῶν ὦ Καρχηδόνιοι γίγνεται, οὐκ ὀκνήσω καὶ τοὺς λογισμοὺς ὑμῖν εἰπεῖν,
ἐὰν δύνησθε πεισθῆναι μᾶλλον ἢ βιασθῆναι· ἡ θάλασσα ὑμᾶς ἤδη μεμνη-
μένους τῆς ἐν αὐτῇ ποτε ἀρχῆς καὶ δυνάμεως, ἀδικεῖν ἐπαίρει· καὶ ἀπὸ τοῦδε
ἐς συμφορὰς περιφέρει· Σικελίας τε γὰρ διὰ ταύτην ἐπεχειρήσατε, καὶ Σικελίαν

ἀπωλέσατε. εὐτυχεῖ σικελία ἐπιπλεύσατε. οἱ βυζάντιοι ἀφῄρηνται. ἔν τε
ταῖς συνθήκαις ἐγκαλεῖσθε τοῦ ἐμπορίου. καὶ τοῖς ἡμετέροις μάλιστα ἐντυγχά-
νουσί τε κατέσπον τοῦτο. ὥσπερ ἄλλον τινά, ποινὴν ἡμῖν ἔδοτε σαρδώ. οὕτω
σαρδοῦς ἀφῃρέθητε διὰ τὴν θάλασσαν, ἣ πέφυκε παθεῖν ἅπαντας αἰεὶ τοῦ
πλέονος ὀρέγεσθαι, διὰ τὸ ἐν αὐτῇ ταχὺ περιγίγνεσθαι. ὃ ἀθηναίοις ὅτε ἐγένοντο
ναυτικοί, μάλιστα ἦν ἐξοίσθη καθ᾽ ἑλλήνων. οἶκε γὰρ τὰ θαλάσσια, τοῖς ἐμπο-
ρικοῖς κέρδεσιν. ἃ καὶ τὸ αὔξησιν ἔχει καὶ τὸ ἀπώλειαν ἀθρόαν. ἴστε γοῦν
αὐτοῖς ἐκείνοις ὧν ἐπεμνήσθην, ὅτι τὴν ἀρχὴν ἐπὶ τὸν ἰόνιον ἐκτείνοντες ἐς
σικελίαν, οὐ πρὶν ἀπέστησαν τῆς πλεονεξίας, πρὶν τὴν ἀρχὴν ἅπασαν ἀφαι-
ρεθῆναι, ἀλλ᾽ ἡμῶν ἅς καὶ ναῦς παραδοῦναι τοῖς πολεμίοις, καὶ φρουρὰν αὖ
δέξασθαι τῇ πόλει, ἐπὶ τὰ τείχη σφῶν αὐτοὶ τὰ μακρὰ καθελεῖν. καὶ σχεδὸν δὲ
πειρῶνται τότε κακῶς ἐγένοντο. ὃ καὶ δέος ὡς ἐπὶ πλεῖστον αὐτοῖς. ἀσφαλέ-
στερος γὰρ ὦ καρχηδόνιοι ὁ ἐν ἠπείρῳ βίος. γεωργία καὶ ἠρεμία προσπον.
καὶ σμικρότερα μὲν ἴσως τὰ κέρδη. βεβαιότερα δὲ καὶ ἀκινδυνότερα καθά-
παξ τὰ τῆς γεωργίας τῶν ἐμπόρων. ὅλως τέ μοι δοκεῖ, πόλις ἡ μὲν ἐν τῇ θαλάσ-
σῃ, ναῦς τις εἶναι μᾶλλον ἢ γῆ. πολὺν τὸν σάλον πραγμάτων ἔχουσα τὰς μετα-
βολάς. ἡ δὲ ἐν τῷ μεσογείῳ, καρποῦσθαι τὸ ἀκίνδυνον ὡς ἐν γῇ. διὰ τοῦτο παρὰ
τὰ παλαιὰ βασίλεια, ὡς ἐπίπαν ἦν ἐν μέσῳ. καὶ ἀπὸ τοῦδε μέγιστα ἐγένοντο.
τὸ μήδων ἀσσυρίων περσῶν. καὶ ἑτέρων. ἀλλὰ βασιλικῶν μὲν ὑποδειγμάτων
παύομαι. οὐδὲν ὑμῖν ἔτι διαφερόντων. ἐς δὲ τὴν ὑμετέραν λιβύην ἀπίδετε.
ὧν ἧς ἂν ἐθέλητε γείτονες ἔσεσθε. ἵνα τὸ ἐρεθίζουσαν ὑμᾶς ὄψιν τε μηκέτι
ἀφῆτε τῶν γειτόνων ὀχλούντων κακῶν, ὅταν ἐν τῇ θαλάσσῃ κενῶν σκαφῶν ἀφο-
ρῶντες ἀναμιμνήσκεσθε τοῦ πλήθους ὧν εἴχετε νεῶν. καὶ λαφύρων ὅσων ἐφέ-
ρετε. καὶ ἐν οἷς γε τοὺς λιμένας κατήγεσθε σοβαροί. καὶ τὰ νεώρια τὰ τῶν
σκαφῶν ταμεῖα ἐπιπίμπλατε. τί δὲ αἱ ἐν τοῖς τείχεσιν ὑποδοχαὶ στρατοπέ-
δων τε ἵππων καὶ ἐλεφάντων. τί δὲ θησαυροὶ τούτοις προῳκοδομημένοι.
τί ταῦτα. μνημεῖα ὑμῖν ἐστιν, ἢ τί ἄλλο, πλὴν ὀδύνη. ἐρεθίσματα ἐπιθυμιῶν
ἐς αὐτὰ ἀποτελοῦνται. πάθος ἐστὶν ἀνθρώπειον, τοῖς μεμνημένοις τῆς
ποτὲ τύχης, ἐπιζητεῖν τὴν τύχην ἐπανελθεῖν. φάρμακον δὲ κακῶν ἀκε-
στήριον, λήθη. ἧς οὐκ ἔνι μεταλαχεῖν ὑμῖν, ἢν μὴ τὴν ὄψιν ἀποθῆσθε. καὶ
τοῦ σαφέστατος ἔλεγχος, ὅτι πολλάκις συγγνώμης ἐν συνθήκαις τυχόντες,
παρεσπονδήκατε. ἡμῶν οὖν ἔτι τῆς ἀρχῆς ἐφίεσθε. καὶ διὰ μὲν αἰτίας ἡμῖν

ὥσπερ ἀφῃρημένοι. καὶ καιροφυλακεῖτε, διὰ τῆς δὲ τῆς πόλεως ὑμῖν, ἀλιμένων
τοιῶνδε ἐγγωρεῖ. ἐπιτυχὼν ἐν στρατοπέδῳ, τὸ πρότερον εἰργασμένων. καὶ τί ἔτι φοβοῦ-
μεθα ἐχθρῶν ἠλιθιωμένων. ἣ δὲ τῆς μὲν ἀρχῆς ἀπέστητε καθαρῶς οὐ λόγῳ μᾶλλον
ἢ γνώμῃ. μόνα δὲ ἐξηρῆσθαι λιβύης ἃ ἔχετε. ἐπὶ δὲ ἀπροφασίστως συνέσεσθε
ἡμῖν, φέρετε καὶ ἔργῳ ταῦτα ἐπιδείξατε. ἐν μὲν λιβύῃ, ἣν νῦν ἔχετε ἀνοικισά-
μενοι. τῆς δὲ θαλάσσης ἐκστάντες ἧς ἀπέστητε. μὴ δὲ ὑποκρίνεσθαι ἐλεηθῆναι διὰ
ἔστι καὶ ἀγορὰς καὶ τάφους. ὧν τάφοι μὲν ἔστων ἀκίνητοι. ἐπειδὰν ἐγγίζετε αὐτοῖς
ἀπερχόμενοι. καὶ τοῖς ἱεροῖς φανερῶς θύετε ἐπιόντες. τὰ δὲ λοιπὰ καθέλωμεν.
οὐ γὰρ καινοτομίοις ... οὐδὲ ἐναντίζετε τείχεσιν. ἔστι δὲ ἱερὰ ἄλλα ἀγοράς,
ἐν ἐμμετελθοῦντας ἐργάσασθαι. καὶ ταχὺ κἀκεῖνα ὑμῖν ἔσται πάτρια. ὧ γνῶ καὶ
τὰ ἐν τύρῳ καταλιπόντες, ἠλλάξασθε λιβύην. τά τε ἐπίκτητα ὑμῖν τότε
γενόμενα, νῦν πάτρια τίθεσθε. βραχύ τε λέγω, μάθοιτε ἂν ὡς οὐχ ὑπόδικοι μένει.
ἀλλ᾽ ἐπὶ βεβαιοτέρᾳ ὁμονοίᾳ, καὶ ἀμεριμνίᾳ κοινῇ τάδε προστάσσομεν. ἐνθυ-
μηθῆτε ὅτι καὶ ἀλβὴν ἡμᾶς οὐκ ἐχθρὰν ἀλλὰ μητρόπολιν οὖσαν, οὐδὲ λό-
μενοι ὄντες, ἀλλὰ ἄποικοι προτιμῶντες, ἐπὶ σύμφορον τι κοινῷ μετοικί-
σασθαι ἐν ῥώμῃ, καὶ ἐπὶ τῇ σωτηρίᾳ ἀμφοτέροις. ἀλλ᾽ ἔτι γὰρ ὑμῖν ἔτι χειρῶ-
νακτῶν πολλοὶ θαλασσόβιοι, ἐπεὶ σῶφρον τι κἀμοί, ὡς πάνυ δ᾽ ὀκνῶ ἐπιμίγνυ-
σθαι τῇ θαλάσσῃ. ἐπὶ τῶν ὡραίων διάθεσίν τε καὶ ἀντίληψιν ἔχοιτε ἂν μᾶλλον. οὐ γὰρ μακρὰν
ὑμᾶς ἀπὸ θαλάσσης. ἀλλ᾽ ὀγδοήκοντα σταδίους ἀναδραμεῖν κελεύομεν. ἡμεῖς δ᾽ οἱ ταῦτα
προστάσσοντες ὑμῖν, ἑκατὸν τῆς θαλάσσης ἀπέχομεν. χωρίον δὲ ὑμῖν δίδομεν, ὃ
ἂν ἔχητε ἐπιλέξασθαι. ἐς μετελθοῦσιν, αὐτονόμοις εἶναι. τοῦτο δ᾽ ἐστὶν ὃ προὐλέγομεν,
αὐτονόμους ἐάσειν καρχηδόνα εἰ πείθοιτο ἡμῖν. καρχηδόνα γὰρ, ὑμᾶς οὔποτε ἔδαφος
ἡγούμεθα. τοσαῦτα εἰπὼν ὁ κηνσωρῖνος, ἐσίγησε. καὶ τῶν καρχηδονίων ὑπ᾽ ἐκπλή-
ξεως οὐδένα ἀποκριναμένων, ἐπεῖπεν. ἃ μὲν ἔδει πάθοντας παρηγορεῖν ταῦτ᾽ ἐστὶν,
εἴρηται. τὸ δὲ πρόσταγμα τῆς βουλῆς, δεῖ γενέσθαι. ἐπεὶ αὐτίκα γενέσθαι. ἄπιτε οὖν
ἔτι γὰρ ἔστε πρέσβεις. ὁ μὲν ὧδε εἶπεν οὕτως. οἱ δὲ ἐξωθούμενοι πρὸς τῶν ὑπηρετῶν.
καὶ τὸ μέλλον ὑπὸ καρχηδονίοις ἔσεσθαι προορῶντες, ἠξίουν αὖθις εἰσιέναι. καὶ
εἰσαχθέντες, ἔφασαν. τὸ μὲν ἀπαραίτητον τοῦ κελεύσματος ὁρῶμεν. οὐ γὰρ
οὐδὲ πρέσβεις δοῦναι δίδοτε ἐν ῥώμῃ. ἡμᾶς δὲ ἀπελάσεσθαι πρὸς ὑμᾶς οὐκ
ἐλπίζομεν. ἀλλ᾽ ὑπὸ καρχηδονίων ἔτι λέγοντες ἀπολεῖσθαι. δεόμεθα δ᾽ ὑμῶν, οὐχ
ὑπὲρ ἑαυτῶν. ἡμεῖς μὲν γὰρ πάντα παθεῖν ἕτοιμοι. ἀλλ᾽ ὑπὲρ αὐτῆς ἔτι καρχη-
δόνος. ἣ δύναιτο καταπλαγεῖσα τὰς συμφορὰς ὑποστῆναι, πρίν ποτε αὐτῇ

τὰς ναῦς, ὡς ὁ Μέντωρ ἀπ' ἐμοῦ· ἵνα μὴ ἀκούοντες μὴ θεωροῦντες ὧν προσ-
τάξατε, ἐν ἐγκώσι γῆν ἀραδεύωσι. ἐν τούτῳ δὴ μὲν ἀνάγκης ἀφῖκται καὶ
τύχης· ὡς αὐτοὶ παρακαλῆ ὑμᾶς, τὰς ναῦς ἐπάγειν ἐπὶ τὴν πατρίδα. οἱ μὲν δὴ
τοσαῦτα εἰπόντες, ἀπῄεσαν· μὴ ἐκκηρυσσομένην πεντήρεσιν εἴκοσι προεπλάσαν,
ἀνεκώχευε παρὰ τὴν πόλιν. ὧν δὲ πρέσβεων, οἱ μὲν ἐκ τῆς ὁδοῦ διεδίδρασκον·
οἱ δὲ πλέονες ἐπορεύοντο σιγῇ. Καρχηδόνιοι δέ, οἱ μὲν ἀπὸ τῶν τειχῶν ἐς τοὺς
πρέσβεις ὁπότε ἐκ ξόων ἀφώρων, βραδυνόντων αὐτοῖς ἤχθοντο· τὰς κόμας
ἔτιλλοντο. οἱ δ' ὑπαντῶντες ἐπυνθάνοντο· οὐκ ἀναμένοντες ἀλλ' ἐπειγόμενοι
μαθεῖν· σκυθρωποὺς δὲ ὁρῶντες, ἔτυπτον τὰ μέτωπα· καὶ διηρώτων οἱ μὲν ὁμοῦ πάντας·
οἱ δὲ καθ' ἕκαστον ὡς εἶχεν ἕκαστος τις φιλίας ἢ γνώσεως ἐν αὐτοῖς, ἐπιστρέφοντες καὶ πυν-
θανόμενοι. ὡς δ' οὐδεὶς ἀπεκρίνετο, ἀνῴμωζον ὡς ἐπ' ὀλέθρῳ σαφεῖ· καὶ οἱ
ἐπὶ τῶν τειχῶν ἀκούοντες, συνῴμωζον αὐτοῖς· οὐκ εἰδότες μὲν οὐδέν· ὡς δ'
ἐπὶ σαφεῖ μεγάλῳ κακῷ. περὶ δὲ τὰς πύλας, ὀλίγου μὲν αὐτοὺς συνεπάτησαν
ἐπιπίπτοντες ἀθρόοι· ὀλίγου δὲ διεσπάσαντο· ἡ μὴ τὸ σιγᾶν δὲ ἔφασαν· ὅτι χρὴ
τὴν γερουσίαν πρότερον ἐντυχεῖν. τότε γὰρ οἱ μὲν διίσταντο αὐτοῖς· οἱ δὲ συνεπο-
ρεύοντο ἐπιθυμίᾳ τοῦ θᾶττον μαθεῖν. ὡς δ' ἐς τὸ βουλευτήριον ἐσῆλθον, ἡ
μὲν γερουσία, τοὺς ἄλλους μετεστήσατο· καὶ μόνοι συνήδρευον ἐφ' αὑτῶν. τὸ δὲ
πλῆθος, ἔξω περιειστήκεσαν. οἱ δὲ πρέσβεις ἀπήγγελλον πρῶτα μὲν τὸ κέ-
λευσμα τῶν ὑπάτων· καὶ εὐθὺς ἦν βοὴ τῆς γερουσίας· καὶ ὁ δῆμος ἔξω συνεβόα.
ὡς δ' ἐπῆγον οἱ πρέσβεις ὅσα ἀντέλεξαν δικαιολογούμενοι καὶ δεόμενοι
καὶ ἐς Ῥώμην πρεσβεύσασθαι παραιτούμενοι, αὖθις ἦν τῆς γερουσίας σιγὴ βαθεῖα,
τὸ τέλος μαθεῖν περιμενούσης· καὶ ὁ δῆμος αὐτῇ συνεσιώπα. ὡς δ' ἔμαθον
ὅτι μηδὲ πρεσβεύειν ἐπέτρεψαν, ἠλάλαξαν βαρὺ καὶ ὀδυρόμενοι· καὶ ὁ
δῆμος ἐσέδραμεν ἐς αὐτούς· καὶ ἀπὸ τοῦδε ἦν οἶστρος ἄλογος καὶ μανιώδης·
οἷον ἐν τοῖς βακχείοις ἐπιθειάζουσι τὰς μαινάδας ἀλλόκοτα καινουργεῖν·
οἱ μὲν τῶν βουλευτῶν τοὺς περὶ τῶν ὁμήρων ἐσηγησαμένους, ὡς ἐξάρχους
τῆς ὑπερβάσεως ᾐκίζοντο καὶ διέσπων· οἱ δὲ τοὺς συμβουλεύσαντας περὶ τῶν
ὅπλων. οἱ δὲ τοὺς πρέσβεις κατέλευον ὡς κακῶν ἀγγέλους. οἱ δὲ περιέ-
συρον ἀνὰ τὴν πόλιν. ἕτεροι δέ, τοῖς Ἰταλοῖς οἳ ἔτι παρ' αὐτοῖς ὡς ἐν αἰφνι-
δίῳ ἀκρίτῳ κακῷ ἦσαν, ἐλυμαίνοντο ποικίλως· ἐπιλέγοντες τῶν ὁμήρ-
ων καὶ ὅπλων καὶ ἀπάτης ἀμύνεσθαι· οἱ μὲν γὰρ ἐτέλουν τῆς ὀργῆς· ἡ δὲ σύμ-
πασα καὶ ἀπλήστου ἡ πόλις ἀνεπέπληστο. καὶ ἐν ταῖς ὁδοῖς ἀνεκαλοῦντο τὰ

φίλτατα· ἔς τε ἱερὰ ὡς ἐς ἄσυλα κατέφευγον· τοῖς θεοῖς ὀνειδίζοντες
ὡς οὐδ' ἑαυτοῖς ἐπικουρῆσαι δυναμένοις. ἕτεροι δὲ ἐς τὰς
ὁπλοθήκας ἰόντες, ἔκλαιον ὁρῶντες κενάς. οἱ δ' ἐς τὰ νεώρια κατα-
θέοντες, ὠδύροντο τὰς ναῦς, ὡς ἀπίστοις ἀνδράσιν ἐκδεδομένας. ἐλέφαντας ὀνο-
μαστί τινες τῶν ἐλεφάντων ἀνεκάλουν ὡς ἔτι παρόντων. τούς τε προγόνους
καὶ σφᾶς αὐτοὺς ἐλοιδόρουν, ὡς δέον μήτε ἐλέφαντας μήτε ναῦς, μήτε φόρους,
μήτε τὰ ὅπλα παραδόντας ἀποθανεῖν σὺν τῇ πατρίδι ὡπλισμένῃ. μάλιστα
δ' αὐτοῖς ἐς ὀργὴν ἀνέκαιον, αἱ μητέρες αἱ τῶν ὁμήρων· οἷα τινες ἐκ τραγῳδίας
Ἐρινύες, ἐντυγχάνουσαι μετ' ὀλολυγῆς ἑκάστῳ· τήν τε ἔκδοσιν τῶν παίδων
προφέρουσαι· καὶ τὴν ἑαυτῶν ἀπόρρησιν. ἐπεγέλων δ' αὐτοῖς, ὡς θεῶν ἀμυνο-
μένων αὐτοὺς ἀντὶ τῶν παίδων. ὀλίγον δ' ὅσον ἐσωφρόνει, τὰς πύλας ἀπέκλει·
καὶ τὸ τῶν χερσὶ λίθων ἀντὶ καταπελτῶν ἐπλήρου. ἡ δὲ βουλή, πολεμεῖν μὲν
ἐψηφίσατο αὐτῆς ἡμέρας· τοῖς δούλοις ἐκήρυξεν ἐλευθέροις εἶναι. στρατη-
γοὺς δ' εἵλοντο, τῶν μὲν ἔξω πράξεων Ἀσδρούβαν· ὃν θανάτου ἐπικεκήρυκτο
ἦν· ἔχοντα δισμυρίων ἤδη σύνοδον ἀνδρῶν. καί τις ἐξέτρεχεν αὐτοῦ δεησόμενος,
μὴ μνησικακῆσαι τῇ πατρίδι ἐν ἐσχάτῳ κινδύνων· μηδ' ὧν ὑπ' ἀνάγκης
ἠδίκηται, Ῥωμαίοις δέει, νῦν ἀναφέρειν. ἐντὸς δὲ τειχῶν, ᾑρέθη στρατηγὸς ἕτερος
Ἀσδρούβας θυγατριδοῦς Μασσανάσσου. ἔπεμπον δὲ καὶ ἐς τοὺς ὑπάτους, αἰτοῦν-
τες αὖθις ἡμερῶν τριάκοντα ἀνοχάς· ἵνα πρεσβεύσωνται ἐς Ῥώμην. ἀποτυχόντ-
ες δὲ καὶ τότε, ἐπὶ θαυμαστῆς ἐγίγνοντο μεταβολῆς τε καὶ τόλμης· ὁτιοῦν παθεῖν
μᾶλλον, ἢ τὴν πόλιν ἐκλιπεῖν. ταχὺ δὲ ἀθρόως ἐκ τῆς μεταβολῆς ἐπίμπλαντο.
καὶ δημιουργεῖα μὲν τὰ δημόσια τεμένη καὶ ἱερὰ πάντα. καὶ εἴ τι ἄλλο εὐρυ-
χωρὲς ἦν, ἐγένετο. εἰργάζοντο δ' ὁμοῦ ἄνδρες τε καὶ γυναῖκες, ἡμέρας τε καὶ
νυκτός, μηδ' ἀναπαυόμενοι· καὶ σιτούμενοι πρὸς μέρος ἐπὶ ὡρισμένῳ.
θυρεοὺς ἑκατὸν ἡμέρας ἑκάστης· καὶ ξίφη τριακόσια· καὶ καταπελτικὰ βέλη χίλια·
σαυνία δὲ καὶ λόγχας πεντακοσίας· καὶ καταπέλτας ὅσους δύναιντο. ἐς δὲ τὰς
ἐπιτάσεις αὐτῶν, ἀπέκειραν τὰς γυναῖκας, τριχῶν ἑτέρων ἀπορίᾳ. οἱ μὲν
ἐν τούτῳ σπουδῆς καὶ παρασκευῆς ἦσαν. οἱ δ' ὕπατοι, τάχα μέν τι καὶ ὄκνῳ,
μὴ ἀθίς ἐπιχειρεῖν ἔργῳ ἀλλοκότῳ· ἅμα δὲ τὴν πόλιν ἄνοπλον οὖσαν
λήψεσθαι κατὰ κράτος ὅτε θελήσειαν ἡγούμενοι, διέμενον ἔτι. καὶ ἐνδώσειν
αὐτοῖς ὑπονοοῦντες ἐκ τῆς ἀπορίας· οἷον ἐν ταῖς δυσχερείαις γίγνεσθαι φιλεῖ·
ἀθίς μὲν ἀντιλέγειν· προϊόντος δὲ χρόνου καὶ λογισμοῦ, φοβούμενα πείθεσθαι

τῶν ἀπειθούντων καὶ τῶν Καρχηδονίων τις αὐτῶν· εἰκάσας σφῶν τὴν διάνοιαν τὸ δέος
ἀπέτρεψε, τολμήσας ὥσπερ ἐπειδή τι ἄλλο παρελθὼν ἐς τὸ μέσον εἶπεν, ὅτι
χρὴ τῶν κακῶν ἐπιλέγεσθαι τὰ μετριώτερα, οὐ τὰς ἀνωφελεῖς· οὕτω σαφῶς
εἰπόντα τὴν γνώμην. Μασσανάσσης δὲ ἤχθετο Ῥωμαίοις, καὶ ἔφερε βαρέως,
ὅτι τὴν Καρχηδόνα δυνάμενος αὐτὸς ἐς γόνυ βαλών, ἄλλοις ἑώρα τὴν ἐπιγράμ-
ματι αὐτῆς ἐπιτρέχοντάς τε καὶ οὐ κοινώσαντας αὐτῷ πρὶν ἐπελθεῖν, ὡς ἐν
τοῖς πάλαι πολέμοις ἐποίουν. ὅμως δ' αὖ τοῦ τῶν ὑπάτων ἀποπειρωμένου καὶ
καλούντων ἐπὶ συμμαχίαν, ἔφη τὴν συμμαχίαν πέμψειν, ὅταν αἴσθηται δεομένων.
καὶ μετ' οὐ πολὺ πέμψας ἤρετο εἴ τινος ἤδη δέονται. οἱ δέ, οὐ φέροντες αὐτοῦ
τὸ σοβαρόν, ἤδη δέ τι καὶ ἀπιστοῦντες ὡς ἤδη μηνίοντι, ἀπεκρίναντο προ-
πέμψαι ὅτε δεηθεῖεν. τὰ δὲ ἀγορᾶς τῷ στρατῷ καὶ πάνυ ἐφρόντιζον. ἐκ
μόνης ἔχοντες Ἀδρυμητοῦ καὶ Λέπτεως καὶ Θάψου καὶ Ἰτύκης καὶ Χόλλης. τὰ
γὰρ δὴ λοιπὰ Λιβύης ἦν ἔτι πάντα ὑπὸ Ἀσδρούβᾳ. ὅθεν ἐκεῖνος ἀγορὰν ἐς Καρ-
χηδόνα ἔπεμπεν. ὀλίγων δὲ ἐς ταῦτα διατριφθεισῶν ἡμερῶν, οἱ μὲν ὕπατοι προ-
σῄεσαν ἀμφότεροι τῇ πόλει τῶν Καρχηδονίων, ἐς μάχην ἐσκευασμένοι· καὶ ἐπεχείρουν.
θέσις Καρχηδόνος ἦν δὲ ἡ πόλις ἐν μυχῷ κόλπου μεγίστου, χερρονήσῳ τι μάλιστα προσεοικυῖα.
αὐχὴν γὰρ αὐτὴν ἀπὸ τῆς ἠπείρου διεῖργεν, εὖρος ὢν πέντε καὶ εἴκοσι σταδίων.
ἀπὸ δὲ τοῦ αὐχένος, ταινία στενὴ καὶ ἐπιμήκης, ἡμισταδίου μάλιστα τὸ πλάτος,
ἐπὶ δυσμὰς ἐχώρει, μέση λίμνης τε καὶ τῆς θαλάσσης, ἁπλῷ τείχει περὶ κρημνοὺς
ὄντα. τὰ δὲ πρὸς μεσημβρίαν ἐς ἤπειρον, ἔνθα καὶ ἡ Βύρσα ἦν ἐπὶ τοῦ αὐ-
χένος, τριπλῷ τείχει. τούτων δὲ ἕκαστον ἦν, ὕψος μὲν πηχῶν τριάκοντα, χωρὶς
ἐπάλξεών τε καὶ πύργων. οἳ ἐκ διπλέθρου διαστήματος αὐτοῖς τετρώροφοι
περιέκειντο. βάθος δὲ ποδῶν τριάκοντα. διώροφον δ' ἦν ἑκάστου τείχους τὸ
ὕψος. καὶ ἐν αὐτῷ κοίλῳ τε ὄντι καὶ στεγανῷ, κάτω μὲν ἐσταθμεύοντο ἐλέφαντες
τριακόσιοι. καὶ θησαυροὶ παρέκειντο αὐτοῖς τῶν τροφῶν. ἱπποστάσια δ' ὑπὲρ
αὐτοὺς ἦν τετρακισχιλίοις ἵπποις· καὶ ταμιεῖα χιλοῦ τε καὶ κριθῆς. ἀνδράσι
τε καταγωγαί, πεζοῖς μὲν ἐς δισμυρίους. ἱππεῦσι δὲ ἐς τετρακισχιλίους.
τοσήδε παρασκευὴ πολέμου διετέτακτο σταθμεύειν ἐν τοῖς τείχεσι μόνοις.
γωνία δ' ἡ παρὰ τὴν γλῶσσαν ἐκ τοῦδε τοῦ τείχους ἐπὶ τοὺς λιμένας περιέ-
καμπτεν, ἀσθενὴς ἦν μόνη καὶ ταπεινή, καὶ ἠμέλητο ἐξ ἀρχῆς. οἱ δὲ λιμένες
ἐς ἀλλήλους διέπλεον. καὶ ὁ ἔσπλους ἐκ πελάγους ἐς αὐτοὺς ἦν εἷς, εὖρος
ποδῶν ἑβδομήκοντα· ὃν ἁλύσεσιν ἀπέκλειον σιδηραῖς. ὁ μὲν δὴ πρῶτος,

ἐμπόροις ἀνεῖτο. καὶ πείσματα ἦν ἐν αὐτῷ πυκνὰ καὶ ποικίλα. τοῦ δ' ἐντὸς
ἐν μέσῳ νῆσος ἦν. καὶ κρηπῖσι μεγάλαις ἥ τε νῆσος καὶ ὁ λιμὴν διείληπτο.
νεωρίων τε ἔγεμον αἱ κρηπῖδες αἵδε, ἐς ναῦς διακοσίας καὶ εἴκοσι πεποιημένων
καὶ ταμιείων ἐπὶ τοῖς νεωρίοις ἐς τριηρικὰ σκεύη. κίονες δὲ ἑκάστου
νεωσοίκου προὔχον ἰωνικοὶ δύο, ἐς εἰκόνα στοᾶς τὴν ὄψιν τοῦ τε λιμένος καὶ τῆς νήσου
περιφέροντες. ἐπὶ δὲ τῆς νήσου, σκηνὴ πεποίητο ναυάρχῳ. ὅθεν ἔδει καὶ τὸν
σαλπικτὴν σημαίνειν, καὶ τὸν κήρυκα προλέγειν, καὶ τὸν ναύαρχον ἐφορᾶν. ἔκειτο
δ' ἡ νῆσος κατὰ τὸν ἔσπλουν. καὶ ἀνετέτατο ἰσχυρῶς, ἵνα ὅ τε ναύαρχος τὰ
ἐκ πελάγους πάντα ἐφορᾷ, καὶ τοῖς ἐπιπλέουσιν ἀφανὴς ἡ τῶν ἔνδον ἦν ὄψις ἡ ἀ-
κριβής. οὐ μὴν οὐδὲ τοῖς ἐσπλεύσασιν ἐμπόροις εὐθὺς ἦν τὰ νεώρια εὐσύνοπτα.
τεῖχός τε γὰρ αὐτοῖς διπλοῦν περιέκειτο. καὶ πύλαι τοὺς ἐμπόρους ἀπὸ τοῦ
πρώτου λιμένος ἐς τὴν πόλιν ἐσέφερον, οὐ διερχομένους τὰ νεώρια. οὕτω μὲν
εἶχεν ἡ πόλις ἡ Καρχηδονίων τότε. οἱ δ' ὕπατοι διελόμενοι τὸ ἔργον, ᾔεσαν ἐπὶ
τοὺς πολεμίους. Μανίλιος μὲν ἀπὸ τῆς ἠπείρου κατὰ τὸν αὐχένα, ἐγχώσων
τε τὴν τάφρον, καὶ βραχὺ ἐπιτείχισμα τὸ ἐπ' αὐτῇ βιασόμενος καὶ ἐπ' ἐκείνῳ, τὰ
ὑψηλὰ τείχη. Κηνσωρῖνος δέ, κλίμακας ἔκ τε γῆς καὶ νεῶν ἐπέφερε κατὰ τὴν εὐτελῆ
τοῦ τείχους γωνίαν, ἀμφότεροι ὡς ἀνόπλων καταφρονοῦντες. ὡς δ' ἐντυχόντες ὅπλοις τε
καινοῖς καὶ ἀνδρῶν προθυμίᾳ παραλόγῳ, κατεπλάγησαν καὶ ἀπεχώρουν. καὶ δὴ
αὐτοῖς τοῦτο πρῶτον ἀντεκεκρούκει ἐπιβᾶσιν ἀμαχεὶ λήψεσθαι τὴν πόλιν. ὡς
δὲ καὶ αὖθις ἐπεχείρουν καὶ αὖθις ἀπετύγχανον, τὰ μὲν τῶν Καρχηδονίων φρονή-
ματα ἐπῇρτο. οἱ δ' ὕπατοι δεδιότες Ἀσδρούβαν, ὄπισθεν σφῶν ὑπὲρ τὴν λίμνην
οὐκ ἐκ μακροῦ διαστήματος ἐστρατοπεδευμένον, ὠχύρουν καὶ αὐτοὶ δύο στρατό-
πεδα. Κηνσωρῖνος μὲν ἐπὶ τῆς λίμνης ὑπὸ τοῖς τείχεσι τῶν πολεμίων. Μανίλιος
δ' ἐν τῷ αὐχένι τῆς ἐς τὴν ἤπειρον ὁδοῦ. ὡς δὲ αὐτοῖς ἐγήγερτο τὰ στρατόπεδα,
ὁ μὲν Κηνσωρῖνος ἐπὶ ὕλην ἐς μηχανὰς διέπλευσε διὰ τῆς λίμνης. καὶ ἀπέβαλεν
ὑλοτόμους ἐς πεντακοσίους ἄνδρας, ὅπλα τε πολλά. καὶ Μέλκωνος ἀφνίδιον
αὐτῷ τοῦ Καρχηδονίου ἱππάρχου προσπεσόντος, ὃν Φαμαίαν ἐπώνυμον ἦν.
κομίσας δ' ὅμως τινὰ ὕλην, μηχανὰς ἐποίησε καὶ κλίμακας. καὶ πάλιν
ἐπεχείρουν ἀμφότεροι τῇ πόλει. καὶ ἀπετύγχανον ὁμοίως. Μανίλιος μὲν οὖν
μικρὸν ἔτι προσκάμνων, καὶ μόλις τι τοῦ προτειχίσματος καταβαλών,
ἀπέγνω μὴ δεῖν ἐπιχειρεῖν ἔτι ταύτῃ. Κηνσωρῖνος δὲ χώσας τι τῆς
λίμνης παρὰ τὴν ταινίαν, ἵνα εὐρυτέρα ᾖ, δύο μηχανὰς κριοφόρους

ἐπῆγε μεγάλας· τὸ μέν, ὡς ἐθελοντὴν ἑξακισχιλίοις πεζοῖς, ἡγουμένων τῶν χιλι-
άρχων· τὴν δέ, ὑπὸ τῶν στρατιωτῶν ἡγουμένων ναυάρχων· φιλονεικίας δ' ὡς ἐν
ἴσῳ ὁμοίῳ ἔργῳ τοῖς τε ὑπάρχουσι καὶ τοῖς ἄρχουσι γενομένης, συνέπεσε
τοῦ τάχους· καὶ τὰ πίπτοντα ἤδη κατεφαίνετο· Καρχηδόνιοι δὲ καὶ ὣς αὐτοὺς ἀπω-
σάμενοι, τὰ πεσόντα νυκτὸς ᾠκοδόμουν· οὐκ ἀρκούσης δ' ἐς τὸ ἔργον αὐτοῖς τῆς
νυκτός, δεδιότες περὶ τῶν ἤδη γεγονότων, μὴ καὶ τοῦτο μεθ' ἡμέραν αἱ Ῥωμαίων μηχαναὶ
νεότακτον καὶ ὑγρὸν ἔτι καταβάλοιεν, ἐξέδραμον ἐπὶ τὰ μηχανήματα τῶν πο-
λεμίων· οἱ μὲν σὺν ὅπλοις· οἱ δὲ γυμνοί, λαμπάδας ἡμμένας ἔχοντες· καὶ ἐνέπρη-
σαν μὲν οὐχ ὅλα· οὐ γὰρ ἔφθασαν Ῥωμαῖοι ἐπιδραμεῖν· ἀχρεῖα δ' ὅλα ποιήσαντες, ἀνε-
χώρουν· ἅμα δ' ἡμέρᾳ, Ῥωμαίοις ἐπέπεσεν ὁρμὴ διὰ τοῦ πεσόντος οὔπω τῆς
ἐγηγερμένου, βιάσασθαι καὶ ἐσδραμεῖν· καὶ γάρ τι πεδίον αὐτόθι ἐφαίνετο ἀφυὲς
ἐς μάχην· ἐν ᾧ τοὺς ἐνόπλους ἔστησαν οἱ Καρχηδόνιοι κατὰ μέτωπον· τοὺς δ'
ἀνόπλους αὐτοῖς ἐπέταξαν σὺν λίθοις ὄπισθεν καὶ ξύλοις· ἑτέρους τε πολλοὺς
διαθέντες ἐπὶ τῶν περικειμένων οἰκιῶν, ἀνέμενον τοὺς ἐπερχομένους
ἐσδραμεῖν· οἱ δέ τι μᾶλλον ἠρεθίζοντο, ὡς ὑπὸ γυμνῶν ἀνδρῶν καταφρο-
νούμενοι, καὶ θρασέως ἐπεπήδων· Σκιπίων δέ, ὃς μετ' ὀλίγον εἷλε Καρ-
χηδόνα, καὶ ἀπὸ τοῦδε Ἀφρικανὸς ἐπεκλήθη, χιλιαρχῶν τότε, συνῆγε καὶ
τοὺς ἑαυτοῦ λόχους ἐν πολλῷ διαλείπων, καὶ στήσας ἐκ διαστήματος ἐπὶ τοῦ
τειχίου, κατιέναι μὲν ἐς τὴν πόλιν οὐκ εἴα· τοὺς δὲ ἐσελθόντας, ἐξωθου-
μένους ὑπὸ τῶν Καρχηδονίων, πάντοθεν αὐτοῖς ἐπιπεσόντων, ὑπεδέχετο
καὶ περιέσωζε· καὶ τοῦτο πρῶτον αὐτὸν ἐπὶ δόξης ἐποίησεν, εὐβουλότερον τοῦ
στρατηγοῦ φανέντα· Κηνσωρῖνος δ' ἦν ἐπὶ στόλῳ· καὶ τὸ Κηνσωρίνου στρατόπεδον
σταθμὸν ἐπὶ λίμνῃ σταθεροῦ καὶ βαρέος ὕδατος· καὶ ὑπὸ τοῖς τείχεσι μεγίστοις,
οὐ καταπνεόμενον ἐκ τῆς θαλάσσης· ὅθεν ὁ Κηνσωρῖνος ἐς τὴν θάλασσαν ἀπὸ
τῆς λίμνης μετεστρατοπέδευσε· καὶ οἱ Καρχηδόνιοι ὅτε γίγνοιτο πνεῦμα ἐς
τοὺς Ῥωμαίους ἐπίφορον, σκάφας φρυγάνων καὶ στυππίου ἐμπλήσαντες ὑπὸ τοῖς τεί-
χεσιν, οὐ καθορώμενοι τοῖς πολεμίοις ἀπὸ κάλων· ᾗ δ' ἐπὶ κάλω τοῦ πλοῦ ἔμελ-
λον γενήσεσθαι καταφανεῖς, θεῖον αὐταῖς καὶ πίσσαν ἐπιχέοντες, ἀνέτειναν ἱστί-
α· καὶ πλήσαντες ἀνέμου, πῦρ ἐνέβαλλον ἐς τὰ σκάφη· τὰ δέ, τῷ τε ἀνέμῳ
καὶ τῇ ῥύμῃ τοῦ πυρὸς ἐς τὰς Ῥωμαίων ναῦς ὠθεῖτο καὶ ἐνέπιπτε· καὶ ὀλίγου
τὸν στόλον κατέφλεξε· μετὰ δὲ οὐ πολύ, Κηνσωρῖνος μὲν ἐς Ῥώμην ᾤχετο
ἀρχαιρεσιάσων· οἱ δὲ Καρχηδόνιοι τῷ Μανιλίῳ θρασύτερον ἐπέκειντο· καὶ

νυκτὸς οἱ μὲν ὅπλα ἔχοντες· οἱ δὲ γυμνοὶ σανίδας φέροντες, ἐπετίθεσαν τῇ
κατὰ σφᾶς τάφρῳ τοῦ Μανιλίου· καὶ τὸ χαράκωμα διέσπων· ἀπορουμένων δὲ ὡς
ἐν νυκτὶ τῶν ἔνδον, ὁ Σκιπίων ἐξέδραμε σὺν ἱππεῦσιν ἐκ τοῦ στρατοπέδου, κατὰ
πύλας ἄλλας ᾗ οὐκ ἦν ὁ πόλεμος, καὶ περιδραμών, τοὺς Καρχηδονίους κατε-
φόβησεν· οἱ δὲ ἀνεχώρουν ἐς τὴν πόλιν· καὶ δεύτερον ὁ Σκιπίων ἐδόκει τῷδε τῷ ἔργῳ
περισῶσαι Ῥωμαίους ἐν νυκτὶ θορυβουμένους· ὁ δὲ Μανίλιος, τὸ μὲν στρατόπεδον
ἔτι μᾶλλον ὠχύρου· τεῖχός τε ἀντὶ χάρακος αὐτῷ περιτιθείς, καὶ ἐπίνειον φρούριον
ἐγείρων ἐπὶ τῆς θαλάσσης, διὰ τὴν κατὰ πλοῦν ἀγοράν· στρατεύσας δ' ἐς τὰ μεσόγαια, μυρί-
οις πεζοῖς καὶ ἱππεῦσι δισχιλίοις, τὴν χώραν ἐπόρθει· ξυλευόμενός τε καὶ χορτολογῶν, καὶ
ἀγορὰν συλλέγων· ἡγεῖτο δὲ τῶν προνομευόντων, χιλίαρχος ἕτερος παρ' ἕτερον·
καὶ Φαμαίας ὁ ἵππαρχος ὁ τῶν Λιβύων· νέος τε ὢν ἔτι καὶ θρασύτερος ἐν μάχαις· καὶ
ἵπποις χρώμενος μικροῖς καὶ ταχέσι· καὶ πόᾳ φαγεῖν ὅτε μηδὲν εἴη· καὶ φέρειν
δίψος ἐδεῖτο καὶ λιμόν, ὑποκρυπτόμενος ἐν λόχμαις ἢ φάραγξιν, ὁπότε τι
ἀμελούμενον ἴδοι, ἐφίπτατο ἐξαπιναίως ὥς τις αἰετός· καὶ λυμηνάμενος ἀπε-
πήδα· ὅτε δὲ Σκιπίων ἄρχοι, οὐδαμοῦ οὐδ' ἐπεφαίνετο· ὁ γὰρ Σκιπίων, αἰεὶ
συντεταγμένους ἦγε τοὺς πεζούς· καὶ τοὺς ἱππέας τῶν ἵππων ἐπιβεβηκότας· ἔν τε
ταῖς προνομαῖς, οὐ πρὶν διέλυε τὴν σύνταξιν, ἢ τὸ πεδίον ὃ ἔμελλε θερίζειν,
ἱππεῦσι καὶ ὁπλίταις περιλάβοι· καὶ τότε κύκλῳ αὐτὸς ἑτέραις ἴλαις ἱππέων,
ἀεὶ περιῄει· καὶ τῶν θεριζόντων τὸν ἀποσκιδνάμενον ἢ ἐξιόντα τοῦ κύκλου, πικρ-
ῶς ἐκόλαζεν· ὅθεν ὁ Φαμαίας οὐκ ἐπεχείρει μόνῳ· γιγνομένου δὲ τοῦδε συνεχῶς, τὸ μὲν
κῦδος ηὔξετο τῷ Σκιπίωνι· οἱ δ' ἕτεροι χιλίαρχοι, κατὰ φθόνον ἐλογοποίουν,
ξενίαν ἐκ πατέρων εἶναι Φαμαίᾳ πρὸς Σκιπίωνα, τοῦ δὲ πάππου· Λιβύων
τε τοῖς ἐν πύργοις φρουρίοις, ἃ πολλὰ ἦν ἐν τῇ χώρᾳ, καταφεύγουσιν, οἱ μὲν ἄλλοι
χιλίαρχοι σπενδόμενοι καὶ μεθιέντες, ἐπετίθεντο ἀπιοῦσιν· ὁ δὲ Σκιπίων,
ἐς τὰ οἴκοι παρέπεμπε· καὶ ἀπὸ τοῦδε, οὐ πρὶν ἢ Σκιπίωνα ἀφικέσθαι συνε-
τίθεντο διαλύσεις· τοσαύτη δόξα αὐτοῦ ἀνδρείας τε πέρι καὶ πίστεως καὶ παρὰ τοῖς
ἰδίοις δι' ὀλίγου γεγένητο καὶ παρὰ τοῖς πολεμίοις· ἐπανιόντων δ' αὐτῶν
ἀπὸ τῆς προνομῆς ἐς τὸ στρατόπεδον, οἱ Καρχηδόνιοι νυκτὸς ἐπέθεντο τῷ
ἐπινείῳ· θόρυβος ἦν ποικίλος συνεπηχούντων ἐς ἔκπληξιν τῶν ἐν
ἄστει Καρχηδονίων· ὁ μὲν οὖν Μανίλιος, τὸν στρατὸν ἔνδον συνεῖχεν ὡς ἀγνοῶν
τοῦ κακοῦ· ὁ δὲ Σκιπίων, ἱππέων ἴλας δέκα λαβών, ἐπῆγε μετὰ δᾴδων
ἡμμένων· προειπών, διὰ τὴν νύκτα μὴ συμπλέκεσθαι, περιτρέχειν δὲ σὺν τῷ

πύσει. ὅ τε τὸ πλῆθος ἐπιφαίνῃ· καὶ φόβον ἐμπεσεῖν μὲν παρέχειν ἀεὶ·
μέχρι ταρασσόμενοι δ' οἱ χθόνιοι καρχηδόνιοι κατεπλάγησαν καὶ ἐς
τὴν πόλιν ἔφυγον· καὶ τόδε τοῖς Σκηπίωνος κατορθώμασι προσεγί-
γνετο· ἦν τε διὰ στόματος, ἐπὶ πᾶσιν ἔργοις· ὡς μόνος ἄξιος τοῦ πρὸς
τοὺς Μακεδόνας ἐλόντος Παύλου, ὅ τ' ὢν Σκηπίων, ἐς οὓς κατὰ θέσιν ἀνεί-
ληπτο· Μανιλίου δὲ ἐς Νέφεριν ὁδεύοντος ἐπὶ Ἀσδρούβαν, ἐδυσχέραινεν
ὁ Σκηπίων, ὁρῶν πάντα ἀπόκρημνα, φάραγγας καὶ τὰ ὑψηλὰ προει-
λημμένα· ὡς δ' ἀπὸ σταδίων τριῶν ἐγένοντο τοῦ Ἀσδρούβα, ὁ ἐς τὸ ῥεῦμα
καταβάντας, ἐχρῆν ἀναβαίνειν ἐπὶ τὸν Ἀσδρούβαν, ἀνεκάλει τότε
ὁ Σκηπίων ἐπιστραφῆναι, ὡς ἄλλου καιροῦ ἢ μηχανῆς ἄλλης ἐπὶ τὸν
Ἀσδρούβαν δεομένων· ἀντιλεγόντων δὲ κατὰ ζῆλον αὐτοῦ τῶν ἑτέρων
χιλιάρχων, ὁ μαλακίαν, οὐκ εὐβουλίαν ἡγουμένων, εἰ τοὺς πολεμίους
ἰδόντας ἀναχωρήσουσιν· ἀνῶ καὶ καταφρονήσαντες φεύγουσιν ἐπικεί-
σονται· δεύτερα τούτων ἦ ξέον, στρατόπεδον πρὸ τοῦ ῥεύματος ἐγεῖραι. ἵν' ἢ
βιασθεῖεν, ἔχοιεν ἀναχώρησιν· οὐκ ὄντος αὐτοῖς νῦν οὐδ' ὅποι καταφύ-
γοιεν· οἱ δὲ καὶ τοῦτο ἐχλεύαζον· καί τις ξίφος τις ἠπείλησεν ἀπορρίψειν
εἰ μὴ Μανίλιος ἀλλὰ Σκηπίων ἄρχοι· διέβαινεν οὖν ὁ Μανίλιος. οὐδὲ
τἆλλα ὢν ἔμπειρος πολέμου. ὁ δ' αὐτῷ περάσαντι, ὁ Ἀσδρούβας ἀπήντα·
φόνος τε ἦν πολὺς ἑκατέρων. καὶ ὁ Ἀσδρούβας ἀναδραμὼν ἐς τὸ φρού-
ριον, ἔνθα μηδὲν παθεῖν ἐδύνατο, φθείρειν ἀπιοῦσιν ἐπιθέσθαι· οἱ δὲ
σὺν μετανοίᾳ τῶν γεγονότων, ἀπεχώρουν· ἀχρεῖ μὲν ἐπὶ τὸ ῥεῦμα, ἐν τάξει·
διὰ πόρον δ' ὄντος τοῦ ποταμοῦ, ὁ διαβάσεων ὀλίγων τε καὶ δυσχερῶν,
ἐν ἀταξίᾳ διεκρούοντο ἐξ ἀνάγκης· καὶ ὁ Ἀσδρούβας καθορῶν, ἐπέ-
κειτο λαμπρῶς τότε μάλιστα· καὶ πλῆθος ἔκτεινεν. οὐδ' ἀμυνομένων.
ἀλλὰ φευγόντων· ἔπεσον δὲ καὶ τῶν χιλιάρχων τρεῖς. οἱ τὸν στρατηγὸν
μάλιστα ἐπεπείκεσαν ἐς τὴν μάχην· ὁ δὲ Σκηπίων, τριακοσίους ἱππέ-
ας οὓς εἶχεν ἀμφ' αὐτὸν καὶ ὅσους ἄλλους συναγαγεῖν ἔφθασε. διελὼν
ἐς δύο τοῖς ἐχθροῖς ἐπῆγε συντρόχω πολλῷ παρὰ μέρος ἀκοντίζοντάς τε
καὶ εὐθὺς ἀποχωροῦντας· ἢ αὖθις ἐπιόντας. ὁ πάλιν εὐθὺς ἀποπη-
δῶντας. οὕτω γὰρ εἴρητο αὐτοῖς, τοὺς ἡμίσεας αἰεὶ παρὰ μέρος ἐπιέν-
ναι ἀκοντίσαντας, ἀπιέναι, ὥσπερ ἐν κύκλῳ περιιόντας· γιγνο-
μένου δὲ τοῦδε πυκνοῦ. καὶ διαστήματος οὐδενὸς ὄντος, οἱ μὲν Λίβυες

ἐσέβαλλον τὸ συνεχῶς· καὶ ἐπιστρέφοντες ἐς τὸν Σκηπίωνα, ἧσσον
τοῖς πρώτοις ἐπέκειντο· οἱ δὲ ἔφθασαν διελθεῖν τὸ ῥεῦμα· ὁ Σκη-
πίων ἐπ' αὐτοῖς ἀφίππευσε· βαλλόμενός τε ὁ χαλεπῶς. σπεῖραι δὲ ἐν
ἀρχῇ τοῦδε τοῦ πόνου τέσσαρες ἀποσχισθεῖσαι τοῦ ῥεύματος ὑπὸ τῶν
πολεμίων, ἐς τινα λόφον ἀνέδραμον. ὁ αὐτὰς ὁ Ἀσδρούβας περιεκά-
θητο· ἀγνοούντων ἔτι Ῥωμαίων, ἕως ἐσταθμεύσαν· ἐπεὶ δ' ἔμαθον, ἠ-
πόρουν. καὶ τοῖς μὲν, ἐδόκει φεύγειν· ὁ μὴ κινδυνεύειν δι' ὀλίγους ἅπαντας δι' ὅλης.
ὁ δὲ Σκηπίων ἐδίδασκεν, ἀρχομένων μὲν ἔργων, εὐβουλίᾳ χρῆσθαι·
κινδυνευόντων δὲ ἀνδρῶν τοσῶνδε καὶ σημείων, τόλμῃ παραβόλῳ. αὐτὸς
δὲ ἐπιλεξάμενος τινὰς τῶν ἱππέων ἴλας, ἐπανοίσειν ἔφη κἀκείνους, ἢ
χαίρων αὐτοῖς συναπολεῖσθαι. δύο τε ἡμερῶν σιτία φέρων, αὖθις ὥρμη·
δεδιότος πάνυ τοῦ στρατοῦ, μὴ οὐδ' αὐτὸς ἐπανέλθοι. ὡς δ' ἧκεν ἐπὶ τὸν
λόφον, ἔνθα ἦσαν οἱ πολιορκούμενοι, τὸν μὲν ἀντικρὺ αὐτοῦ δρόμῳ
κατέλαβε· καὶ μέσα τοῖς δύο χαράδρα διείργεν. οἱ δὲ Λίβυες, τότε
μάλιστα ἐπέκειντο τοῖς πολιορκουμένοις καὶ πρὸς αὐτοὺς ἀνενδοιάστως
ὡς οὐ παρεσκευασμένου τοῦ Σκηπίωνος ἐπικουρεῖν ἐξ ὁδοιπορίας συντόνου.
ὁ δὲ Σκηπίων, ὡς εἶδε τὰς πέζας τῶν δύο λόφων τὴν χαράδραν περιιούσας,
τὸν καιρὸν οὐ μεθῆκεν· ἀλλὰ περιέδραμε δι' αὐτῶν ἐπὶ τοὺς πολεμίους·
οἱ δ' ἤδη κυκλούμενοι, διέφυγον ἀκόσμως· μεθιόντος αὐτοὺς ἀπιέναι
τοῦ Σκηπίωνος ἀδεῶς, πολὺ πλείονας ὄντας. οὕτω μὲν δὴ καὶ τούσδε ὁ
Σκηπίων περιέσωσεν ἐν ἀπογνώσει γενομένοις. καὶ αὐτὸν ἡ στρατιὰ
μακρόθεν ἰδοῦσα ἐξ ἀέλπτου περισεσωσμένον τε καὶ σώζοντα τοὺς ἑτέρους,
μέγα ἠλάλαξαν ἡδόμενοι· καὶ δαιμόνιον αὐτῷ συλλαμβάνειν ἐδόξαζον,
ὅ τῷ πάππῳ Σκηπίωνι προσημαίνειν ἐδόκει τὰ μέλλοντα. ὁ μὲν δὴ Μανί-
λιος, ἀνεζεύγνυεν ἐς τὸ πρὸς τῇ πόλει στρατόπεδον· πολλῶν τισὶν ὑποσχῶν
τοῦ μὴ ἐπιθήμασι Σκηπίωνι τῆς στρατείας ἀποτρέποντι· ἀχθομένων δὲ
πάντων ἐπὶ τῇ τῶν πεσόντων ἀταφίᾳ. ὁ μάλιστα ἐπὶ τοῖς χιλιάρχοις,
ὁ Σκηπίων τινὰ λύσας τῶν αἰχμαλώτων ἔπεμψε πρὸς Ἀσδρούβαν· καὶ παρῄνει θά-
ψαι τοὺς χιλιάρχους. ὁ δὲ ἐρευνησάμενος τὰ νεκρά. ἀπὸ τῆς σφραγῖδος
ἀνδρῶν. χρυσοφοροῦσι γὰρ τῶν στρατευομένων οἱ χιλίαρχοι, τῶν ἐλαττόνων
σιδηροφορούντων, ἔθαψεν αὐτούς· ἤ τε τὸ ἔργον ἀνθρώπειον καὶ κοινὸν ἐν
τοῖς πολέμοις ἡγούμενος, ἢ τὴν Σκηπίωνος δόξαν ἤδη δεδιώς τε ὁ

θρασέων· Ῥωμαίοις δ' ἅμ' ἀγγέλλουσι μὲν ἀπὸ τοῦ Ἀσρούβα, ἐπέκειτο
Φαμαίας διὰ τὸ πταῖσμα θορυβουμένοις· ἐπιοῦσι δέ, οἱ Καρχηδόνιοι τῆς
πόλεως ἐκδραμόντες, ἀπήντων· καί τινα καὶ τῶν σκευοφόρων διέφθειραν·
ἐν τούτῳ δέ, ἡ σύγκλητος ἐς τὸ στρατόπεδον ἔπεμπε τοὺς ἐποψομένους καὶ
μεταδώσοντας αὐτῇ τὰ ἀκριβέστατα· ἐφ' ὧν, ὅ τε Μανίλιος ἡ τὸ συνέδριον καὶ
οἱ λοιποὶ τῶν χιλιάρχων, ἐν βαρυμένου τοῦ φθόνου διὰ τὴν ἀπραγίαν, ἐ-
μαρτύρουν τῷ Σκιπίωνι· ἡ ὁ στρατὸς ἅπας. καὶ τὰ ἔργα ἐπ' ἐκείνοις· ὥστε ἐ-
πανελθόντες οἱ πρέσβεις, διεθρόουν ἅπασι τάς τε ἐμπειρίας ἡ ἐπὶ τοῖς ἔργοις
τοῦ Σκιπίωνος καὶ τῆς στρατιᾶς, τὴν ἐς αὐτὸν ὁρμήν· ἡ δὲ βουλή, τούτοις
μέν, ἔχαιρε· πολλῶν δὲ γεγονημένων πταισμάτων, ἐς Μασσανάσσην ἔπεμπε·
ἡ παρεκάλει συμμαχεῖν αὐτοῖς ἐρρωμένως ἐπὶ Καρχηδόνα· ὁ δ' ὑπὸ μὲν τῶν
πρέσβεων, οὐ κατελήφθη· κάμνων δὲ γήρᾳ ἡ νόσῳ. καὶ παῖδας ἔχων νόθους μέν
πλείονας οἷς δεδώρητο πολλά· γνησίους δὲ τρεῖς. οὐδὲν ἀλλήλοις τὰ ἔργα ἐοικότας,
ἐκάλει τὸν Σκιπίωνα κατὰ φιλίαν αὐτοῦ τε ἡ τοῦ πάππου· σύμβουλον οἱ περὶ τῶν τέκνων
ἡ τῆς ἀρχῆς ἐσόμενον· ὁ δέ, ἤει μέν, αὐτίκα· μικρὸν δὲ πρὶν ἐλθεῖν, ὁ Μασσα-
νάσσης ἀποθνῄσκων ἐπέσκηψε τοῖς παισὶ πείθεσθαι τῷ Σκιπίωνι, ὡς ἂν
αὐτοῖς διαιρῇ τὰ ὄντα· καὶ ὁ μὲν τοῦτ' εἰπών, ἐτελεύτησεν· ἀνήρ, ἐς πάντα ἐπὶ
τύχης· ᾧ τὴν μὲν ἀρχὴν τὴν πατρῴαν, θεὸς ἔδωκεν ἀφαιρεθέντι πρὸς Καρχη-
δονίων ἡ Σύφακος, ἀναλαβεῖν· καὶ προαγαγεῖν ἐπὶ μέγιστον. ἀπὸ Μαυρου-
σίων τῶν παρ' ὠκεανῷ, μέχρι τῆς Κυρηναίων ἀρχῆς ἐς τὰ μεσόγεια· ἡμερώ-
σασθαι δὲ γῆν πολλήν, τὰ πολλὰ τῶν νομάδων ποηφαγούντων διὰ τὸ ἀγεώργητον
θησαυρούς τε χρημάτων καταλιπεῖν· ἡ στρατιὰν πολλὴν γεγυμνασμένην· τῶν
δ' ἐχθρῶν, Σύφακα μέν, αἰχμάλωτον ἑλεῖν αὐτοχειρί· Καρχηδόνι δ' αἴτιον τῆς
ἀναστάσεως γενέσθαι· παντάπασιν ἀσθενῆ Ῥωμαίοις ἀπολιπόντα· φύσει δὲ
ἡ τὸ σῶμα, μέγας τε καὶ ἐρρωμένος ἐς γῆρας πολύ. καὶ μάχης ἐπειρᾶτο μέχρι
τοῦ θανάτου· ἵππου τε, χωρὶς ἀναβολέως ἐπέβαινε· καὶ μέγιστον δὴ τόδε
τεκμήριον σώματος τὴν ῥώμην αὐτοῦ μάλιστα· πολλῶν γὰρ αὐτῷ παίδων γι-
γνομένων τε ἡ ἀποθνησκόντων, οὔποτε μὲν ἦσαν αὐτῷ μεῖον δέκα· τετρα-
ετὲς δὲ παιδίον ἐνενηκοντούτης ὤν, ἀπέλιπε· ὁ μὲν δὴ Μασσανάσσης,
ὧδε χρόνου τε καὶ σώματος ἔχων, ἐτεθνήκει· Σκιπίων δέ, τοῖς μὲν νόθοις
αὐτοῦ παισί, προσέθηκεν ἑτέρας δωρεάς. τοῖς δὲ γνησίοις, τοὺς μὲν θησαυροὺς
ἡ φόρους καὶ τὸ ὄνομα τῆς βασιλείας, κοινὰ ἀφῆκε· τὰ δ' ἄλλα, διέκρινεν

ἁρμόσειν πρὸς ὃ ἐβούλετο ἕκαστος· Μικίψῃ μὲν ὃς πρεσβύτατος ἦν,
εἰρηνικώτατος ἦν, Κίρταν δὲ ἐξαίρετον ἔχειν καὶ τὰ βασίλεια τὰ ἐν αὐτῇ.
Γολόσσῃ δὲ στρατιωτικῷ τε ὄντι, ἡ πολεμικῷ καθ' ἡλικίαν. πολέμου τε καὶ
εἰρήνης εἶναι κύριον· Μαστανάβᾳ δὲ ὃς νεώτατος ὢν ἤσκει δικαιοσύνην,
δικάζειν τοῖς ὑπηκόοις τὰ ἀμφίλογα· οὕτω μὲν ὁ Σκιπίων τὴν ἀρχὴν ἡ
περιουσίαν Μασσανάσσου διῄρει τοῖς παισί· καὶ Γολόσσην ἄγων εὐθὺς ἐς συμ-
μαχίαν ἐπήγετο· ὁ δέ, τὰς Φαμαίου μάλιστα ἐνέδρας, αἳ πολλὰ Ῥωμαίους
ἠνώχλουν ἐς πολὺ ὀρρωδούμενος, ἀνέστελλεν· ἐν δέ τινι χειμασίᾳ Σκιπίων ἡ Φαμαίας
ἀντιπαρώδευον ἀλλήλοις, μέσην ἔχοντες ἄβατον χαράδραν· καὶ οὐδὲν
ἐς ἀλλήλους δυνάμενοι· δεδιὼς δ' ὁ Σκιπίων, μή τις ἐνέδρα κατὰ τὸ
πρόσθεν εἴη, προϊὼν κατεσκέπτετο σὺν τρισὶ φίλοις· καὶ αὐτὸν ὁ Φαμαίας
ἰδών, ἀντιπροῄει μεθ' ἑνὸς φίλου· ἐπιστάσας δ' αὐτὸν ὁ Σκιπίων ἀπαντι-
θέειν, ἐξ ἴσου μεθ' ἑνὸς καὶ ὅδε φίλου· ἡ ὡς ἤδη κατακούειν ἐδύ-
ναντο ἀλλήλων, πρὸς Καρχηδόνιοι προεληλύθε, τί δὴ τῆς ἰδίας σωτηρί-
ας οὐ προνοεῖς, εἰ μὴ τῆς κοινῆς δύνασαι· ὁ δέ, τίς ἐστιν ἔφη μοι σωτηρία
Καρχηδονίων μὲν οὕτως ἐχόντων· Ῥωμαίων δ' ὑπ' ἐμοῦ κακὰ πολλὰ
πεπονθότων· ἡ ὁ Σκιπίων· ἐγγυῶμαί σοι φησὶν εἰ πιστὸς ἐγὼ καὶ
ἀξιόχρεως, καὶ σωτηρίαν ἡ συγγνώμην παρὰ Ῥωμαίων ἡ χάριν ἔσεσθαι.
ὁ δὲ ἐπῄνεσε μέν, ὡς ἀξιοπιστότατον ἐκ πάντων· κρινῶ δέ, ἔφη· κἂν δυνατὸν ᾖ
γένηται, φανερὸν ἔσεσθαι. καὶ οἱ μέν, ἐπὶ τούτοις διεκρίθησαν· ὁ δὲ Μανίλιος
αἰδούμενος τὴν δυσπραξίαν τὴν ἐς Ἀσρούβαν αὐτῷ γενομένην, αὖθις ἐπὶ Νέ-
φεριν ἐστράτευε· σῖτόν τε καὶ δέκα ἡμερῶν προφὰς ἐπαγόμενος· πλησιάσας
δὲ ἔθετο χάρακα, ἡ ὤρυσσε· καὶ ἐτάφρευε, καθὰ Σκιπίων ἐν τῇ προτέρᾳ στρατεί-
ᾳ παρήγγειλε· οὐδὲν δὲ ἀνύων, ἐν ἀεὶ δὴ μείζονι ἐγίγνετο. ἡ φόβῳ τοῦ πάλιν
αὐτοῖς ἀπιοῦσι, τὸν Ἀσρούβαν ἐπιθέσθαι· καὶ ὁ μέν, ἐν τῷδε ἦν ἀπορίας·
ἐπιστολὴν δέ τις ἐκ τοῦ Γολόσσου στρατοῦ, ἔφερε τῷ Σκιπίωνι· ὁ δ' ὡς εἶχε ση-
μασμένην, ἐπέδειξε τῷ στρατηγῷ· καὶ λύσαντες, εὗρον· ἐς τήνδε τὴν ἡμέραν
ἐγὼ μέν, τόδε τὸ χωρίον καταλήψομαι· σὺ δ' ἐλθὲ μεθ' ὅσων δύνῃ· καὶ τοῖς προ-
φύλαξιν εἰπέ, δέχεσθαι τὸν νυκτὸς ἀφικνούμενον· ἡ μὲν ἐπιστολὴ χωρὶς ὀνο-
μάτων, τοιάδε δηλοῦν· συνῆκε δ' ὁ Σκιπίων, εἶναι παρὰ Φαμαίου· ἡ ὁ Μανίλιος, ἐδε-
δοίκει μὲν περὶ τῷ Σκιπίωνι, μή τις ἀπάτη παρ' ἀνδρὸς γένοιτο ἀπιθανωτάτου
ὄντων, ἐς ἐνέδρας· δ' ἐλπίζων δ' αὐτὸν ὁρῶν, ἔπεμπ' ἐπὶ πύλας, περὶ μὲν τῆς σω-

τηρίας, δέδωκε πίστιν ἀσφαλείας τῷ Φαμαίᾳ· χάριν δέ, μὴ ὀκνεῖν· ἀλλ' ἐπαγγέ-
λεσθαι Ῥωμαίους τὰ πρέποντα ποιήσειν. οὐ μὴν ἐδέησε· νοῦ δὲ παρῆγεν·
ὁ γάρ τοι Φαμαίας ὡς ἧκεν ἐς τὸ συγκείμενον, περὶ μὲν τῆς σωτηρίας, ἔφη, πι-
στεύων ἀξίου μὲν Σκηπίωνι· τὰς δὲ χάριτας, Ῥωμαίοις ἐπιτρέπω κα-
τὰ τὰ δυνατῶν, ἐξετάσας τῆς ἐπιούσης ἐν μάχῃ. καὶ προσπελάσας μετὰ
τῶν ἰλαρχῶν ἐς τὸ μεταίχμιον, ὡς ἐπί τινα σκέψιν ἑτέραν, εἶπεν· εἰ μὲν
ἐστὶν ἔτι τῇ πόλει βοηθεῖν, ἕτοιμος εἰμὶ μεθ' ὑμῶν· εἰ δὲ κατὰ ἀνάγκης ὡς ἔχει,
ἐμοὶ μὲν δοκεῖ τῆς ἰδίας σωτηρίας προνοεῖν. καὶ πίστιν εἴληφα ὅτι τε ἐμαυτῷ
καὶ ὅσοις πείσαιμι ὑμῶν· καιρὸς δὲ καὶ ὑμᾶς, ἐπιλέγεσθαι τὰ συνοίσοντα.
ὁ μέν, οὕτως εἶπε· τῶν δ' ἰλαρχῶν, οἱ μέν, σὺν τοῖς αὐτῶν ηὐτομόλησαν· καὶ ἐ-
γένοντο πάντες, ἐς διακοσίους καὶ δισχιλίους ἱππέας. τοὺς δ' ἄλλους κατεκώ-
λυσε· ᾧ Ἀλδίκος ἦν ἐπίκλησις. ἐπανιόντι δὲ τῷ Σκηπίωνι μετὰ τοῦ Φαμαίου,
ὁ στρατὸς ἀπήντα· καὶ τὸν Σκηπίωνα λαφύροις ὥσπερ ἐπὶ θριάμβῳ. Μανίλιος δ'
ὑπερησθείς τε, καὶ οὐκέτι τὴν ἐπάνοδον αἰσχρὰν ἐπὶ τῷ δεῖν γεγενημένος·
οὐδ' Ἀσδρούβαν ἐνεχείρει προσδοκῶν κατεπτηχότα, ἀνεζεύγνυεν αὐτίκα
δι' ἔνδειαν. ἑπτακαιδεκάτην ἡμέραν ἀντὶ πεντεκαίδεκα τῆς ἔχων· ἐπὶ
ταῖς ἡμέραις ἐς Ἰτύκην κακοπαθοῦντα ἐπανῆλθεν. ὁ δὲ Σκηπίων, τόν τε Φαμαίαν καὶ
Γολόσσην. καὶ τοὺς ὑφ' ἑκατέρων λαβὼν ἱππέας, προσλαβὼν δέ τινας καὶ τῶν ἰταλικῶν,
ἐς πεδίον ὑπερήχθη τὸ καλούμενον Μέγα Βάραθρον. καὶ πολλὴν ἐξ αὐτοῦ λείαν τε
καὶ ἀγορὰν ἧκε φέρων τῷ στρατῷ περὶ νύκτα. Μανίλιος δὲ πυθόμενος οἱ διάδοχον
ἐπιέναι Καλπούρνιον Πίσωνα, προέπεμπεν ἐς Ῥώμην Σκηπίωνα μετὰ Φαμαίου.
καὶ ὁ στρατὸς ἐπὶ τὴν ναῦν καταθέοντες, ἀφήμαγον Σκηπίωνα καὶ ηὔχοντο,
ὕπατον ἐς Λιβύην ἐπανελθεῖν· ὡς μόνον αἱρήσοντα Καρχηδόνα. θεόληπτος
γάρ τις αὐτοῖς ἤδη δόξα ἦν ἐπὶ πᾶσι Σκηπίωνα μόνον αἱρήσειν Καρχηδόνα·
καὶ πολλοὶ ταῦτα τοῖς οἰκείοις ἐς Ῥώμην ἐπέστελλον. ἡ δὲ βουλή, Σκηπίωνα
μέν, ἐπῄνει· Φαμαίαν δὲ ἐτίμησαν ἁλουργίδι καὶ ἐπιπορπήματι χρυσῷ·
καὶ ἵππῳ χρυσοφαλάρῳ· καὶ πανοπλίᾳ· καὶ ἀργυρίου δραχμαῖς μυρίαις. ἔ-
δωκαν δέ, καὶ μνῶν ἑκατὸν ἀργύρωμα· καὶ σκηνὴν κατεσκευασμένην· καὶ
ἐπηγγείλαντο πλείονα, εἰ τὰ λοιπὰ τοῦ πολέμου συνεκπονήσειεν αὐτοῖς.
ὁ δ' ὑποσχόμενος, ἐς Λιβύην διέπλευσεν ἐς τὸ Ῥωμαίων στρατόπεδον. ἧκε
δέ, καὶ ὁ Πίσων ὁ ὕπατος, ἅμα ἦρι· καὶ σὺν αὐτῷ Λεύκιος Μαγκῖνος ἐπὶ τὸ
ναυαρχίαν. οἱ Καρχηδονίοις μέν, οὐκ ἐπεχείρουν· οὐδ' Ἀσδρούβας. ταῖς δὲ

πόλεις ἐπιόντες, ἃς οὐδ' ὅσοι μὲν ἀπετύγχανον ἐκ γῆς καὶ θαλάσσης ἀποπει-
ράσαντες. ἔτρεψαν δ' ἐπὶ Εὐλανοῦ πόλιν καὶ διήρπαζον αἰτιώμενοι
ἐπὶ σπονδαῖς αὐτῷ προστεθῆναι. ἀπὸ δὲ ταύτης, ἐς Ἱππάγρετα μετῆλθε·
ἣ μεγάλη τε ἦν καὶ τείχεσι καὶ ἀκροπόλει καὶ λιμέσι καὶ νεωρίοις ὑπὸ Ἀγαθο-
κλέους τοῦ Σικελιωτῶν τυράννου κατεσκευασμένη καλῶς. μέση δ' οὖσα Καρ-
χηδόνος καὶ Ἰτύκης, τὴν ἀγορὰν ἐλήστευε τὴν Ῥωμαίοις διαπλέουσαν. ὅθεν καὶ
πάνυ ἐπλούτουν. καὶ ὁ Καλπούρνιος, ἀμύνασθαί τε αὐτοὺς ἔσπευδε καὶ τό γε
κέρδος ἀφελέσθαι· ἀλλ' ὅμως, τὸ θέρος ὅλον ἐφεδρεύων οὐκ ἤνυεν. δὶς δ' ἐκ-
δραμόντες οἱ Ἱππαγρέτιοι Καρχηδονίων αὐτοῖς συμμαχούντων, τὰς μηχανὰς
αὐτοῦ κατέπρησαν. καὶ ὁ μέν, ἄπρακτος ἐς Ἰτύκην ἐπανελθών, ἐχείμαζεν. οἱ
Καρχηδόνιοι δέ, ἐπεὶ ἤσθοντό σφισι καὶ τὸ Ἀσδρούβα στρατόπεδον ἀπαθὲς ἦν· καὶ αὐτοὶ
κρατοῦντες ἐν τῇ μάχῃ ἐγεγένηντο Πίσωνος ἀμφὶ τὰ Ἱππάγρετα, Βιθύας τε αὐτοῖς
ὄνομα μετὰ ὀκτακοσίων ἱππέων ἀπὸ Γολόσσου προσκεχωρήκει· καὶ Μικίψην
καὶ Μαστανάβαν τοὺς Μασσανάσσου παῖδας ἑώρων, ὑπισχνουμένους μὲν ἀεὶ Ῥω-
μαίοις ὅπλα καὶ χρήματα, βραδύνοντας δὲ καὶ περιορωμένους τὸ μέλλον, ἐπήρθησαν
τοῖς φρονήμασι· καὶ Λιβύην ἅπασαν ἐπῄεσαν κρατυνόμενοι τὴν χώραν. καὶ πολλὰ
ὕβρισι καὶ ἐν ταῖς πόλεσι κατὰ Ῥωμαίων ἐκκλησιάζοντες. ἔς τε τὸ ἀνδρεῖον αὐτῶν
προύφερον, τὰ γενόμενα αὐτοῖς γενόμενα δίς. καὶ ὅ τ' ἔναγχος, ἐς Ἱππάγρετα·
καὶ τὸ αὐτῆς Καρχηδόνος ἀμφιπολουμένης καὶ ἄφρακτον μὴ δεδιέναι ἤδη κατασχεῖν.
ἔπεμπον δέ, καὶ ἐς Μικίψην καὶ Μασσανάσσην· καὶ ἐς τοὺς αὐτονόμους Μαυρουσίων,
παρακαλοῦντες ὁμοῦ καὶ διδάσκοντες, ὅτι καὶ σφίσι μετ' αὐτοὺς ἐπιχειρήσουσι
Ῥωμαῖοι. ἔστελλον δὲ καὶ ἐς Μακεδονίαν ἄλλους· πρὸς τὸν νομιζόμενον υἱὸν εἶναι
Περσέως πολεμοῦντα Ῥωμαίοις, καὶ ἀνέπειθον ἔχεσθαι τοῦ πολέμου καρτερῶς, ὡς
οὐκ ἐλλειψόντων αὐτῷ χρημάτων καὶ νεῶν ἀπὸ Καρχηδόνος. ὅλως τε μικρὸν οὐδὲν
ἔτι ἐφρόνουν, ὁπλιζόμενοι· ἀλλὰ θυμῷ καὶ τόλμῃ καὶ θρασύτητι κατὰ μικρὸν
ηὔξοντο. ἐπῆρτο δ' ἐν μέρει, ὁ Ἀσδρούβας ὁ κατὰ τὴν χώραν στρατηγός, τῷ δὶς κρατῆσαι
Μανίλιον. τήν τε τῆς πόλεως στρατηγίαν προσλαβεῖν ἐπειγόμενος. Ἀσδρούβαν τὸν ἄρ-
χοντα αὐτῆς ἀδελφιδοῦν ὄντα Γολόσσου διέβαλε τῇ βουλῇ· τὴν Καρχηδόνα Γολόσσῃ
προδιδόναι. καὶ τοῦ λόγου προτεθέντος ἐν μέσῳ, ὁ μέν, ἠπορεῖτο ὡς ἐπ' ἀδοκήτῳ. οἱ δέ,
τύπτοντες αὐτόν, τοῖς ὑποβάθροις κατέβαλλον. ἐς δὲ Ῥώμην ἐξαγγελλομένης τῆς τε
Πίσωνος ἀπραξίας, καὶ Καρχηδονίων παρασκευῆς, ὁ δῆμος ἤχθετο. καὶ ἐδεδοίκει
αὐξανομένου πολέμου μεγάλου τε καὶ ἀδιαλλάκτου καὶ γείτονος. οὐ γάρ τινα διάλυσιν

προσεδόκων, ἀπιστότεροι κηδόμενοι· τῶν δ' οὖν πρὸ πολλοῦ Σκιπίωνος ἔργων
ἐν Λιβύῃ χιλιαρχοῦντος ἔτι μεμνημένοι καὶ παραβάλλοντες αὐτὰ τοῖς παροῦσι·
τῶν τε ἐπεσταλμένων σφίσιν ὑπὸ τῶν ἐκ στρατοπέδου φίλων καὶ οἰκείων ἀναφερόντων, ὥρ-
μηντο ὕπατον ἐς Καρχηδόνα πέμπειν Σκιπίωνα· ἐνειστήκει δ' ἀρχαιρεσία· καὶ ὁ Σκιπίων οὔπω
δι' ἡλικίαν ὑπατείαν αὐτῷ συνεχώρουν οἱ νόμοι, ἀγορανομίαν μετῄει· καὶ ὁ δῆμος
αὐτὸν ὕπατον ᾑρεῖτο· παρανόμου δ' ὄντος, καὶ τῶν ὑπάτων προφερόντων αὐτοῖς τὸν
νόμον, ἐλιπάρουν καὶ ἐνέκειντο καὶ ἐκεκράγεσαν, ἐκ τῶν Τυλλίου καὶ Ῥωμύλου νόμων,
τὸν δῆμον εἶναι κύριον τῶν ἀρχαιρεσιῶν· καὶ τῶν περὶ αὐτῶν νόμων, ἀκυροῦν ἢ κυροῦν
ὃν ἐθέλοι. τέλος δὲ τῶν δημάρχων τις ἔφη τοὺς ὑπάτους ἀφαιρήσεσθαι τὴν χειροτο-
νίαν, εἰ μὴ συνθοῖντο τῷ δήμῳ. καὶ ἡ βουλὴ τοῖς δημάρχοις ἐπέτρεψε λῦσαι τὸν νόμον
τόνδε, καὶ μετὰ ἔτος ἓν αὖθις ἀναγράψαι· οἷόν τι καὶ Λακεδαιμόνιοι λύοντες τὴν ἀτι-
μίαν τῶν ἁλόντων περὶ Πύλον ἔφασαν, κοιμάσθων οἱ νόμοι τήμερον. οὕτω μὲν ὁ Σκι-
πίων ἀγορανομίαν μετιὼν ᾑρέθη ὕπατος· καὶ αὐτὸν ὁ σύναρχος Δροῦσος περὶ Λιβύης πρὸς
αὐτὸν ἐκέλευε διακληροῦσθαι, μέχρι τις τῶν δημάρχων ἐσηγήσατο τῆς δὲ τοῦ στρατη-
γίας τὴν κρίσιν τοῦ δήμου γενέσθαι. καὶ ὁ δῆμος εἵλετο τὸν Σκιπίωνα. ἐδόθη δὲ αὐτῷ
στρατός, ἐκ μὲν καταλόγου ὅσος ἦν ἀντὶ τῶν ἀπολωλότων· ἐθελοντὰς δὲ λαβεῖν, ὅσους
πείσειε παρὰ τῶν συμμάχων, καὶ ἐς βασιλέας καὶ πόλεις ὅσας δοκιμάσειε πέμπειν
τὸν Ῥωμαίων δῆμον ταῖς ἐπιστολαῖς ἐπιγράφοντα· καὶ ἐνίους ἔλαβεν οὕτω
παρά τε πόλεων καὶ βασιλέων. ὁ μὲν δὴ τάδε διοικησάμενος ἐς Σικελίαν, κἀκ Σι-
κελίας ἐς Ἰτύκην ἔπλει. Καλπούρνιος δὲ Πίσων, ἐπολιόρκει τὴν Μεγάλα· καὶ
Μαγκῖνος, Φορμῶν Καρχηδονίοις μέρος τι τοῦ τείχους ἀμελούμενον ἰδών, οὗ κρημνοὶ
προύκειντο συνεχεῖς καὶ δυσέμβατοι, καὶ παρὰ τοῦτο καὶ ἀμελούμενον ἤλπισε,
λαθὼν κλίμακας ἐπιθήσειν ἐπὶ τὸ τεῖχος. καὶ προσέθηκε μέν, καί τινες τῶν
στρατιωτῶν ἀνῆλθον ἀτόλμως· οἱ Καρχηδόνιοι δ' ὀλίγων ἐπιόντων καταφρο-
νήσαντες, ἀνέῳξαν πύλην ἐς τοὺς κρημνοὺς ἐκφέρουσαν, καὶ ἐπὶ τοὺς Ῥω-
μαίους ἐξέδραμον· καὶ αὐτοὺς οἱ Ῥωμαῖοι τρεψάμενοί τε καὶ διώκοντες, ἐς
τὴν πόλιν διὰ τῆς πύλης συνεσέδραμον· βοῆς δ' ὡς ἐπὶ νίκῃ γενομένης,
ὅ τε Μαγκῖνος ἐκφερόμενος ὑπὸ τῆς ἡδονῆς, καὶ τὰ ἄλλα ταχὺς ὢν καὶ κοῦφος,
καὶ ὁ ἄλλος ὅμιλος ἅμα τῷ Μαγκίνῳ τὰς ναῦς ἀφέντες, ἐς τὸ τεῖχος ἐβοηδρό-
μουν ἄνοπλοί τε καὶ γυμνοί. ἤδη δὲ τοῦ ἡλίου περὶ δείλην ἑσπέραν ὄντος, ἐχυ-
ροῦντο πρὸς τῷ τείχει καταβαλόντες, ἡσύχαζον· τροφῶν δὲ ἀπορῶν ὁ Μαγκῖνος,
ἐκάλει Πίσωνα καὶ τοὺς Ἰτύκης ἄρχοντας ἐπικουρεῖν αὐτῷ κινδυνεύοντι καὶ

τροφὰς φέρειν κατὰ σπουδήν. καὶ ὁ μὲν ἔμελλεν ἅμα ἕῳ πρὸς τῶν Καρχηδονίων
ἐξωθούμενος ἐς τοὺς κρημνοὺς συντριβήσεσθαι. Σκιπίων δὲ ἑσπέρας ἐς Ἰ-
τύκην καταχθείς, καὶ περὶ μέσας νύκτας ἐντυχὼν οἷς ὁ Μαγκῖνος ἔγραφε, τούς τε
σαλπιγκτὰς ἐκέλευσεν ὡς ἐπὶ πόλεμον ἠχεῖν, καὶ τοὺς κήρυκας, συγκαλεῖν ἐπὶ
θάλασσαν, ὅσοι συνέπλευσαν ἐξ Ἰταλίας αὐτῷ· καὶ τοὺς ἡβῶντας Ἰτυκαίων· ὅσοι δ'
ὑπερήλικες, ἀγορὰν ἐς αὐτὰς τριήρεις καταφέρειν· αἰχμαλώτων τε Καρχηδονίων
τινὰς λύσας, ἀφῆκεν ἐξαγγέλλειν αὐτοῖς ἐπιπλεῖν Σκιπίωνα· ἔς τε τὸν Πίσωνα,
ἱππέας ἄλλους ἐπ' ἄλλοις ἔπεμπε καλῶν αὐτὸν κατὰ τάχος. καὶ αὐτός, ἐσχάτης φυ-
λακῆς ἀνήγετο· κελεύσας, ὅταν πλησιάζωσιν, ὀρθοὺς ἐπὶ τῶν καταστρω-
μάτων ἑστάναι τοῦ πλείονα τὴν ὄψιν ἐμποιεῖν τοῖς πολεμίοις. ὁ μὲν δή, ὧδε
ἔπρασσεν· ὁ δὲ Μαγκῖνος, ἅμα ἕῳ τῶν Καρχηδονίων αὐτῷ πανταχόθεν ἐπιπιπτόντων,
πεντακοσίοις μὲν ὁπλίταις μόνοις, οἷς εἶχεν ἐνόπλους, περιέστησε τοῖς γυμνοῖς τρισ-
χιλίοις οὖσι· τιτρωσκόμενος δὲ διὰ κινδύνων συνωθούμενος, ἐπὶ τὸ τεῖχος ἤδη
κατεκρημνίζετο· καὶ αἱ νῆες ὤφθησαν αἱ τοῦ Σκιπίωνος ῥοθίῳ τε φοβερῷ
καταπλέουσαι, καὶ μεσταὶ πανταχόθεν ὁπλιτῶν ἐφεστώτων. Καρχηδονίοις
μὲν ἠγνοημένοις διὰ τῶν αἰχμαλώτων οὐκ ἀνέλπιστοι, Ῥωμαίοις δ' ἀγνοοῦσιν ἦσαν ἀ-
δόκητοι σωτηρίαν φέρουσαι. μικρὸν γὰρ ὑποχωρησάντων τῶν Καρχηδονίων,
ὁ Σκιπίων τοὺς κινδυνεύοντας ἐς αὐτὰς ἀνέλαβε· καὶ Μαγκῖνον μὲν αὐτίκα
ἐς Ῥώμην ἔπεμψε· καὶ γὰρ ἧκεν αὐτῷ Σέρρας ἐπὶ τὴν ναυαρχίαν διάδοχος.
αὐτὸς δ' οὐ μακρὰν τῆς Καρχηδόνος ἐστρατοπέδευε. οἱ δὲ Καρχηδόνιοι, τῶν τει-
χῶν πέντε σταδίους προελθόντες, ἀντήγειραν αὐτῷ χάρακα· καὶ αὐτοῖς ἐς τόνδε
τὸν χάρακα ἀφίκοντο· Ἀσδρούβας τε ὁ τῆς χώρας στρατηγός, καὶ Βιθύας ὁ ἱππάρχης,
ἑξακισχιλίους πεζοὺς ἄγοντες, καὶ ἱππέας ἐς χιλίους, χρόνῳ καὶ μελέτῃ γεγυ-
μνασμένους. ὁ δὲ Σκιπίων, οὐδένα κόσμον ἐν τοῖς στρατιώταις ὁρῶν, οὐδὲ
τεταγμένον, ἀλλ' ἐς ἀργίαν καὶ πλεονεξίαν καὶ ἁρπαγὰς ὑπὸ τοῦ Πίσωνος
ἐπιτετραμμένους· ἄλλο τε πλῆθος αὐτοῖς συνόντας ἀγοραῖον· οἳ τῆς λείας
χάριν ἑπόμενοι τοῖς θρασυτέροις συνεξέτρεχον ἐπὶ τὰς ἁρπαγάς, ἄνευ
παραγγέλματος ἰοῦσι· τοῦ νόμου λιποστρατίου κρίνοντος ἐν τοῖς πολέμοις ἡ-
γούμενον τὸν ἀποχωροῦντα πορρωτέρω σάλπιγγος ἀκοῆς· ὅσα τε πταίσειαν,
οὗτοι πάντα ἐς τὸν στρατὸν ἀναφερόμενα· καὶ ὅσα διαρπάσειαν, ἔτ' ὀργὰς ἔριδάς τε
αὐτοῖς κακῶν γιγνόμενα ἀρχάς. πολλοὶ γὰρ καὶ σὺν σκηνῶν κατεφρόνουν καὶ
διὰ τὰ κέρδη, καὶ ἐς ἀνόμους πληγὰς καὶ τραύματα καὶ ἀνδροφονίαι ἐχώρουν.

ὧν αἰσθόμενος ὁ Σκηπίων καὶ ὑπιζόμενος οὔποτε κρατήσειν τῶν πολεμίων
εἰ μὴ τῶν ἰδίων κρατήσειε, συνήγαγεν ἐς ἐκκλησίαν αὐτούς. καὶ ἐπὶ
βῆμα ὑψηλὸν ἀναβάς, ἐπέπληξεν ὧδε· ἐγὼ μεθ' ὑμῶν ὦ ἄνδρες ὑπὸ
Μανιλίῳ στρατηγῷ ταττόμενος, τῆς δ' ἐμαυτοῦ πειθαρχίας ὑμῖν μὲν μάρτυσιν ἔδωκα
πεῖραν, ἣν νῦν ὑμᾶς αἰτῶ στρατηγῶν· κολάσαι μὲν ἐς ἔσχατον ἐξουσίαν
ἔχων τοὺς ἀπειθοῦντας· ὠφέλιμον δ' ἡγούμενος προαγορεῦσαι. ἴστε δὲ ἃ
πράττετε· ὅτι με δεῖ λέγειν ἃ αἰσχύνομαι· λῃστεύετε μᾶλλον ἢ πολεμεῖτε.
καὶ διαδιδράσκετε· οὐ στρατοπεδεύετε· ἢ πανηγυρίζουσιν ὑπὸ τῶν κερδῶν. οὐ
πολιορκοῦσιν ἐοίκατε. καὶ τρυφὴν ἐθέλετε πολεμοῦντες ἔτι οὐ νενικηκότες.
τοιγάρτοι τὰ τῶν πολεμίων ἐξ ἀέλπτου ἐκ βραχέος οὐ κατέλιπον, ἐς τοσοῦτον ἐ-
πῆρται δυνάμεως, ἡμῖν ὁ πόνος ἐκ τῆς δὲ τῆς ῥᾳστώνης γέγονε χαλεπώτερος.
τὰς δ' αἰτίας, εἰ μὲν ὑμᾶς ἑώρων οὐ σεαυτῶν, ἀθρόως ἂν ἐκόλαζον· ἐπεὶ δ' ἀνατί-
θημι ἑτέρῳ, νῦν μὲν ὑμᾶς ἀφίημι τῶν μέχρι νῦν γεγονότων. ἥκω δέ, οὐ λῃ-
στεύσων, ἀλλὰ νικήσων· οὐδὲ χρηματιούμενος πρὸ τῆς νίκης· ἀλλὰ τοὺς
ἐχθροὺς πρῶτον ἐξεργασόμενος. ἄπιτε πάντες ἐκ τοῦ στρατοπέδου σήμερον
ὅσοι μὴ στρατεύεσθε, χωρὶς τῶν ἐπιτετραμμένων ὑπ' ἐμοῦ μένειν· τοῖς δ' ἐξιοῦσιν,
οὐδ' ἐπανελθεῖν βούλομαι πλὴν εἴ τις ἀγορὰν φέροι· ἢ ταύτην στρατιωτικήν τε
καὶ ψιλήν. ἔσται δὲ τούτοις χρόνος ὡρισμένος ἐν ᾧ τὰ ὄντα διαθήσονται· ἡ τῆς
πράσεως αὐτῶν, ἐγὼ καὶ ὁ ταμίας ἐπιμελησόμεθα. καὶ τάδε μὲν εἰρήσθω τοῖς
περιττοῖς. ὑμῖν δὲ τοῖς ἐστρατευμένοις, ἓν ἔστω παράγγελμα κοινὸν ἐπὶ πᾶσι
ἔργοις ὁ ἐμὸς τρόπος καὶ πόνος· πρὸς γὰρ τόδε καταθύμιον τὰς αἰτίας, οὔτε προ-
θυμίας ἁμαρτήσεσθε, οὔτε χάριτος ἀτυχήσετε· χρὴ δέ, νῦν μέν, πονεῖν
ἐν ᾧ κινδυνεύομεν· τὰ δὲ κέρδη καὶ τὴν τρυφὴν ἐς τὸν πρέποντα καιρὸν ἀνα-
θέσθαι. ταῦτ' ἐγὼ προστάσσω καὶ ὁ νόμος· καὶ τοῖς μὲν εὐπειθῶς ἔχουσιν, οἴσει
πολλῶν ἀγαθῶν ἀμοιβήν· τοῖς δ' ἀπειθοῦσι μεταμέλειαν. ὁ μὲν δὴ Σκηπίων,
ταῦτ' εἰπὼν καὶ εὐθὺς ἀπήλαυνε τὸ πλῆθος ἀνδρῶν ἀχρείων· καὶ σὺν αὐτοῖς,
ὅσα περιττὰ ἢ μάταια καὶ τρυφερὰ ἦν. καθαροῦ δὲ τοῦ στρατοῦ γενομένου
ἢ περιδεοῦς, καὶ ἐς τὰ παραγγελλόμενα ὀξέος, ἀπεπείραζε τῶν καλουμένων
Μεγάρων νυκτὸς μέσης διχῇ λανθάνων. χωρίον δ' ἐστὶν ὃ μέγιστον ἐν τῇ πόλει
τὰ Μέγαρα τῷ τείχει παρεζευγμένον. ἐς ὅ, τῇ μὲν ἑτέρᾳ περιέπεμψε· τῇ δ'
αὐτὸς σὺν πελέκεσι ἢ κλίμαξι καὶ μοχλοῖς ἐβάδιζε σταδίους ἀψοφητί,
μετὰ σιγῆς βαθυτάτης. αἰσθήσεως δ' ἄνωθεν ὅτε μάλιστ' ἐπλησίαζε, βοῆς

ἀπὸ τῶν τειχῶν γενομένης, ἀντεβόησεν αὐτός τε πρῶτος καὶ ὁ στρατὸς αὐτοῦ· οἱ
ἐπὶ θάτερα δὲ ἐπεσταλμένοι μέγιστον ὥστε πρῶτον τοῖς Καρχηδονίοις
καταπλαγῆναι τοσούτων ἐχθρῶν ἀνὰ πλευρὰς ἄφνω νυκτὸς ἐπιγενομένων.
καὶ τὰ μὲν ὁ αὐτὸ τότε χρόνος οὐδὲν καίπερ ἐπιχειρῶν ἤνυεν. ἐς δέ τινος ἰδιώτου
πύργον ἔρημον ἐκ τοσούτου τοῦ τείχους, ἢ τὸ ὕψος ἰσονομοῦντα τῷ τείχει, νεανίας
ἀνεβίβασεν εὐτόλμους. οἳ τοὺς ἐπὶ τῶν τειχῶν ἀκοντίοις ἀνέστελλον. ξύλα τε
καὶ σανίδας ἐς τὸ διάστημα ἐπιθέντες ἢ διὰ τούτων ἐς τὰ τείχη διαδραμόντες
καθήλαντο ἐς τὰ Μέγαρα· καὶ πυλίδα κόψαντες, ἐδέχοντο τὸν Σκηπίωνα. ὁ δέ,
εἰσῆλθε μέν, σὺν ἀνδράσι τετρακισχιλίοις. ἡ φυγὴ ταχεῖα τῶν Καρχηδονίων
ἐς τὴν βύρσαν ἦν. ὡς τῆς ἄλλης πόλεως ἁλούσης. βοή τε ἐγίγνετο ποικίλη.
καί τινων αἰχμαλωσία ἢ θόρυβος. ὡς καὶ τοὺς ἔξω στρατοπεδεύοντας ἐκλιπεῖν
τὸ χαράκωμα, καὶ ἐς τὴν βύρσαν ὁμοῦ τοῖς ἄλλοις ἀναδραμεῖν. ὁ δὲ Σκηπίων,
τὸ γὰρ χωρίον τὰ Μέγαρα ἦν λαχανευόμενον. φυτῶν ὡραίων ἔγεμεν, αἱμασιαῖς
τε θριγγοῖς βάτου ἢ ἄλλης ἀκάνθης· καὶ ὀχετοῖς βαθέσιν ὕδατος· ποικί-
λοις τε καὶ σκολιοῖς καταπλέων, ἔδεισε μὴ ἄβατον καὶ δύσχερες ᾖ στρατῷ
διώκοντι, ἐν ἀγνωσίᾳ μάλιστα ὁδῶν. καί τις ἐν νυκτὶ ἐνέδρα γένοιτο,
ἀνεζεύγνυε δή. γενομένης ἡμέρας, ὁ Ἀσδρούβας χαλεπῶς ἔχων τῆς
ἐς τὰ Μέγαρα ἐπιχειρήσεως, ὅσους Ῥωμαίων εἶχεν αἰχμαλώτους, ἐπὶ τὸ τεῖχος
ἀγαγὼν ὅθεν ἀπόψιος Ῥωμαίοις ἔμελλε τὰ δρώμενα ἔσεσθαι, τῶν μὲν
ὀφθαλμούς, τῶν δὲ γλώττας, τῶν δὲ νεῦρα, τῶν δ' αἰδοῖα· σιδηρίοις ἐξεῖλκε καμπύλοις.
τῶν δ' ὑπέτεμνε τὰ πέλματα· καὶ τοὺς δακτύλους ἐξέκοπτεν· τῶν δὲ τὸ δέρμα
τοῦ λοιποῦ σώματος ἀπέσπα· ἡ πάντας ἐμπνέοντας ἔτι κατεκρήμνιζεν· ἀδιά-
λακτα τοῖς Καρχηδονίοις τὰ πρὸς Ῥωμαίους ἐπινοῶν. ὁ μὲν αὐτοὺς οὕτως
ἠρέθιζε· τὴν σωτηρίαν ἔχειν ἐν μόνῃ τῇ μάχῃ. περιεχώρει δ' αὐτῷ ἐς τὸ
ἐναντίον ὧν ἐπενόει· ὑπὸ γὰρ συνειδότος οἱ Καρχηδόνιοι, τῶν δὲ τῶν ἀθεμί-
στων ἔργων, περιδεεῖς ἀντὶ προθύμων ἐγίγνοντο. καὶ τὸν Ἀσδρούβαν ὡς καὶ
τῆς συγγνώμης σφᾶς ἀφῃρημένον ἐμίσουν. καὶ μάλιστα ἡ βουλή, αὐτοῦ
κατεβόα ὡς ὠμὰ ἢ ὑπερήφανα δεδρακότος ἐν συμφοραῖς οἰκείαις τοσαῖσδε.
ὁ δέ, ἐκ τῶν βουλευτῶν τινὰς ἔκτεινε συλλαμβάνων. καὶ ἐς πάντα ὢν ἤδη
περιδεής, ἐς τυραννίδα μᾶλλον ἢ στρατηγίαν περιῆλθεν· ὡς ἐν τῷδε μόνῳ
τὸ ἀσφαλὲς ἕξων, εἰ φοβερὸς αὐτοῖς εἴη, ἢ διὰ τοῦτο καὶ δυσεπιχείρητος. ὁ δὲ
Σκηπίων, τὸν μὲν χάρακα τῶν ἐχθρῶν, ὃν τῇ προτεραίᾳ καταλελοίπεσαν ἐς τὸ

ἀσυμφαίνοντες, ἀνέστρεψε. ὅλου δὲ τοῦ ἰσθμοῦ κρατῶν, διετάφρευεν αὐτὸν
ἐκ θαλάσσης ἐπὶ θάλασσαν, ἀπέχων τῶν πολεμίων ὅσον ὁρμὴν βέλους. οἱ δὲ
ἐπέκειντο. καὶ ἦν αὐτῷ τὸ ἔργον ἐπὶ σταδίους τοῦ μετώπου πέντε καὶ εἴκοσιν. ἐργαζο-
μένῳ τε ὁμοῦ καὶ μαχομένῳ. ὡς δὲ αὐτῷ τοῦτο ἐξετετέλεστο, ἑτέραν ὤρυσσε τάφρον
ἴσην, οὐ πολὺ τῆς προτέρας διασχὼν, ἐς τὴν ἤπειρον ἀφορῶσαν. δύο τε ἐπικαρσίας
αὐταῖς ἑτέρας προσθεὶς, ὡς γενέσθαι τὸ ὅλον ὄρυγμα τετράγωνον, ἐσταύρωσε
πάντα ξύλοις ὀξέσι. καὶ ἐπὶ τοῖς σταυροῖς, τὰς μὲν ἄλλας τάφρους ἐχαράκωσε·
τῇ δὲ ἐς τὴν Καρχηδόνα ὁρώσῃ, καὶ τεῖχος παρῳκοδόμησεν ἐπὶ τοῖς πέντε καὶ εἴκοσι
σταδίοις· ὕψος μὲν, δώδεκα ποδῶν χωρὶς ἐπάλξεών τε καὶ πύργων· οἳ ἐκ διαστή-
ματος ἐπέκειντο τῷ τείχει· τὸ δὲ βάθος, ἐφ᾽ ἥμισυ μάλιστα τοῦ ὕψους. ὁ δὲ μέσος
πύργος, ὑψηλότατός τε ἦν καὶ ἐπ᾽ αὐτοῦ, ξύλινος ἐπέκειτο τετρώροφος. ὅθεν
καθεώρα τὰ γινόμενα ἐν τῇ πόλει. ταῦτα δὴ ἡμέραις εἴκοσι καὶ μύξειν ἐργασάμενος,
ὅλῳ τῷ στρατῷ πονοῦντι καὶ παραλλὰξ ἐργαζομένῳ τε καὶ πολεμοῦντι καὶ σῖτον
καὶ ὕπνον μὴ αἱρουμένῳ, τὴν στρατιὰν ἐσήγαγεν ἐς τόδε τὸ χαράκωμα. καὶ ἦν αὐτῷ
τοῦτο, στρατόπεδόν τε ὁμοῦ καὶ κατὰ τῶν ἐχθρῶν, ἐπιτείχισμα ἐπιμηκές. ὅθεν
ὁρμώμενος, τὴν ἀγορὰν ἀφῄρει τοὺς Καρχηδονίους, ὅση κατὰ γῆν αὐτοῖς ἐφέρετο·
ὅτι γὰρ μὴ τῷδε τῷ αὐχένι μόνῳ, τὰ λοιπὰ τῆς Καρχηδόνος περίκλυστος ἦν. καὶ
τοῦτο πρῶτον αὐτοῖς καὶ μάλιστα ἐγίγνετο λιμοῦ καὶ κακῶν αἴτιον. ἅτε γὰρ τοῦ πλή-
θους παντὸς ἐκ τῶν ἀγρῶν ἐς τὴν πόλιν συνῳκισμένου, οὔτε προϊόντων τινῶν διὰ
τὴν πολιορκίαν, οὔτε ξένων ἐμπόρων διὰ τὸν πόλεμον θαμινὰ προσιόντων· μόνῃ
τῇ τῆς Λιβύης ἀγορᾷ χρώμενοι· μικρὰ μέν ποτε καὶ διὰ θαλάσσης ὅτε ὡραῖον
εἴη, τὰ πλείω δὲ κατὰ τὴν γῆν ἐσκομιζόμενοι, ἀφῃρημένοι δὲ τότε τῆς ἐκ τῆς γῆς κομιδῆς,
ἐπιπόνως ᾔσθοντο τοῦ λιμοῦ. Βιθύας τε, ὃς ἵππαρχος ἦν αὐτοῖς καὶ ἐπέμ-
φθη ἐπὶ σῖτον ἐκ πολλοῦ, προσελθεῖν μὲν καὶ βιάσασθαι τὸ χαράκωμα τοῦ Σκιπίωνος,
οὐκ ἐτόλμα· περιφέρων δὲ τὴν ἀγορὰν ἐς τὰ πόρρω διὰ μακροῦ, ναυσὶν ἐσέπεμπε.
ἐφορμουσῶν μὲν τῇ Καρχηδόνι νεῶν τοῦ Σκιπίωνος· ἀλλ᾽ οὔτε διηνεκῶς, οὔτε
πυκναὶ ἑστήκεσαν, ὡς ἐν ἀλιμένῳ καὶ περικρήμνῳ θαλάσσῃ· παρά τε τὴν
πόλιν αὐτὴν, οὐκ ἐδύναντο ἀνακωχεύειν, τῶν Καρχηδονίων τοῖς τείχεσιν ἐφεστώτων
καὶ τοῦ κύματος ἐκεῖ μάλιστα διὰ τὰς πέτρας ταρασσομένου. ὅθεν αἱ φορτίδες αἱ
Βιθύου, καὶ εἴ τις ἄλλος ἔμπορος ὑπὸ κέρδους ἐθελοκινδύνως ἔπλει, φυλάσσοντες
ἄνεμον ἐκ πόντου πολὺν, πεπετασμένοις τοῖς ἱστίοις διέθεον. ἀδυνάτων οὐσῶν
ἐπὶ τῶν τριήρων, ὁλκάδας φερομένας ἱστίῳ καὶ πνεύματι διώκειν. σπάνιον μὲν οὖν

ἐγίγνετο καὶ μόνον ὅτε βίαιον ἢ πνεῦμα ἐκ πόντου. καὶ ταῦτα δ᾽ ὅσα φέροιεν αἱ
νῆες, Ἀσρούβας τρισμυρίοις ἀνδράσι μόνοις διένεμεν, οὓς ἐς μάχην ἐπι-
λέλεκτο, καὶ τοῦ ἄλλου πλήθους, κατεφρόνει. ὅθεν ἐμόχθουν μάλιστα ὑπὸ τοῦ λιμοῦ.
καὶ ὁ Σκιπίων αἰσθανόμενος, ἐπενόει τὸν ἔσπλουν αὐτοῖς τοῦ λιμένος ἐς δύσιν τε
ἀφορῶντα, καὶ οὐ πάνυ πόρρω τῆς γῆς ὄντα, ἀποκλῇσαι. χῶμα οὖν ἐς τὴν θάλασ-
σαν ἔχου μακρόν, ἀρχόμενος μὲν ἀπὸ τῆς ταινίας, ἣ μεταξὺ τῆς λίμνης οὖσα
καὶ τῆς θαλάσσης, γλῶσσα ἐκαλεῖτο. προϊὼν δὲ ἐς τὸ πέλαγος καὶ ἰθύνων ἐπὶ τὸν
ἔσπλουν. ἔχου δὲ λίθοις τε μεγάλοις καὶ πυκνοῖς, ἵνα μὴ ὑπὸ τοῦ κλύδωνος δια-
φθείροιτο. καὶ πλάτος τοῦ χώματος, τὸ μὲν ἄνω τεσσάρων καὶ εἴκοσι ποδῶν· τὸ δὲ ἐς
τὸν βυθὸν, καὶ τετραπλάσιον ἦν. τοῖς δὲ Καρχηδονίοις, ἀρχομένου μὲν τοῦδε
τοῦ ἔργου, καταφρόνησις ἦν, ὡς χρονίου τε καὶ μακροῦ· καὶ ἴσως ἀδυνάτου. προϊόντος
δὲ σὺν ἐπείξει τοσοῦδε στρατοῦ, μήτε ἡμέραν ἐκλείποντος ἐπὶ τοῖς ἔργοις, μήτε
νύκτα, ἔδεισαν. καὶ στόμα ἕτερον ἐπὶ θάτερα τοῦ λιμένος ὤρυσσον ἐς μέσον
τὸ πέλαγος, οἷ μηδὲν χῶμα προβληθῆναι ἐδύνατο, ὑπὸ βάθους τε καὶ πνευμάτων ἀγριω-
τέρων. διώρυσσον δ᾽ ἅμα γυναιξὶ καὶ παισίν, ἔνδοθεν ἀρχόμενοι καὶ πάνυ λαν-
θάνοντες. ἅμα δὲ καὶ ναῦς ἐξ ὕλης παλαιᾶς ἐναυπήγουν· πεντήρεις τε καὶ τριήρεις·
οὐδὲν ὑπολιπόντες εὐψυχίας τε καὶ τόλμης. οὕτω δὲ πάντα ἐπέκρυπτον, ὥς
μήτε τοὺς αἰχμαλώτους ἔχειν τι τῷ Σκιπίωνι σαφὲς εἰπεῖν, ἀλλὰ κτύπον μὲν
ἐν τοῖς λιμέσιν ἡμέρας τε καὶ νυκτὸς γίγνεσθαι πολὺν ἀπαύστως. τὴν δὲ χρείαν οὐκ εἰδέναι.
μέχρι γε δὴ πάντων ἑτοίμων γενομένων, οἱ Καρχηδόνιοι τὸ στόμα ἀνέῳξαν περὶ ἕω.
καὶ ναυσὶ πεντήκοντα μὲν τριηρετικαῖς. κερκούροις δὲ καὶ μυοπάρωσι καὶ ἄλλοις
βραχυτέροις πολλοῖς ἐξέπλεον ἐς κατάπληξιν ἐσκευασμένοι φοβερῶς. Ῥω-
μαίοις δὲ, τό τε στόμα ἀφνω γενόμενον, καὶ ὁ στόλος ἐπὶ τῷ στόματι, ἐς τοσόνδε κατέ-
πληξεν, ὡς τοὺς Καρχηδονίους, εἰ αὐτίκα ταῖς ναυσὶ ταῖς Ῥωμαίων ἐπέθεντο,
ἠμελημέναις τε ὡς ἐν τῇ χωματουργίᾳ, καὶ οὐδενὸς ναύτου παρόντος, οὐδ᾽ ἐρέτου, ὅλου
ἂν τοῦ ναυστάθμου κρατῆσαι. νῦν δὲ, ἔδει γὰρ ἁλῶναι Καρχηδόνα, τότε μὲν
ἐς μόνην ἐπίδειξιν ἐπεκπλεύσαντες, καὶ σοβαρῶς ἐπιτωθάσαντες ἀνέστρεφον.
τρίτῃ δὲ ἡμέρᾳ μετὰ τοῦτο ἐς ναυμαχίαν καθίσταντο· καὶ Ῥωμαῖοι, τάς τε ναῦς
καὶ τὰ ἄλλα ἐπισκευασάμενοι, ἀντανήγοντο. βοῆς δὲ καὶ παρακελεύσεως ἑκατέρωθεν
γενομένης, καὶ προθυμίας ἐρετῶν τε καὶ κυβερνητῶν καὶ τῶν ἐπιβατῶν, ὡς
ἐν τῷδε λοιπὸν Καρχηδονίοις μὲν τῆς σωτηρίας οὔσης, Ῥωμαίοις δὲ τῆς νίκης
ἐντελοῦς, πληγαί τε πολλαὶ, καὶ τραύματα ποικίλα ἐγίγνετο παρ᾽ ἀμφοῖν μέχρι

μὲν ἡμέρας· νυκτὸς δὲ τῷ πόρῳ, τὰ σκάφη τῶν λιβυρνῶν τὰ μικρὰ ταῖς ῥωμαί-
καις ναυσὶ μεγάλαις οὔσαις ἐς τοὺς ταρσοὺς ὑποτρέχοντα, διετίτραινε πρύ-
μνας καὶ ἐξέκοπτε πηδάλια καὶ κώπας· καὶ ἄλλα πολλὰ καὶ ποικίλα ἐξειργάζετο· ἀ-
δεῶς τε ὑποφεύγοντα καὶ ἀδεῶς ἐπιπλέοντα· ἀκρίτου δ' ἔτι τῆς ναυ-
μαχίας οὔσης, καὶ τῆς ἡμέρας ἐς δείλην τρεπομένης, ἔδοξε τοῖς καρχη-
δονίοις ὑποχωρῆσαι οὔ τι κατὰ ἧτταν· ἀλλ' ἐς τὴν ἐπιοῦσαν ὑπερτιθε-
μένοις. καὶ αὐτῶν τὰ σκάφη τὰ βραχύτερα προύφευγε· καὶ τὸν ἔσπλουν
προλαβόντα, ἐν ἀλλήλοις ὠθεῖτο ὑπὸ τοῦ πλήθους καὶ τὸ στόμα βύζοντα ἀπέ-
κλειον· ὅθεν αἱ μείζους ἐπανιοῦσαι τὸν ἔσπλουν ἀφήρηντο· καὶ ἐς τὸ
χῶμα κατέφυγον ὃ πρὸ τοῦ τείχους εὐρύχωρον ἐμπόροις ἐς διάθεσιν φορ-
τίων ἐγεγένητο ἐκ πολλοῦ· καὶ προτείχισμα ἐπ' αὐτοῦ βραχὺ ἐν τῷδε
τῷ πολέμῳ ἐπεποίητο· ἵνα μὴ ὡς ἐν εὐρυχώρῳ στρατοπεδεύσαιέν ποτε
οἱ πολέμιοι. ἐς μὲν δὴ τόδε τὸ χῶμα, αἱ νῆες αἱ τῶν καρχηδονίων ἀπορίᾳ λι-
μένος κατέφυγον, μετωπηδὸν ὡρμίσαντο· καὶ τοὺς ἐχθροὺς ἐπιπλέ-
οντας, οἱ μὲν, ἀπ' αὐτῶν τῶν νεῶν· οἱ δ' ἀπὸ τοῦ χώματος· οἱ δὲ ἀπὸ τοῦ ἐπιτει-
χίσματος, ἀπεμάχοντο· ῥωμαίοις δὲ, ὁ μὲν ἐπίπλους ἦν ῥᾴδιος καὶ τὸ
μάχεσθαι ναυσὶν ἑστώσαις ἀδεῶς· αἱ δ' ἀναχωρήσεις διὰ τὴν ἀναστροφὴν τῶν νε-
ῶν μακρῶν οὐσῶν, βραδεῖαί τε καὶ δυσχερεῖς ἐγίγνοντο· ὅθεν ἀντέπασχον ἐν
τῷδε τὰ ὅμοια· ὅτε γὰρ ἐπιστρέφοιντο, ἐπλήσσοντο ὑπὸ τῶν καρχηδονίων
ἐπιπλεόντων. μέχρι νῆες σιδητῶν πέντε αἳ φιλίᾳ σκιπίωνος εἵποντο,
τὰς μὲν ἀγκύρας καθῆκαν ἐκ πολλοῦ διαστήματος ἐς τὸ πέλαγος, ἀνάμμασι δ'
ἀπ' αὐτῶν κάλοις μακροῖς, ἐρέσσοντες τοῖς καρχηδονίοις ἐπέπλεον· καὶ ὅτε
ἐγχρίμψαιεν, ὑπεχώρουν τοῖς κάλοις ἐπισπώμεναι κατὰ πρύμναν· αὖθίς
τε ῥοθίῳ καταπλέουσαι, πάλιν ἀνήγοντο κατὰ πρύμναν· τότε γὰρ ὁ στόλος ἅπας
συννοήσας τῶν σιδητῶν ὁρώντων τε καὶ μιμούμενοι, πολλὰ τοὺς ἐχθροὺς ἔβλαπτον·
καὶ τὸ ἔργον ἐς νύκτα ἐτελεύτα· καὶ ἐς τὴν πόλιν διέφυγον αἱ τῶν καρχηδονίων
νῆες, ὅσαι γε ἔτι ἦσαν ὑπόλοιποι. σκιπίων δὲ, γενομένης ἡμέρας, ἐπεχείρει
τῷ χώματι· καὶ γὰρ ἦν εὔκαιρον ἐπιτείχισμα τοῦ λιμένος. κριοῖς οὖν τὸ
προτείχισμα τύπτων. καὶ μηχανήματα πολλὰ ἐπάγων, μέρος αὐτοῦ κατέ-
βαλεν. οἱ δὲ καρχηδόνιοι, καίπερ ὑπὸ λιμοῦ καὶ κακώσεως ποικίλης πιεζόμε-
νοι, νυκτὸς ἐξέδραμον ἐπὶ τὰ ῥωμαίων μηχανήματα· οὐ κατὰ γῆν· οὐ γὰρ
ἦν ὁδὸς· οὐδὲ ναυσίν· ἀλιτενὴς γὰρ ἦν ἡ θάλασσα· ἀλλὰ γυμνοὶ δᾷδας

ἔφερον οὐχ ἡμμένας· ἵνα μὴ μακρόθεν εἶεν καταφανεῖς. ἐς δὲ τὴν θάλασ-
σαν ἐμβάντες, ᾗ μή τις ἂν προσεδόκησεν, οἱ μὲν ἄχρι τῶν μαστῶν βρεχό-
μενοι διεβάδιζον· οἱ δὲ, καὶ διένεον· ὡς ἐπὶ τὰ μηχανήματα ἐλθόντες,
ἐξῆψαν τὸ πῦρ καὶ κατάφωροι γενόμενοι· πολλὰ μὲν ἔπαθον ἅτε γυμνοὶ τι-
τρωσκόμενοι· πολλὰ δ' αὖ καὶ ἔδρασαν ὑπὸ τόλμης· οἱ καὶ τὰς ἀκίδας τῶν βελῶν· καὶ
τὰς αἰχμὰς ἐν στέρνοις καὶ ὄψεσι φέροντες, οὐκ ἀνίεσαν· ὥσπερ θηρία ταῖς πλη-
γαῖς ἐγκείμενοι, μέχρι τὰ μηχανήματα ἐνέπρησαν, καὶ τοὺς ῥωμαίους ἐτρέψαντο
θορυβουμένους. ἔκπληξίς τε καὶ τάραχος ἦν ἀμφὶ ὅλον τὸ στρατόπεδον· καὶ φόβος
οἷος οὔπω, ὑπὸ μανίας γυμνῶν πολεμίων· ὥστε δείσας ὁ σκιπίων, μετὰ ἱππέ-
ων ἔξω περιήει· καὶ τοὺς οἰκείους, εἰ μὴ λήξαιεν τῆς φυγῆς ἐκέλευε βάλλειν· ἐνί-
ους δὲ, καὶ ἔβαλλε καὶ ἀπέκτεινεν, ἕως οἱ πλείονες ἐσώθησαν ἐς τὸ στρατόπεδον ἤδη
ὑπ' ἀνάγκης· καὶ διενυκτέρευσαν ἔνοπλοι, τὴν ἀπόγνωσιν τῶν ἐχθρῶν δεδιότες.
οἱ δὲ, τὰς μηχανὰς ἐμπρήσαντες, ἐξένεον αὖθις εἰς τὰ οἰκεῖα. ἅμα δὲ ἡμέρᾳ,
καρχηδόνιοι μὲν οὐκ ἐνοχλούντων σφᾶς ἔτι μηχανῶν πολεμίων, τὸ διαπεπτωκὸς
τοῦ διατειχίσματος ᾠκοδόμουν· καὶ πύργους ἐν αὐτῷ πολλοὺς ἐποίουν ἐκ δια-
στήματος. ῥωμαῖοι δὲ ἑτέρας ἐργασάμενοι μηχανὰς, χώματα ἤγειρον ἀντιμέτωπα
τοῖς πύργοις· δᾷδάς τε συγκεκομισμένοι καὶ θεῖον ἐν κώθωσι καὶ πίσσαν,
ἐπ' αὐτοὺς ἐσφενδόνων· καὶ ἐνίους τῶν πύργων ἐνεπίμπρασαν· καὶ τοὺς
καρχηδονίους φεύγοντας ἐδίωκον· ὀλισθηρὸς δ' ἦν ὁ δρόμος ὑφ' αἵματος πεπηγότος
ὑπογείου τε καὶ πολλοῦ· ὥστε τῶν φευγόντων ἀπελίποντο διώκοντες. ὁ δὲ σκιπίων,
τοῦ χώματος ὅλου κατασχὼν, ἀπετάφρευεν αὐτό· καὶ τεῖχος ἐκ πλίνθων, οὔτε κο-
λοβώτερον τοῦ τῶν πολεμίων, οὔτε ἐκ μακροῦ διαστήματος αὐτῶν· ὡς δ' ἐξείρ-
γαστο αὐτῷ καὶ τὸ τεῖχος, τετρακισχιλίους ἐς αὐτὸ ἔπεμψεν ἐπαφιέναι τοῖς ἐχθροῖς
βέλη τε καὶ ἀκόντια σὺν καταφρονήσει· οἳ δὲ, ἰσομέτωποι γενόμενοι, ἔβαλλον
αὐτοὺς ἐπιτυχῶς. καὶ τὸ θέρος ἐς ταῦτα ἀνηλώθη. χειμῶνος δ' ἀρχομένου, τὴν
ἐν τῇ χώρᾳ τῶν καρχηδονίων δύναμίν τε καὶ συμμάχους, ὁ σκιπίων ἔγνω προκαθελεῖν.
ὅθεν αὐτοῖς διεπέμπετο· περιπέμψας οὖν ἑτέρωθεν ἑτέρους, αὐτὸς ἐς νέ-
φεριν ἐπὶ διογένη τὸν μετὰ ἀσδρούβαν φρουροῦντα τὴν νέφεριν ἠπείγετο· διὰ
τῆς λίμνης καὶ γάιον λαίλιον κατὰ γῆν περιέπεμπε· ὡς δὲ ἀφίκετο δύο στα-
δίους ἀποσχὼν τοῦ διογένους ἐστρατοπέδευε· καὶ γολόσσην καταλιπὼν ἐγχειρεῖν ἀπαύστως
τῷ διογένει, αὐτὸς ἐπὶ καρχηδόνος ἠπείγετο· ὅθεν ἐς νέφεριν τε καὶ καρχη-
δόνα διετρόχαζεν· ἀεὶ τὰ γιγνόμενα ἐφορῶν· δύο δὲ τοῦ διογένους μεσοπυργί-

καταπεσόντων, ἧκεν ὁ σκηπίων. καὶ χιλίοις ἐπιλέκτοις ὄπισθεν τοῦ λόφου τῶν
ἐνεδρεύσας, ἑτέροις δὲ μετώπου τρισχιλίοις ἀριστίνδην ἐπιλελεγ-
μένοις, ἐπέβαινεν ἐπὶ τὰ πεπτωκότα τῶν μετώπων(?)· οὐκ ἀθρόους ἀναβι-
βάζων· ἀλλὰ κατὰ μέρη πυκνοὺς ἐπαλλήλοις· ἵνα μηδὲ βιασθέντες οἱ πρῶτοι
φυγεῖν δύναιντο διὰ τοὺς ἑπομένους· πολλῆς δὲ βοῆς γενομένης καὶ πόνου· καὶ τῶν
λιβύων ἐς ταῦτ' ἐστραμμένων· οἱ χίλιοι καθὰ παρ' αὐτοῖς προείρητο, οὐδενὸς
ἐς αὐτοὺς ἀποβλέποντος· οὐδ' ὑπονοοῦντος ἀνέπεσον εἰς τὸ χαράκωμα
εὐτόλμως· καὶ διέσπων αὐτὸ καὶ ὑπερέβαινον· καὶ τῶν πρώτων ἔνδον γενομένων, αἰσθήσεις
ἐγίγνετο ταραχή· καὶ ἔφευγον οἱ λίβυες· οὐχ ὅσοις ἑώρων· ἀλλὰ πολὺ πλέονας
ἡγούμενοι τοὺς ἐπελθόντας εἶναι· γολόσσης δ' αὐτοῖς ἐπιτρέχων σὺν νομάσι πολλοῖς
καὶ ἐλέφασι, πολὺν εἰργάζετο φόνον· ὡς ἀπολέσθαι μὲν ἐς ἑπτακισμυρίους
σὺν τοῖς ἀχρείοις· ἁλῶναι δὲ ἐς μυρίους· διαφυγεῖν δ' ἀμφὶ τοὺς τετρακισχιλίους·
ἑάλω δὲ καὶ ἡ πόλις ἡ νέφερις ἐπὶ τῷ στρατοπέδῳ· δύο καὶ εἴκοσιν ἡμέραις ἄλλαις
πολιορκηθεῖσα πρὸς τοῦ σκηπίωνος· σὺν κακοπαθείᾳ, ἐν χειμῶνι καὶ ψύχει· χωρί-
ον δὲ ἔργον τόδε, μάλιστα συνήνεγκεν ἐς τὴν τῆς καρχηδόνος ἅλωσιν· ἥ τε γὰρ
στρατιὰ τὴν ἀγορὰν αὐτοῖς διεπόρθμευε· καὶ ἐς τόδε τὸ στρατόπεδον λίβυες ἀφορῶντες
ἐθάρρουν· τότε δ' αὐτοῦ ληφθέντος, τὰ λοιπὰ τῆς λιβύης χωρία τοῖς στρατηγοῖς
σκηπίωνος προσεχώρει· ἃ οὐ δι' ὀλίγου ῥᾳδίως συνελάμβανε· ἥ τε ἀγορὰ, τοῖς καρχηδονίοις
ἐπέλιπε· καὶ οὐδὲν οὔτε ἐκ λιβύης ἀλλοτρίας ἤδη γενομένης, οὔτ' ἄλλοθεν
αὐτοῖς κατὰ πλοῦν ἐδίδοτο· διά τε τὸν πόλεμον αὐτὸν, καὶ τὴν ὥραν χειμερίου οὔσης·
ἀρχομένου δὲ ἔαρος, ὁ μὲν σκηπίων ἐπεχείρει τῇ τε βύρσῃ καὶ τῶν λιμένων τῷ καλου-
μένῳ κώθωνι· ὁ δ' ἀσδρούβας, νυκτὸς ἐνεπίμπρη τὸ μέρος τοῦ κώθωνος τὸ τετράγωνον·
ἐλπίσας δ' ἔτι τὸν σκηπίωνα ἐπιθήσεσθαι· ἐς τοῦτο δὲ τῶν καρχηδονίων ἐπεστραμμένων,
ἔλαθε λαίλιος ἐπὶ θάτερα τοῦ κώθωνος ἐς τὸ περιφερὲς αὐτοῦ μέρος ἀνελθών·
βοῆς δ' ὡς ἐπὶ νίκῃ γενομένης, οἱ μὲν ἔδεισαν· οἱ δὲ πανταχόθεν ἤδη καταφρο-
νοῦντες, ἐβιάζοντο τὴν ἀνάβασιν· ξύλα· μηχανήματα· καὶ σανίδας ἐπιτιθέντες
ἐπὶ τὰ διαστήματα· ἀτονούντων τὰ σώματα τῶν φυλάκων ὑπὸ τοῦ λιμοῦ γεγονότων καὶ ταῖς γνώ-
μαις ἀπαγορευόντων· ληφθέντος δὲ τοῦ περὶ τὸν κώθωνα τείχους, τὴν ἀγορὰν ἐγγὺς οὖσαν ὁ
σκηπίων κατέλαβεν· οὐδέν τε ὡς ἦν ἑσπέρα πλέον ἐπιδειξάμενος ἐν τοῖς ὅπλοις, διε-
νυκτέρευσε μετὰ πάντων· ἀρχομένης δὲ τῆς ἡμέρας, ἑτέρους ἐκάλει τετρακις-
χιλίους· οἱ ἐς ἱερὸν ἀπόλλωνος· οὗ τό τε ἄγαλμα κατάχρυσον ἦν καὶ θῶμα
αὐτῷ χρυσήλατον ἀπὸ χιλίων ταλάντων σταθμοῦ περιέκειτο, ἐσύλων· καὶ

ταῖς μαχαίραις ἔκοπτον ἀμηχανήσαντες τῶν ἐφόδων, ἕως ἐμπρίσαντες
ἐπὶ τὸ ἔργον ἐτράποντο· σκηπίωνι δ' ἦν μὲν, ἐπὶ τὴν βύρσαν ἡ σπουδή·
τὸ γὰρ ὀχυρώτατον τῆς πόλεως ἦν· καὶ οἱ πλείονες ἐς αὐτὴν συνεπεφεύγεσαν·
τριῶν δ' οὐσῶν ἀπὸ τῆς ἀγορᾶς ἀνόδων ἐς αὐτὴν, οἰκίαι πυκναὶ καὶ ἑξώ-
ροφοι πανταχόθεν ἦσαν· ὅθεν οἱ ῥωμαῖοι βαλλόμενοι, τὰς πρώτας τῶν οἰκιῶν
κατέλαβον· καὶ ἀπ' αὐτῶν ἠμύνοντο τοὺς ἐπὶ τῶν πλησίον· ὅτε δ' αὐτῶν κρα-
τήσαιεν, ξύλα ἐπιτιθέντες τοῖς διαστήμασι τῶν στενωπῶν ἐπιτιθέντες, διέ-
βαινον ὡς ἐπὶ γεφυρῶν· καὶ ὁ δὲ μὲν ὁ πόλεμος, ἦν ἐπὶ τῶν τεγῶν ἄνω·
ἕτερος δ' ἐν τοῖς στενωποῖς κατὰ τοὺς ἀπαντῶντας· στόνου δὲ καὶ βοῆς καὶ
οἰμωγῆς πάντα καὶ ποικίλων παθῶν ἐνεπίμπλατο, κτεινομένων τε ἐν
χερσί· καὶ ζώντων ἔτι ῥιπτουμένων ἄνωθεν ἀπὸ τῶν τεγῶν ἐς τὸ ἔδαφος· καὶ φερο-
μένων ἐνίων ἐπὶ δόρατα ὀρθὰ ἢ αἰχμὰς ἄλλας, ἢ ξίφη· ἐνεπίμπρη δ' οὐδεὶς
οὐδέπω, διὰ τοὺς ἐπὶ τῶν τεγῶν, ἕως ἐπὶ τὴν βύρσαν ἧκεν ὁ σκηπίων· καὶ
τότε τοὺς τρεῖς ὁμοῦ στενωποὺς, ἐνεπίμπρη· καὶ τὸ ἀεὶ πιμπράμενον, ἑτέροις
ὁδοποιεῖν ἐκέλευεν· ἵνα ἀνέτως ὁ στρατὸς ἀλλασσόμενος διαθέῃ· ἄλλη δ' ὄψις
τοῦ δεινοῦ ἐτέρων κακῶν· τοῦ μὲν πυρὸς ἐπιφλέγοντος πάντα καὶ κατα-
φέροντος· τῶν δ' ἀνδρῶν τὰ οἰκοδομήματα οὐ διαιρούντων κατ' ὀλίγον· ἀλλ' ἀθρό-
α βιαζομένων ἀνατρέπειν· ὅ τε γὰρ κτύπος ἐκ τοῦδε πολὺ πλείων ἐγίγνετο·
καὶ μετὰ τῶν λίθων ἐξέπιπτον ἐς τὸ μέσον ἀθρόοι νεκροί· ζῶντες τε ἕτεροι,
πρεσβῦται μάλιστα· καὶ παιδία καὶ γύναια· ὅσα τοῖς μυχοῖς τῶν οἰκιῶν ἐκέκρυπτο·
οἱ μὲν καὶ τραυματίαι φέροντες· οἱ δ' ἡμίφλεκτοι φωνὰς ἀηδεῖς ἀφιέντες·
ἕτεροι δ' ὡς ἀπὸ τοσοῦδε ὕψους μετὰ λίθων καὶ ξύλων καὶ πυρὸς ὠθούμενοι καὶ
καταπίπτοντες ἐς πολλὰ σχήματα κακῶν διεσπῶντο· ῥηγνύμενοί τε καὶ
καταρασσόμενοι· καὶ οὐδὲ τέλος αὐτοῖς ταῦτα ἀπέχρη· λιθολόγοι γὰρ ὅσοι
πελέκεσι καὶ ταῖς ἀξίναις· οἱ δὲ ταῖς χηλαῖς τῶν κοντῶν τούς τε νεκροὺς καὶ
τοὺς ἔτι ζῶντας, ἐς τὰ τῆς γῆς κοῖλα μετέβαλλον ὡς ξύλα καὶ λίθους ἐπι-
σύροντες ἢ ἀνατρέποντες τῷ σιδήρῳ· ἦν τε ἄνθρωπος ἀναπλήρωμα βόθρου·
μεταβαλλόμενοι δ' οἱ μὲν, ἐς κεφαλὰς ἐφέροντο· καὶ τὰ σκέλη σφῶν ὑπερί-
σχοντα τῆς γῆς ἤσπαιρον ἐπὶ πλεῖστον· οἱ δ' ἐς μὲν τοὺς πόδας ἐπέπιπτον
κάτω· καὶ ταῖς κεφαλαῖς ὑπερεῖχον ὑπὲρ τὸ ἔδαφος· ἵπποι δ' αὐτοὺς διαθέοντες
ἐς τὰ πρόσωπα καὶ τὸν ἐγκέφαλον ἐκόλαπτον, οὐχ ἑκόντων τῶν ἐποχουμένων·
ἀλλ' ὑπὸ σπουδῆς· ἐπεὶ οὐδ' οἱ λιθολόγοι ταῦτ' ἔδρων ἑκόντες· ἀλλ' ὁ τοῦ πο

λέμου πόνος ἦν, ἔδοξα τῆς νίκης ἐς τὸ ἦν τοῦ στρατοῦ σπουδή. οἱ κήρυκες
ὁμοῦ καὶ σαλπιγκταὶ πάντα θορυβοῦντες. χιλίαρχοί τε καὶ λοχαγοὶ μετὰ
τῶν τάξεων ἀλλασσόμενοι καὶ διαθέοντες, ὠθοῦντες ἅπαντας ἐποίουν ἀφειδεῖς
τῶν ὁρωμένων ὑπὸ σπουδῆς. καὶ ταῦτα πονουμένων ἐξανηλώθησαν ἓξ ἡμέραι
τε καὶ νύκτες· τῆς μὲν στρατιᾶς ἐναλλασσομένης ἵνα μὴ κάμοιεν ὑπ᾽ ἀ-
γρυπνίας καὶ κόπου καὶ φόνου καὶ ὄψεως ἀηδοῦς. Σκηπίωνος δὲ ἀπαύστως
ἐφεστῶτος ἢ ἀλαθέντος ἀΰπνου. καὶ σιτουμένου ἐπὶ τῶν ἔργων αἱρουμένου
μέχρι κάμνων ἤδη παρειμένος ἐκαθέζετο ἀφ᾽ ὑψηλοῦ τὰ γιγνόμενα ἐφορῶν.
πολλῶν δὲ ἔτι πορθουμένων καὶ τοῦ κακοῦ μακρότατα δοκοῦντος ἔσεσθαι,
προσέφυγον ἑβδόμης ἡμέρας αὐτῷ τινες ἐστεμμένοι τὰ στέμματα ἀσκλη-
πιοῦ· τόδε γὰρ ἦν τὸ ἱερὸν τῆς ἀκροπόλεως μάλιστα τῶν ἄλλων ἐπιφανὲς καὶ
πλούσιον· ὅθεν οἵδε τὰς ἱκετηρίας λαβόντες, ἐδέοντο τοῦ Σκηπίωνος περὶ
μόνης συνθέσθαι σωτηρίας τοῖς ἐθέλουσιν ἐπὶ τῷδε τῆς βύρσης ἐξιέναι.
ὁ δέ, ἐδίδου χωρὶς αὐτομόλων καὶ ἐξῆλθον αὐτίκα μυριάδες πέντε ἀνδρῶν
ἅμα καὶ γυναικῶν. ἀνοιχθέντος αὐτοῖς στενοῦ διατειχίσματος. καὶ οὗτοι μὲν
ἐφυλάσσοντο· ὅσοι δὲ αὐτόμολοι ῥωμαίων ἦσαν ἀμφὶ τοὺς ἐνακοσίους μάλιστα
ἀπογνῶντες αὐτῶν, ἐς τὸ ἀσκληπιεῖον ἀνέδραμον· μετὰ ἀσρούβα καὶ
τῆς γυναικὸς τοῦ ἀσρούβα· καὶ δύο παίδων ἀρρένων· ὅθεν δὴ ῥᾳδίως ἀεὶ
ἐμάχοντο καίπερ ὄντες ὀλίγοι διὰ τὸ ὕψος τοῦ τεμένους καὶ τὸ ἀπόκρημνον.
ἐς ὃ καὶ ἐν εἰρήνῃ διὰ βαθμῶν ἑξήκοντα ἀνέβαινον. ὡς δὲ ὅ τε λιμὸς
αὐτοὺς καθῄρει· καὶ ἡ ἀγρυπνία καὶ ὁ φόβος, καὶ ὁ πόνος τοῦ κακοῦ προσ-
πελάζοντος, τὸ μὲν τέμενος ἐξέλιπον· ἐς δὲ τὸν νεὼν αὐτοῦ καὶ τὸ τέγος
ἀνέτρεχον. κἀν τούτῳ λαθὼν ὁ ἀσρούβας, ἔφυγε πρὸς τὸν Σκηπίωνα
μετὰ θαλλῶν. καὶ αὐτὸν ὁ Σκηπίων ἐκάθισε πρὸς ποδῶν ἑαυτοῦ. καὶ τοῖς
αὐτομόλοις ἐπεδείκνυεν. οἱ δὲ ὡς εἶδον, ᾔτησαν ἡσυχίαν σφίσι γενέσθαι.
καὶ γενομένης, ἀσρούβαν μὲν, ἐλοιδόρησαν πολλὰ καὶ ποικίλα· τὸν δὲ νεὼν,
ἐνέπρησάν τε καὶ κατέκαυσαν· τὴν δὲ γυναῖκα τοῦ ἀσρούβα λέγουσιν,
ἁπτομένου τοῦ πυρός, ἀντικρὺ τοῦ Σκηπίωνος γενομένην, κατακοσμή-
σασθαί τε ὡς ἐν συμφοραῖς ἐδύνατο· καὶ παραστησαμένην τὰ τέκνα, εἰπεῖν ἐς
ἐπήκοον τοῦ Σκηπίωνος· σοὶ μέν, οὐ νέμεσις ἐκ θεῶν ὦ ῥωμαῖε· ἐπὶ γὰρ
πολεμίαν ἐστράτευσας· ἀσρούβαν τε τόνδε πατρίδος τε καὶ ἱερῶν καὶ ἐμοῦ καὶ
τέκνων, προδότην γενόμενον, οἵ τε καρχηδόνος δαίμονες ἀμύναιντο, καὶ σὺ

μετὰ τῶν δαιμόνων· εἶτ᾽ ἐς τὸν ἀσρούβαν ἐπιστραφεῖσα εἶπεν· ὦ μιαρὲ
καὶ ἄπιστε καὶ μαλακώτατε ἀνδρῶν· ἐμὲ μὲν καὶ τοὺς ἐμοὺς παῖδας, τόδε τὸ
πῦρ θάψει· σὺ δὲ, τίνα κοσμήσεις θρίαμβον, ὁ τῆς μεγάλης καρχηδόνος ἡ-
γεμών· τίνα δ᾽ οὐ δώσεις δίκην τῷδε, ᾧ παρακαθέζῃ. τοσαῦτ᾽ ὀνειδίσασα,
κατέσφαξε τοὺς παῖδας. καὶ ἐς τὸ πῦρ αὐτούς τε καὶ ἑαυτὴν ἐπέρριψεν· ὧδε
μὲν φασὶ τὴν ἀσρούβα γυναῖκα ὡς αὐτὸν ἐχρῆν ἀσρούβαν ἐποίησεν, ἀπο-
θανεῖν· ὁ δὲ Σκηπίων, πόλιν ὁρῶν ἑπτακοσίοις ἔτεσιν ἀνθήσασαν ἀπὸ τοῦ
συνοικισμοῦ· καὶ γῆς τοσῆσδε καὶ νήσων καὶ θαλάσσης ἐπάρξασαν, ὅπλων
τε καὶ νεῶν καὶ ἐλεφάντων καὶ χρημάτων εὐπορήσασαν ἴσα ταῖς ἀρχαῖς ταῖς
μεγίσταις· τόλμῃ δὲ καὶ προθυμίᾳ πολὺ διασχοῦσαν· ἥ γε καὶ ναῦς καὶ ὅπλα
πάντα περιῃρημένη· τρισὶν ὅμως ἔτεσιν ἀντέσχε πολέμῳ τοσῷδε καὶ λιμῷ,
τότε ἄρδην τελευτῶσαν ἐς πανωλεθρίαν ἐσχάτην, λέγεται μὲν δακρῦσαι
καὶ φανερὸς γενέσθαι κλαίων ὑπὲρ πολεμίων· ἐπὶ πολὺ δ᾽ ἔννους ἐφ᾽ ἑαυτοῦ
γενόμενός τε καὶ συνιδών. ὅτι καὶ πόλεις καὶ ἔθνη καὶ ἀρχὰς ἁπάσας δεῖ
μεταβαλεῖν ὥσπερ ἀνθρώπους δαίμονα. καὶ τοῦτ᾽ ἔπαθε μὲν ἴλιον εὐτυχής ποτε
πόλις. ἔπαθε δὲ καὶ ἀσσυρίων καὶ μήδων καὶ περσῶν ἐπ᾽ ἐκείνοις ἀρχὴ μεγίστη
γενομένη. καὶ ἡ μάλιστα ἔναγχος ἐκλάμψασα καὶ μακεδόνων, εἴτε ἑκὼν,
εἴτε προφυγόντος αὐτὸν τοῦδε τοῦ ἔπους· ἔσσεται ἦμαρ ὅταν ποτ᾽ ὀλώλῃ
ἴλιος ἱρή· καὶ πρίαμος· καὶ λαὸς ἐϋμμελίω πριάμοιο· πολυβίου δ᾽ αὐτὸν
ἐρομένου σὺν παρρησίᾳ· καὶ γὰρ ἦν αὐτοῦ καὶ διδάσκαλος, ὅ τι βούλοιτο
ὁ λόγος, φασὶν οὐ φυλαξάμενον ὀνομάσαι τὴν πατρίδα σαφῶς ὑπὲρ ἧς ἄρα
ἐς τἀνθρώπεια ἀφορῶν, ἐδεδίει. καὶ τάδε μὲν πολύβιος αὐτὸς ἀκούσας
συγγράφει. Σκηπίων δὲ ἐπεὶ κατέσκαπτο καρχηδών, ἐπὶ μέν τιν᾽ ἡμερῶν
ἀριθμὸν ἐπέτρεψε τῇ στρατιᾷ διαρπάζειν ὅσα μὴ χρυσὸς ἢ ἄργυρος ἢ
ἀναθήματα ἦν· μετὰ δὲ τοῦτο ἀριστεῖα πολλὰ δίδους ἅπασι χωρὶς τῶν ἐς τὸ
ἀπολλώνιον ἁμαρτόντων, ναῦν μὲν ὀξυτάτην κοσμήσας λαφύροις, ἄγγελον
τῆς νίκης ἔστειλεν ἐς ῥώμην· ἐς δὲ σικελίαν περιέπεμπεν ὅσα καρχηδό-
νιοι σφῶν ἀναθήματα κοινὰ πολεμοῦντες ἔλαβον, ἐλθόντας ἐπιγινώσκειν
καὶ κομίζεσθαι· ὃ καὶ μάλιστα αὐτὸν ἐδημαγώγησεν, ὡς μετὰ τοῦ δυνατοῦ
φιλάνθρωπον. ἀποδόμενος δὲ τὰ λοιπὰ τῶν λαφύρων, ὅπλα καὶ μηχανήματα
καὶ ναῦς ἀχρήστους, ἄρει καὶ ἀθηνᾷ διαζωσάμενος αὐτὸς ἔκαιε κατὰ τὰ πάτρια.
οἱ δὲ ἐν ῥώμῃ ὡς αὐτίκα τὴν ναῦν ἰδόντες. καὶ τῆς νίκης περὶ δείλην ἑσπέραν

πυθόμενοι, ἐς τὰς ὁδοὺς ἐξεπήδων. καὶ διενυκτέρευον μετ' ἀλλήλων ἡδόμενοι καὶ συμπλεκόμενοι· ὡς ἄρτι μὲν ἐλεύθεροι φόβων γεγονότες. ἄρτι γὰρ ἄρχοντες ἑτέρων ἀσφαλῶς· ἄρτι δὲ βέβαιον τὴν πόλιν ἔχοντες, καὶ νενικηκότες, οἵαν οὔτινα πρότερον ἄλλην· πολλὰ μὲν γὰρ αὐτοῖς συνῄδεσαν ἔργα λαμπρά· πολλὰ δὲ τοῖς πατράσιν ἔς τε Μακεδόνας καὶ Ἴβηρας καὶ ἐς Ἀντίοχον τὸν μέγαν ἔναγχος καὶ περὶ αὐτὴν Ἰταλίαν· πόλεμον δ' οὐδένα ἄλλον ᾔδεσαν οὕτως ἐπὶ θύραις ἐπίφοβον αὐτοῖς γενόμενον· διά τε ἀνδρείαν καὶ φρόνημα καὶ τόλμαν τῶν ἐχθρῶν, καὶ ἐπιστᾶσιν σφίσιν, ἐπικίνδυνον γενόμενον· ἀμφότερον δέ, καὶ ὧν ἔπαθον ὑπὸ Καρχηδονίων ἔν τε Σικελίᾳ καὶ Ἰβηρίᾳ καὶ περὶ αὐτὴν Ἰταλίαν ἑκκαίδεκα ἔτεσιν· Ἀννίβου τετρακόσια ἐμπρήσαντος ἄστη· καὶ μυριάδας ἀνδρῶν τριάκοντα ἐν μόναις μάχαις ἀνελόντος· ἐπί τε τὴν Ῥώμην πολλάκις ἐλάσαντος, καὶ ἐς ἔσχατον κινδύνου συναγαγόντος· ὧν ἐνθυμούμενοι μάλιστα, ἐξίσταντο περὶ τῆς νίκης ἐς ἀπιστίαν αὐτῆς· καὶ αὖθις ἀνεπυνθάνοντο ἀλλήλων, εἰ τῷ ὄντι Καρχηδὼν κατέσκαπται· διελάλουν τε δι' ὅλης νυκτός, ὅπως μὲν αὐτῶν τὰ ὅπλα περιῃρέθη· καὶ ὅπως αὐτοὶ παρὰ δόξαν ἐτεκτήναντο ἕτερα· ὅπως δὲ τὰς ναῦς ἀφῃρέθησαν, καὶ στόλον ἐπήξαντο πολὺν ἐξ ὕλης παλαιᾶς· τό τε στόμα τοῦ λιμένος ὡς ἀπεκλείσθη, καὶ στόμα ὡς ὤρυξαν ἕτερον ἐν ἡμέραις ὀλίγαις· καὶ τὸ τοῦ τείχους ὕψος αὐτοῖς διὰ στόματος ἦν· καὶ τῶν λίθων μεγέθη· καὶ τὸ πῦρ, ὃ πολλάκις ταῖς μηχαναῖς ἐπήνεγκαν· ὅλως τε τὸν πόλεμον, ὡς ὁρῶντες ἄρτι γιγνόμενον ἀλλήλοις διετύπουν· καὶ ἐν ταῖς φαντασίαις τῶν λεγομένων τῷ σχήματι τοῦ σώματος συμφέροντο· καὶ τὸν Σκιπίωνα ὁρᾶν ἐδόκουν ἐπὶ κλιμάκων· ἐπὶ νεῶν· ἐν πύλαις· ἐν μάχαις πανταχοῦ διαθέοντα· οὕτω μὲν οἱ Ῥωμαῖοι διενυκτέρευσαν· ἅμα δὲ ἡμέρᾳ, θυσίαι τε καὶ πομπαὶ τοῖς θεοῖς ἐγίγνοντο κατὰ φυλήν· καὶ ἀγῶνες ἐπὶ τούτοις· καὶ θέαι ποικίλαι· δέκα δὲ σφῶν αὐτῶν ἡ βουλὴ τοὺς ἀρίστους ἔπεμπε· διαθησομένους Λιβύην μετὰ Σκιπίωνος, ἐς τὸ Ῥωμαίοις σύμφορον· οἳ Καρχηδόνος μέν, εἴ τι περίλοιπον ἔτι ἦν, ἔκριναν κατασκάψαι Σκιπίωνα· καὶ οἰκεῖν αὐτὴν ἀπεῖπον ἅπασι· καὶ ἐπηράσαντο μάλιστα περὶ τῆς Βύρσης, εἴ τις οἰκήσειεν αὐτὴν· ἢ τὰ καλούμενα Μέγαρα, ἐπιβαίνειν δ' οὐκ ἀπεῖπον· ὅσαι δὲ πόλεις συμμεμαχήκεσαν τοῖς πολεμίοις, ἐπὶ μὲν ἔδοξε καθελεῖν ἁπάσας· ὅσαι δὲ Ῥωμαίοις βεβοηθήκεσαν, χώραν ἔδωκαν ἑκάστῃ τῆς δορικτήτου· καὶ πρώτῃ μάλιστα, Ἰτυκαίοις, τὴν μέχρι Καρχηδόνος αὐτῆς καὶ Ἱππῶνος ἐπὶ θάτερα·

τοῖς δὲ λοιποῖς, φόρον ὥρισαν ἐπὶ τῇ γῇ καὶ ἐπὶ τοῖς σώμασιν, ἀνδρὶ καὶ γυναικὶ ὁμοίως· καὶ στρατηγὸν ἐτήσιον αὐτοῖς ἐκ Ῥώμης ἐπιπέμπειν ἔκριναν· οἱ μὲν δὴ ταῦτα προστάξαντες, ἀπέπλευσαν ἐς Ῥώμην· ὁ δὲ Σκιπίων, ἐποίει τὰ δόξαντα· καὶ θυσίας ἐτέλει· καὶ ἀγῶνας ἐπὶ τῇ νίκῃ· ὡς δὲ αὐτῷ πάντα διεξετέθη, καταπλεύσας, ἐπιφανέστατα δὴ πάντων ἐθριάμβευσε πολὺν χρυσὸν ἐνθεὶς ἐν θριάμβῳ, ἀγάλματά τε γέμοντα καὶ ἀναθήματα, ὅσα Καρχηδόνιοι χρόνῳ πολλῷ καὶ συνεχέσι νίκαις ἐκ πάσης γῆς συνενηνόχασιν ἐς Λιβύην· τότε δὴ, ὅτε καὶ τὰ Μακεδόνων ἀλόντος ἀνδρίσκου τοῦ ψευδοφιλίππου, τέτακτο καὶ τρίτος θρίαμβος· καὶ κατὰ τῆς Ἑλλάδος πρῶτος ὁ Μομμίου· ἦν ταῦτα, ἀμφὶ τὰς ἑξήκοντα καὶ ἑκατὸν ὀλυμπιάδας· χρόνῳ δ' ὕστερον Γαΐου Γράκχου δημαρχοῦντος ἐν Ῥώμῃ, καὶ στάσεων οὐσῶν ἐξ ἀπορίας, ἔδοξε κληρούχους ἐς Λιβύην πέμψαι ἑξακισχιλίους· διαγραφομένων δ' ἀμφὶ τὴν Καρχηδόνα τῶν θεμελίων, λύκοι τὰ θεμέλια ἀθρόα διέσπασάν τε καὶ συνέχεαν· καὶ τότε μὲν ἀνέσχεν ἡ βουλὴ τοῦ συνοικισμοῦ· χρόνῳ δὲ αὖθις ὁ πρότερος Γάιος Καῖσαρ· ὁ καὶ δικτάτωρ ὕστερον αὐτοῖς διὰ νίκης γενόμενος, Πομπήιον ἐς Αἴγυπτον ἐδίωκε· καὶ τοὺς Πομπηίου φίλους ἐς Λιβύην ἀπ' Αἰγύπτου· λέγεται τῇ Καρχηδόνι στρατοπεδεύων, ὄψιν ὑπνοῦ ἰδεῖν στρατὸν πολὺν ἰδὼν κλαίοντα, καὶ ὀχληθεὶς· καὶ αὐτίκα ἐς ὑπόμνημα ὑπογράψασθαι, Καρχηδόνα συνοικίζειν· καὶ μετ' οὐ πολὺ τῶν ἀπόρων αὐτὸν ἐν Ῥώμῃ περὶ γῆς παρακαλούντων, συνέταξεν ὡς πέμψων τοὺς μὲν, ἐς τὴν Καρχηδόνα· τοὺς δὲ ἐς Κόρινθον· ἀλλ' ὁ μὲν, θᾶττον ἀνῃρέθη πρὸς ἐχθρῶν ἐν τῷ Ῥωμαίων βουλευτηρίῳ· ὁ δὲ ἐκείνου παῖς Ἰούλιος Καῖσαρ ὁ Σεβαστὸς ἐπίκλησιν, ἐντυχὼν ἄρα ταῖς ὑπογραφαῖς τοῦ πατρός, συνῴκισε τὴν νῦν Καρχηδόνα ἀγχοτάτω μάλιστα ἐκείνης· φυλαξάμενος τῆς παλαιᾶς τὸ ἐπάρατον· οἰκήτορας τε Ῥωμαίων μὲν αὐτὸν τρεῖς χιλίους μάλιστα πυνθάνομαι· τοὺς δὲ λοιποὺς ἐκ τῶν περιοίκων συναγαγεῖν· ὧδε μὲν Λιβύης τῆς ὑπὸ Καρχηδονίοις Ῥωμαῖοι κατέσχον, καὶ Καρχηδόνα κατέσκαψάν τε καὶ συνῴκισαν αὖθις μετὰ ἔτη τῆς κατασκαφῆς ἑκατὸν καὶ δύο :+

+ Ἀππιανοῦ Ἰλλυρικὴ Ῥωμαϊκῶν :-

Ἰλλυριοὺς Ἕλληνες ἡγοῦνται, τοὺς ὑπέρ τε Μακεδονίαν καὶ Θεσπρωτίαν ἀπὸ Χαόνων καὶ Θεσπρωτῶν, ἐπὶ ποταμὸν Ἴστρον· καὶ τοῦτ' ἔστι τῆς χώρας τὸ μῆκος· εὖρος δὲ ἐκ Μακεδόνων τε καὶ Θρᾳκῶν τῶν ὀρείων ἐπὶ Παίονας καὶ τὸν Ἰόνιον· καὶ τὰ πρόποδα τῶν Ἄλπεων· καὶ ἔστι τὸ μὲν εὖρος, ἡμερῶν πέντε· τὸ δὲ μῆκος, τριάκοντα, καθὰ καὶ τοῖς Ἕλλησιν εἴρηται· Ῥωμαῖοι δὲ τὴν χώραν μετρησάμενοι, ἐστὶν ὑπὲρ ἑξακισχιλίους σταδίους τὸ μῆκος· καὶ τὸ πλάτος ἀμφὶ τοὺς χιλίους καὶ διακοσίους·

φασὶ δὲ τὴν μὲν χώραν ἐπώνυμον Ἰλλυριοῦ, τοῦ Πολυφήμου γενέσθαι· Πολυφήμῳ γὰρ τῷ Κύκλωπι καὶ Γαλατείᾳ, Κελτὸν καὶ Ἰλλυριὸν καὶ Γάλαν παῖδας ὄντας, ἐξορμῆσαι Σικελίας· καὶ ἄρξαι τῶν δι' αὐτοὺς Κελτῶν καὶ Ἰλλυριῶν καὶ Γαλατῶν λεγομένων· καὶ τόδε μοι μάλιστα πολλὰ μυθολογούντων ἑτέρων, ἀρέσκει· Ἰλλυριῷ δὲ παῖδας, Ἐγχελέα· καὶ Αὐταριέα· καὶ Δάρδανον· καὶ Μαῖδον· καὶ Ταύλαντα· καὶ Περραιβόν, γενέσθαι· καὶ θυγατέρας, Παρθὼ· καὶ Δαορθὼ· καὶ Δασσαρὼ· καὶ ἑτέρας· ὅθεν εἰσίν, Ταυλάντιοί τε καὶ Περραιβοί· καὶ Ἐγχελέες· καὶ Αὐταριεῖς· καὶ Δάρδανοι· καὶ Παρθηνοί· καὶ Δασσαρήτιοι· καὶ Δάρσιοι· Αὐταριεῖ δὲ αὐτῷ, Παννόνιον υἱὸν ἢ Παίονα γενέσθαι· καὶ Σκορδίσκον Παίονι καὶ Τριβαλλόν· ὧν ὁμοίως τὰ ἔθνη παρώνυμα εἶναι· καὶ τάδε μὲν τοῖς ἀρχαιολογοῦσι μεθιέσθω· γένη δὲ ἐστὶν Ἰλλυριῶν ὡς ἐν τοσῇδε χώρᾳ πολλὰ καὶ παρώνυμα ἔτι νῦν· χώραν νεμόμενα πολλήν. Σκορδίσκων καὶ Τριβαλλῶν, οἳ ἐς τοσοῦτον ἀλλήλους πολέμῳ διέφθειραν· ὥστε Τριβαλλῶν ἔτι τὸ ὑπόλοιπον, ἐς Γέτας ὑπὲρ Ἴστρον φυγεῖν· καὶ γένος ἀκμάσαν μέχρι Φιλίππου τοῦ Ἀλεξάνδρου, νῦν ἔρημον καὶ ἀνώνυμον τοῖς τῇδε εἶναι· Σκορδίσκοις δὲ ἀσθενεστάτοις ἀπὸ τοῦδε γενομένοις ὑπὸ Ῥωμαίων ὕστερον ὅμοια παθεῖν· καὶ ἐς τὰς νήσους τοῦ αὐτοῦ ποταμοῦ φυγεῖν· σὺν χρόνῳ δέ τινας ἐπανελθεῖν· καὶ Παιονίας ἐσχατιαῖς παροικῆσαι. ὅθεν ἐστὶ καὶ νῦν Σκορδίσκων γένος ἐν Παίοσι. τῷ δὲ αὐτῷ τρόπῳ καὶ Ἀρδιαῖοι· τὰ θαλάσσια ὄντες πρὸς αὐτὰ ἄριστοι· πρὸς Αὐταριέας ἀρίστων ὄντων τὰ κατὰ γῆν πολλὰ βλάψαντες αὐτούς· ὅμως ἐφθάρησαν· καὶ ναυτικοὶ μὲν ἐπὶ τοῖς Ἀρδιαίοις ἐγένοντο Λιβυρνοί· γένος ἕτερον Ἰλλυριῶν· οἳ τὸν Ἰόνιον καὶ τὰς νήσους ἐλῄστευον ναυσὶν ὠκείαις τε καὶ κούφαις· ὅθεν ἔτι νῦν Ῥωμαῖοι, τὰ κοῦφα καὶ ὀξέα δίκροτα Λιβυρνίδας προσαγορεύουσιν· Αὐταριεῦσι δὲ καὶ ἐκ θεοβλαβίας Ἀπόλλωνος, ἐς ἔσχατον κακοῦ περιῆλθεν· Μολιστόμῳ γὰρ αὐτοῖς καὶ Κελτοῖς, τοῖς Κίμβροις λεγομένοις ἐπὶ Δελφοὺς συστρατεῦσαι· καὶ φθαρῆναι μὲν αὐτίκα τοὺς πλέονας αὐτῶν· πρὸ τῆς χειρώσεως ὑετῶν σφίσι καὶ θυέλλης καὶ πρηστήρων ἐκ θεοῦ· ἐπιγενέσθαι δὲ τοῖς ὑποστρέψασιν, ἄπειρον βατράχων πλῆθος· οἳ διασαπέντα, τὰ νάματα διέφθειραν· καὶ ἐκ τῆς γῆς ἀτμῶν ἀτόπων γενομένων, λοιμὸς κατ' Ἰλλυριῶν καὶ φθόρος Αὐταριέων μάλιστα. μέχρι φεύγοντες τὰ οἰκεῖα καὶ τὸν λοιμὸν σφίσι περιφέροντος, οὐδενὸς αὐτοὺς δεχομένου· διὰ τοῦτο τὸ δέος ὑπερῆλθον· ὁδὸν ἡμερῶν εἴκοσι καὶ τριῶν, καὶ τὴν δὲ τῶν ἐλώδη κατοι-

κητον παρὰ τὸ Βασταρνῶν ἔθνος ᾤκησαν· καὶ τοῖς δὲ ὁ θεὸς ἐπήνεγκε σεισμόν· καὶ τὰς πόλεις κατήνεγκε· καὶ τὸ κακὸν οὐκ ἔληγε· μέχρι οἱ δὲ τὰ οἰκεῖα φεύγοντες, ἐνέβαλον ἐς Ἰλλυριοὺς τοὺς συναμαρτόντας σφίσιν· ἀσθενεῖς ὑπὸ τοῦ λοιμοῦ γενομένους· καὶ ἐδῄωσάν τε τὰ ἐκείνων· καὶ τοῦ λοιμοῦ μετασχόντες, ἔφυγον· καὶ μέχρι Πυρήνης ὄρους ἐξήλασαν· ἐπιστρεφομένοις δὲ αὐτοῖς ἐς τὴν ἕω, Ῥωμαῖοι δὲ δεδιότες ὑπὸ μνήμης τῶν πρόσθε πολεμικῶν σφίσι Κελτῶν· μὲν καὶ οἳ δὲ ἐς τὴν Ἰταλίαν ὑπὲρ Ἄλπεις ἐσβάλοιεν ἀπήντων ἅμα τοῖς ὑπάτοις· καὶ πανστρατιᾷ διώλλυντο· καὶ τὸ πάθος τοῦτο Ῥωμαίοις μέγα δέος Κελτῶν· ἐς ὅλην τὴν Ἰταλίαν ἐνέβαλε μέχρι Γαΐου Μαρίου· ἑλόμενοι σφῶν οἱ Ῥωμαῖοι στρατηγεῖν, ἄρτι Λίβυας τοὺς Νομάδας καὶ Μαυρουσίους ἐκράτως πεπολεμηκότα. τοὺς Κίμβρους ἐνίκων· καὶ πολὺν φόνον αὐτῶν εἰργάσαντο· πολλάκις δέ μοι περὶ Κελτῶν λέγοντι εἴρηται· οἱ δὲ ἀσθενεῖς τε ἤδη γενόμενοι, καὶ πάσης γῆς ἀποκλειόμενοι διὰ τὸ ἀσθενές, ἐς τὰ οἰκεῖα ἐπανῆλθον· πολλὰ καὶ δράσαντες καὶ παθόντες:-

+ Ἀππιανοῦ Ῥωμαϊκῶν Παρθική:~

Ταῦτα δὲ τοῖς ἐκ Πομπηίου Συρίας ἄρχειν ᾑρημένοις, Γαβίνιος Ῥωμαίων στρατηγὸς ἐπέμφθη Συρίας ἄρχειν· ὃν ἐπὶ τοὺς Ἄραβας ὁρμῶντα, Μιθριδάτης μὲν ὁ Παρθυαίων βασιλεὺς ἐξελαυνόμενος τῆς ἀρχῆς, ὑπὸ Ὀρώδου τοῦ ἀδελφοῦ, μετῆγεν ἐξ Ἀράβων ἐπὶ Παρθυαίους· Πτολεμαῖος δὲ αὖ τὸν ὁ ἑνδέκατος Αἰγυπτίων βασιλεύς, ἐκπεσὼν καὶ ὅδε τῆς ἀρχῆς, μετέπεισε χρήμασιν ἀντὶ Παρθυαίων ἐπὶ τοὺς Ἀλεξανδρέας ὁρμῆσαι· καὶ κατήγαγε τὸν Πτολεμαῖον ἐπὶ τὴν ἀρχὴν Γαβίνιος, Ἀλεξανδρεῦσι πολεμήσας· ὑπὸ δὲ τῆς Ῥωμαίων βουλῆς, ἐφυγαδεύθη ψηφίσματος ἐς Αἴγυπτον ἐπὶ πολέμῳ· Ῥωμαίοις ἀπαισιονομιζομένῳ· ἦν γάρ τι Σιβύλλειον αὐτὸ ἀπαγορεῦον· ἐπὶ δὲ Γαβινίῳ μοι δοκεῖ Κράσσος ἄρξαι Σύρων. ὅτῳ πολεμοῦντι Παρθυαίοις, ἡ μεγάλη συμφορὰ γίνεται· ἐπὶ Λευκίου Βιβύλῳ μετὰ Κράσσον στρατηγοῦντι Συρίας, ἐς τὴν Συρίαν ἐσέβαλλον οἱ Παρθυαῖοι· Σάξα δὲ μετὰ Βίβλον ἡγουμένου, τὰ μέχρι Ἰωνίας ἐπέδραμον· ἀσχολουμένων ἔτι Ῥωμαίων ἐς τὰ ἐπάλληλα ἐμφύλια· καὶ ἔπραξαν μὲν οὐδὲν μέγα, ὅτι τὸ ἔξειον ἔργον· λῃστεύουσι μᾶλλον ἢ πολεμοῦσιν ἐοικότες· ἀλλὰ τάδε μὲν ὕστερον γενόμενα, ἡ Κράσσου κακοστρατηγία τε καὶ συμφορὰ προσαγαγοῦσα αὐτοὺς ἐς θράσος ἀμήχανον, ὑπὸ Ἀντωνίου συνεστάλη· ὅπως δὲ Κράσσος ἐπῆλθεν ὁρμῆς ἐς αὐτούς, [illegible] ἀναγκαῖον· προσίει μὲν γὰρ ἡ τῶν ἀρχαιρεσιῶν ἔθιμος ἡμέρα κατὰ καιρόν· ἔπεσεν δὲ

ἅμα ἐπὶ τὴν ὑπατείαν ἀρχὴν, ἀλλήλοις συνθέμενοι Γάιός τε Καῖσαρ. ὁ Πομπή-
ιος Μάγνος· καὶ Κράσσος ὁ Μάρκος ἐπίκλην· οἵτινες καὶ Κικέρωνά τε καὶ Κάτωνα
καὶ τοὺς ἄλλους ἀντιστασιώτας ἀπεωσάμενοι, ἐβιάσαντο εἰς τὴν ἀρχήν· καὶ ἐπέδοσαν Καί-
σαρι μὲν ἄλλην πενταετίαν, ἧς εἶχεν ἀρχῆς Γαλατίας· αὐτοῖς δὲ Πομπήιός τε καὶ
Κράσσος ἐψηφίσαντο Συρίαν καὶ Ἰβηρίαν· κληρουμένων δέ, Συρίαν μὲν ἔλαβε Κράσσος.
Πομπήιος δὲ ἔλαβεν Ἰβηρίας· ἦν δὲ ἀσπάσιος ἅπασιν ὁ κλῆρος· οἵ τε γὰρ πολλοί,
Πομπήιον ἐβούλοντο μὴ μακρὰν εἶναι τῆς πόλεως· καὶ Πομπήιος ἐρῶν
τῆς γυναικός, αὐτόθι τὰ πολλὰ διατρίβειν ἔμελλε· Κράσσος δὲ ὑπὸ χαρᾶς
εὐθὺς ἐκ τοῦ πεσόντι τῷ κλήρῳ καταφανὴς ἦν, οὐδὲν ἄλλο τι χρῆμα λαμπρότερον
ἑαυτῷ γεγονέναι τοῦ παρόντος ἡγούμενος, ὥστε μόλις ἡσυχίαν ἄγειν· πρὸς
δὲ τοὺς συνήθεις πολλὰ κενὰ καὶ μειρακιώδη λαλεῖν, παρὰ ἡλικίαν τὴν ἑ-
αυτοῦ καὶ φύσιν, ἥκιστα κομπαστὴς ἢ σοβαρὸς ἐν τῷ βίῳ γεγονώς· τότε δὲ
ἐπηρμένος κομιδῇ καὶ διεφθαρμένος· οὐ Συρίαν οὐδὲ Πάρθους ὅρον ἐποι-
εῖτο τῆς εὐπραξίας· ἀλλ᾽ ὡς παιδιὰν ἀποφανῶν τὰ Λουκούλλου πρὸς Τιγράνην,
καὶ Πομπηίου πρὸς Μιθριδάτην, ἄχρι Βακτρίων καὶ Ἰνδῶν καὶ τῆς ἔξω θαλάσ-
σης ἀνῆγεν ἑαυτὸν ταῖς ἐλπίσι· καίτοι τῷ γραφέντι περὶ τούτων νόμῳ, Παρθικὸς
πόλεμος οὐ προσῆν· ᾔδεσαν δὲ πάντες, ὅτι πρὸς τοῦτο Κράσσος ἐπτόητο·
καὶ Καῖσαρ ἐκ Γαλατίας ἔγραφεν αὐτῷ· τὴν ὁρμὴν ἐπαινῶν καὶ παροξύνων
ἐπὶ τὸν πόλεμον· ἐπεὶ δὲ δημαρχῶν Ἀτήιος, ἔμελλε πρὸς τὴν ἔξοδον ἐνστή-
σεσθαι· καὶ συνίσταντο πολλοὶ χαλεπαίνοντες, εἴ τις ἀνθρώποις οὐδὲν ἀδι-
κοῦσιν, ἀλλ᾽ ἐνσπόνδοις πολεμήσων ἄπεισι· δείσας ὁ Κράσσος, ἐδεήθη
Πομπηίου παραγενέσθαι καὶ συμπροπέμψαι· μέγα τι γὰρ ἦν ἐκείνου τὸ
πρὸς τὸν ὄχλον ἀξίωμα· καὶ τότε παρεσκευασμένους πολλοὺς ἐνίστασθαι
καὶ καταβοᾶν· ὁρώμενος πρὸ αὐτοῦ φαιδρῷ τῷ βλέμματι καὶ προσώπῳ·
κατεπράυνεν ὁ Πομπήιος· ὥστε ὑπείκειν σιωπῇ δι᾽ αὐτῶν προϊοῦσιν.
ὁ δὲ Ἀτήιος ἀπαντήσας, πρῶτον μὲν ἀπὸ φωνῆς ἐκώλυε καὶ διεμαρτύρατο
μὴ βαδίζειν· ἔπειτα τὸν ὑπηρέτην ἐκέλευσεν ἁψάμενον τοῦ σώματος κατέχειν·
ἄλλων δὲ δημάρχων οὐκ ἐώντων, ὁ μὲν ὑπηρέτης ἀφῆκε τὸν Κράσσον· ὁ δὲ
Ἀτήιος προδραμὼν ἐπὶ τὴν πύλην, ἔθηκεν ἐσχάραν καιομένην· καὶ τοῦ
Κράσσου γενομένου κατ᾽ αὐτήν, ἐπιθυμιῶν καὶ κατασπένδων, ἀρὰς ἐπη-
ρᾶτο· δεινὰς μὲν αὐτὰς καὶ φρικώδεις· θεούς δέ τινας καὶ ἀλλοκότους
ἐπ᾽ αὐταῖς καλῶν ὀνομάζων· ταύτας φασὶ Ῥωμαῖοι τὰς ἀρὰς ἀποθέτους

οὔσας καὶ παλαιάς, τοιαύτην ἔχειν δύναμιν, ὡς περιφυγεῖν μηδένα τῶν ἐν-
σχεθέντων αὐταῖς· κακῶς δὲ πράττειν καὶ τὸν χρησάμενον· ὅθεν οὐκ ἐπὶ τοῖς
τυχοῦσιν αὐτάς, οὐδ᾽ ὑπὸ πολλῶν ἐγείρεσθαι· τότε οὖν ἐμέμφοντο τὸν Ἀτήιον,
εἰ δι᾽ ἣν ἐχαλέπαινε τῷ Κράσσῳ πόλιν, εἰς αὐτὴν ἀρὰς ἀφῆκε καὶ δεισιδαιμο-
νίαν τοσαύτην· ὁ δὲ Κράσσος εἰς Βρεντέσιον ἦλθεν, ἔτι δ᾽ ἀστατούσης χειμῶνι τῆς
θαλάσσης, οὐ περιέμεινεν· ἀλλ᾽ ἀνήχθη· καὶ συχνὰ τῶν πλοίων ἀπέβαλε·
τὴν δὲ ἄλλην ἀναλαβὼν δύναμιν, ἠπείγετο πεζῇ διὰ Γαλατίας· εὑρὼν δὲ τὸν
βασιλέα Δηιόταρον, πάνυ μὲν ὄντα γηραιὸν ἤδη, κτίζοντα δὲ νέαν πόλιν,
ἐπέσκωψεν εἰπών· ὦ βασιλεῦ· δωδεκάτης ὥρας οἰκοδομεῖν ἄρχῃ· γελάσας
δὲ ὁ Γαλάτης, ἀλλ᾽ οὐδὲ αὐτὸς εἶπεν ὦ αὐτοκράτωρ ὡς ὁρῶ πρωὶ λίαν
ἐπὶ Πάρθους ἐλαύνεις· ἦν δὲ ὁ Κράσσος, ἑξήκοντα μὲν ἔτη παραλλάττων·
πρεσβύτερος δὲ τὴν ὄψιν ἢ καθ᾽ ἡλικίαν· ἀφικόμενον δὲ αὐτόν, ἐδέξατο
τὰ πράγματα τῆς ἐλπίδος ἀξίως τὸ πρῶτον· καὶ γὰρ ἔζευξε ῥᾳδίως
τὸν Εὐφράτην· καὶ διήγαγε τὸν στρατὸν ἀσφαλῶς· καὶ πόλεις πολλὰς ἐν τῇ
Μεσοποταμίᾳ κατέσχεν ἑκουσίως προσθεμένας· ἐν μιᾷ δὲ ἧς Ἀπολλώ-
νιός τις ἐτυράννει, στρατιωτῶν ἑκατὸν ἀναιρεθέντων, ἐπαγαγὼν τὴν δύναμιν
αὐτοῖς καὶ κρατήσας, διήρπασε τὰ χρήματα· καὶ τοὺς ἀνθρώπους ἀπέδοτο·
Ζηνοδοτίαν ἐκάλουν τὴν πόλιν οἱ Ἕλληνες· ἐπὶ ταύτῃ δὲ ἁλούσῃ, δε-
ξάμενος αὐτοκράτωρ ὑπὸ τῆς στρατιᾶς ἀναγορευθῆναι, πολλὴν ὦφλεν
αἰσχύνην· καὶ ταπεινὸς ἐφάνη καὶ περὶ τὰ μείζονα δύσελπις· οὕτω τὸ
γλίσχρον ἀγαπήσας· ἐμβαλὼν δὲ φρουρὰς ταῖς προσκεχωρηκυί-
αις πόλεσιν, ὧν ἀριθμὸς ἦν ἑπτακισχίλιοι πεζοί, χίλιοι δ᾽ ἱππεῖς, ἀνε-
χώρησεν αὐτὸς ἐν Συρίᾳ διαχειμάσων· ἐδέξατο δὲ αὐτόθι τὸν υἱόν, ἥκοντα
παρὰ Καίσαρος ἐκ Γαλατίας, αὐτόν τε κεκοσμημένον ἀριστείοις καὶ χιλίους
ἱππεῖς ἐπιλέκτους ἄγοντα· τοῦτο πρῶτον ἁμαρτεῖν ἔδοξεν ὁ Κράσσος μετά γε
τὴν στρατείαν αὐτήν, μέγιστον ἁμάρτημα τῶν γενομένων, ὅτι πρόσω χωρεῖν
δέον ἔχεσθαί τε Βαβυλῶνος καὶ Σελευκείας, δυσμενῶν ἀεὶ Πάρθοις πόλεων,
χρόνον ἔδωκε τοῖς πολεμίοις παρασκευῆς· ἔπειτα τὰς ἐν Συρίᾳ διατριβὰς
ᾐτιῶντο, χρηματιστικὰς μᾶλλον οὔσας ἢ στρατηγικάς· οὐ γὰρ ὅπλων
ἀριθμὸν ἐξετάζων, οὐδὲ γυμνασιῶν ποιούμενος ἁμίλλας, ἀλλὰ προσόδους πό-
λεων ἐκλογιζόμενος, καὶ τὰ χρήματα τῆς ἐν Ἱεραπόλει θεοῦ, σταθμοῖς
καὶ τρυτάναις μεταχειριζόμενος ἐπὶ πολλὰς ἡμέρας· ἐπιγράφων δὲ

καὶ δήμοις ἐπαγγέλλων στρατιωτῶν καταλόγους· εἶτα ἀνιεὶς ἀργύριον δι-
δόντας, ἄδοξος ἦν καὶ κατεφρονεῖτο. Γίνεται δὲ πρῶτον αὐτῷ σημεῖον ἀπὸ τῆς θεοῦ
ταύτης, ἣν οἱ μὲν, Ἀφροδίτην· οἱ δὲ, Ἥραν· οἱ δὲ, τὴν ἀρχὰς καὶ σπέρματα πᾶσιν
ἐξ ὑγρῶν παρασχοῦσαν αἰτίαν καὶ φύσιν νομίζουσιν· ἐξιόντων γὰρ ἐκ τοῦ
ἱεροῦ, πρῶτος ἐσφάλη κατὰ τὰς θύρας ὁ νεανίας Κράσσος· εἶτα ἐπ' αὐτῷ περι-
πεσὼν ὁ πρεσβύτερος. ἤδη δὲ τὰς δυνάμεις ἐκ τῶν χειμαδίων συναθροίζοντος
αὐτοῦ, πρέσβεις ἀφίκοντο παρὰ Ἀρσάκου· βραχύν τινα λόγον κομίζοντες·
ἔφασαν γὰρ, εἰ μὲν ὑπὸ Ῥωμαίων ὁ στρατὸς ἀπέσταλται, πόλεμον αὐτοῖς ἄσπονδον
εἶναι καὶ ἀδιάλλακτον· εἰ δὲ τῆς πατρίδος ἀκούσης ὡς πυνθάνονται, Κράσσος ἰδί-
ων ἕνεκα κερδῶν ὅπλα Πάρθοις ἐπενήνοχε καὶ χώραν κατείληφε, μετριάζειν
Ἀρσάκην· καὶ τὸ μὲν Κράσσου γῆρας οἰκτείρειν, ἀφιέναι δὲ Ῥωμαίοις τοὺς
ἄνδρας, ἐμφρουροῦντας μᾶλλον ἢ φρουρουμένους. πρὸς ταῦτα Κράσσου κομπάσαντος,
ὡς ἐν Σελευκείᾳ δώσει τὰς ἀποκρίσεις, γελάσας ὁ πρεσβύτατος τῶν πρέσβεων
Οὐαγίσης, ἐκ τῆς χειρὸς ὑπτίας δείξας τὸ μέσον, ἐντεῦθεν εἶπεν, ὦ Κράσσε·
φύσονται τρίχες πρότερον ἢ σὺ ὄψει Σελεύκειαν. οὗτοι μὲν οὖν ἀπήλαυνον
ὡς βασιλέα Ὑρώδην, πολεμητέα φράσοντες· ἐκ δὲ τῶν πόλεων ἃς ἐφρούρουν
Ῥωμαῖοι τῆς Μεσοποταμίας, παραβόλως τινὲς διεκπεσόντες, ἄξια φροντί-
δων ἀπήγγελλον· αὐτόπται μὲν γεγονότες τοῦ πλήθους τῶν πολεμίων καὶ
τῶν ἀγώνων οὓς ἠγωνίσαντο προσμαχόμενοι ταῖς πόλεσιν· οἷα δὲ φιλεῖ πάντα
πρὸς τὸ δεινότερον ἐξαγγέλλοντες, ὡς ἄφυκτοι μὲν οἱ ἄνδρες διώκοντες,
ἄληπτοι δὲ φεύγοντες· βέλη δὲ πτηνὰ προθέοντα τῆς ὄψεως, καὶ πρὶν ὀφθῆ-
ναι τὸν βάλλοντα, χωροῦντα διὰ τοῦ προστυχόντος· τῶν δὲ καταφράκτων
ὅπλων, τὰ μὲν, διὰ παντὸς ὠθεῖσθαι· τὸ δὲ, πρὸς μηδὲν ἐνδιδόναι πεποιη-
μένων. ταῦτα τῶν στρατιωτῶν ἀκουόντων, τὸ θράσος ὑπήρειπε· πεπεισμένοι
γὰρ οὐδὲν Ἀρμενίων διαφέρειν Πάρθους οὐδὲ Καππαδοκῶν· οὓς ἄγων καὶ
φέρων Λούκολλος ἀπεῖπε· καὶ τοῦ πολέμου τὸ χαλεπώτατον ἡγούμενοι
μακρὰν ὁδὸν ἔσεσθαι καὶ δίωξιν ἀνθρώπων εἰς χεῖρας οὐκ ἀφιξομένων, παρ' ἐλ-
πίδας ἀγῶνα καὶ κίνδυνον μέγαν προσεδόκων· ὥστε καὶ τῶν ἐν τέλει
τινὰς οἴεσθαι δεῖν ἐπισχόντα Κράσσον, αὖθις ὑπὲρ τῆς γνώμης ὅλων προ-
θέσθαι. ἠσυχῇ δὲ παρεδήλουν καὶ οἱ μάντεις, ὡς ἀεὶ πονηρὰ σημεῖα καὶ
δυσέκθυτα προφαίνοιτο τῷ Κράσσῳ διὰ τῶν ἱερῶν. ἀλλ' οὔτε τούτοις
προσεῖχεν, οὔτε τοῖς ἕτερόν τι, πλὴν ἐπείγεσθαι παραινοῦσιν. οὐχ ἥκιστα

δὲ αὐτὸν Ἀρταβάζης ὁ Ἀρμενίων βασιλεὺς ἐπέρρωσεν. ἦλθε γὰρ εἰς τὸ
στρατόπεδον μετὰ ἑξακισχιλίων ἱππέων. καὶ οὗτοι μὲν ἐλέγοντο φύλακες
καὶ προπομποὶ βασιλέως. ἑτέρους δὲ μυρίους ὑπισχνεῖτο καταφράκτους.
καὶ τρισμυρίους πεζοὺς οἰκοσίτους. ἔπειθε δὲ Κράσσον ἐμβαλεῖν δι' Ἀρ-
μενίας εἰς τὴν Παρθίαν. οὐ γὰρ μόνον ἐν ἀφθόνοις τὴν στρατιὰν διάξειν
αὐτοῦ παρέχοντος, ἀλλὰ καὶ πορεύσεσθαι δι' ἀσφαλείας, ὄρη πολλὰ καὶ λόφους
συνεχεῖς, καὶ χωρία δύσιππα πρὸς τὴν ἵππον, ᾗ μόνῃ Πάρθων ἀλκή, προ-
βαλλόμενον. ὁ δὲ, τὴν μὲν προθυμίαν αὐτοῦ καὶ τὴν λαμπρότητα τῆς
παρασκευῆς οὐ μετρίως ἠγάπησε. βαδιεῖσθαι δὲ ἔφη διὰ Μεσοποταμίας,
ὅπου πολλοὺς καὶ ἀγαθοὺς Ῥωμαίων ἄνδρας ἀπέλιπεν. ὁ μὲν οὖν Ἀρμένιος
ἐπὶ τούτοις ἀπήλαυνε. τῷ δὲ Κράσσῳ διαβιβάζοντι τὴν στρατιὰν κατὰ τὸ
Ζεῦγμα, πολλαὶ μὲν ὑπερφυεῖς βρονταὶ περιερρήγνυντο. πολλὰ δὲ
κατήστραπτεν ἐναντία τῷ στρατῷ. πνεῦμα δὲ νέφει καὶ πρηστῆρι με-
μεγμένον ἐρεῖσαν αὐτοῦ κατὰ τῆς σχεδίας, ἀνέρρηξε πολλὰ καὶ
συνέτριψεν. ἐβλήθη δὲ καὶ κεραυνοῖς δυσὶν ὁ χῶρος, οὗ στρατοπε-
δεύειν ἔμελλεν. ἵππος δὲ τῶν στρατηγικῶν ἐπιφανῶς κεκοσμημένος,
βιαίως ἐπισπασάμενος τὸν ἡνίοχον, εἰς τὸ ῥεῖθρον ὑποβρύχιος ἠφανίσθη.
λέγεται δὲ καὶ τῶν ἀετῶν ὁ πρῶτος ἀρθεὶς, ἀπὸ ταὐτομάτου μεταστραφῆναι.
πρὸς δὲ τούτοις συνέπεσε μετὰ τὴν διάβασιν μετρουμένοις τὰ ἐπιτή-
δεια τοῖς στρατιώταις, πρῶτον πάντων δοθῆναι φακοὺς καὶ μάζαν, ἃ νο-
μίζουσι Ῥωμαῖοι πένθιμα καὶ προτίθενται τοῖς νεκυσίοις. αὐτοῦ τε
Κράσσου δημηγοροῦντος, ἐξέπεσε φωνὴ δεινῶς συγχέασα τὸν στρατόν.
ἔφη γὰρ τὸ ζεῦγμα τοῦ ποταμοῦ διαλύειν, ὅπως μηδεὶς αὐτῶν ἐπανέλθῃ.
καὶ δέον, ὡς ᾔσθετο τοῦ ῥήματος τὴν ἀτοπίαν, ἀναλαβεῖν καὶ διασαφῆσαι
πρὸς τοὺς ἀποδειλιῶντας τὸ εἰρημένον, ἠμέλησεν ὑπὸ αὐθαδείας. τέλος
δὲ τὸν εἰθισμένον καθαρμὸν, ἐσφαγιάζετο. καὶ τὰ σπλάγχνα τοῦ μάντεως
αὐτῷ προσδόντος, ἐξέβαλε τῶν χειρῶν. ἐφ' ᾧ μάλιστα δυσχεραίνοντας
ἰδὼν τοὺς παρόντας, ἐμειδίασε. καὶ τοιοῦτον ἔφη τὸ γῆρας. ἀλλὰ τῶν γε ὅπλων
οὐδὲν ἂν ἐκφύγοι τὰς χεῖρας. ἐκ τούτου παρὰ τὸν ποταμὸν ἐξήλαυνεν.
ἑπτὰ μὲν ἔχων ὁπλιτῶν τάγματα. καὶ τετρακισχιλίων ὀλίγον ἀποδέοντας
ἱππεῖς. ψιλοὺς δὲ τοῖς ἱππεῦσι παραπλησίους. τῶν δὲ προδρόμων τινὲς
ἀποσκοπήσαντες, ἐπανῆθον τε καὶ ἤγγελλον, ἀνθρώπων μὲν ἔρημον εἶναι τὴν

χώραν· ἵππων δὲ ἐν τῇ τύχῃ ἠκόνας πολλῶν ἴχνεσιν, οἳ ἐκ μεταβολῆς ὀπίσω
διωκομένων· ὅθεν αὐτός τε Κράταιος ἀπήλπισε, καὶ τοῖς στρατιώταις πάντα
πᾶσι τῶν Περσῶν περιέστη καταφρόνησις, ὡς οὐκ ἀφιξομένων ἐς χεῖρας. ὅμως
δὲ οἱ περὶ Κάσσιον αὖθις διηγέγοντο τῷ Κραταίῳ, παραινοῦντες μάλιστα μὲν
ἐν πόλει τινὶ τῶν φρουρουμένων ἀναλαβεῖν τὴν δύναμιν, ἄχρι οὗ τι σαφὲς
περὶ τῶν πολεμίων βέβαιον· εἰ δὲ μή, χωρεῖν ἐπὶ Σηλευκείας παρὰ τὸν ποταμόν.
διαπορίαν γὰρ τὰ σιτηρὰ τῆς ἀγορᾶς παρέξειν, ἅμα συγκαταίροντα πρὸς
τὸ στρατόπεδον· καὶ φύλακα τοῦ μὴ κυκλωθῆναι τὸν ποταμὸν ἔχοντας,
ἀπιστῆσαι δεῖ πρὸς αὐτὸν τοῖς μαχεσθαι τοῖς πολεμίοις. ταῦτα τοῦ Κραταίου
διασκοποῦντος ἔτι καὶ βουλευομένου, παραγίνεται φύλαρχος Ἀράβων·
Ἀλκβάρος ὄνομα· δολερὸς καὶ παλίμβολος ἀνήρ· καὶ πάντων ὅσα συνήνεγκεν ἐς
ὄλεθρον ἡ τύχη κακά, μέγιστον αὐτοῖς καὶ τηλικοῦτον γενόμενος· τοῦτον
ἤδεσαν ἔνιοι τῶν Ῥωμαϊκῶν στρατευομένων, ἀπολαύσαντες τῆς ἐκείνου
φιλανθρωπίας, καὶ δόξαντα φιλορρώμαιον εἶναι. τότε δὲ ὑφεῖτο τῷ Κραταίῳ
μετὰ γνώμης τῶν βασιλέως στρατηγῶν· εἰ δύναιτο, παρατρέψας αὐτὸν
ἀπωτάτω τοῦ ποταμοῦ καὶ τῶν ὑπωρειῶν, ἐς πεδίον ἐκβαλεῖν ἄχανές καὶ
περιηγαυμένον· πάντων γὰρ διανοούμενος τὸ μέλλον, ἦν κατὰ στόμα συμφέρεσθαι
Ῥωμαίοις. ἐλθὼν οὖν πρὸς τὸν Κράταιον ὁ Ἀλκβάρος, ἦν δὲ καὶ ἐπιδημῶν ἐπὶ τὴν
Ῥωμαϊκὴν μέν, ὡς ἀργεῖν ἐπῄνει· Κραταίου δὲ τῆς δυνάμεως μακαρί-
ἐμέμφετο τῆς διατριβῆς· μέλλοντα καὶ περισκελιζόμενον, ὥσπερ
ὅπλων αὐτῷ δεχθέντων, ὀχυρῶν καὶ πεδίων τῶν ταχίστων· ἐπιόντος οἱ
πολέμιοι τοῖς γὰρ πάσαν τοῦτ' ἐπὶ μέσον τὰ τῶν χρημάτων, ἐς σκύθας
Σουρκηνοὺς ἀναπεφεύγασι· καίτοι μάχεσθαι μέλλοντας ἔφη, ἀπελθεῖν ἐκ δειλίας
πείνᾳ πᾶσαν ἐν ταύτῃ γενέσθαι τὴν δύναμιν, ἀναθαρρήσαντος βασιλέως.
ἐπείγουσί γε Σουρκῆνας τὸ μὲν προβέβληνται σιλάκης, ἐφ' ἑαυτοὺς ἀνα-
δεξάμενοι τὴν δίωξιν· ὁ δέ, οὐδαμῶς ἀφανὴς ποταμοί· ταῦτα δὲ ἦν ψευδῆ
πάντα· διῄει γὰρ ἄλλος ἀπὸ ὀρρωδίας ἀγὼν τὴν δύναμιν, αὐτὸς μὲν Ἀρ-
μενίαν ἐπορεύετο· ἐπιγνόμενος Ἀρταβάζην· Σουρκηνὸν δὲ ἀφῆκεν ἐπὶ
Ῥωμαίους· οὐχ ὑπερφρονήσας ἐχώμενος ὡς ἔνιοί φασιν. οὐ γὰρ ἦν τοῦ
αὐτοῦ Κραταίου μὲν ἀπαξιοῦν ἀνταγωνιστὴν ἄνδρα Ῥωμαίων πρῶτον, Ἀρ-
ταβάζην δὲ ὡς πολεμεῖν· ἐπὶ τὰς Ἀρμενίων ἐπιόντα κώμας ἐξαιρεῖν·
ἀλλὰ καὶ πάνυ μοι δοκεῖ καταδείσας τὸν κίνδυνον, αὐτὸς μὲν φεύγειν

καὶ καραδοκεῖν τὸ μέλλον· Σουρκηνὸν δὲ προσκαθῆναι πειρασόμενον ἀλλ' ὡς
ἐπιτήδεια ἔχοντα τοῖς πολεμίοις. οὐδὲ γὰρ ἦν τῶν τυχόντων Σουρκῆνας· ἀλλὰ
πλούτῳ μὲν ἐπιφανὴς καὶ δόξῃ μετὰ βασιλέα δεύτερος· ἀνδρείᾳ δὲ ἐν τοῖς τότε
τῶν καθ' αὑτὸν ἐν Πάρθοις πρῶτος· ἔτι δὲ μεγέθει καὶ κάλλει σώματος, οἷος
οὐδεὶς ἕτερος· ἐξήλαυνε δὲ καθ' ἑαυτὸν ἀεί, χιλίαις σκευοφορούμενος
καμήλοις· καὶ διακοσίας ἀπήνας ἐπήγετο παλλακίδων. ἱππεῖς δὲ κατά-
φρακτοι χίλιοι· πλείονες δὲ τῶν κούφων παρέπεμπον. εἶχε δὲ τοὺς σύμ-
παντας ἱππεῖς ὁμοῦ πελάτας τε καὶ δούλους, μυρίων οὐκ ἀποδέοντας. καὶ κατὰ
γένος μὲν ἐξ ἀρχῆς ἐκέκτητο βασιλεῖ γινομένῳ Πάρθων. ἐπιτιθέναι τὸ
διάδημα πρῶτος. Ὀρώδην δὲ τοῦτον αὐτὸς ἐξεληλαμένον ἐς Πάρθους κατή-
γαγε· καὶ Σελεύκειαν αὐτῷ τὴν μεγάλην εἷλε πρῶτος ἐπιβὰς τοῦ τείχους. καὶ
τρεψάμενος ἰδίᾳ χειρὶ τοὺς ἀντιστάντας. οὔπω δὲ γεγονὼς ἔτη τριάκοντα
κατ' ἐκεῖνον τὸν χρόνον, εὐβουλίας ἐπὶ τούτοις δόξαν εἶχε μεγίστην. οἷς
οὐχ ἥκιστα τὸν Κράταιον ἔσφηλε, διὰ θράσος καὶ φρόνημα πρῶτον· εἶτα ὑπὸ
δέους καὶ συμφορῶν ταῖς ἀπάταις εὐχείρωτον γενόμενον. τότε δ' οὖν ὁ Ἀλκβάρος
ὡς ἔπεισεν αὐτὸν ἀποσπάσας τοῦ ποταμοῦ, διὰ μέσων ἦγε πεδίων ἀδένδρων
καὶ ἀνύδρων· καὶ πρὸς οὐδὲν οὐδαμῆ πέρας ἐφικτὸν αἰσθήσει παυομένων.
ὥστε μὴ μόνον δίψῃ καὶ χαλεπότητι τῆς πορείας ἀπαγορεύειν, ἀλλὰ καὶ τὸ
τῆς ὄψεως ἀπαραμύθητον ἀθυμίαν παρέχειν· οὐ φυτὸν ὁρῶσιν, οὐ ῥεῖθρον,
οὐ προβολὴν ὄρους καθιέντος, οὐ πόαν βλαστάνουσαν· ἀλλ' ἀτεχνῶς
πελάγιόν τι χεῦμα θινῶν ἐρήμων περιεῖχε τὸν στρατόν. ἦν μὲν οὖν καὶ
ἀπὸ τούτων ὁ δόλος ὕποπτος. ἐπεὶ δὲ καὶ παρὰ Ἀρταβάζου τοῦ Ἀρμενίου
παρῆσαν ἄγγελοι, φράζοντες ὡς πολλῷ συνέχοιτο πολέμῳ, ἐπιόντος ἐπ'
αὐτὸν Ὀρώδου, καὶ πέμψαι μὲν ἐκείνῳ βοηθείας οὐ δύναται, παραινεῖ δὲ
Κράσσῳ, μάλιστα μὲν ἐκεῖ τραπέσθαι, καὶ γενόμενον μετὰ Ἀρμενίων ὁμοῦ διαγω-
νίσασθαι πρὸς τὸν Ὀρώδην, εἰ δὲ μὴ καὶ πορεύεσθαι καὶ στρατοπεδεύειν ἀεὶ τὰ
ἱππάσιμα φεύγοντα καὶ προσχωροῦντα τοῖς ὀρεινοῖς, Κράσσος μὲν οὐδὲν
ἀντιγράψας ὑπ' ὀργῆς καὶ σκαιότητος ἀπεκρίνατο νῦν μὲν Ἀρμενίων
μὴ σχολάζειν· αὖθις δὲ ἀφίξεσθαι, δίκην ἐπιθήσων Ἀρταβάζῃ τῆς προ-
δοσίας. οἱ δὲ περὶ Κάσσιον αὖθις ἠγανάκτουν· καὶ Κράσσον μὲν ἀχθό-
μενον αὐτοῖς, ἐπαύσαντο νουθετοῦντες· ἰδίᾳ δὲ τὸν Ἀλκβάρον ἐλοιδό-
ρουν. τίς σε δαίμων πονηρὸς ὦ κάκιστε ἀνθρώπων ἤγαγε πρὸς ἡμᾶς; τίσι

δὲ φαρμάκοις ἢ γοητείαις ἔπεισας Κράσσον ἐς ἐρημίαν ἀχανῆ καὶ βύθιον ἐκχέαντα τὴν στρατιὰν, ὁδεύειν ὁδοὺς νομάδι λῃστάρχῃ μᾶλλον ἢ Ῥωμαίων αὐτοκράτορι προσηκούσας· ὁ δὲ Ἄκβαρος, ἄνθρωπος ποικίλος, ἐκεῖνον μὲν ὑποπίπτων ἐθάρρυνε καὶ παρεκάλει μικρὸν ἔτι καρτερῆσαι· τοὺς δὲ στρατιώτας ἅμα συμπαραθέων καὶ παραβοηθῶν, ἐπέσκωπτε μετὰ γέλωτος· ὑμεῖς δὲ διὰ Καμπανίας ὁδεύειν οἴεσθε· κρήνας καὶ νάματα καὶ σκιὰς καὶ λουτρὰ δηλαδὴ συνεχῆ καὶ πανδοκεῖα ποθοῦντες. οὐ μέμνησθε τὴν Ἀράβων καὶ Ἀσσυρίων μεθορίαν διεξιόντες· οὕτω μὲν ὁ Ἄκβαρος διεπαιδαγώγησε τοὺς Ῥωμαίους. καὶ πρὶν ἢ γενέσθαι φανερὸς ἐξαπατῶν ἀφίππευσεν· οὐ λαθὼν τὸν Κράσσον· ἀλλὰ καὶ τοῦτο πείσας, ὡς ὑπεργάσεται καὶ διαταράξει τὰ τῶν πολεμίων· λέγεται δὲ τῆς ἡμέρας ἐκείνης τὸν Κράσσον, οὐχ ὥσπερ ἔθος ἐστὶ Ῥωμαίων στρατηγοῖς ἐν φοινικίδι προελθεῖν· ἀλλ' ἐν ἱματίῳ μέλανι· καὶ τοῦτο μὲν εὐθὺς ἀλλάξαι προνοήσαντα· τῶν δὲ σημαιῶν ἐνίας, μόλις ὥσπερ πεπηγυίας, πολλὰ παθόντας ἀνελέσθαι τοὺς φέροντας· ὧν ὁ Κράσσος καταγελῶν, ἐπετάχυνε τὴν πορείαν· προσβιαζόμενος ἀκολουθεῖν τὴν φάλαγγα τοῖς ἱππεῦσι, πρίν γε δὴ τῶν ἐπὶ κατασκοπὴν ἀποσταλέντων ὀλίγοι προσπελάσαντες, ἀπήγγειλαν ἀπολωλέναι τοὺς ἄλλους ὑπὸ τῶν πολεμίων, αὐτοὺς δὲ μόλις ἐκφυγεῖν· ἐπιέναι δὲ μαχουμένους πλήθει καὶ θάρσει πολλῷ τοὺς ἄνδρας, τοῦτο, πάντας μὲν ἐθορύβησεν· ὁ δὲ Κράσσος, ἐξεπλάγη κομιδῇ· καὶ διὰ σπουδῆς οὐ πάνυ καθεστηκὼς παρέταττε· πρῶτον μὲν ὡς οἱ περὶ Κάσσιον ἠξίουν, ἀραιὰν τὴν φάλαγγα τῶν ὁπλιτῶν· ἐπὶ πλεῖστον ἀνάγων τοῦ πεδίου πρὸς τὰς κυκλώσεις· τοὺς δ' ἱππεῖς διανέμων τοῖς κέρασιν· ἔπειτα μετέδοξε· καὶ συναγαγὼν, ἀμφίστομον ἐποίησε καὶ βαθὺ πλινθίον· εἰς δώδεκα σπείρας προερχομένης τῶν πλευρῶν ἑκάστης· παρὰ δὲ σπεῖραν, ἴλην ἱππέων ἔταξεν, ὡς μηδὲν ἔχοι μέρος ἐνδεὲς ἱππικῆς βοηθείας· ἀλλὰ πανταχόθεν ὁμαλῶς προσφέροιτο πεφραγμένον· τῶν δὲ κεράτων, τὸ μὲν, Κασσίῳ· τὸ δὲ, τῷ νέῳ Κράσσῳ παρέδωκεν· αὐτὸς δὲ εἰς μέσον κατέστη· καὶ προάγοντες οὕτως, ἐπὶ ῥεῖθρον ἦλθον, ὃ καλεῖται Βάλισσος· οὐ πολὺ μὲν ἄλλως· οὐδ' ἄφθονον· ἀσμένοις δὲ τότε τοῖς στρατιώταις φανὲν ἐν αὐχμῷ καὶ καύματι, καὶ παρὰ τἆλλα ἐπίπονον καὶ ἄνυδρον πορείαν· οἱ μὲν οὖν πλεῖστοι τῶν ἡγεμόνων ᾤοντο δεῖν ἐνταῦθα καταυλισαμένους καὶ νυκτερεύσαντας καὶ πυθομένους ἐφ' ὅσον οἷόν τε πλῆθος καὶ τάξιν τῶν πολεμίων, ἅμα ἡμέρᾳ χωρεῖν ἐπ' αὐτούς· Κράσσος δὲ τῷ παιδὶ καὶ

τοῖς περὶ αὐτὸν ἱππεῦσιν ἐγκελευομένοις ἄγειν καὶ συνάπτειν, ἐπαρθεὶς, ἐκέλευσεν ἑστῶτας ἐν τάξει φαγεῖν καὶ πιεῖν τοὺς δεομένους· καὶ πρὶν ἢ τοῦτο διὰ πάντων γενέσθαι καλῶς, ἦγεν, οὐ σχέδην· οὐδ' ὡς ἐπὶ μάχην διαναπαύων· ἀλλ' ὀξείᾳ καὶ συντόνῳ χρώμενος τῇ πορείᾳ· μέχρις οὗ κατώφθησαν οἱ πολέμιοι· παρὰ δόξαν, οὔτε πολλοὶ φανέντες, οὔτε σοβαροὶ τοῖς Ῥωμαίοις· τὸ μὲν γὰρ πλῆθος ὑπέστειλε τοῖς προτάκτοις ὁ Σουρήνας· τὴν δὲ λαμπρότητα κατέκρυπτε τῶν ὅπλων, ἱμάτια καὶ διφθέρας προΐσχεσθαι κελεύσας· ὡς δὲ ἐγγὺς ἐγένοντο, καὶ σημεῖον ἤρθη παρὰ τοῦ στρατηγοῦ, πρῶτον μὲν ἐνεπίμπλατο φθογγῆς βαρείας καὶ βρόμου φρικώδους τὸ πεδίον· Πάρθοι γὰρ οὐ κέρασιν οὐδὲ σάλπιγξιν ἐποτρύνουσιν εἰς μάχην· ἀλλὰ ῥόπτρα βυρσοπαγῆ καὶ κοῖλα περιτείναντες ἠχείοις χαλκοῖς, ἅμα πολλαχόθεν ἐπιδουποῦσι· τὰ δὲ, φθέγγεται βύθιόν τι καὶ δεινὸν· ὠρυγῇ θηριώδει καὶ τραχύτητι βροντῆς μεμειγμένον· εὖ πως συνεωρακότες ὅτι τῶν αἰσθητηρίων ἡ ἀκοὴ ταρακτικώτατόν ἐστι τῆς ψυχῆς· καὶ τὰ περὶ ταύτην πάθη τάχιστα κινεῖ· καὶ μάλιστα πάντων ἐξίστησι τὴν διάνοιαν· ἐκπεπληγμένων δὲ τῶν Ῥωμαίων δέει διὰ τὸν ἦχον, ἐξαίφνης τὰ προκαλύμματα τῶν ὅπλων καταβαλόντες, ὤφθησαν αὐτοί τε φλογοειδεῖς κράνεσι καὶ θώραξι, τοῦ Μαργιανοῦ σιδήρου στίλβοντος ὀξὺ καὶ περιλαμπές· οἵ θ' ἵπποι καταπεφραγμένοι χαλκοῖς καὶ σιδηροῖς σκεπάσμασι· μέγιστος δὲ ὁ Σουρήνας καὶ κάλλιστος· αὐτὸς δὲ τὴν κατ' ἀνδρείαν δόξαν τῇ θηλύτητι τοῦ κάλλους οὐκ ἐοικώς· ἀλλὰ μηδικώτερον ἐσκευασμένος, ἐντρίμμασι προσώπου καὶ κόμης διακρίσει· τῶν ἄλλων Πάρθων ἔτι Σκυθικῶς, ἐπὶ τὸ φοβερὸν τῶν ἀνασιλλοκομώντων· πρῶτον μὲν οὖν διενοοῦντο τοῖς κοντοῖς ἐσελαύνοντες, ὠθεῖν καὶ βιάζεσθαι τοὺς προτάκτους· ὡς δὲ ἑώρων, τό τε βάθος τοῦ συνασπισμοῦ, καὶ τῶν ἀνδρῶν τὸ μόνιμον καὶ παρεστηκὸς, ἀνῆγον ὀπίσω· καὶ σκίδνασθαι δοκοῦντες ἅμα καὶ διαλύειν τὴν τάξιν, ἐλάνθανον ἐν κύκλῳ περιβάλλοντες τὸ πλινθίον αὐτῶν· Κράσσου δὲ τοὺς ψιλοὺς ἐκδραμεῖν κελεύσαντος, οὗτοι μὲν οὐ πολὺ προῆλθον· ἀλλὰ πολλοῖς τοξεύμασιν ἐντυχόντες, ταχὺ συμπεσόντες αὖθις ἐνεδύοντο τοῖς ὁπλίταις· καὶ παρεῖχον ἀκοσμίας ἀρχὴν καὶ δέους, ὁρῶσι τὴν ῥώμην τῶν ὀιστῶν καὶ τὸν τόνον· ὅπλα τε ῥηγνύντων καὶ διὰ παντὸς φερομένων ὁμοίως ἀντιτύπου καὶ μαλακοῦ στεγάσματος· οἱ δὲ Πάρθοι διαστάντες ἐκ μήκους, ἤρξαντο τοξεύειν

ἅμα πανταχόθεν· οὐ τὴν ἀκριβῆ τοξείαν· ἡ γὰρ συνέχεια καὶ πυκνότης τῶν Ῥωμαίων, οὐδὲ τῷ βουλομένῳ διαμαρτάνειν ἀνδρὸς παρεῖχε. ῥύμην δὲ τὰς πληγὰς καὶ βιαίους διδόντων ἅτε ἀπὸ τόξων κραταιῶν καὶ μεγάλων, καὶ τῇ σκολιότητι τῆς καμπῆς τὸ βέλος ἠναγκασμένον ἀποστελλόντων. ἦν οὖν αὐτόθεν ἤδη μοχθηρὰ τὰ Ῥωμαίων· καὶ γὰρ μένοντες ἐν τάξει, συνετιτρώσκοντο· καὶ χωρεῖν ὁμόσε πειρώμενοι, τοῦ μὲν ποιεῖν ἴσα ἀπεῖχον· ὁμοίως δὲ ἔπασχον. ὑπέφευγον γὰρ ἅμα βάλλοντες οἱ Πάρθοι· καὶ τοῦτο κράτιστα ποιοῦσι μετὰ Σκύθας· καὶ σοφώτατόν ἐστιν, ἀμυνομένους ἐπὶ τῷ σώζεσθαι· καὶ τῆς φυγῆς ἀφαιρεῖν τὸ αἰσχρόν. ἄχρι μὲν οὖν ἤλπιζον αὐτοὺς ἐκχεαμένους τὰ βέλη, σχήσεσθαι μάχης ἢ συνάψειν εἰς χεῖρας, ἐκαρτέρουν· ὡς δὲ ἔγνωσαν ὅτι πολλαὶ κάμηλοι παρεστᾶσι τοξευμάτων πλήρεις, ἀφ᾽ ὧν περιελαύνοντες οἱ πρῶτοι λαμβάνουσιν, οὐδὲν πέρας ὁρῶν ὁ Κράσσος, ἠθύμει· καὶ σκοπεῖν ἐκέλευσεν ἀγγέλους πέμψας πρὸς τὸν υἱόν, ὅπως προσμῖξαι βιάσαιτο τοῖς ἐναντίοις, πρὶν ἢ κυκλωθῆναι· μάλιστα γὰρ ἐκείνῳ προσέκειντο καὶ περιίππευον τὸ κέρας ὡς κατὰ νώτου γενησόμενοι. λαβὼν οὖν ὁ νεανίας ἱππεῖς χιλίους καὶ τριακοσίους, ὧν οἱ χίλιοι παρὰ Καίσαρος ἦσαν, καὶ τῶν ἔγγιστα θυρεοφόρων ὀκτὼ σπείρας, συνήγαγεν ἐς ἐμβολήν. τῶν δὲ Πάρθων οἱ περιελαύνοντες, εἴτε τέλμασιν ἐντυχόντες, ὥς ἔνιοί φασιν, εἴτε λαβεῖν τὸν Κράσσον ἀπωτάτω τοῦ στρατοῦ στρατηγοῦντες, ὀπίσω τρέψαντες ἐπεδίωκον. ὁ δὲ ἐμβοήσας ὡς οὐ μένουσιν οἱ ἄνδρες, ἤλαυνε· καὶ σὺν αὐτῷ Κηνσωρῖνός τε καὶ Μεγάβακχος· ὁ μὲν εὐψυχίᾳ καὶ ῥώμῃ διαφέρων, Κηνσωρῖνος δὲ καὶ βουλευτικὸν ἔχων ἀξίωμα, καὶ δεινὸς εἰπεῖν, ἑταῖροι δὲ Κράσσου καὶ παραπλήσιοι καθ᾽ ἡλικίαν. ἑπομένων δὲ τῶν ἱππέων, οὐδὲ τὸ πεζὸν ἀπελείπετο, προθυμίᾳ καὶ χαρᾷ τῆς ἐλπίδος· νικᾶν γὰρ ᾤοντο καὶ διώκειν. ἄχρι οὗ πολὺ προελθόντες, ᾔσθοντο τὴν ἀπάτην· μεταβαλλομένων τῶν φεύγειν δοκούντων, καὶ πλειόνων ἄλλων ἐπιφερομένων. ἐνταῦθα δὲ ἔστησαν, οἰόμενοι συνάψειν αὐτοῖς εἰς χεῖρας ὀλίγοις οὖσι τοὺς πολεμίους. οἱ δὲ, τοὺς καταφράκτους προτάξαντες ἐναντίους τοῖς Ῥωμαίοις, τὴν δὲ ἄλλην ἵππον ἄτακτον περὶ αὐτοὺς ἐλαύνοντες καὶ συνταράττοντες τὸ πεδίον, ἀνίστασαν ἐκ βυθοῦ θῖνας ἄμμων, κονιορτὸν ἐπαγούσας ἄπλετον· ὡς μήτε διορᾶν ῥᾳδίως, μήτε φθέγγεσθαι τοὺς Ῥωμαίους, εἱλουμένους δὲ ἐν ὀλίγῳ καὶ συμπίπτοντας ἀλλήλοις, βάλλεσθαι καὶ ἀποθνήσκειν οὐ ῥᾳδίως, οὐδὲ ὀξέως θάνατον· ἀλλ᾽ ὑπὸ σπασμοῦ καὶ ὀδύνης δυσανασχετοῦντας καὶ

κυλινδουμένους περὶ τοῖς οἰστοῖς ἐναποθραύειν τοῖς τραύμασι· βίᾳ τε πειρωμένους ἐξέλκειν ἠγκιστρωμένας ἀκίδας καὶ δεδυκυίας διὰ φλεβῶν καὶ νεύρων, προσαναρρηγνύναι καὶ λυμαίνεσθαι σφᾶς αὐτούς. οὕτω δὲ πολλῶν ἀποθνησκόντων, ἄπρακτοι καὶ οἱ ζῶντες ἦσαν πρὸς ἀλκήν. καὶ τοῦ Ποπλίου παρακαλοῦντος ἐμβαλεῖν εἰς τὴν κατάφρακτον, ἐπεδείκνυσαν αὐτῷ χεῖράς τε θυρεοῖς προσπεπερονημένας, καὶ πόδας διαμπὰξ ἐληλαμένους πρὸς τοὔδαφος· ὥστε καὶ πρὸς φυγὴν ἀμηχάνους εἶναι καὶ πρὸς ἄμυναν. αὐτὸς οὖν τοὺς ἱππεῖς παρορμήσας, προσέβαλε μὲν ἐρρωμένως, καὶ συνῆψε τοῖς ἀνδράσιν· ἦν δὲ ἄνισος ἔν τε ταῖς πληγαῖς καὶ τῷ φυλάττεσθαι· παίων μὲν ἀσθενέσι καὶ μικροῖς δορατίοις, θώρακας ὠμοβύρσους καὶ σιδηροῦς, παιόμενος δὲ κοντοῖς εἰς εὐσταλῆ καὶ γυμνὰ σώματα τῶν Γαλατῶν. τούτοις γὰρ ἐθάρρει μάλιστα, καὶ μετὰ τούτων ἔργα θαυμαστὰ διεπράττετο. τῶν τε γὰρ κοντῶν ἐπελαμβάνοντο, καὶ συμπλεκόμενοι τοὺς ἄνδρας ἀπὸ τῶν ἵππων ἐώθουν, τῇ βαρύτητι τοῦ ὁπλισμοῦ δυσκινήτους ὄντας. πολλοὶ δὲ τοὺς ἑαυτῶν ἀπολείποντες ἵππους, καὶ ὑποδυόμενοι τοῖς ἐκείνων, ἔτυπτον εἰς τὰς γαστέρας· οἱ δὲ ἀνεσκίρτων ὑπ᾽ ὀδύνης, καὶ συμπατοῦντες ἐν ταὐτῷ τοὺς ἐπιβάτας καὶ τοὺς πολεμίους ἀναπεφυρμένους, ἀπέθνησκον. ἐπίεζε δὲ τοὺς Γαλάτας μάλιστα, τό τε δίψος καὶ τὸ καῦμα, ἀμφοτέρων ἀήθεις ὄντας· καὶ τῶν ἵππων ἀπολώλεισαν οἱ πλεῖστοι, πρὸς ἐναντίους ἐλαυνόμενοι τοὺς κοντούς. ἐβιάσθησαν οὖν ἀναχωρῆσαι πρὸς τοὺς ὁπλίτας, ἔχοντες τὸν Πόπλιον ὑπὸ τραυμάτων ἤδη κακῶς διακείμενον. ἰδόντες δὲ θῖνα βουνώδη πλησίον, ἐχώρουν ἐπ᾽ αὐτήν· καὶ τοὺς μὲν ἵππους ἐν μέσῳ κατέδησαν· ἔξωθεν δὲ τοῖς θυρεοῖς συγκλείσαντες, ᾤοντο ῥᾷον ἀμυνεῖσθαι τοὺς βαρβάρους. ἀπέβαινε δὲ τοὐναντίον. ἐν μὲν γὰρ ὁμαλῷ τοῖς ὄπισθεν ἁμῶς γέ πως οἱ πρότακτοι παρέχουσι ῥᾳστώνην· ἐκεῖ δὲ ἄλλον ὑπὲρ ἄλλον διὰ τὴν ἀνωμαλίαν ἀνέχοντος τοῦ χωρίου, καὶ μᾶλλον ἀεὶ τοὺς κατόπιν ἐξαίροντος, οὐδὲν ἦν τὸ διαφεῦγον· ἀλλ᾽ ἐβάλλοντο πάντες ὁμαλῶς, ὀδυρόμενοι τὴν ἀκλεῆ καὶ ἄπρακτον αὐτῶν τελευτήν. ἦσαν δὲ περὶ τὸν Πόπλιον ἄνδρες Ἕλληνες δύο τῶν αὐτόθι κατοικούντων ἐν Κάρραις, Ἱερώνυμος καὶ Νικόμαχος· οὗτοι συνέπειθον αὐτὸν ὑπεξελθεῖν μετ᾽ αὐτῶν, καὶ διαφυγεῖν εἰς Ἴχνας, πόλιν ᾑρημένην τὰ Ῥωμαίων. ὁ δὲ φήσας, οὐδένα δεινὸν οὕτως ἔσεσθαι θάνατον, ὃν φοβηθεὶς Πόπλιος ἀπολείψει τοὺς ἀπολλυμένους δι᾽ αὐτόν, ἐκείνους μὲν ἐκέλευσε σώζεσθαι· καὶ δεξιωσάμενος ἀπέστειλεν· αὐτὸς δὲ τῇ χειρὶ χρήσασθαι μὴ δυνάμενος, διελήλατο

γὰρ βήτη, τὸν ὑπασπιστὴν ἐκέλευσε πατάξαι τῷ ξίφει, παρασχὼν τὸ πλευρόν. ὁμοίως δὲ καὶ Κηνσωρῖνον ἀποθανεῖν λέγουσιν· Μεγάβακχος δέ, αὐτὸς ἑαυτὸν διεχρήσατο· καὶ τῶν ἄλλων οἱ δοκιμώτατοι· τοὺς δὲ ἀπολελειμμένους ἀναβαίνοντες οἱ Πάρθοι, τοῖς κοντοῖς διήλαυνον μαχομένους· ζῶντας δὲ οὐ πλείους φασὶν ἁλῶναι πεντακοσίων. τὰς δὲ κεφαλὰς τῶν περὶ Πόπλιον ἀποκόψαντες, ἤλαυνον εὐθὺς ἐπὶ τὸν Κράσσον. εἶχε δὲ τὰ κατ' αὐτὸν οὕτως. ὡς ἐκέλευσε τὸν υἱὸν ἐμβαλεῖν τοῖς Πάρθοις, καί τις αὐτῷ μακρὰν ἤγγελλε τροπὴν εἶναι καὶ δίωξιν ἰσχυρὰν τῶν πολεμίων, ἑώρα δὲ καὶ τοὺς καθ' αὑτὸν οὐκέτι προσκειμένους. ὁμοίως γὰρ ἐρρυήκασιν οἱ πλεῖστοι, μικρὸν ἀνεθάρρησε· καὶ συναγαγών, ὑπέστειλε χωρίοις προσάντεσι τὸν στρατόν· αὐτίκα προσδοκῶν τὸν υἱὸν ἐπανήξειν ἀπὸ τῆς διώξεως. τῶν δὲ πεμφθέντων ὑπὸ τοῦ Ποπλίου πρὸς αὐτὸν ὡς ἐκινδύνευεν, οἱ μὲν πρῶτοι διεφθάρησαν ἐμπεσόντες εἰς τοὺς βαρβάρους· οἱ δὲ ὕστερον διαφυγόντες μόγις, ἀπήγγελλον οἰχήσεσθαι τὸν Πόπλιον, εἰ μὴ ταχεῖα καὶ πολλὴ βοήθεια παρ' ἐκείνου γένηται. τὸν δὲ Κράσσον, ἅμα πολλὰ πάθη κατέσχε· καὶ λογισμῷ μὲν, οὐδὲν ἔτι τῶν πραγμάτων ἑώρα· φόβῳ δὲ περὶ τοῦ σύμπαντος ἅμα, καὶ πόθῳ τοῦ παιδὸς ἑλκόμενος βοηθεῖν καὶ μὴ βοηθεῖν, τέλος, ὥρμησε προάγειν τὴν δύναμιν. ἐν τούτῳ δέ, οἱ πολέμιοι προσεφέροντο κραυγῇ καὶ παιᾶνι φοβερώτεροι· καὶ πολλὰ τῶν τυμπάνων αὖθις περιεμυκᾶτο τοὺς Ῥωμαίους· ἑτέρας μάχης ἀρχὴν προσδοκῶντας. οἱ δὲ τὴν κεφαλὴν τοῦ Ποπλίου κομίζοντες ὑπὲρ αἰχμῆς ἀναπεπηγυῖαν ἐγγὺς προσελάσαντες, ἀνέδειξαν· ὕβρει πυνθανόμενοι τοκέας αὐτοῦ καὶ γένος· οὐ γὰρ δὴ πρέπειν γε Κράσσου πατρὸς ἀνανδροτάτου καὶ κακίστου, γενναῖον οὕτω παῖδα καὶ λαμπρὸν ἀρετῇ γενέσθαι. τοῦτο τὸ θέαμα Ῥωμαίων ὑπὲρ ἅπαντα τὰ ἄλλα δεινά, τὰς ψυχὰς κατέκλασε καὶ παρέλυσεν, οὐ θυμοῦ πρὸς ἄμυναν ὥσπερ ἦν εἰκός, ἀλλὰ φρίκης καὶ τρόμου πᾶσιν ἐγγενομένου. καίτοι τὸν Κράσσον αὐτὸν αὑτοῦ λαμπρότατον ἐν τῷ τότε πάθει φανῆναι λέγουσιν· ἐβόα γὰρ ἐπιὼν τὰς τάξεις, ἐμὸν ὦ Ῥωμαῖοι τοῦτο τὸ πάθος ἴδιόν ἐστιν· ἡ δὲ μεγάλη δόξα καὶ τύχη τῆς Ῥώμης ἐν ὑμῖν ἕστηκε σῳζομένοις ἄθραυστος καὶ ἀήττητος· εἰ δὲ καὶ ἐμοῦ τις οἶκτος ἀφῃρημένου παῖδα πάντων ἄριστον, ἐπιδείξασθε τοῦτον ὀργῇ τῇ πρὸς τοὺς πολεμίους· ἀφέλεσθε τὴν χαρὰν αὐτῶν· τιμωρήσασθε τὴν ὠμότητα· μὴ καταπλαγῆτε τοῖς γεγενημένοις· εἰ δεῖ τι καὶ παθεῖν μεγάλων ἐφιεμένους. οὐδὲ Λούκουλλος Τιγράνην ἀναιμωτὶ καθεῖλεν· οὐδὲ Σκηπίων Ἀντίοχον· χιλίας δὲ ναῦς οἱ παλαιοὶ περὶ Σικελίαν ἀπώλεσαν· ἐν δὲ Ἰταλίᾳ, πολλοὺς αὐτοκράτορας καὶ στρατηγούς· ὧν οὐδεὶς προηττηθεὶς

ἐκώλυσεν αὐτοὺς κρατῆσαι τῶν νενικηκότων· οὐδὲ γὰρ δι' εὐτυχίαν τὰ Ῥωμαίων, ἀλλὰ τλημοσύνῃ καὶ ἀρετῇ πρὸς τὰ δεινὰ χωρούντων, εἰς τοσοῦτον προῆλθε δυνάμεως. τοιαῦτα λέγων καὶ παραθαρρύνων ὁ Κράσσος, οὐ πολλοὺς ἑώρα προθύμως ὑπακούοντας. ἀλλὰ καὶ συναλαλάξαι κελεύσας, ἤλεγξε τοῦ στρατοῦ τὴν κατήφειαν· ἀσθενῆ καὶ ὀλίγην καὶ ἀνώμαλον κραυγὴν ποιήσαντος· ἡ δὲ παρὰ τῶν βαρβάρων, λαμπρὰ καὶ θρασεῖα κατεῖχε. τραπομένων δὲ πρὸς ἔργον, οἱ μὲν οἰκέται καὶ πελάται, πλάγιοι περιελαύνοντες ἐτόξευον· αὐτοὶ δὲ τοῖς κοντοῖς οἱ πρόταξ χρώμενοι, συνέστελλον εἰς ὀλίγον τοὺς Ῥωμαίους· πλὴν ὅσοι τὸν ἀπὸ τῶν τοξευμάτων φεύγοντες θάνατον, ἀπετόλμων παραβόλως εἰς αὐτοὺς φέρεσθαι· μικρὰ μὲν βλάπτοντες, ὀξέως δὲ θνῄσκοντες ὑπὸ τραυμάτων μεγάλων καὶ καιρίων· παχὺν ἐπωθούντων τῷ σιδήρῳ τὸν κοντὸν τοῖς ἵπποις· πολλάκις καὶ διὰ δυοῖν ἀνδρῶν ὑπὸ ῥύμης διαπορευόμενον. οὕτω δὲ ἀγωνισάμενοι, νυκτὸς ἐπιούσης ἀπηλλάγησαν· εἰπόντες, ὅτι Κράσσῳ χαρίζονται νύκτα μίαν θρηνῆσαι τὸν υἱόν, ἢν ἄρα μὴ βέλτιον ὑπὲρ αὑτοῦ σκεψάμενος, ἐθελήσῃ μᾶλλον ἐλθεῖν πρὸς Ἀρσάκην ἢ κομισθῆναι. οὗτοι μὲν οὖν ἐπαυλισάμενοι πλησίον, ἐν μεγάλαις ἐλπίσιν ἦσαν. νὺξ δὲ χαλεπὴ τοὺς Ῥωμαίους κατελάμβανεν· οὔτε ταφῆς τῶν κειμένων, οὔτε θεραπείας τῶν τετρωμένων καὶ ψυχορραγούντων ποιουμένους λόγον· ἑκάστου δὲ αὑτὸν ἀποκλαίοντος. ἄφυκτα γὰρ ἐφαίνετο, τήν τε ἡμέραν αὐτοῦ προσμείνασι, καὶ νύκτωρ εἰς πεδίον ἀχανὲς ἐμβαλοῦσιν· οἵ τε τραυματίαι πολλὴν ἀπορίαν παρεῖχον, καὶ κομίζειν, ἐμποδὼν τῷ τάχει τῆς φυγῆς ἐσόμενοι, καὶ ἀπολείπειν, βοῇ τὴν ἀπόδρασιν ἐξαγγελοῦντες. τὸν δὲ Κράσσον καίπερ αἴτιον ἁπάντων νομίζοντες, ἐπόθουν ὅμως αὐτοῦ τήν τε ὄψιν καὶ τὴν φωνήν. ὁ δέ, καθ' ἑαυτὸν ἐγκεκαλυμμένος, ὑπὸ σκότους ἔκειτο· παράδειγμα τοῖς πολλοῖς, τύχης· τοῖς δὲ εὖ φρονοῦσιν, ἀβουλίας καὶ φιλοτιμίας· δι' ἣν οὐκ ἠγάπα πρῶτος ὢν καὶ μέγιστος ἐν μυριάσιν ἀνδρῶν τοσαύταις, ἀλλ' ὅτι δυοῖν μόνοιν ἀνδρῶν ὕστερος ἐκρίνετο, τοῦ παντὸς ἀποδεῖν νομίζων. τότε δ' οὖν αὐτὸν Ὀκτάβιός τε ὁ πρεσβευτὴς καὶ Κάσσιος ἀνίστασαν καὶ παρεθάρρυνον. ὡς δὲ ἀπηγορεύκει παντάπασιν, αὐτοὶ συγκαλέσαντες ἑκατοντάρχας καὶ λοχαγούς, ὡς ἔδοξε βουλευομένοις μὴ μένειν, ἀνίστασαν τὸν στρατόν· ἄνευ σάλπιγγος καὶ δι' ἡσυχίας τὸ πρῶτον· εἶτα αἰσθομένων ὡς ἀπολείποιντο τῶν ἀδυνάτων, ἀκοσμία δεινὴ καὶ σύγχυσις μετ' οἰμωγῆς καὶ βοῆς τὸ στρατόπεδον κατεῖχεν· ἐκ τούτου δὲ ταραχὴ καὶ πτοία προϊόντας αὐτοὺς ἐπελάμβανεν ὡς ἐπιφερομένων τῶν πολεμίων· καὶ πολλάκις μὲν εἰς τάξιν καθιστάμενοι· τῶν δὲ τραυματιῶν ὅσοι παρηκολούθουν, τοὺς μὲν ἀναλαμβάνοντες,

τοὺς δὲ ἀποτιθέμενοι, διατριβὴν εἶχον· πλὴν τριακοσίων ἱππέων· οἷς Ἰγνά-
τιος ἔχων, προσέμιξε ταῖς Κάρραις περὶ μέσας νύκτας· φθεγξάμενος δὲ Ῥωμαϊστὶ
τοῖς τειχοφυλακοῦσιν, ὡς ἐπήκουσαν, ἐκέλευε Κοπωνίῳ τῷ ἄρχοντι φράζειν·
ὅτι μάχη γέγονε μεγάλη Κράσσου πρὸς Πάρθους· ἄλλο τε οὐδὲν εἰπών, οὐδὲ αὐτὸς
ὅστις ἦν, ἀπήλαυνεν ἐπὶ τὸ Ζεῦγμα· καὶ διέσωσε μὲν τοὺς σὺν αὑτῷ· κακῶς δὲ
ἤκουσε καταλιπὼν τὸν στρατηγόν· οὐ μὴν γε, ἀλλ' ὤνησε τὸν Κράσσον ἡ προσ-
ριφεῖσα τότε τῷ Κοπωνίῳ φωνή· συμφρονήσας γὰρ ὅτι χρηστὸν οὐδὲν ἀγγέλλειν ἔχον-
τός ἐστι τὸ τάχος καὶ τὸ συγκεχυμένον τοῦ λόγου, παρήγγειλεν εὐθὺς ἐξοπλίζεσθαι
τοὺς στρατιώτας· καὶ ἅμα τῷ πρῶτον αἰσθέσθαι τὸν Κράσσον ἐν ὁδῷ γεγενημένον,
ἀπαντήσας ἀνελάμβανε· καὶ παρέπεμπε τὴν στρατιὰν εἰς τὴν πόλιν. οἱ δὲ Πάρθοι,
νυκτὸς μὲν αἰσθόμενοι τὴν ἀπόδρασιν, οὐκ ἐδίωκον· ἅμα δ' ἡμέρᾳ, τοὺς μὲν ἐπὶ τῷ
στρατοπέδῳ καταλειφθέντας, οὐ μείους τετρακισχιλίων, ἐπελθόντες ἀπέσφαξαν·
ἐν δὲ τῷ πεδίῳ πλανωμένους πολλοὺς ἱππασάμενοι, συνέλαβον· τέσσαρας δ' ὁμοῦ
σπείρας ἃς ἔτι νυκτὸς ἀπέ   βαργόντιος ὁ πρεσβευτὴς ἐκπεσούσας
τῆς ὁδοῦ, περισχόντες ἔν τισι στενοῖς, διέφθειραν ἀμυνομένους· πλὴν ἀνδρῶν
εἴκοσι· τούτοις δὲ γυμνοῖς ξίφεσιν ὠθουμένους δι' αὐτῶν, θαυμάσαντες εἶξαν·
καὶ διέσχον ἀπιοῦσι βάδην εἰς τὰς Κάρρας. τῷ δὲ Σουρήνᾳ προσέπεσε ψευδὴς
λόγος, ἐκπεφευγέναι Κράσσον μετὰ τῶν ἀρίστων· τὸ δ' εἰς Κάρρας συνερρυηκὸς,
ὄχλον εἶναι σύμμικτον οὐκ ἀξίων σπουδῆς ἀνθρώπων. οἰόμενος οὖν ἀποβεβληκέναι
τὸ τῆς νίκης τέλος, ἔτι τε ἀμφιδοξῶν, καὶ μαθεῖν βουλόμενος τὸ ἀληθές, τὸ μὲν ὅπως ἢ
προσμένων αὐτοῦ πολιορκοίη Κράσσον ἢ διώκοι, χαίρειν ἐάσας Καρρηνούς,
ὑποπέμπει τινὰ τῶν παρ' αὐτῷ διγλώσσων, πρὸς τὰ τείχη· κελεύσας ἱέντα Ῥω-
μαϊκὴν διάλεκτον, καλεῖν Κράσσον αὐτὸν ἢ Κάσσιον, ὡς Σουρήνα διὰ λόγων
θέλοντος αὐτοῖς συγγενέσθαι. ταῦτα τοῦ διγλώσσου φράσαντος ὡς ἀπηγγέλη τοῖς
περὶ Κράσσον, ἐδέχοντο τὰς προκλήσεις· καὶ μετὰ μικρὸν ἧκον ἀπὸ τῶν βαρβάρων
Ἄραβες· οἳ Κράσσον εὖ καὶ Κάσσιον ἀπ' ὄψεως ἐγνώριζον, ἐν τῷ στρατοπέδῳ
πρὸ τῆς μάχης γεγονότες· οὗτοι τὸν Κάσσιον ἰδόντες ἀπὸ τοῦ τείχους ἔλεγον,
ὅτι Σουρήνας σπένδεται· καὶ δίδωσιν αὐτοῖς φίλοις οὖσι βασιλέως σῴζεσθαι·
Μεσοποταμίαν ἐκλιποῦσι· τοῦτο γὰρ ὁρᾶν λυσιτελὲς, πρὸ τῆς ἐσχάτης ἀνάγκης·
δεξαμένου δὲ τοῦ Κασσίου, καὶ τόπον ὁρισθῆναι καὶ χρόνον ἀξιοῦντος, ἐν ᾧ συνῶ-
σι Σουρήνας καὶ Κράσσος, οὕτως φάμενοι ποιήσειν, ἀπήλαυνον. ἡσθεὶς
οὖν ὁ Σουρήνας ἐπὶ τῷ τοὺς ἄνδρας ἐνέχεσθαι τῇ πολιορκίᾳ, μεθ' ἡμέραν ἐπ-

ῆγε τοὺς Πάρθους πολλὰ καθυβρίζοντας· καὶ κελεύοντας, εἰ βούλονται τυχεῖν
σπονδῶν Ῥωμαῖοι, Κράσσον ἐγχειρίσαι σφίσι καὶ Κάσσιον δεδεμένους. οἱ δέ,
ἤχθοντο μὲν ἠπατημένοι· τὰς μακρὰς δὲ καὶ κενὰς ἀπ' Ἀρμενίων ἐλπίδας
καταβάλλειν τῷ Κράσσῳ φράσαντες, ἥπτοντο δρασμοῦ. καὶ τοῦτο ἔδει μηδένα
πρὸ καιροῦ Καρρηνῶν πυθέσθαι· πυνθάνεται δὲ ὁ πάντων ἀπιστότατος Ἀνδρόμαχος
ὑπὸ Κράσσου καὶ τοῦτο πιστευθείς, καὶ τῆς ὁδοῦ τὴν ἡγεμονίαν. οὐδὲν οὖν ἔλαθε τοὺς Πάρ-
θους ἐξαγγέλλοντος τοῦ Ἀνδρομάχου καθ' ἕκαστον. ἐπεὶ δὲ νυκτομαχεῖν οὐ πάτριόν
αὐτοῖς ἐστιν οὐδὲ ῥᾴδιον, ἐξῄει δὲ νυκτὸς ὁ Κράσσος, ὅπως μὴ πολὺ καθυστερήσωσι
τῇ διώξει, στρατηγῶν ὁ Ἀνδρόμαχος, ἄλλοτε ἄλλας ὁδοὺς ὑφηγεῖτο· καὶ τέλος, ἐξέ-
τρεψεν εἰς ἕλη βαθέα καὶ χωρία, τάφρων μεστὰ μετὰ τὴν πορείαν, χαλεπὴν καὶ
πολυπλανῆ γινομένην τοῖς ἑπομένοις. ἐγένοντο δέ τινες οἳ μηδὲν ὑγιὲς
τὸν Ἀνδρόμαχον στρέφειν καὶ περιελίττειν εἰκάσαντες, οὐκ ἠκολούθησαν. ἀλλὰ Κάσσιος
μὲν ἐπανῆλθεν εἰς Κάρρας πάλιν· καὶ τῶν ὁδηγῶν, Ἄραβες δὲ ἦσαν, ἀναμεῖναι κε-
λευόντων, ἄχρις ἂν ἡ σελήνη παραλλάξῃ τὸν σκορπίον· ἀλλ' ἔγωγε εἰπὼν μᾶλλον φοβοῦμαι τὸν τοξότην,
ἀπήλαυνεν εἰς Συρίαν μεθ' ἱππέων πεντακοσίων. ἄλλοι δὲ μὲν χρησάμενοι πιστοῖς ὁδηγοῖς,
ἐλάβοντο χωρίων ὀρεινῶν, ἃ καλεῖται Σίννακα· καὶ κατέστησαν ἐν ἀσφαλεῖ πρὸ ἡμέρας αὐτοί,
περὶ πεντακισχιλίους. ἡγεῖτο δὲ αὐτῶν ἀνὴρ ἀγαθὸς ὁ Ὀκτάβιος. τὸν δὲ Κράσσον, ἡ-
μέρα κατελάμβανεν, ἔτι ἀγόμενον ὑπὸ Ἀνδρομάχου περὶ τὰς δυσόδους καὶ τὸ ἕλος.
ἦσαν δὲ τέσσαρες σπεῖραι σὺν αὐτῷ θυρεαφόρων· ἱππεῖς δὲ παντελῶς ὀλίγοι·
καὶ πέντε ῥαβδοῦχοι· μεθ' ὧν ἐπιπόνως καὶ μόλις εἰς τὴν ὁδὸν καταστάς, ἤδη
τῶν πολεμίων ἐπικειμένων, ὅσον δώδεκα σταδίους ἀπολιπὼν τοῦ συμμῖξαι
τοῖς περὶ Ὀκτάβιον, ἐπ' ἄλλον διαφεύγει λόφον· οὐχ οὕτω μὲν ἄφιππον οὐδ'
ὀχυρόν· ὑποκείμενον δὲ τοῖς Σιννάκοις, καὶ συνηρτημένον αὐχένι μακρῷ,
διὰ μέσου κατατείνοντι τοῦ πεδίου πρὸς τοῦτον. ἦν οὖν ἐν ὄψει τοῖς περὶ
τὸν Ὀκτάβιον ὁ κίνδυνος αὐτοῦ. καὶ πρῶτος ὁ Ὀκτάβιος ἔθει μετ' ὀλίγων
ἄνωθεν ἐπιβοηθῶν· εἶθ' οἱ λοιποὶ κακίσαντες ἑαυτοὺς ἐφέροντο· καὶ
προσπεσόντες καὶ ὠσάμενοι τοὺς πολεμίους ἀπὸ τοῦ λόφου, περιέσχον ἐν
μέσῳ τὸν Κράσσον· καὶ προὔβαλλον τοὺς θυρεούς· μεγαληγοροῦντες, ὡς
οὐκ ἔστι Πάρθοις βέλος, ὃ προσπεσεῖται τῷ σώματι τοῦ αὐτοκράτορος, πρὶν
ἢ σφᾶς ἅπαντας ὑπὲρ αὐτοῦ μαχομένους ἀποθανεῖν. ὁρῶν οὖν ὁ Σουρήνας
τοῖς τε Πάρθοις ἀμβλύτερον ἤδη κινδυνεύοντας, ἄν τε νὺξ ἐπίσχῃ
καὶ τῶν ὀρῶν οἱ Ῥωμαῖοι λάβωνται, παντάπασιν αὐτοὺς ἐσομένους ἀλήπτους,

ἐπῆγε τῷ Κραλάτῳ δόλον. ἀφίησαν μὲν γὰρ ἐνίοι τῶν αἰχμαλώτων ἀκηκοότες
ἐν τῷ στρατοπέδῳ τῶν βαρβάρων πρὸς ἀλλήλους ἐπί τισι διαλεγομένων, ὡς
οὐ βούλεται βασιλεὺς ἄσπονδον αὐτῷ πόλεμον εἶναι πρὸς Ῥωμαίους. ἀλλὰ
τὴν φιλίαν ἀναγαγεῖν χάριτι τῷ Κραλάτῳ χρησάμενος φιλανθρώπως. ἔσχοντο δὲ
μάχης οἱ βάρβαροι. ὁ Θουρχάνης δὲ μετὰ τῶν ἀρίστων προσελάσας ἀτρέμα
τῷ λόφῳ, τοῦ μὲν τόξου τὸν τόνον ἀνῆκε· τὴν δεξιὰν δὲ προύτεινεν. ἐκάλει
δὲ τὸν Κράλατον ἐπὶ συμβάσεις, ὑπισχνῶν· ὅτι τῆς μὲν ἀνδρίας θαυμάζει ὡς
ἄγοντος ἐπὶ πεῖραν βασιλέως· παρὰ τὰ δὲ αὐτὸς καὶ φιλοφροσύνης ἐκ σοῦ
ἐπιδείκνυται· ἀξιούμενος ἀπιοῦσι τοῖς περιέχουσι σώζεσθαι. ταῦτα τοῦ Θουρχάνου
λέγοντος, οἱ μὲν ἄλλοι προθύμως ἐδέξαντο καὶ περιχαρεῖς ἦσαν. ὁ δὲ Κράλατος
οὐδὲν ὅτι μελλᾶ τὰ τῆς ἐσφαλμένος ὑπ' αὐτῶν, καὶ τὸ ἀμφίδιον τῆς μετα-
βολῆς ἄλογον ἡγούμενος, οὐχ ὑπήκουεν ἀλλὰ ἐβουλεύετο. τῶν δὲ στρατιωτῶν
τῶν βοώντων ἠχηδόν, εἶτα λοιδορούντων καὶ κακιζόντων, ὡς προβάλλον-
τα μαχουμένοις αὐτοῖς, οἷς αὐτὸς ἀνόπλοις ἐν λόγοις οὐ θαρρεῖ ξυνεθῆναι, πρῶτον
μὲν ἐπηρᾶτο δεῖσθαι λέγειν ὅτι τὸ λειπόμενον μέρος τῆς ἡμέρας διακαρτερή-
σαντες, ἐν τοῖς ὄρεσι στρατεύσασι διασώζονται διὰ νυκτὸς ἰέναι· τὴν ὁδὸν
ἐδείκνυε. καὶ παρεκάλει τὴν ἡσυχίαν μὲν προέσθαι τῆς σελας, ἐπεὶ δὲ οὐχ ἔπεισε.
ὡς δὲ χαλεπαίνοντες αὐτῷ τὰ ὅπλα κρούοντες ἠπείλουν, φοβηθεὶς,
ἐχώρει τὸ δεύτερον τῆς περιγραφῆς. Ὀκτάβιε καὶ Πετρώνιε. καὶ ὅσοι ἄλλοι
περὶ Ῥωμαίων ἄρχοντες. ὑμεῖς ὁρᾶτε τῆς ἐμῆς ὁδοῦ τὴν ἀνάγκην. καὶ
συνίστε παρόντες ὡς αἰσχρὰ πάσχω βίᾳ. τοῖς δὲ ἄλλοις ἅπασιν αὐτοῖς λέ-
γετε σωθέντες ὡς Κράλατος ἀπατηθεὶς ὑπὸ τῶν πολεμίων ἀπώλετο· καὶ ἐκ-
δοθεὶς ὑπὸ τῶν πολιτῶν. οὐ μὴν ἔμαινον οἱ περὶ τὸν Ὀκτάβιον. ἀλλ' ἐγκατέ-
βαινον ἀπὸ τοῦ λόφου. τοῖς δὲ ῥαβδούχοις ἑπομένοις ὁ Κράλατος ἀπήλασε.
πρῶτοι δὲ τῶν βαρβάρων ἀπήντησαν αὐτοῖς, δύο μὲν ἐξήκοντες, οἱ καὶ προσεκύ-
νησαν τὸν Κράλατον ἀπὸ τῶν ἵππων ἀλλάμενοι. καὶ προσηγόρευσαν τῇ ἑλλάδι
φωνῇ, παρεκάλουν προπέμψαι τινάς. οἷς ἐπιδείξεται Θουρχάνης ἑαυτὸν
καὶ τοὺς περὶ αὐτὸν ἀνόπλους καὶ ἀσιδήροις προσερχομένους. ὁ δὲ Κράλατος,
ἀπεκρίνατο μὲν ὡς εἰ καὶ τὸν ἐλάχιστον εἶχε τοῦ ζῆν λόγον, οὐκ ἂν ἦλθεν
εἰς χεῖρας αὐτοῖς. ἄλλως δὲ, ῥοΐσκους ἀδελφοὺς ἔπεμπε, ὁπόσοι μὲν οὖν
ἐπὶ ποσὶ καὶ πόθοις συνῆσαν. οὓς ἀθρόως ὁ Θουρχάνης συνέλαβε καὶ κατέσχε.
αὐτὸς δὲ μετὰ τῶν ἀρίστων ἱππότης προσῄει. καὶ τί τοῦτο ἔφη. πεζὸς ὦ

ῥωμαίων ἄνακτορ ἡμᾶς δεχούμεθα; καὶ τῷ προσαγαγεῖν ἐκέλευσεν ἵππον
αὐτῷ. τοῦ δὲ Κραλάτου φήσαντος οὔθ' ἑαυτὸν ἁμαρτάνειν οὔτ' ἐκεῖνον, ὡς
ἑκατέρω πατρίους δεῖ ποιουμένοις τὴν σύνοδον, εἶναι μὲν αὐτόθεν ἔφη
σπουδὰς ἢ ἀρχὴν ὁ Θουρχάνης, ὁρᾶν δὲ τε βασιλεῖ Ῥωμαίοις. δεῖν δὲ γρά-
ψασθαι τὰς συνθήκας ἐπὶ τὸν πόλεμον προσελθόντας. οὐ γὰρ ὑμᾶς γε ἔφη
πάνυ μνήμονες ὁμολογιῶν οἱ Ῥωμαῖοι. καὶ προύτεινε τὴν δεξιὰν αὐτῷ. μετα-
πεμπομένου δ' εἰ ἵππον, οὐδὲν ἔφη δεῖν· βασιλεὺς γὰρ δίδωσι τοῦτον. ἅμα
δὲ ὅσος τε τῷ Κραλάτῳ πορευθῆναι χειρὸς χαλινός. οἵ τε ἀναβολὰς αὐτοῦ ἁρπά-
μενοι, περιέβησαν. καὶ πειρώμενον τὸ πληγῇ τὸν ἵππον ἐπιταχύνοντα. Ὀκτά-
βιος δὲ πρῶτος ἀντιλαμβάνεται τῶν χαλινῶν. καὶ μετ' ἐκεῖνον, εἷς τῶν χι-
λιάρχων Πετρώνιος. καὶ οἱ λοιποὶ περιίσταντο. τόν τε ἵππον ἀνακόπτειν
βιαζόμενοι, καὶ τοὺς περιέχοντας ἐξ ἑκατέρου μέρους τὸν Κράλατον, ἀφιέντες·
ὠθισμοῦ δὲ γενομένου καὶ ταραχῆς. εἶτα πληγῶν, Ὀκτάβιος μὲν ἀνασπάσας
ξίφος ἑνὸς τῶν βαρβάρων, κτείνει τὸν ἱπποκόμον. ἕτερος δὲ τὸν Ὀκτάβιον, ἐκ
τῶν ὄπισθεν πατάξας. Πετρώνιος δὲ ὁπλισμένον οὐκ ἀπορήσας. εἰς δὲ τὸν θώρακα
πληγὴς ἀπεπήδησεν ἄτρωτος. τὸν δὲ Κράλατον, ὁ μαξαρθὴς πάρθος, ἀπέκτεινεν.
οἱ δὲ, οὔ φασιν. ἀλλ' ἕτερον μὲν εἶναι τὸν ἀποκτείναντα. τοῦτον δὲ, κείμενον τὴν
κεφαλὴν ἀποκόψαι καὶ τὴν δεξιάν. εἰκάζεται δὲ ταῦτα μᾶλλον ἢ γινώσκεται.
τῶν γὰρ παρόντων, οἱ μὲν ἐκεῖ μαχόμενοι περὶ τὸν Κράλατον ἀνῃρέθησαν. οἱ δὲ ἀθρόοι
ἀνεχώρησαν ἐπὶ τὸν λόφον. ἐπελθόντων δὲ τῶν πάρθων. καὶ λεγόντων ὅτι
Κράλατος μὲν δίκην δέδωκε, τοῖς δὲ ἄλλοις κελεύει Θουρχάνης καὶ ἰέναι θαρ-
ροῦντας, οἱ μὲν, ἐνεχείρησαν αὐτοὺς καταβάντες. οἱ δὲ, τῆς νυκτὸς ἐπορεύθησαν.
καὶ τούτων πάντα πᾶσιν ὀλίγοι διεσώθησαν. τοὺς δὲ ἄλλους ἐκθηρεύοντες οἱ Ἄραβες,
συλλαμβάνοντες διέφθειρον. λέγονται δὲ οἱ πάντες δισμύριοι μὲν ἀποθανεῖν.
μύριοι δὲ ἁλῶναι ζῶντες. ὁ δὲ Θουρχάνης τὴν κεφαλὴν τοῦ Κραλάτου καὶ τὴν χεῖρα, πρὸς
ὀρθὴν ἔπεμψεν εἰς Ἀρμενίαν. αὐτὸς δὲ διαδοχὴν ὑπὸ ἀγγέλων εἰς Θεσσαλονί-
κην ὡς ζῶντα Κράλατον ἄγοι, παρεσκεύαζε πομπὴν τινὰ γελοίαν. ὕβριν προ-
σαγορεύων θρίαμβον. ὁ μὲν γὰρ ἀμφορεύς τις Κραλάτῳ τῶν αἰχμαλώτων Γάλλος,
ἐσθῆτα βασιλικὴν ἐνδεδυκὼς ἐν δίφρῳ διελθὼν Κράλατος ὑπακούειν αὐτο-
κράτωρ τοῖς καλοῦσιν, ἐφ' ἵππου καθήμενος ἤγετο. πρὸ αὐτοῦ δὲ σαλπιγκταὶ
καὶ ῥαβδοῦχοί τινες ὀχούμενοι καμήλοις ἐσάλπιζον. ἐξῆς τε τότε ῥαβδοῦ-
χων βαλλάντια. καὶ παρὰ τοῖς πελέκεσι, πρόσφατοι κεφαλαὶ Ῥωμαίων ἀπο-

τετμημένα. κατόπιν δὲ τούτων Σελευκίδες ἑταῖραι μουσουργοί, πολλὰ
βωμολόχα καὶ γελοῖα διὰ ᾀσμάτων, εἰς θηλύτητα καὶ ἀνανδρίαν τοῦ Κράσσου λέ-
γοντες. ταῦτα μὲν οὖν πάντες ἐθεῶντο. τὴν δὲ γερουσίαν τῶν Σελευκέων ἀθροίσας,
εἰσήνεγκεν ἀκόλαστα βιβλία τῶν Ἀριστείδου Μιλησιακῶν. οὔτι ταῦτά γε κατα-
ψευσάμενος. εὑρέθη γὰρ ἐν τοῖς Ῥουστίου σκευοφόροις, καὶ παρέσχε τῷ Σουρήνᾳ
καθυβρίσαι πολλὰ καὶ κατασκῶψαι τοὺς Ῥωμαίους, εἰ μηδὲ πολεμοῦντες ἀπέχεσθαι
πραγμάτων καὶ γραμμάτων δύνανται τοιούτων. τοῖς μέντοι Σελευκεῦσιν ἐδόκει σοφὸς ἀνὴρ
ὁ Αἴσωπος εἶναι. τὸν Σουρήναν ὁρῶσι τὴν μὲν τῶν Μιλησιακῶν ἀκολασμάτων
πήραν ἐξηρτημένον πρόσθεν, ὄπισθεν δὲ Παρθικὴν Σύβαριν ἐφελκόμενον ἐν το-
σαύταις παλλακίδων ἁμάξαις, τρόπον τινὰ ταῖς λεγομέναις ἐχίδναις καὶ σκυ-
τάλαις ἀντίμορφον. τὰ μὲν ἐμφανῆ καὶ πρόσθια μέρη, φοβερὰ καὶ θηριώδη δό-
ρασι καὶ τόξοις καὶ ἵπποις προβαλλόμενον, κατ' οὐρὰν δὲ τῆς φάλαγγος, εἰς χορείαν
καὶ κρόταλα καὶ ψαλμοὺς καὶ παννυχίδας ἀκολάστους μετὰ γυναικῶν τελευτῶσαν.
ψεκτὸς μὲν γὰρ ὁ Ῥούστιος. ἀναιδεῖς δὲ Πάρθοι τὰ Μιλησιακὰ ψέγοντες. ὧν
πολλοὶ βεβασιλεύκασιν ἐκ Μιλησίων καὶ Ἰωνίδων ἑταιρῶν γεγονότες Ἀρσακίδαι.
τούτων δὲ πραττομένων, Ὑρώδης ἐτύγχανεν ἤδη διηλλαγμένος Ἀρταβάζῃ τῷ Ἀρ-
μενίῳ. καὶ τὴν ἀδελφὴν αὐτοῦ γυναῖκα Πακόρῳ τῷ παιδὶ καθωμολογημένος. ἑστι-
άσεις τε καὶ πότοι δι' ἀλλήλων ἦσαν αὐτοῖς. καὶ πολλὰ παρεισήγετο
καὶ τῶν ἀπὸ τῆς Ἑλλάδος ἀκουσμάτων. ἦν γὰρ οὔτε φωνῆς οὔτε γραμμάτων ὁ
Ὑρώδης Ἑλληνικῶν ἄπειρος. ὁ δ' Ἀρταβάζης καὶ τραγῳδίας ἐποίει καὶ λόγους ἔ-
γραφε καὶ ἱστορίας, ὧν ἔνιαι διασῴζονται. τῆς δὲ κεφαλῆς τοῦ Κράσσου κομισθείσης
ἐπὶ θύρας, ἀπηρμέναι μὲν ἦσαν αἱ τράπεζαι. τραγῳδιῶν δὲ ὑποκριτὴς Ἰάσων
ὄνομα Τραλλιανὸς ᾖδεν Εὐριπίδου Βακχῶν τὰ περὶ τὴν Ἀγαύην. εὐδοκιμοῦντος
δ' αὐτοῦ, Σιλάκης ἐπιστὰς τῷ ἀνδρῶνι καὶ προσκυνήσας, προὔβαλεν εἰς μέσον τοῦ Κράσσου
τὴν κεφαλήν. κρότον δὲ τῶν Πάρθων μετὰ χαρᾶς καὶ κραυγῆς ἀραμένων, τὸν μὲν Σι-
λάκην κατέκλιναν οἱ ὑπηρέται, βασιλέως κελεύσαντος. ὁ δ' Ἰάσων, τὰ μὲν τοῦ Πεν-
θέως σκευοποιήματα παρέδωκέ τινι τῶν χορευτῶν. τῆς δὲ τοῦ Κράσσου
κεφαλῆς λαβόμενος καὶ ἀναβακχεύσας, ἐπέραινεν ἐκεῖνα τὰ μέλη, μετ' ἐν-
θουσιασμοῦ καὶ ᾠδῆς. φέρομεν ἐξ ὄρεος ἕλικα νεότομον ἐπὶ μέλαθρα,
μακάριον θήραμα. καὶ ταῦτα μὲν πάντας ἔτερπεν. ᾀδομένων δὲ τῶν
ἑξῆς ἀμοιβαίων πρὸς τὸν χορόν· τίς ἐφόνευσεν; ἐμὸν τὸ γέρας. ἀναπηδήσας
ὁ Μαξάρθης, ἐτύγχανε γὰρ ἐπὶ δεῖπνον ὤν, ἀντελαμβάνετο τῆς κεφαλῆς, ὡς αὐτῷ

λέγειν ταῦτα μᾶλλον ἢ ἐκείνῳ προσῆκον. ἡσθεὶς δὲ ὁ βασιλεύς, τὸν μέν, οἷς
πάτριόν ἐστιν ἐδωρήσατο. τῷ δ' Ἰάσονι τάλαντον ἔδωκεν. εἰς τοιοῦτόν φασιν
ἐξόδιον τὴν Κράσσου στρατηγίαν ὥσπερ τραγῳδίαν τελευτῆσαι. δίκη μέντοι καὶ
τῆς ὠμότητος Ὑρώδην καὶ τῆς ἐπιορκίας Σουρήναν ἀξία μετῆλθε. Σουρήναν μὲν
γὰρ οὐ μετὰ πολὺν χρόνον Ὑρώδης φθόνῳ τῆς δόξης ἀπέκτεινεν. Ὑρώδῃ δὲ
ἀποβαλόντι Πάκορον ὑπὸ Ῥωμαίων μάχῃ κρατηθέντα, καὶ νοσήσαντι νόσον εἰς ὕ-
δερον τραπεῖσαν Φραάτης ὁ υἱὸς ἐπιβουλεύων ἀκόνιτον ἔδωκεν. ἀναδεξα-
μένης δὲ τῆς νόσου τὸ φάρμακον εἰς ἑαυτὴν ὥστε συνεκκριθῆναι, καὶ τοῦ σώ-
ματος κουφισθέντος, ἐπὶ τὴν ταχίστην τῶν ὁδῶν ἐλθὼν ὁ Φραάτης ἀπέπνι-
ξεν αὐτόν. ὡρμημένης δὲ Παρθικῆς στρατιᾶς περὶ τὴν Μεσοποταμίαν, Λαβιηνὸν
οἱ βασιλέως στρατηγοὶ Παρθικὸν ἀναγορεύσαντες αὐτοκράτορα, Συρίᾳ ἐπιβατεύειν
ἔμελλον. οἷοι χειροῦσθαι φερόμενον ὑπ' αὐτῆς ἐν Ἀλεξανδρείᾳ. ἐπάγοντα δὲ Πάρ-
θοις καὶ τὴν ἀπὸ Εὐφράτου καὶ Συρίας ἄχρι Λυδίας καὶ Ἰωνίας Ἀσίαν κατασυρό-
μενον· πυθόμενος Ἀντώνιος, ὥρμησε μὲν Πάρθοις ἐνίστασθαι. Φουλβίας δὲ
γράμμασιν αὐτὸν τῆς γυναικὸς καλούσης καὶ μετὰ θρήνων μεταπεμπούσης,
ἐπέστρεψεν εἰς τὴν Ἰταλίαν. καὶ φίλος γενόμενος Καίσαρι καὶ Πομπηίῳ τῷ Σι-
κελίας ἄρχοντι, προύπεμψεν αὖθις εἰς Ἀσίαν Οὐεντίδιον, Πάρθοις ἐμποδὼν
ἐσόμενον τοῦ πρόσω χωρεῖν. αὐτὸς δὲ χαριζόμενος, ἱερεὺς ἀπεδείχθη τοῦ προτέρου
Καίσαρος. καὶ τἆλλα κοινῶς καὶ φιλικῶς ἐν τοῖς πολιτικοῖς καὶ μεγίστοις ἔπραττον.
ἦν δέ τις ἀνὴρ σὺν αὐτῷ μαντικὸς Αἰγύπτιος, τῶν τὰς γενέσεις ἐπισκο-
πούντων. οὗτος, εἴτε Κλεοπάτρᾳ χαριζόμενος, εἴτε χρώμενος ἀληθείᾳ, πρὸς τὸν Ἀντώ-
νιον ἐπαρρησιάζετο λέγων τὴν τύχην αὐτοῦ λαμπροτάτην οὖσαν καὶ μεγίστην, ὑπὸ
τῆς Καίσαρος ἀμαυροῦσθαι. καὶ συνεβούλευε πορρωτάτω τοῦ νεανίσκου ποιεῖν
ἑαυτόν. ὁ γὰρ σὸς δαίμων τὸν τούτου φοβεῖται. ἐφ' οἷς ὁ Ἀντώνιος ἀνιώμενος καὶ
ζηλοτυπῶν. καὶ μᾶλλόν τι τῷ Αἰγυπτίῳ προσέχων, ἀπῆρεν ἐκ τῆς Ἰταλίας, ἐγχει-
ρίσας Καίσαρι τὰ οἰκεῖα ἐς τὴν Ἑλλάδα. χειμάζοντι δὲ αὐτῷ περὶ Ἀθήνας, ἀγγέλλεται
τὰ πρῶτα τῶν Οὐεντιδίου κατορθωμάτων. ὅτι μάχῃ τοὺς Πάρθους κρατήσας, Λαβιηνὸν
ἀποκτείνοι καὶ Φραάτην ἡγεμονικώτατον τῶν Ὑρώδου βασιλέως στρατηγῶν. ἐπὶ
τούτοις εἱστία τοὺς Ἕλληνας. καὶ ἐγυμνασιάρχει Ἀθηναίοις. ἐξιὼν δὲ ἐπὶ τὸν
πόλεμον, ἀπὸ τῆς ἱερᾶς ἐλαίας στέφανον ἔλαβε. καὶ κατά τι λόγιον, ἀπὸ τῆς Κλεψύδρας
ὕδατος ἀγγεῖον ἐμπλήσας ἐκόμιζεν. ἐν τούτῳ δὲ Πάκορον τὸν βασιλέως παῖδα
μεγάλῳ στρατῷ Πάρθων αὖθις ἐπὶ Συρίαν ἐλαύνοντα, συμπεσὼν Οὐεντίδιος

ἐν τῇ Κυρρηστικῇ τρέπεται καὶ διαφθείρει παμπόλλους, ἐν πρώτοις Πακόρου πεσόντος. τοῦτο τὸ ἔργον ἐν τοῖς ἀοιδίμοις μάλιστα γενόμενον, Ῥωμαίοις τε τῶν κατὰ Κράσσον ἀτυχημάτων ἔκπλεω ποινὴν παρέσχε, καὶ Πάρθους αὖθις εἴσω Μηδίας καὶ Μεσοποταμίας συνέστειλε, τρισὶ μάχαις ἐφεξῆς κατὰ κράτος ἡττημένους. Οὐεντίδιος μὲν οὖν Πάρθους προσωτέρω διώκειν ἀπέσχετο, φθόνον Ἀντωνίου δείσας· τοὺς δὲ ἀφεστῶτας ἐπιὼν κατεστρέφετο, καὶ τὸν Κομμαγηνὸν Ἀντίοχον ἐν πόλει Σαμοσάτοις ἐπολιόρκει. δεομένου δὲ χίλια τάλαντα δοῦναι καὶ ποιεῖν Ἀντωνίῳ τὸ προστασσόμενον, ἐκέλευσε πέμπειν πρὸς Ἀντώνιον. ἤδη γὰρ ἐγγὺς ἦν, καὶ τὸν Οὐεντίδιον οὐκ εἴα σπένδεσθαι τῷ Ἀντιόχῳ, βουλόμενος ἕν γε τοῦτο τὸ ἔργον ἐπώνυμον αὐτῷ γενέσθαι, καὶ μὴ πάντα διὰ Οὐεντιδίου κατορθοῦσθαι. τῆς δὲ πολιορκίας μῆκος λαμβανούσης, καὶ τῶν ἔνδον ὡς ἀπέγνωσαν τὰς διαλύσεις πρὸς ἀλκὴν τρεπομένων, πράττων μὲν οὐδὲν, ἐν αἰσχύνῃ δὲ καὶ μεταγνώσει γενόμενος, ἀγαπητῶς ἐπὶ τριακοσίοις συντίθεται ταλάντοις πρὸς Ἀντίοχον· καὶ μικρὰ τῶν ἐν Συρίᾳ καταστησάμενος, εἰς Ἀθήνας ἐπανῆλθε· καὶ τὸν Οὐεντίδιον οἷς ἔπρεπε τιμήσας, ἔπεμπεν ἐπὶ τὸν θρίαμβον. οὗτος ἀπὸ Πάρθων μέχρι δεῦρο τεθριάμβευκε μόνος, ἀνὴρ γένει μὲν ἀφανής, ἀπολαύσας δὲ τῆς Ἀντωνίου φιλίας τὸ λαβεῖν ἀφορμὰς πράξεων μεγάλων· αἷς κάλλιστα χρησάμενος, ἐβεβαίωσε τὸν περὶ Ἀντωνίου καὶ Καίσαρος λεγόμενον λόγον, ὡς εὐτυχέστεροι δι' ἑτέρων ἦσαν, ἢ δι' αὑτῶν στρατηγοί. καὶ γὰρ Σόσσιος Ἀντωνίου στρατηγὸς ἐν Συρίᾳ πολλὰ διεπράττετο· καὶ Κανίδιος ἀπολειφθεὶς ὑπ' αὐτοῦ περὶ Ἀρμενίαν, τούτους τε νικῶν καὶ τοὺς Ἰβήρων καὶ Ἀλβανῶν βασιλεῖς, ἄχρι τοῦ Καυκάσου προῆλθεν· ἀφ' ὧν ἐν τοῖς βαρβάροις ὄνομα καὶ κλέος ηὔξετο τῆς Ἀντωνίου δυνάμεως. ἐπεὶ δὲ Φραάτου κτείναντος Ὀρώδην τὸν πατέρα καὶ τὴν βασιλείαν κατασχόντος, ἄλλοι τε Πάρθων ἀπεδίδρασκον οὐκ ὀλίγοι, καὶ Μοναίσης, ἀνὴρ ἐπιφανὴς καὶ δυνατὸς, ἧκε φεύγων πρὸς Ἀντώνιον· τὰς μὲν ἐκείνου τύχας ταῖς Θεμιστοκλέους εἰκάσας, περιουσίαν δὲ τὴν αὑτοῦ καὶ μεγαλοφροσύνην τοῖς Περσῶν βασιλεῦσι παραβάλλων, ἐδωρήσατο τρεῖς πόλεις αὐτῷ, Λάρισσαν καὶ Ἀρέθουσαν καὶ Ἱερὰν πόλιν, ἣν Βαμβύκην πρότερον ἐκάλουν. τοῦ δὲ Πάρθων βασιλέως τῷ Μοναίσῃ δεξιὰν καταπέμψαντος, ἄσμενος αὐτὸν ἀπέπεμψεν Ἀντώνιος· ἐξαπατᾶν μὲν ἐγνωκὼς τὸν Φραάτην, ὡς εἰρήνης ἐσομένης· ἀξιῶν δὲ τὰς ἁλούσας ἐπὶ Κράσσου σημαίας καὶ τῶν ἀνδρῶν ἀπολαβεῖν τοὺς περιόντας. αὐτὸς δὲ Κλεοπάτραν εἰς Αἴγυπτον

ἀποπέμψας, ἐχώρει δι' Ἀραβίας καὶ Ἀρμενίας· ὅπου συνηθροίσθη αὐτῷ τῆς δυνάμεως καὶ τῶν συμμάχων βασιλέων, πάμπολλοι δὲ ἦσαν οὗτοι, μέγιστος δὲ ὁ τῶν Ἀρμενίων Ἀρταβάζης, ἑξακισχιλίους ἱππεῖς καὶ ἑπτακισχιλίους πεζοὺς παρέχων, ἐξέτασε τὸν στρατόν. ἦσαν δὲ Ῥωμαίων μὲν αὐτῶν ἑξακισμύριοι πεζοί· καὶ τὸ Ῥωμαίοις συντεταγμένον ἱππικὸν Ἰβήρων καὶ Κελτῶν, μύριοι· τῶν δὲ ἄλλων ἐθνῶν ἐγένοντο τρεῖς μυριάδες σὺν ἱππεῦσιν ὁμοῦ καὶ ψιλοῖς. τοσαύτην μέντοι παρασκευὴν καὶ δύναμιν, ᾗ καὶ τοὺς πέραν Βάκτρων Ἰνδοὺς ἐφόβησε καὶ πᾶσαν ἐκράδανε τὴν Ἀσίαν, ἀνόνητον αὐτῷ διὰ Κλεοπάτραν γενέσθαι λέγουσι. σπεύδοντα γὰρ ἐκείνῃ διαχειμάσαι, τὸν πόλεμον ἐξενεγκεῖν πρὸ καιροῦ, καὶ πᾶσι χρήσασθαι τεταραγμένως, οὐκ ὄντα τῶν αὑτοῦ λογισμῶν· ἀλλ' ὑπὸ φαρμάκων τινῶν ἢ γοητείας παπταίνοντα πρὸς ἐκείνην, καὶ πρὸς τῷ τάχιον ἐπανήξειν μᾶλλον, ἢ πρὸς τῷ κρατῆσαι τῶν πολεμίων γινόμενον. πρῶτον μὲν οὖν αὐτῷ δέον ἐν Ἀρμενίᾳ παραχειμάσαι καὶ διαναπαῦσαι τὸν στρατὸν, ὀκτακισχιλίων σταδίων ἀποτετρυμμένον πορείᾳ· καὶ πρὶν ἢ κινεῖν ἐκ τῶν χειμαδίων Πάρθους, ἔαρος ἀρχῇ Μηδίαν καταλαβεῖν, οὐκ ἠνέσχετο τὸν χρόνον· ἀλλ' εὐθὺς ἦγεν ἐν ἀριστερᾷ λαβὼν Ἀρμενίαν, καὶ τῆς Ἀτροπατηνῆς ἁψάμενος, ἐπόρθει τὴν χώραν. ἔπειτα μηχανήματα αὐτῷ πρὸς πολιορκίαν ἀναγκαῖα τριακοσίαις ἁμάξαις παραπεμπόμενα, ἐν οἷς καὶ κριὸς ἦν ὀγδοήκοντα ποδῶν μῆκος, ὧν οὐδὲν ἐνεχώρει διαφθαρὲν ἐπὶ καιρὸν πάλιν γενέσθαι, διὰ τὸ τὴν ἄνω χώραν πᾶν ξύλον ἀγεννὲς ἄμηκες καὶ μαλθακὸν ἐκφέρειν, ἐπειγόμενος, ὡς ἐμπόδια τοῦ ταχύνειν ἀπέλιπε, φυλακήν τινα καὶ Στρατιανὸν ἡγεμόνα τῶν ἁμαξῶν ἐπιστήσας. αὐτὸς δὲ Φραάτα μεγάλην πόλιν, ἐν ᾗ καὶ τέκνα καὶ γυναῖκες ἦσαν τοῦ τῆς Μηδίας βασιλέως, ἐπολιόρκει. τῆς δὲ χρείας αὐτῆς ἐν τῷ ἔργῳ τὴν ἁμαρτίαν τὰς μηχανὰς ἀπολιπόντων ἐξελεγχούσης, ὁμόσε χωρῶν, ἔχου πρὸς τὴν πόλιν χῶμα, σχολῇ καὶ πολυπόνως ἀνιστάμενον. ἐν τούτῳ δὲ καταβαίνων στρατιᾷ μεγάλῃ Φραάτης, τὴν ἀπόλειψιν ὡς ἤκουσε τῶν μηχανοφόρων ἁμαξῶν, ἔπεμψε τῶν ἱππέων πολλοὺς ἐπ' αὐτάς· ὑφ' ὧν περιληφθεὶς ὁ Στρατιανὸς, ἀποθνήσκει μὲν αὐτός, ἀποθνήσκουσι δὲ μύριοι τῶν μετ' αὐτοῦ. τὰς δὲ μηχανὰς ἑλόντες οἱ βάρβαροι, διέφθειραν παμπόλλους· ἐν οἷς καὶ Πολέμων ἦν ὁ βασιλεύς. τοῦτο πάντας μὲν ὡς εἰκὸς ἠνίασε τοὺς περὶ Ἀντώνιον, ἀνελπίστως ἐν ἀρχῇ πληγέντας. ὁ δὲ Ἀρμένιος Ἀρταβάζης ἀπογνοὺς τὰ Ῥωμαίων, ᾤχετο τὴν ἑαυτοῦ στρατιὰν ἀναλαβὼν, καίπερ αἰτιώτατος τοῦ πολέμου γενόμενος. ἐπιφανέντων δὲ λαμπρῶς τοῖς πολιορκοῦσι τῶν Πάρθων, καὶ χρωμένων ἀπειλαῖς πρὸς ὕβριν, οὐ βουλόμενος

ἀντώνιος ἡσυχάζοντι τῷ στρατῷ δεδιὼς μὴ κατὰ πεπληγμένων ἐμμείνῃ καὶ
αὐξηθῇ, δέκα τάγματα λαβὼν καὶ τρεῖς στρατηγίδας σπείρας ὁπλιτῶν· τοὺς δ᾽ ἱππέας
ἅπαντας ἐξῆγε πρὸς σιτολογίαν· ἐλπίζων, ὡς ἂν ἐπισπάσῃ μάλιστα τῶν πολεμί-
ων ἐκ παρατάξεως μαχήσεσθαι· προελθὼν δὲ μιᾶς ὁδὸν ἡμέρας, ὡς ἑώρα
τοὺς πάρθους κύκλῳ περιχεομένους· καὶ προσπεσεῖν καθ᾽ ὁδὸν αὐτῷ ζητοῦντας,
ἐξέθηκε μὲν τὸ τῆς μάχης σύμβολον ἐν τῷ στρατοπέδῳ· καθελὼν δὲ τὰς σκηνὰς ὡς
οὐ μαχούμενος, ἀλλ᾽ ἀπάξων, παρήμειβε τὸν τῶν βαρβάρων στίχον, ὄντα μηνοειδῆ·
κελεύσας ὅταν οἱ πρῶτοι τοῖς ὁπλίταις ἐν ἐφικτῷ δοκῶσι, τοὺς ἱππέας ἐναντίον
ἐλαύνειν· τοῖς δὲ πάρθοις παρακεκριμένοις, κρείττων ἐφαίνετο ἡ τάξις
τῶν ῥωμαίων καὶ ἐθεῶντο παρεξιόντας ἐν διαστήμασιν ἴσοις, ἀθορύβους καὶ
σιωπῇ τοὺς ὑσσοὺς κραδαίνοντας· ὡς δὲ τὸ σημεῖον ἤρθη καὶ προσεφέροντο μετὰ κραυ-
γῆς, ἐπιστρέψαντες οἱ ἱππεῖς, τούτους μὲν ἠμύνοντο δεξάμενοι· καίπερ εὐθὺς ἐντὸς
τοξεύματος γενομένους· τῶν δὲ ὁπλιτῶν συναπτόντων ἅμα καὶ βοῇ καὶ πατάγῳ
τῶν ὅπλων, οἱ ἵπποι τοῖς πάρθοις ἐξίσταντο ταρβοῦντες· καὶ αὐτοὶ πρὶν εἰς χεῖρας
ἐλθεῖν ἔφευγον· ὁ δὲ ἀντώνιος ἐνέκειτο τῇ διώξει· καὶ μεγάλας εἶχεν ἐλπίδας,
ὡς τοῦ πολέμου τὸ σύμπαν, ἢ τὸ πλεῖστον ἐκείνῃ τῇ μάχῃ διαπεπραγμένος· ἐπεὶ
δὲ τῆς διώξεως γενομένης, τοῖς μὲν πεζοῖς ἐπὶ πεντήκοντα σταδίους, τοῖς δ᾽ ἱπ-
πεῦσιν ἐπὶ τρὶς τοσούτους, τοὺς πεπτωκότας τῶν πολεμίων καὶ τοὺς ἡλωκότας
ἐπισκοποῦντες, εὗρον αἰχμαλώτους μὲν τριάκοντα, νεκροὺς δὲ ὀγδοήκοντα
μόνους, ἀπορία καὶ ἀθυμία πᾶσι παρέστη· δεινὸν ἡγουμένοις, εἰ νικῶντες
μὲν οὕτως ὀλίγους κτείνουσιν, ἡττώμενοι δὲ στέρονται τοσούτων, ὅσους ἀπέ-
βαλον ταῖς ἁμάξαις· τῇ δ᾽ ὑστεραίᾳ ἐσκευασμένοι ἐπὶ φραάτην, τοῦ στρατοπέ-
δου προῆγον· ἐντυχόντες δὲ κατὰ τὴν ὁδὸν, πρῶτον μὲν ὀλίγοις τῶν πολεμίων,
εἶτα πλείοσι, τέλος δὲ πᾶσιν, ὥσπερ ἀήττητοις καὶ νεαλέσι προκαλουμένοις
καὶ προσβάλλουσι πανταχόθεν, μοχθηρῶς καὶ πολυπόνως ἀπεσώθησαν εἰς τὸ
στρατόπεδον· τῶν δὲ μήδων ἐκδρομήν τινα ποιησαμένων ἐπὶ τὸ χῶμα καὶ τοὺς
προμάχους φοβησάντων, ὀργισθεὶς ὁ ἀντώνιος, ἐχρήσατο τῇ λεγομένῃ δεκατεύσει
πρὸς τοὺς ἀποδειλιάσαντας· διελὼν γὰρ εἰς δεκάδας τὸ πλῆθος, ἀφ᾽ ἑκάστης,
ἕνα τὸν λαχόντα κλήρῳ διέφθειρε· τοῖς δὲ ἄλλοις ἀντὶ πυρῶν ἐκέλευσε κρι-
θὰς μετρεῖσθαι· χαλεπὸς δὲ ἀμφοτέροις καὶ ὁ πόλεμος· καὶ τὸ μέλλον αὐτοῦ
φοβερώτερον· ἀντωνίῳ μὲν προσδοκῶντι λιμόν· οὐκέτι γὰρ ἦν ἄνευ τραυ-
μάτων καὶ νεκρῶν πολλῶν ἐπισιτίζεσθαι· φραάτης δὲ τοὺς πάρθους ἐπι-

στάμενος πάντα μᾶλλον ἢ χειμῶνος ἔξω ὑποστῆναι καὶ θυραυλεῖν δυναμένους, ἐφο-
βεῖτο μὴ τῶν ῥωμαίων ἐγκαρτερούντων καὶ παραμενόντων, ἀπολίπωσιν αὐτὸν, ἤδη
τοῦ ἀέρος [illegible] μετὰ φθινοπωρινὴν ἰσημερίαν· δόλον οὖν συντίθησι τοιόνδε·
τῶν πάρθων οἱ γνωριμώτατοι περὶ τὰς σιτολογίας καὶ τὰς ἄλλας ἀπαντήσεις μαλακώ-
τερον τοῖς ῥωμαίοις προσεφέροντο· λαμβάνειν τε παριέντες αὐτοῖς ἔνια, καὶ τὴν ἀρετὴν
ἐπαινοῦντες ὡς πολεμικωτάτων ἀνδρῶν καὶ θαυμαζομένων ὑπὸ τοῦ σφετέρου βασιλέως
δικαίως· ἐκ δὲ τούτου προσελαύνοντες ἐγγυτέρω, καὶ τοῖς ἵπποις ἀτρέμα παρα-
βάλλοντες, ἐλοιδόρουν τὸν ἀντώνιον, ὅτι βουλομένῳ τῷ φραάτῃ διαλλαγῆναι
καὶ φείσασθαι τοιούτων ἀνδρῶν καὶ τοσούτων, ἀφορμὴν οὐ δίδωσιν, ἀλλὰ τοὺς χαλεποὺς
καὶ μεγάλους πολεμίους ἀναμένει, λιμὸν καὶ χειμῶνα, δι᾽ ὧν ἔργον ἐστὶ καὶ
προπεμπομένοις ὑπὸ πάρθων ἀποφυγεῖν· πολλῶν δὲ ταῦτα πρὸς τὸν ἀντώνιον
ἀναφερόντων, μαλασσόμενος ὑπὸ τῆς ἐλπίδος, ὅμως οὐ πρότερον ἐπεκηρυκεύσατο
πρὸς τὸν πάρθον, πρὶν πυθέσθαι τῶν φιλοφρονουμένων ἐκείνων βαρβάρων, εἰ τοῦ
βασιλέως ταῦτα φρονοῦντος διαλέγοιντο· φασκόντων δὲ καὶ παρακαλούντων, μὴ
δεδιέναι μηδὲ ἀπιστεῖν, ἐκπέμπει τινὰς τῶν ἑταίρων πάλιν, τὰς σημαίας ἀξιῶν
ἀπολαβεῖν καὶ τοὺς αἰχμαλώτους· ὡς δὴ μὴ παντάπασιν ἀγαπῶν τὸ σωθῆναι
καὶ διαφυγεῖν νομισθείη· τοῦ δὲ πάρθου ταῦτα μὲν ἐᾶν ἀξιοῦντος, ἀπιόντι δὲ εἰρήνην
καὶ ἀσφάλειαν εἶναι φήσαντος, ὀλίγαις ἡμέραις συσκευασάμενος ἀνεζεύγνυ·
ὢν δὲ καὶ δήμῳ πιθανὸς ἐν τῷ λέγειν, καὶ στρατὸν ἀγωγὸς λόγῳ παρ᾽ ὁντιναοῦν τῶν
τότε πεφυκὼς, ἐξέλιπεν αὐτὸς αἰσχύνῃ καὶ κατηφείᾳ παραθαρρῦναι τὸ πλῆθος·
δομέτιον δὲ ἀηνόβαρβον ἐκέλευσε τοῦτο ποιῆσαι· καί τινες μὲν ἠγανάκτουν αἰνόβαρβ
ὡς ὑπερορώμενοι· τὸ δὲ πλεῖστον ἐπεκλάσθη καὶ συνεφρόνησε τὴν αἰτίαν· διὸ
καὶ μᾶλλον ᾤοντο δεῖν καὶ αἰδεῖσθαι καὶ πείθεσθαι τῷ στρατηγῷ· μέλλοντος δὲ τὴν
αὐτὴν ὁδὸν ἄγειν ὀπίσω πεδινὴν καὶ ἄδενδρον, ἀνὴρ τῷ γένει μάρδος, πολλὰ
τοῖς πάρθων ἤθεσιν ἐγνωκὼς, ἤδη δὲ ῥωμαίοις πιστὸς ἐν τῇ μάχῃ τῇ περὶ
τὰς μηχανὰς γενόμενος, ἀντωνίῳ προσελθὼν, ἐκέλευε φεύγειν ἐν δεξιᾷ τὰ ὄρη
ἐπιλαβόμενον· καὶ μὴ στρατὸν ὁπλίτην καὶ βαρὺν ἐν δρόμοις γυμνοῖς καὶ ἀνα-
πεπταμένοις, ὑποβάλλειν ἱππασίαις τοσαύταις καὶ τοξεύμασιν· ὃ δὴ τεχνώμενον
φραάτην ἀναστῆσαι τῆς πολιορκίας αὐτὸν ὁμολογίαις φιλανθρώποις· ἔσεσθαι δὲ
αὐτὸς ἡγεμὼν ὁδοῦ βραχυτέρας καὶ μᾶλλον εὐπορίαν τῶν ἐπιτηδείων ἐχούσης·
ταῦτα ἀκούσας ἀντώνιος, ἐβουλεύετο· καὶ πάρθοις μὲν οὐκ ἐβούλετο δοκεῖν
ἀπιστεῖν μετὰ σπονδάς· τὴν δὲ συντομίαν τῆς ὁδοῦ, καὶ τὸ παρὰ κώμας οἰκου-

μὲν ἐς τὴν πορείαν ἐπαινῶν, πείθειν τι τὸν Μάρδον· ὁ δὲ, δεδέσθαι παρέχων αὐτὸν,
ἀχείρωτον καταστήσειν τὸν στρατὸν εἰς Ἀρμενίαν· καὶ δεθεὶς, ἡγεῖτο δυοῖν ἡμέραις καθ᾽ ἡ-
συχίαν· τῇ δὲ τρίτῃ τῶν πάντα πᾶσι τοῖς Πάρθοις ἀπεγνωκότων Ἀντωνίου καὶ βαδί-
ζοντος ἀνειμένως διὰ τὸ θαρρεῖν, ἰδὼν ὁ Μάρδος ἀποχώσει ἐμβολῆς ποταμοῦ
νεωστὶ διεσπασμένην, τὸ ῥεῦμα πολὺ πρὸς τὴν ὁδὸν ᾗ πορευτέον ἦν ἐκκεχυ-
μένον, συνῆκεν ὅτι τῶν Πάρθων ἔργον εἴη τοῦτο δυσκολίας ἕνεκα καὶ διατριβῆς,
ἐμποδὼν αὐτοῖς τὸν ποταμὸν τεθειμένων· καὶ τὸν Ἀντώνιον ὁρᾶν ἐκέλευε καὶ προσέχειν
ὡς τῶν πολεμίων ἐγγὺς ὄντων. ἄρτι δὲ αὐτοῦ καθιστάντος εἰς τάξιν τὰ ὅπλα καὶ
δι᾽ αὐτῶν τοῖς ἀκοντισταῖς καὶ σφενδονήταις ἐπὶ τοὺς πολεμίους ἐκδρομὴν
κατασκευάζοντος, ἐπεφάνησαν οἱ Πάρθοι καὶ περιήλαυνον ὡς κυκλωσόμενοι
καὶ συνταράξοντες πανταχόθεν τὸν στρατόν· ἐκδραμόντων δὲ τῶν ψιλῶν ἐπ᾽ αὐτοὺς, πολλὰς
μὲν δόντες ἀπὸ τόξων, οὐκ ἐλάττονας δὲ ταῖς μολυβίσι καὶ τοῖς ἀκοντίοις πληγὰς
λαβόντες, ἀνεχώρουν· εἶτα ἐπῆγον αὖθις· ἄχρις οὗ συστρέψαντες οἱ Κελτοὶ
τοὺς ἵππους ἐνέβαλον καὶ διεσκέδασαν αὐτούς· οὐκέτι τῆς ἡμέρας ἐκείνης
ὑποδείγματα γενομένων· ἐκ τούτου μαθὼν ὁ Ἀντώνιος ὃ ποιεῖν ἔδει, πολλοῖς
ἀκοντισταῖς καὶ σφενδονήταις οὐ μόνον τὴν οὐραγίαν, ἀλλὰ καὶ τὰς πλευρὰς ἑκατέρας
στομώσας, ἐν πλινθίῳ τὸν στρατὸν ἦγε· καὶ τοῖς ἱππόταις εἴρητο, προσβάλλοντάς τε ἕ-
πεσθαι· τρεψαμένοις δὲ, μὴ πόρρω διώκειν· ὥστε τοὺς Πάρθους ταῖς ἐφεξῆς
τέτταρσιν ἡμέραις οὐδὲν πλέον δράσαντας ἢ παθόντας, ἀμβλυτέρους γενέσθαι·
καὶ τὸν χειμῶνα ποιουμένοις πρόφασιν, ἀπιέναι διανοεῖσθαι· τῇ δὲ πέμπτῃ
Φλάβιος Γάλλος ἀνὴρ πολεμικὸς καὶ δραστήριος ἐφ᾽ ἡγεμονίᾳ τεταγμένος, ᾔτησεν
Ἀντώνιον προσελθὼν, πλείονας ψιλοὺς ἐπ᾽ οὐρὰν καὶ τῶν ἀπὸ τοῦ στόματος ἱππέων
τινας· ὡς μέγα κατόρθωμα ποιήσων· δόντος δὲ, προσβάλλοντας ἀνέκοπτε τοὺς
πολεμίους· οὐχ ὡς πρότερον ὑπάγων ἅμα πρὸς τοὺς ὁπλίτας καὶ ἀναχωρῶν· ἀλλὰ
ὑφιστάμενος καὶ συμπλεκόμενος παραβολώτερον· ὁρῶντες δὲ αὐτὸν οἱ τῆς οὐ-
ραγίας ἡγεμόνες ἀπορρηγνύμενον, ἐκάλουν πέμποντες· ὁ δὲ, οὐκ ἐπείθετο·
Τίτιον δέ φασι τὸν ταμίαν καὶ τῶν σημείων ἐπιλαβόμενον, στρέφειν ὀπίσω· καὶ
λοιδορεῖν τὸν Γάλλον ὡς ἀπολλύντα τοὺς πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας· ἀντιλοιδο-
ροῦντος δὲ ἐκείνου καὶ διακελευομένου τοῖς περὶ αὐτὸν μένειν, ὁ μὲν Τίτιος ἀπε-
χώρει· τὸν δὲ Γάλλον ὠθούμενον εἰς τοὺς κατὰ στόμα, λανθάνουσι πολλοὶ
περισχόντες ἐκ τῶν ὄπισθεν· βαλλόμενος δὲ πανταχόθεν, ἐκάλει πέμπων
ἀρωγήν· οἱ δὲ τοὺς ὁπλίτας ἄγοντες, ἐφ᾽ ὧν καὶ Κανίδιος ἦν, ἀνὴρ παρ᾽ Ἀντωνίῳ

δυνάμενος μέγιστα, οὐ μικρὰ δοκοῦσι διαμαρτεῖν· δέον γὰρ ἀθρόᾳ ἐπι-
στρέψαι τὴν φάλαγγα, πέμποντες κατ᾽ ὀλίγους ἐπιβοηθοῦντας· καὶ πάλιν ἡττω-
μένων τούτων ἑτέρους ἀποστέλλοντες, ἔλαθον ὀλίγου δεῖν ἥττης καὶ φυγῆς ὅλον
ἀναπλήσαντες τὸ στρατόπεδον· εἰ μὴ ταχὺ μὲν αὐτὸς Ἀντώνιος μετὰ τῶν ὅπλων
ἀπὸ τοῦ στόματος ἦλθεν ὑπαντιάζων· ταχὺ δὲ τὸ τρίτον τάγμα διὰ τῶν φευγόντων
ἐπὶ τοὺς πολεμίους ὠσάμενον, ἔσχε τοῦ πρόσω διώκειν· ἀπέθανον δὲ τρισχιλίων
οὐκ ἐλάττους· ἐκομίσθησαν δὲ ἐπὶ σκηνὰς τραυματίαι, πεντακισχίλιοι· καὶ
Γάλλος ἦν ἐν τούτοις, τέτταρσιν ἀντικρὺς διαπεπαρμένος τοξεύμασιν· ἀλλ᾽ οὗτος μὲν ἐκ τῶν
τραυμάτων οὐκ ἀνήνεγκε· τοὺς δὲ ἄλλους περιιὼν ὁ Ἀντώνιος, ἐπεσκόπει· καὶ
παρεθάρρυνε δεδακρυμένος καὶ περιπαθῶν· οἱ δὲ, φαιδροὶ τῆς δεξιᾶς αὐτοῦ
λαμβανόμενοι, ἐδέοντο καὶ παρεκάλουν, ἀπιόντα θεραπεύειν ἑαυτὸν· καὶ μὴ κακο-
παθεῖν· αὐτοκράτορα καλοῦντες καὶ σώζεσθαι λέγοντες, ἂν ἐκεῖνος ὑγιαίνῃ· κα-
θόλου μὲν γὰρ, οὔτε ἀλκαῖς οὔτε ὑπομοναῖς, οὔτε ἡλικίᾳ, λαμπρότερον
ἄλλος αὐτοκράτωρ στρατὸν ἐκείνου δοκεῖ συναγαγεῖν ἐν τοῖς τότε χρόνοις· ἡ δὲ
πρὸς αὐτὸν αἰδὼς τὸν ἡγεμόνα καὶ πειθαρχία μετ᾽ εὐνοίας, καὶ τὸ πάντας ὁμαλῶς
ἐνδόξους ἀδόξους ἄρχοντας ἰδιώτας, τὴν παρ᾽ Ἀντωνίου τιμὴν καὶ χάριν, μᾶλλον
αἱρεῖσθαι τῆς σωτηρίας καὶ τῆς ἀσφαλείας, οὐδὲ τοῖς παλαιοῖς Ῥωμαίοις ἀπέλιπεν
ὑπερβολήν· τούτου δὲ αἰτίαι πλείονες ἦσαν, ὡς προειρήκαμεν· εὐγένεια· λόγου
δύναμις· ἁπλότης· τὸ φιλόδωρον καὶ μεγαλόδωρον· ἡ περὶ τὰς παιδιὰς καὶ τὰς ὁ-
μιλίας εὐτραπελία· τότε δὲ συμπονῶν καὶ συναλγῶν τοῖς κακοπαθοῦσι καὶ μετα-
διδοὺς οὗτινος δεηθείη, προθυμοτέρους τῶν ἐρρωμένων τοὺς νοσοῦντας καὶ τετρω-
μένους ἐποίησε· τοὺς μέντοι πολεμίους ἀπαγορεύοντας ἤδη καὶ κάμνοντας, οὕτως
ἐπῆρεν ἡ νίκη καὶ τοσοῦτο τῶν Ῥωμαίων κατεφρόνησαν, ὥστε καὶ νυκτὸς ἐπαυ-
λίσασθαι τῷ στρατοπέδῳ· προσδοκῶντας αὐτίκα μάλα σκηνὰς ἐρήμους καὶ
χρήματα διαρπάσειν, ἀποδιδρασκόντων· ἅμα δὲ ἡμέρᾳ πολὺ πλείονες ἐπηθροίζοντο·
καὶ λέγονται τετρακισμυρίων οὐκ ἐλάττονες ἱππόται γενέσθαι· βασιλέως καὶ τοὺς
περὶ αὐτὸν ἀεὶ τεταγμένους, ὡς ἐπὶ σαφεῖ καὶ βεβαίῳ κατορθώματι πέμψαντος·
αὐτὸς μὲν γὰρ οὐδεμιᾷ μάχῃ παρέτυχεν· Ἀντώνιος δὲ βουλόμενος προσαγορεῦσαι
τοὺς στρατιώτας, ᾔτησε φαιὸν ἱμάτιον, ὡς οἰκτρότερος ὀφθείη· τῶν δὲ φίλων
ἐναντιωθέντων, ἐν τῇ στρατηγικῇ φοινικίδι προελθὼν, ἐδημηγόρησε· τοὺς μὲν
νενικηκότας ἐπαινῶν· ὀνειδίζων δὲ τοὺς φυγόντας· τῶν δὲ, οἱ μὲν, παρεκε-
λεύοντο θαρρεῖν· οἱ δὲ ἀπολογούμενοι, σφᾶς αὐτοὺς παρεῖχον, εἴτε βούλοιτο δεκατεύ-

ἤ τε ἄλλῳ πρὸ τοῦ κολάζειν· μόνον παύσασθαι δυσφοροῦντι καὶ λυπουμένῳ ἐδέ-
οντο. πρὸς ταῦτα τὰς χεῖρας ἀνατείνας, ἐπηύξατο τοῖς θεοῖς· εἴ τις ἄρα νέμεσις
τὰς πρόσθεν εὐτυχίας αὐτοῦ μέτεισιν, εἰς αὐτὸν ἐλθεῖν· τῷ δὲ ἄλλῳ στρατῷ, σωτηρίαν δοῦναι
καὶ νίκην. τῇ δ' ὑστεραίᾳ φραξάμενοι βέλτιον, προῆγον· καὶ τοῖς Πάρθοις ἐπιχειροῦσι,
πολὺς ἀπήντα παράλογος. οἰόμενοι γὰρ ἐφ' ἁρπαγὴν καὶ λεηλασίαν, οὐ μάχην ἰέναι·
εἶτα πολλοῖς βέλεσιν ἐντυγχάνοντες, ἐρρωμένοις τε καὶ νεαλέσι ταῖς προθυμίαις
οὖσιν, αὖθις ἐξέκαμνον. ἐπεὶ δὲ καταβαίνουσιν αὐτοῖς ἀπὸ λόφων τινῶν ἐπι-
κλινῶν ἐπέθεντο καὶ βραδέως ὑπάγοντας ἔβαλλον, ἐπιστραφέντες οἱ θυρεαφόροι,
συνέκλεισαν εἴσω τῶν ὅπλων τοὺς ψιλούς· αὐτοὶ δὲ καθέντες εἰς γόνυ, προυβάλ-
λοντο τοὺς θυρεούς· οἱ δὲ ὄπισθεν, ὑπερέσχον αὐτῶν τὰ ὅπλα· κἀκεῖνοι ὁμοίως ἕτεροι.
τὸ δὲ σχῆμα παραπλήσιον ὀρόφῳ γινόμενον, ὄψιν τε θεατρικὴν παρέχει· καὶ τῶν
προβλημάτων στεγανώτατόν ἐστι πρὸς τοὺς οἰστοὺς ἀπολισθαίνοντας. οἱ μέντοι Πάρθοι τὴν
εἰς τὸ γόνυ κλίσιν τῶν Ῥωμαίων ἀπαγόρευσιν ἡγούμενοι καὶ κάματον εἶναι, τὰ μὲν
τόξα κατέθεντο· τοὺς δὲ κοντοὺς διαλαβόντες, ἐγγὺς προσέμιξαν. οἱ δὲ Ῥωμαῖοι
συναλαλάξαντες, ἐξαίφνης ἀνέστησαν· καὶ τοῖς ὑσσοῖς παίοντες ἐκ χειρός, ἔκτει-
ναν τε τοὺς πρώτους· καὶ τροπὴν ἐποιήσαντο τῶν ἄλλων ἁπάντων. ἐγίγνετο δὲ ταῦτα καὶ
ταῖς ἄλλαις ἡμέραις ἐπὶ μικρὸν ἀνυόντων τῆς ὁδοῦ. καὶ λιμὸς ἥπτετο τοῦ στρατοῦ·
σῖτόν τε βραχὺν καὶ διὰ μάχης πορίζομένου· καὶ τῶν πρὸς ἄλετον σκευῶν ἀπο-
ροῦντος. τὰ γὰρ πολλὰ κατελείπετο· καὶ τῶν μὲν ἀποθνησκόντων ὑποζυγίων, τῶν δὲ, τοὺς νο-
σοῦντας καὶ τραυματίας φερόντων. λέγεται δὲ χοῖνιξ Ἀττικὴ πυρῶν, πεντήκοντα
δραχμῶν ὤνιος γενέσθαι· τοὺς δὲ κριθίνους, πρὸς ἀργύριον ἱστάντας ἀπεδίδοντο.
τραπόμενοι δὲ πρὸς λάχανα καὶ ῥίζας, ὀλίγοις μὲν ἐνετύγχανον τῶν συνήθων· ἀναγκα-
ζόμενοι δὲ πειρᾶσθαι καὶ τῶν ἀγεύστων πρότερον, ἥψαντό τινος πόας, ἐπὶ θάνατον διὰ
μανίας ἀγούσης. ὁ γὰρ φαγὼν, οὐδὲν ἐμέμνητο τῶν ἄλλων οὐδὲ ἐγίνωσκεν· ἓν δὲ εἶχεν
ἔργον, κινεῖν καὶ στρέφειν πάντα λίθον· ὥς τι μεγάλης σπουδῆς διαπραττόμενος ἄξιον.
ἦν δὲ μεστὸν τὸ πεδίον κεκυφότων χαμᾶζε καὶ τοὺς λίθους διορυττόντων καὶ μεθιστάντων.
τέλος δὲ χολὴν ἐμοῦντες, ἔθνησκον· ἐπεὶ καὶ τὸ μόνον ἀντιπαθὲς ἐκεῖνο, ὁ οἶνος, ἀπέ-
λιπε. φθειρομένων δὲ πολλῶν καὶ τῶν Πάρθων οὐκ ἀφισταμένων, πολλάκις ἀναφθέγξασθαι
τὸν Ἀντώνιον ἱστοροῦσιν, ὦ μύριοι· θαυμάζοντα τοὺς μετὰ Ξενοφῶντος, ὅτι καὶ
πλείονα καταβαίνοντες ὁδὸν ἐκ τῆς Βαβυλωνίας, καὶ πολλαπλασίοις μαχόμενοι
πολεμίοις, ἀπεσώθησαν. οἱ δὲ Πάρθοι διαπλέξαι μὲν οὐ δυνάμενοι τὸν στρατὸν,
οὐδὲ διασπάσαι τὴν τάξιν, ἤδη δὲ πολλάκις ἡττημένοι καὶ φεύγοντες, αὖθις

εἰρηνικῶς ἀνεμείγνυντο τοῖς ἐπὶ χιλὸν ἢ σῖτον προερχομένοις· καὶ τῶν
τόξων τὰς νευρὰς ἐπιδεικνύντες ἀνειμένας, ἔλεγον, ὡς αὐτοὶ μὲν ἀπίασιν
ὀπίσω, καὶ τοῦτο ποιοῦνται πέρας ἀμύνης· ὀλίγοι δὲ Μήδων ἀκολουθήσουσιν
ἔτι, μιᾶς ἢ δευτέρας ἡμέρας ὁδὸν, οὐδὲν παρενοχλοῦντες, ἀλλὰ τὰς ἀπωτέρω
κώμας φυλάττοντες. τούτοις τοῖς λόγοις, ἀσπασμοί τε καὶ φιλοφροσύναι προσῆσαν·
ὥστε πάλιν τοὺς Ῥωμαίους θαρραλέους γενέσθαι· καὶ τὸν Ἀντώνιον ἀκούσαντα, τῶν
πεδίων ἐφίεσθαι μᾶλλον, ἀνύδρου λεγομένης εἶναι τῆς διὰ τῶν ὀρῶν. οὕτω δὲ
ποιεῖν μέλλοντος, ἧκεν ἀνὴρ ἐπὶ τὸ στρατόπεδον ἐκ τῶν πολεμίων, ὄνομα Μιθρι-
δάτης, ἀνεψιὸς Μοναίσου τοῦ παρ' Ἀντωνίῳ γενομένου, καὶ τὰς τρεῖς πόλεις δωρεὰν
λαβόντος. ἠξίου δὲ αὐτῷ προσελθεῖν τινα παρθιστὶ διαλεχθῆναι δυνάμενον ἢ
συριστί. καὶ προσελθόντος Ἀλεξάνδρου τοῦ Ἀντιοχέως, ὃς ἦν Ἀντωνίῳ συνήθης,
ὑποφήνας ὅστις εἴη, καὶ Μοναίσῃ τὴν χάριν ἀνατιθεὶς, ἠρώτησε τὸν Ἀλέξανδρον,
εἰ λόφους ὑψηλοὺς καὶ συνεχεῖς ὁρᾷ πόρρωθεν. φήσαντος δὲ ὁρᾶν, ὑπὸ ἐκείνοις ἔφη,
πανστρατιᾷ Πάρθοι λοχῶσιν ὑμᾶς. τὰ γὰρ μεγάλα πεδία τῶν λόφων τούτων ἐξήρ-
τηται· καὶ προσδοκῶσιν ὑμᾶς ἐξηπατημένους ὑπ' αὐτῶν, ἐνταῦθα τρέψεσθαι,
τὴν διὰ τῶν ὀρῶν ἀπολιπόντας. ἐκείνη μὲν οὖν ἔχει δίψος καὶ πόνον ὑμῖν συνήθη·
ταύτῃ δὲ χωρῶν Ἀντώνιος, ἴστω τὰς Κράσσου τύχας αὐτὸν ἐκδεχομένας. ὁ μὲν,
οὕτω φράσας ἀπῆλθεν. Ἀντώνιος δὲ ἀκούσας καὶ διαταραχθεὶς, συνεκάλει τοὺς
φίλους· καὶ τὸν ἡγεμόνα τῆς ὁδοῦ Μάρδον· οὐδὲ αὐτὸν ἄλλως φρονοῦντα. καὶ γὰρ
καὶ ἄνευ πολεμίων, ἐγίνωσκε τὰς διὰ τῶν πεδίων ἀνοδίας καὶ πλάνας, χαλεπὰς καὶ
δυστεκμάρτους οὔσας. τὴν δὲ τραχεῖαν ἀπέφαινεν οὐδὲν ἄλλο λυπηρὸν ἔχειν, ἢ μιᾶς ἡ-
μέρας ἀνυδρίαν ἔχουσαν. οὕτω δὴ τραπόμενος ταύτην ἦγε νυκτός· ὕδωρ ἐπι-
φέρεσθαι κελεύσας. ἀγγείων δὲ ἦν ἀπορία τοῖς πολλοῖς· διὸ καὶ τὰ κράνη ἐμπι-
πλάντες ὕδατος, ἐκόμιζον· οἱ δὲ, διφθέρας ὑπολαμβάνοντες. ἤδη δὲ προ-
χωροῦντος, ἀγγέλλεται τοῖς Πάρθοις· καὶ παρὰ τὸ εἰωθὸς, ἔτι νυκτὸς ἐδίωκον.
ἡλίου δὲ ἀνασχόντος, ἥπτοντο τῶν ἐσχάτων, ἀγρυπνίᾳ καὶ πόνῳ κακῶς διακει-
μένων· τεσσαράκοντα γὰρ καὶ διακοσίους ἐν τῇ νυκτὶ σταδίους διηνύκεσαν· καὶ τὸ
μὴ προσδοκῶντας οὕτω ταχέως ἐπελθεῖν τοὺς πολεμίους, ἀθυμίαν παρεῖχε· καὶ
τὸ δίψος δὲ ἐπέτεινεν ὁ ἀγών· ἀμυνόμενοι γὰρ ἅμα προῆγον. οἱ δὲ πρῶτοι
βαδίζοντες, ἐντυγχάνουσι ποταμῷ, ψυχρὸν μὲν ἔχοντι καὶ διαυγές, ἁλμυρὸν
δὲ καὶ φαρμακῶδες ὕδωρ· ὃ ποθὲν, ἀλγηδόνας ἐνεποίει, κινουμένης τῆς κοιλίας
καὶ τοῦ δίψους ἀναφλεγομένου παρεῖχε. καὶ ταῦτα τοῦ Μάρδου προλέγοντος,

οὐδὲν ἧττον ἐκβιαζομένων τοῖς ἀπόροις, ἔπινον. ἀντώνιος δὲ περιϊὼν ἐδεῖτο βραχὺν ἐγκαρτερῆσαι χρόνον. ἕτερον γὰρ οὐ πόρρω ποταμὸν εἶναι πότιμον. εἶτα τὴν λοιπὴν ἄφιππον καὶ τραχεῖαν, ὥστε παντάπασιν ἀποτρέψεσθαι τοὺς πολεμίους. ἅμα δὲ καὶ τοὺς μαχομένους ἀνεκαλεῖτο καὶ κατάζευξιν ἐσήμαινεν, ὡς σκιᾶς γοῦν μεταλάβοιεν οἱ στρατιῶται. πηγνυμένων οὖν τῶν σκηνῶν, καὶ τῶν πάρθων εὐθὺς ὥσπερ εἰώθεσαν ἀπαλλαττομένων, ἧκεν αὖθις ὁ μιθριδάτης. καὶ τοῦ ἀλεξάνδρου προσελθόντος, παρῄνει μικρὸν ἡσυχάσαντα τὸν στρατὸν ἀνιστάναι καὶ σπεύδειν ἐπὶ τὸν ποταμόν, ὡς οὐ διαβησομένων πάρθων, ἄχρι δὲ ἐκείνου διωξόντων. ταῦτα ἀπαγγείλας πρὸς ἀντώνιον ἀλέξανδρος, ἐκφέρει παρ' αὐτοῦ χρυσᾶ ποτήρια καὶ φιάλας. ὧν ἐκεῖνος ὅσα τῇ ἐσθῆτι κατακρύψαι δυνατὸς ἦν λαβὼν ἀπήλαυνεν. ἔτι δ' ἡμέρας οὔσης ἀναζεύξαντες ἐπορεύοντο, τῶν πολεμίων οὐ παρενοχλούντων. αὐτοὶ δὲ ἑαυτοῖς νύκτα χαλεπωτάτην ἀπασῶν καὶ φοβερωτάτην ἀπεργασάμενοι. τοὺς γὰρ ἔχοντας ἀργύριον ἢ χρυσίον κτείνοντες, ἐσύλων. καὶ τὰ χρήματα τῶν ὑποζυγίων ἀφήρπαζον. τέλος δὲ τοῖς ἀντωνίου σκευοφόροις ἐπιχειρήσαντες, ἐκπώματα καὶ τραπέζας πολυτελεῖς κατέκοπτον καὶ διενέμοντο. θορύβου δὲ πολλοῦ καὶ πλάνου τὸ στράτευμα παντὸς ἐπέχοντος, ᾤοντο γὰρ ἐπιπεσόντων τῶν πολεμίων τροπὴν γεγονέναι καὶ διασπασμόν, ἀντώνιος καλέσας ἕνα τῶν δορυφορούντων αὐτὸν ἀπελευθέρων, ὄνομα ῥάμνον, ὥρκωσεν ὅταν κελεύσῃ τὸ ξίφος αὐτοῦ διεῖναι καὶ τὴν κεφαλὴν ἀποτεμεῖν. ὡς μήτε ἁλοίη ζῶν ὑπὸ τῶν πολεμίων, μήτε γνωσθείη τεθνηκώς. ἐκδακρυσάντων δὲ τῶν φίλων, ὁ μῆδος ἐθάρρυνε τὸν ἀντώνιον, ὡς ἐγγὺς ὄντος τοῦ ποταμοῦ. καὶ γὰρ αὔρα τις ἀπορρέουσα νοτερά, καὶ ψυχρότερος ἀὴρ ἀπαντῶν, ἡδίω τὴν ἀναπνοὴν ἐποίει. καὶ τὸν χρόνον ἔφη τῆς πορείας οὕτω συμπεραίνειν τὸ μέτρον. οὐκέτι γὰρ ἦν πολὺ τὸ λειπόμενον τῆς νυκτός. ἅμα δὲ ἤγγελλον ἕτεροι τὸν θόρυβον, ἐκ τῆς πρὸς αὐτοὺς ἀδικίας καὶ πλεονεξίας εἶναι. διὸ καὶ καταστῆσαι τὸ πλῆθος εἰς τάξιν ἐκ τῆς πλάνης καὶ τοῦ διασπασμοῦ βουλόμενος, ἐκέλευσε σημαίνειν κατάζευξιν. ἤδη δὲ ὑπέλαμπεν ἡμέρα. καὶ τοῦ στρατοῦ κόσμον ἀρχομένου τινὰ λαμβάνειν καὶ ἡσυχίαν, προσέπιπτε τοῖς τελευταίοις τὰ τῶν πάρθων τοξεύματα. καὶ μάχης σημεῖον ἐδόθη τοῖς ψιλοῖς. οἱ δὲ ὁπλῖται πάλιν ὁμοίως κατερέψαντες ἀλλήλους τοῖς θυρεοῖς, ὑπέμενον τοὺς βάλλοντας, ἐγγὺς οὐ τολμῶντας συνελθεῖν. ὑπαγόντων δὲ κατὰ μικρὸν οὕτως τῶν πρώτων, ὁ ποταμὸς ἐφάνη. καὶ τοὺς ἱππεῖς ἐπ' αὐτῷ παρατάξας ἐναντίους τοῖς πολεμίοις, διεβίβαζε τοὺς ἀσθενεῖς πρώτους. ἤδη δὲ καὶ τοῖς μαχομένοις ἄδεια καὶ ῥᾳστώνη

τοῦ πιεῖν ἦν. ὡς γὰρ εἶδον οἱ πάρθοι τὸν ποταμόν, τάς τε νευρὰς ἀνῆκαν, καὶ θαρροῦντας ἐκέλευον διαβαίνειν τοὺς ῥωμαίους, πολλὰ τὴν ἀρετὴν αὐτῶν ἐγκωμιάζοντες. διαβάντες οὖν καθ' ἡσυχίαν, αὑτοὺς ἀνελάμβανον. εἶτα ὥδευον, οὐ πάνυ τι τοῖς πάρθοις πιστεύοντες. ἕκτῃ δὲ ἡμέρᾳ μετὰ τὴν τελευταίαν μάχην, ἐπὶ τὸν ἀράξην ποταμὸν ἧκον, ὁρίζοντα μηδίαν καὶ ἀρμενίαν. ἐφάνη δὲ καὶ βάθει καὶ τραχύτητι χαλεπός. καὶ λόγος διῆλθεν, ἐνεδρεύοντας αὐτοῦ τοὺς πολεμίους ἐπιθήσεσθαι διαβαίνουσιν αὐτοῖς. ἐπεὶ δὲ ἀσφαλῶς διαπεράσαντες ἐπέβησαν τῆς ἀρμενίας, ὥσπερ ἄρτι γῆν ἐκείνην ἰδόντες ἐκ πελάγους, προσεκύνουν. καὶ πρὸς δάκρυα καὶ περιβολὰς ἀλλήλων ὑπὸ χαρᾶς ἐτρέποντο. προϊόντες δὲ διὰ χώρας εὐδαίμονος, καὶ χρώμενοι πᾶσιν ἀνέδην ἐκ πολλῆς ἀπορίας, ὑδρωπικοῖς καὶ κοιλιακοῖς περιέπιπτον νοσήμασιν. ἐνταῦθα ποιησάμενος ἐξέτασιν αὐτῶν ἀντώνιος, εὗρε δισμυρίους πεζοὺς καὶ τετρακισχιλίους ἱππεῖς ἀπολωλότας. οὐ πάντας ὑπὸ τῶν πολεμίων. ἀλλὰ ὑπὲρ ἥμισυ νοσήσαντας. ὥδευσαν μὲν οὖν ἀπὸ φραάτων ἡμέρας ἑπτὰ καὶ εἴκοσι. μάχαις δὲ ὀκτὼ καὶ δέκα πάρθους ἐνίκησαν. αἱ δὲ νῖκαι κράτος οὐκ εἶχον οὔτε βεβαιότητα, μικρὰς ποιουμένων καὶ ἀτελεῖς τὰς διώξεις. ᾧ μάλιστα κατάδηλος ἦν ἀρταβάζης ὁ ἀρμένιος, ἀντώνιον ἐκείνου τοῦ πολέμου τὸ τέλος ἀφῃρημένος. εἰ γὰρ οὓς ἀπήγαγεν ἐκ μηδίας ἱππεῖς, ἑξακισχίλιοι καὶ μύριοι παρῆσαν ἐσκευασμένοι παραπλησίως πάρθοις καὶ συνήθεις μάχεσθαι πρὸς αὐτούς, ῥωμαίων μὲν μαχομένους τρεπομένων, ἐκείνων δὲ φεύγοντας αἱρούντων, οὐκ ἂν ὑπῆρξεν αὐτοῖς ἡττωμένοις ἀναφέρειν καὶ ἀνατολμᾶν τοσαυτάκις. ἅπαντες οὖν ὀργῇ παρώξυνον ἐπὶ τὴν τιμωρίαν τοῦ ἀρμενίου τὸν ἀντώνιον. ὁ δὲ λογισμῷ χρησάμενος, οὔτε ἐμέμψατο τὴν προδοσίαν, οὔτε ἀφεῖλε τῆς συνήθους φιλοφροσύνης καὶ τιμῆς πρὸς αὐτόν, ἀσθενὴς τῷ στρατῷ καὶ ἄπορος γεγονώς. ὕστερον μέντοι πάλιν ἐμβαλὼν εἰς ἀρμενίαν, καὶ πολλαῖς ὑποσχέσεσι καὶ προκλήσεσι πείσας αὐτὸν εἰς χεῖρας ἐλθεῖν, συνέλαβε. καὶ δέσμιον καταγαγὼν εἰς ἀλεξάνδρειαν, ἐθριάμβευσεν. ᾧ μάλιστα ῥωμαίους ἐλύπησεν, ὡς τὰ καλὰ καὶ σεμνὰ τῆς πατρίδος αἰγυπτίοις διὰ κλεοπάτραν χαριζόμενος. ταῦτα μὲν οὖν ὕστερον ἐπράχθη. τῷ δὲ βασιλεῖ τῶν μήδων γίνεται διαφορὰ πρὸς φραάτην τὸν πάρθον, ἀρξαμένη μέν, ὥς φασιν, ὑπὲρ τῶν ῥωμαϊκῶν λαφύρων, ὑπόνοιαν δὲ τῷ μήδῳ καὶ φόβον ἀφαιρέσεως τῆς ἀρχῆς παρασχοῦσα. διὸ καὶ πέμπων ἐκάλει τὸν ἀντώνιον, ἐπαγγελλόμενος συμπολεμήσειν μετὰ τῆς ἑαυτοῦ δυνάμεως.

γενόμενος οὖν ἐπὶ τῆς ὁδοῦ ἐς μεγάλης ὁ Ἀντώνιος, ὑπὸ γὰρ ἐδόκει μόνος τοῦ Καίσαρος γαμβρὸς αὐτοῦ ἀθρόοις ἀπολιπεῖν, ἱππέων πολλῶν τε τοξοτῶν ἀνδρῶν, τοιαύτης ὥρας προσγινομένου αὐτῷ, χαριζομένῳ μᾶλλον καὶ δεομένῳ, παρεσκεύαζέ τε αὖθις Ἀρμενίᾳ ἐπιβαίνειν· καὶ συγγενόμενος τῷ Μήδῳ περὶ ποταμὸν Ἀράξην, συγκινεῖν τὸν πόλεμον· ταῖς δὲ Ὀκταβίας [illegible] ἀντιτασσόμενος, χώρας τὸν Μῆδον ἐς ὥραν ἔτους ἀναβαλλόμενος διέγνω· καὶ παρασκευάσας τῶν Παρθικῶν εἶναι λεγομένων· οὐ μὴν ἀλλὰ τοῦτον μὲν ἀναβὰς αὖθις, ἐς φιλίαν προσηγάγετο· λαβὼν ἀντὶ τῶν [illegible], γυναῖκα μὲν αὐτοῦ τῶν θυγατέρων ἔτι μικρὰν οὖσαν, ἐπανῆλθε· καὶ διὰ τὸ πρὸς τὸν ἐμφύλιον πόλεμον τρεπόμενος:+

+ ἀπὸ τῶν Ἀππιανοῦ Ῥωμαϊκῶν Μιθριδάτειος:+

δὲ μὲν Ῥωμαῖοι Βυθινοῖς ἐκδεδώκασι, ὅ τε αὐτοῖς ὁμορεῖ ἔθνει ἐπὶ τὸν Πόντον τὸν κατοικεῖ τὸν Εὔξεινον, βασιλέα Μιθριδάτην τεσσαράκοντα δύο ἔτη μάλιστα καθηγούμενον, [illegible] ἐπικληθῆναι· τῷ δὲ αὐτῷ πολέμῳ Κιλικίαν [illegible], Συρίαν τε Φοινίκην, καὶ Κοίλην Παλαιστίνην καὶ τὰ ἐς τὸ μεσόγαιον ἐπὶ ποταμὸν Εὐφράτην, οὐδὲν ἔτι τῷ Μιθριδάτῃ προσήκοντα, ῥύμῃ δὲ τῆς νίκης προσέβαλον· φόρους τοῖς μὲν αὐτίκα, τοῖς δὲ ὕστερον ἔταξαν· Παφλαγονίαν τε καὶ Γαλατίαν καὶ Φρυγίαν, τήν τε ὅμορον τῇ Φρυγίᾳ Μυσίαν· καὶ ἐπὶ τοῖς Λυδίαν· Καρίαν· καὶ Ἰωνίαν· καὶ ὅσα ἄλλα Ἀσίας τῆς περὶ τὸ Πέργαμον ἐστί· τήν τε ἀρχαίαν Ἑλλάδα· Μακεδονίαν· Μιθριδάτου περισπάσαντος, ἐξ ἑῶ ἀνηγάγοντο· καὶ τοῖς πολλοῖς αὐτῶν οὐ [illegible] νοοῦσιν, ἐπέθηκαν φόρους· δι' ἃ μοι μάλιστα δοκοῦσι, τόνδε τὸν πόλεμον ἡγεῖσθαι μέγαν· καὶ τὴν ἐπ' αὐτῷ νίκην μεγάλην καλεῖν· καὶ τὸν στρατηγήσαντα Πομπήιον, μέγαν τῇ διαφωνῇ μέχρι νῦν ἐπονομάζειν· ἐθνῶν τε πλήθεσιν ὧν καὶ ὧν ἀνέλαβον καὶ προσέλαβον· καὶ χρόνου μήκους τεσσαράκοντα ἐτῶν γενομένων· τόλμης τε αὐτοῦ Μιθριδάτου καὶ φερεπονίας, δυνατοῦ σφίσιν ἐς ἅπαντα ὀφθέντος· ὃς ναῦς μὲν ἠπίστατο (?) πολλὰς ἔχων τετρακοσίας· ἱππέας δὲ ἔστιν ὅτε πεντακισμυρίους· καὶ πεζῶν μυριάδας πέντε καὶ εἴκοσι· μηχανὰς καὶ βέλη κατὰ λόγον· συνεμάχουν δὲ βασιλεῖς καὶ δυνάσται, ὅ τε Ἀρμένιος καὶ Σκυθῶν τῶν περὶ τὸν Πόντον, ἐπί τε Μαιῶτιν λίμνην, καὶ ἀπὸ ἐκείνης ἐπὶ τὸν Θρᾴκιον Βόσπορον περιπλέοντι, ἔν τε Ῥωμαίοις δυνατοῖς στασιάζουσιν ἀλλήλοις τότε μάλιστα· καὶ Ἰβηρίαν ἀνιστάντων ἐπὶ Ῥωμαίους, περιέπεμπε· καὶ ἐς τοὺς φιλίαν ἦλθε, ὡς καὶ τῇδε ἐσβαλῶν ἐς τὴν Ἰταλίαν· λῃστῶν τε πλήθει ἐπὶ πλεῖ

τὴν θάλασσαν, ἀπὸ Κιλικίας ἐπὶ στήλας Ἡρακλείους· οἳ πάντα ἄμικτα καὶ ἄπλωτα ταῖς πόλεσιν ἐς ἀλλήλους ἐποίουν· καὶ λιμὸν ἐπὶ πολὺ ἐξειργάσαντο ἐπὶ πλεῖστον· ὅλως τε οὐδὲν ὧν ἐδεῖ δυνατὸν ἐξέλιπεν ἢ πράττων ἢ διανοούμενος, ὡς μέγιστον δὴ τόδε κίνημα ἐξ ἀνατολῆς ἐπὶ δύσιν γενόμενον· ἐνοχλῆσαι πᾶσιν ὡς ἔπος εἰπεῖν, ἢ πολεμουμένοις, ἢ συμμαχοῦσι, ἢ λῃστευομένοις, ἢ γειτονεύουσι· τοιόσδε εἷς οὗτος πόλεμος ποικίλος ἐγένετο· καὶ ἐς τὰ μάλιστα λήγων συνήνεγκε Ῥωμαίοις· ὅρια γὰρ τὰ τῆς ἡγεμονίας ἐκ δύσεως, ἐπὶ ποταμὸν Εὐφράτην· διήγησιν δὲ τοῖς κατὰ ἔθνος οὐκ ἦν, ὁμοῦ τε πραχθέντα καὶ ἀλλήλοις ἀναπεπλεγμένα· ἃ δὲ ὡς ἐδύνατο αὐτῶν ἐχωρίσθη, κατὰ μέρη τέτακται· Θρᾷκας ἡγοῦμαι ἐς Ἴλιον μετὰ Ῥήσου στρατεύσαντας· Ῥήσου γὰρ νυκτὸς ὑπὸ Διομήδους ἀναιρεθέντος, ὃν τρόπον Ὅμηρος αὐτοῖς ἔπεσι φράζει, φυγόντας ἐπὶ τοῦ Πόντου τὸ στόμα, ᾗ στενότατός ἐστιν ἐς Θρᾴκην διάπλους, οἱ μὲν οὐκ ἐπιτυχόντα πλοῖα, τὴν δὲ κατὰ [illegible] τῆς γῆς κρατῆσαι Βεβρυκίας λεγομένης· οἱ δὲ, περάσαντες ὑπὲρ τὸ Βυζάντιον, ἐς Θρᾷκας τῶν Βυθινῶν λεγομένων, παρὰ Βιθυνὸν ποταμὸν οἰκῆσαι· καὶ λιμῷ πιεσθέντας ἐς Βεβρυκίαν αὖθις ἐπανελθεῖν· Βιθυνίαν ἀντὶ Βεβρυκίας ἀπὸ τοῦ ποταμοῦ παρ' ὃν ᾤκουν, ὀνομάσαι· ἢ καὶ τὸ ὄνομα αὐτοῖς ἀλόγως σὺν χρόνῳ παρατραπῆναι· οὐκ ἐς πολὺ τῆς Βιθυνίας παρὰ τὴν Βεβρυκίαν διαφερούσης· ὧδε μὲν ἔνιοι νομίζουσιν· ἕτεροι δὲ, Βιθυνὸν ἄρξαι πρῶτον αὐτῶν· παῖδα Διός τε καὶ Θρᾴκης· ἀφ' ὧν ἐπωνύμων ἑκατέρα γῆ γενέσθαι· τάδε μὲν οὖν μοι προλελέχθω περὶ Βιθυνίας· τῶν δὲ πρὸ Ῥωμαίων αὐτῆς βασιλέων, οἳ νῦν τεσσαράκοντα ἐφεξῆς γενόμενοι, αὐτῶν μοι μάλιστα μνημονεῦσαι πρὸς καιρὸν Ῥωμαίων συγγράφοντι· Προυσίαν ὃ κυνηγὸς ἐπίκλησιν· ᾧ Περσεὺς ὁ Μακεδόνων βασιλεὺς τὴν ἀδελφὴν ἐνεγγύησε· καὶ οὐ πολὺ ὕστερον Περσεῖ Ῥωμαίων ἐς χεῖρας ἐπ' ἀλλήλους ἰόντων, ὁ Προυσίας οὐδετέροις συνεμάχει· Περσέως δ' ἁλόντος, ἀπήντησε τοῖς Ῥωμαίων στρατηγοῖς, ἱμάτιον Ῥωμαϊκὸν ἀμπεχόμενος ὃ καλοῦσι τήβεννον· καὶ ὑποδήματα ἔχων Ἰταλικά· τὴν κεφαλὴν ἐξυρημένος, καὶ πῖλον ἐπικείμενος, ὡς πρόσεστιν ἐν προίασι τῶν ἀπελευθέρων καὶ ἐλευθερωθέντων· αἰσχρὸς ὢν καὶ τἆλλα ὀφθῆναι καὶ βραχύς· ἐντυχὼν δ' αὐτοῖς, φωνῇ Ῥωμαϊκῇ τῷ ῥήματι, ἔφη καὶ εἶναι λίβερτος· ὅπερ ἐστὶν ἀπελεύθερος· γελῶντα δὲ πράσσων, ἐς Ῥώμην ἐπέμφθη· καὶ φανεὶς κἀνταῦθα ὅμοιος, ἔτυχε συγγνώμης· χρόνῳ δ' ὕστερον Ἀττάλῳ τι χαλεπήνας τῷ βασιλεῖ τῆς Ἀσίας τῆς περὶ τὸ Πέργαμον, τὴν γῆν ἐδῄου τὴν Ἀσίαν· μαθοῦ-

ἡ Ῥωμαίων σύγκλητος, προσέπεμπε τῷ Προυσίᾳ μὴ πολεμεῖν Ἀττάλῳ, φίλῳ Ῥωμαίων ὄντι καὶ συμμάχῳ· καὶ δυσπειθῶς ἐπέχοντι, οἱ πρέσβεις μετ' ἀνατάσεως προσέταττον πείθεσθαι τοῖς ὑπὸ τῆς συγκλήτου λεγομένοις, ἢ ἥκειν μετὰ χιλίων ἱππέων ἐπὶ μεθόριον ἐπὶ συνθήκαις· ἔνθα καὶ τὸν Ἄτταλον ἔφασαν περιμένειν μετὰ τοσῶνδε ἑτέρων. ὁ δὲ ὡς ὀλίγων τῶν σὺν Ἀττάλῳ καταφρονήσας, καὶ ἐλπίσας αὐτὸν ἐνεδρεύσειν, προύπεμπε τοὺς πρέσβεις ὡς μετὰ χιλίων ἑπόμενος· πάντα δ' ἀναστήσας τὸν στρατὸν, ἠπείγετο ὡς ἐς μάχην. Ἀττάλου δὲ καὶ τῶν πρέσβεων αἰσθομένων τε καὶ διαφυγόντων, ἤδη [illegible] αὐτῶν ἐγίγνετο σκάφος, ὁ δὲ, καὶ τῶν σκευοφόρων τῶν Ῥωμαίων ὑποληφθέντων ἐπῆγε· καὶ χωρίον τι Νικηφόριον ἐξελὼν, κατέσκαπτε· καὶ τοὺς ἐν αὐτῷ νεὼς ἐνεπίμπρη· Ἄτταλόν τε ἐς τὸ Πέργαμον συμφυγόντα, ἐπολιόρκει. Καὶ μέχρι καὶ τῶνδε οἱ Ῥωμαῖοι πυθόμενοι, πρέσβεις ἑτέρους ἔπεμψαν· οἳ τὸν Προυσίαν ἐκέλευον Ἀττάλῳ τὰς βλάβας ἀποτεῖσαι. τότε οὖν καταπλαγεὶς ὁ Προυσίας, ὑπήκουσε καὶ ἀνεχώρει· ποινὴν δὲ τῶν πρέσβεων ὁρισάντων αὐτὸν ἐκτεῖσαι Ἀττάλῳ ναῦς καταφράκτους εἴκοσιν αὐτίκα· καὶ ἀργυρίου ἐν χρόνῳ τάλαντα πεντακόσια, τάς τε ναῦς ἔδωκε· καὶ τὰ τάλαντα ἐν τῷ χρόνῳ συνέφερεν· ὄντι δ' αὐτῷ διαμέσως τοῖς ὑπηκόοις ἐπὶ ὠμότητι χαλεπῷ, Νικομήδης υἱὸς ἦν· πᾶσι τοῖς Βιθυνοῖς ἀρέσκων· ὁ δὲ Προυσίας ὑφορώμενος, ἐν Ῥώμῃ αὐτὸν βιοῦν μετεστήσατο· ὁ μαθὼν ὁ δόκιμος αὐτὰ κακά, προσέταξε τῆς βουλῆς δεηθῆναι, τῶν ἔτι ὀφειλομένων Ἀττάλῳ χρημάτων αὐτὸν ἀπολῦσαι. Μηνᾶν τε αὐτῷ συμπρεσβεύσοντα ἔπεμπε· καὶ εἴρητο τῷ Μηνᾷ, εἰ μὲν ἐπιτύχοι τῆς ἀφέσεως τῶν χρημάτων, ἐπιφείδεσθαι τοῦ Νικομήδους· εἰ δὲ ἀποτύχοι, κτείνειν αὐτὸν ἐν Ῥώμῃ· καὶ δορυφόρους τέ τινας ἐς τοῦτο συνέπεμψεν αὐτῷ καὶ δισχιλίους στρατιώτας. ὁ δὲ, τῆς μὲν ζημίας οὐκ ἀφεθείσης τῷ Προυσίᾳ, Ἀνδρόνικος γὰρ ἐπιπεμφθεὶς ἐς ἀντιλογίαν ὑπὸ Ἀττάλου τὴν ζημίαν ἀπέφαινεν ἥττονα τῆς ἁρπαγῆς· τὸν δὲ Νικομήδην λόγους ἀσπουδῆς ἀξίους ὁρῶν, ἠπορεῖτο· καὶ οὔτε κτείνειν αὐτὸν ὑφίστατο, οὔτε αὐτὸς ἐς Βιθυνίαν ἐπανιέναι διὰ δέος· ὁμοίως δ' αὐτῷ βραδύνοντι, συνεὶς ὁ νεανίσκος, ἐς λόγους ἦλθεν ἐθέλοντι κἀκείνῳ· συνθέμενοι δ' ἐπιβουλεῦσαι τῷ Προυσίᾳ, τὸν Ἀττάλου πρεσβευτὴν Ἀνδρόνικον ἐς τὸ ἔργον προσέλαβον, ἵνα τὸν Ἄτταλον πείσῃ ἐς τὸν Νικομήδην καταγαγεῖν ἐς Βιθυνίαν· ἀναμείναντες δ' ἀλλήλοις ἐν τῇ Βρυγικῇ, πολίσματί τινι τῆς ἠπείρου, νυκτὸς ἐπιβάντες ἐς ναῦν, ἅ τε δέοι ποιεῖν συνετίθεντο, καὶ διῃγήσαντο ἔτι νυκτός· ἅμα δ' ἡμέρᾳ, Νικομήδης μὲν ἐξέβαινε τῆς νεώς, πορφύραν τε βασιλικὴν ἠμφιεσμένος καὶ διάδημα ἐπικείμενος· Ἀνδρόνικος

δ' αὐτὸν ὑπαντήσας τε ὡς βασιλέα προσειπὼν, παρέπεμπε μετὰ στρατιωτῶν ὧν εἶχε πεντακοσίων· Μηνᾶς δὲ ὑποκρινόμενος τότε πρῶτον ἠσθῆσθαι Νικομήδην παρόντος, ἐς τοὺς δισχιλίους διαδραμὼν ἐξεφόβει. περιιὼν δὲ τῷ λόγῳ δύο φὴ βασιλέοιν, τοῦ μὲν, ὄντος ἐν τῇ χώρᾳ, τοῦ δὲ ἀπιόντος, ἀναγκαῖον εἶναι μὲν τὸ συμφέρον ἀεὶ διατίθεσθαι· τοῦ γενησομένου καλῶς τεκμαίρεσθαι, ὡς ἐν τῷδε τῆς ἡμέρας πείρας βεβαιουμένης. ἢν καλῶς προϊδώμεθα ὁπότερος αὐτῶν ἐπικρατήσει· ὁ μὲν δὴ γέρων ἐστίν· ὁ δὲ, νέος· καὶ Βιθυνοὶ, τὸν μὲν, ἀποστρέφονται· τὸν δὲ, αἱροῦνται· Ῥωμαίων τε οἱ δυνατοὶ τὸν νεανίαν ἀγαπῶσι· καὶ Ἀνδρόνικος αὐτὸν ἤδη δορυφορῶν, ὑπόδειγμά ἐστι τῆς Ἀττάλου συμμαχίας, ἀρχήν τε μεγάλην ἔχοντος καὶ Βιθυνοῖς γειτονοῦντος, καὶ ἐκ πολλοῦ τῷ Προυσίᾳ πεπολεμημένου· λέγων δὲ ταῦθ' ἅμα καὶ τὴν ὠμότητα τοῦ Προυσίου παρεγύμνου· καὶ ὅσα πονηρὰ πράξειεν ἐς ἅπαντας· καὶ τὸ κοινὸν ἐπὶ τοῖς δι- Βιθυνῶν ἐς αὐτὸν ἔχθος· ὡς δὲ κἀκείνους εἶδε τὴν Προυσίου μοχθηρίαν ἀποστρεφομένους, ἤγαγεν αὐτοὺς ἐς τὸν Νικομήδην αὐτίκα· καὶ προσειπὼν ὁ δὲ βασιλέα αὐτὸς ἐπὶ Ἀνδρονίκῳ, μετὰ δισχιλίων ἐδορυφόρει. Ἄτταλός τε τὸν νεανίαν προθύμως ὑπεδέχετο· καὶ τὸν Προυσίαν ἐκέλευσε τῷ παιδὶ, πόλεις τέ τινας ἐς ἐνοίκησιν καὶ χώραν ἐς ἐφόδια δοῦναι· ὁ δ' αὐτίκα δώσειν ἔφη τὴν Ἀττάλου βασιλείαν ἅπασαν· ἣν δὴ καὶ πρότερον Νικομήδους ἐπιποιῶν, ἐς Ἀσίαν ἐσέβαλεν· ταῦτα δ' εἰπὼν, ἔπεμπεν ἐς Ῥώμην τοὺς Νικομήδους καὶ Ἀττάλου κατηγορήσοντας καὶ προκαλεσομένους ἐς κρίσιν· οἱ δ' ἀμφὶ τὸν Ἄτταλον, εὐθὺς ἐχώρουν ἐς Βιθυνίαν· καὶ προσιοῦσιν αὐτοῖς, οἱ Βιθυνοὶ κατ' ὀλίγους προσετίθεντο· Προυσίας δὲ πᾶσιν ἀπιστῶν, καὶ Ῥωμαίους ἐλπίζων αὐτὸν ἐξαιρήσεσθαι τῆς ἐπιβουλῆς, Διήγυλιν τὸν Θρᾷκα κηδεστὴν ὄντα οἱ, πεντακοσίους Θρᾷκας αἰτήσας καὶ λαβὼν, τοῖς δὲ μόνοις τὸ σῶμα ἐπέτρεψεν, ἐς τὴν ἀκρόπολιν τὴν Νικαίας καταφυγών. ὁ δὲ Ῥωμαίων στρατηγὸς ἐν ἄστει οὔτε αὐτίκα ἐπήγαγεν ἐπὶ τὴν βουλὴν τοὺς τοῦ Προυσίου πρέσβεις χαριζόμενος Ἀττάλῳ, ἐπαγαγών τε ποτε ψηφισαμένης τῆς βουλῆς τὸν στρατηγὸν αὐτὸν ἑλέσθαι τε καὶ πέμψαι πρέσβεις, οἳ διαλύσουσι τὸν πόλεμον, εἵλετο τρεῖς ἄνδρας· ὧν ὁ μὲν, τὴν κεφαλὴν ἀπὸ λίθου πληγεὶς, ἀσχήμονας ἐπέκειτο ὠτειλάς· ὁ δὲ, τοὺς πόδας διέφθαρτο ὑπὸ ῥεύματος· ὁ δὲ, ἠλιθιώτατος ἐνομίζετο εἶναι· ὥστε Κάτωνα τὴν πρεσβείαν ἐπισκώπτοντα εἰπεῖν, τὴν πρεσβείαν

τούτων μήτε νομοῦ ἔχειν, μήτε πόδας, μήτε κεφαλήν. οἱ μὲν δὴ πρέσβεις ἐς Βιθυνίαν ἀφικόμενοι, προσέταττον αὐτοῖς τὸν πόλεμον ἐκλῦσαι, Νικομήδει δὲ καὶ Ἀττάλῳ συγχωρεῖν ὑποκρινομένων, οἱ Βιθυνοὶ διδαχθέντες ἔλεγον· οὐκ εἶναι δυνατοὶ φέρειν ἔτι τὴν ὠμότητα τοῦ Προυσίου, φανεροὶ μάλιστα αὐτῷ γενόμενοι δυσχεραίνοντες. οἱ μὲν δὴ πρέσβεις ὡς οὔπω Ῥωμαίων τάδε πυθομένων, ἐπανῆκεσαν ἄπρακτοι. Προυσίας δὲ ἐπεὶ Ῥωμαίων ἀπέγνω, οἷς μάλιστα ἐπίστευεν, οὐδενὸς ἐς ἀμύναν ἐπεφρόντικα, μετῆλθεν ἐς Νικομήδειαν ὡς κρατύνων γενόμενος τὴν πόλιν· καὶ τοῖς ἐπὶ τῶν πολεμίων. οἱ δέ, προδιδόντες αὐτόν, τὰς πύλας ἀνέῳξαν. καὶ ὁ μὲν Νικομήδης ἐσῆλθε μετὰ τοῦ στρατοῦ· τὸν δὲ Προυσίαν ἐς ἱερὸν Διὸς καταφυγόντα, συνεκέντησάν τινες ἐπιπεμφθέντες ἐκ τοῦ Νικομήδους. οὕτω Νικομήδης ἀντὶ Προυσίου Βιθυνῶν ἐβασίλευε. καὶ αὐτὸν χρόνῳ τελευτήσαντα, Νικομήδης υἱός, ὁ Φιλοπάτωρ ἐπίκλησιν, διεδέξατο, Ῥωμαίων αὐτῷ τὴν ἀρχὴν ὡς πατρῴαν ψηφισαμένων. τὰ μὲν δὴ Βιθυνῶν, ὧδε εἶχε. καὶ τοσοῦτον προμαθεῖν, ἀρκέσει· ὁ δὲ τελευταῖος Νικομήδης Ῥωμαίοις τὴν ἀρχὴν ἐν διαθήκαις ἀπέλιπε.

Καππαδόκαι δέ, πρὸ μὲν Μακεδόνων οἵτινες ἦρχον, οὐκ ἔχω σαφῶς εἰπεῖν, εἴτε ἰδίαν ἀρχήν, εἴτε Δαρείῳ κατήκοοι. Ἀλέξανδρος δέ μοι δοκεῖ τὴν ἀρχὴν τῶνδε τῶν ἐθνῶν ἐπὶ φόρῳ καταλιπεῖν, ἐπειγόμενος ἐπὶ Δαρεῖον. φαίνεται γὰρ καὶ Ἀμισὸν πόλιν Ἀττικοῦ γένους ἐπὶ δημοκρατίαν ὡς πάτριον σφίσι πολιτείαν ἀγαγών. Ἱερώνυμος δέ, οὐδ᾽ ἐπιψαῦσαι τῶνδε τῶν ἐθνῶν ὅλως, ἀλλ᾽ ἑτέραν τὴν παραλίον τῆς Παμφυλίας καὶ Κιλικίας ὁδὸν ἐπὶ τὸν Δαρεῖον τραπέσθαι. Περδίκκας δέ, ὃς ἐπὶ Ἀλεξάνδρῳ τῆς Μακεδόνων ἦρχεν, Ἀριαράθην Καππαδοκίας ἡγούμενον, ἤτε ἀφιστάμενον, εἴτε τὴν ἀρχὴν αὐτοῦ περιποιούμενος Μακεδόσιν, εἷλε καὶ ἐκρέμασε. καὶ ἐπέστησε τοῖς ἔθνεσιν Εὐμένη τὸν Καρδιανόν. Εὐμένη δὲ ἀναιρεθέντος, ὅτε αὐτὸν οἱ Μακεδόνες ἡγοῦντο πολέμιον, Ἀντίπατρος ἐπὶ τῷ Περδίκκᾳ τῆς ὑπὸ Ἀλεξάνδρῳ γενομένης γῆς ἐπιτροπεύων, Νικάνορα ἔπεμψε Καππαδοκῶν σατραπεύειν. Μακεδόνων δὲ οὐ πολὺ ὕστερον ἐς ἀλλήλους στασιασάντων, Ἀντίγονος μὲν ἦρχε Συρίας, Λαομέδοντα ἐκβαλών. Μιθριδάτης δὲ αὐτῷ συνῆν, ἀνὴρ γένους βασιλικοῦ Περσικοῦ. καὶ ὁ Ἀντίγονος ἐνύπνιον ἔδοξε πεδίον σπεῖραι χρυσίῳ, καὶ τὸ χρυσίον ἐκθερίσαντα τὸν Μιθριδάτην ἐς τὸν Πόντον οἴχεσθαι. καὶ ὁ μὲν αὐτὸν ἐπὶ τῷδε συλλαβών, ἐβούλετο ἀποκτεῖναι· ὁ δὲ ἐξέφυγε σὺν ἱππεῦσιν ἕξ. καὶ φραξάμενός τι χωρίον τῆς Καππαδοκίας, πολλῶν οἱ προσιόντων ἐν τῇδε τῇ Μακεδόνων ἀσχολίᾳ, Καππαδοκίας τε αὐτῆς καὶ τῶν ὁμόρων περὶ τὸν Πόντον ἐθνῶν κατέσχεν. ἐπί τε μεγάλην ἀρχὴν προαγαγών, παισὶ παρέδωκεν. οἱ δὲ ἦρχον ἕτερος μεθ᾽ ἕτερον. ἕως ἐπὶ τὸν ἕκτον ἀπὸ τοῦ πρώτου Μιθριδάτην, ὃς Ῥωμαίοις ἐπολέμησε.

τούτου δὲ τοῦ γένους ὄντες οἱ Καππαδόκαι τε καὶ τοῦ Πόντου βασιλεῖς, ἔθος τέ μοι δοκοῦσι διελεῖν τὴν ἀρχήν. καὶ οἱ μὲν τοῦ Πόντου κατασχεῖν· οἱ δέ, Καππαδόκαι. ὅ γε τοῖ Ῥωμαίοις πρῶτος ἐν φιλίᾳ γενόμενος, καὶ ναῦς τινὰς ἐπὶ Καρχηδονίους, καὶ συμμαχίαν ὀλίγην παρασχών, βασιλεὺς Πόντου Μιθριδάτης ὁ Εὐεργέτης ἐπίκλησιν, ὡς ἀλλοτρίαν τὴν Καππαδοκίαν ἐπέδραμε. καὶ διαδέχεται Μιθριδάτης υἱός, ᾧ Διονύσιος καὶ Εὐπάτωρ ἐπωνύμιον ἦν. Ῥωμαῖοι δ᾽ αὐτὸν ἐκστῆναι Καππαδοκίας ἐκέλευον Ἀριοβαρζάνει, καταφυγόντι τε ἐς αὐτούς, καὶ δόξαντι ἀναγκαιοτέρῳ τοῦ Μιθριδάτου, πρὸς τὴν Καππαδοκῶν ἀρχὴν εἶναι· καὶ τὸ μέγεθος τῆς ἀρχῆς τοῦ Μιθριδάτου, πολλῆς οὔσης, ὑφορώμενοί τε καὶ ἐς πλέον διαιροῦντες ἀφανῶς. ὁ δέ, τοῦτο μὲν ἠνέσχε. Νικομήδει δὲ τῷ Νικομήδους τοῦ ἄρξαντος Βιθυνίας ὡς πρώτας ὑπὸ Ῥωμαίων ἀποδειχθέντι βασιλεῖ, Σωκράτη τὸν ἀδελφὸν αὐτοῦ Νικομήδους, ὅτῳ Χρηστὸς ἐπώνυμος ἦν, μετὰ στρατιᾶς ἔπεμψε. καὶ τὴν Βιθυνῶν ἀρχὴν ὁ Σωκράτης ἐς ἑαυτὸν περιέσπασε. τοῦ δ᾽ αὐτοῦ χρόνου, Μιθραάς τε καὶ Βαγώας, Ἀριοβαρζάνην τὸν δὲ ὑπὸ Ῥωμαίων καθηγμένον ἐς τὴν Καππαδοκίαν ἐκβαλόντες, Ἀριαράθην κατήγαγον ἐς αὐτήν. Ῥωμαῖοι δὲ Νικομήδην ὁμοῦ καὶ Ἀριοβαρζάνην ἐπανῆγον ἐς τὰ οἰκεῖα ἑκάτερον. πρέσβεις τε τινὰς αὐτοῖς ἐς τοῦτο συνέπεμψαν· ὧν Μάνιος Ἀκύλιος ἡγεῖτο. καὶ συλλαβεῖν μετὰ τὴν κάθοδον ἐπέστελλον Λουκίῳ τε Κασσίῳ τῆς περὶ τὸ Πέργαμον Ἀσίας ἡγουμένῳ, στρατιὰν ἔχοντι ὀλίγην, καὶ τῷδε τῷ Εὐπάτορι Μιθριδάτῃ. ἀλλ᾽ ὁ μέν, αὐτῆς τε Καππαδοκίας ἕνεκα Ῥωμαίοις ἐπιμεμφόμενος, καὶ Φρυγίαν ἔναγχος ὑπ᾽ αὐτῶν ἀφῃρημένος, ὡς διὰ τῆς Ἑλληνικῆς γραφῆς δεδήλωται, οὐ συνεστράτευε. Κάσσιος δὲ καὶ Μάνιος, τῇ τε Κασσίου στρατιᾷ καὶ πολλὴν ἄλλην ἀγείραντες ἐκ Γαλατῶν καὶ Φρυγῶν, Νικομήδην τε κατήγαγον ἐς Βιθυνίαν, καὶ Ἀριοβαρζάνην ἐς Καππαδοκίαν. ἔπειθόν τε ἀνέπειθον ἄμφω γείτονας ὄντας Μιθριδάτου, τὴν γῆν τοῦ Μιθριδάτου καταστρέχειν· καὶ ἐς πόλεμον ἐρεθίζειν, ὡς Ῥωμαίων αὐτοῖς πολεμοῦσι συμμαχησόντων. οἱ δέ, ὤκνουν μὲν ὁμοίως ἑκάτεροι τοσοῦδε πολέμου κατάρξαι, τὴν Μιθριδάτου δύναμιν δεδιότες. ἐγκειμένων δὲ τῶν πρέσβεων, ὁ Νικομήδης πολλὰ μὲν ὑπὲρ τῆς ἐπικουρίας τοῖς στρατηγοῖς καὶ τοῖς πρέσβεσιν ὡμολογηκὼς χρήματα δώσειν καὶ ἔτι ὀφείλων, πολλὰ δ᾽ ἄλλα παρὰ τῶν ἑπομένων Ῥωμαίων δεδανεισμένος,

ἐνοχλούμενος, ἄκων ἐσέβαλεν ἐς τὴν Μιθριδάτου γῆν· καὶ ἐλεηλάτησεν ἕως
ἐπὶ πόλιν Ἄμαστριν· οὐδενὸς οὔτε κωλύοντος αὐτόν, οὔτε ἀπαντῶντος. ὁ γάρ τοι
Μιθριδάτης ἑτοίμην ἔχων δύναμιν, ὅμως ὑπεχώρει· πολλὰ καὶ δίκαια διδοὺς
ἐγκλήματα τῷ πολέμῳ γενέσθαι. ἀναζεύξαντος δὲ τοῦ Νικομήδους μετὰ πολλῶν
λαφύρων, Πελοπίδαν ὁ Μιθριδάτης ἔπεμπεν ἐς τοὺς Ῥωμαίων στρατηγούς τε καὶ
πρέσβεις, οὐκ ἀγνοῶν μὲν αὐτοὺς πολεμησείοντας αὐτῷ καὶ τῆσδε τῆς ἐσβολῆς
αἰτίους γεγονότας· ὑποκρινόμενος δ' ἔτι, καὶ πλείονας ὁμοῦ καὶ δικαιοτέρας
αἰτίας τοῦ γενησομένου πολέμου συνάξων, ἀνεμίμνησκε φιλίας καὶ συμμαχίας
ἰδίας τε καὶ πατρῴας. ἀνθ' ὧν αὐτὸν ὁ Πελοπίδας ἔφη Φρυγίαν ἀφῃρῆσθαι καὶ
Καππαδοκίαν, τὴν μὲν ἀεὶ τῶν προγόνων αὐτοῦ γενομένην, καὶ ὑπὸ τοῦ πατρὸς
ἀναληφθεῖσαν, Φρυγίαν δὲ ἐπινίκιον ἐπ' Ἀριστονίκῳ παρὰ τοῦ ὑμετέρου
στρατηγοῦ δοθεῖσάν τε, καὶ οὐχ ἧττον παρὰ τοῦ αὐτοῦ στρατηγοῦ πολλῶν χρημάτων
ἐωνημένων. νῦν δέ φησι, καὶ Νικομήδη τὸ στόμα τοῦ Πόντου ἀποκλείοντα
περιορᾶτε· καὶ τὴν γῆν μέχρις Ἀμάστρεως ἐπιτρέχοντα καὶ λείαν ἄγοντα, ὅσην
ἴστε ἀκριβῶς· οὐκ ἀσθενῶς οὐδὲ ἀνετοίμως ἔχοντος πρὸς ἄμυναν τοῦ
ἐμοῦ βασιλέως, ἀλλ' ἀναμένοντος ὑμᾶς ἐν ὄψει μάρτυρας τῶν γιγνομένων
γενέσθαι. ἐπειδὴ δὲ ἐγένεσθέ τε καὶ εἴδετε, παρακαλεῖ Μιθριδάτης φίλος
ὢν ὑμῖν καὶ σύμμαχος φίλους ὄντας ὑμᾶς καὶ συμμάχους, ὧδε γὰρ αἱ συν-
θῆκαι λέγουσιν, ἐπικουρεῖν ἡμῖν ἀδικουμένοις ὑπὸ Νικομήδους, ἢ κω-
λύειν αὐτὸν ἀδικοῦντα. ὁ μὲν τοιαῦτα εἶπε· Νικομήδους δὲ πρέσβεις ἀντι-
λογίαν αὐτῷ προύθεντο, ἔφασαν· Νικομήδει μὲν ἐκ πολλοῦ Μιθριδάτης ἐπι-
βουλεύων, Σωκράτη μετὰ στρατιᾶς ἐπὶ τὴν βασιλείαν ἐπῆγεν, ἡσυχάζοντα καὶ
δικαιοῦντα τὸν πρεσβύτερον ἄρχειν. καὶ ὧδε Μιθριδάτης ἐς Νικομήδη
διέπραξεν, ὃν ὑμεῖς Ῥωμαῖοι Βιθυνῶν ἐστήσατε βασιλέα. ὃ δῆλον
ἐστιν, οὐκ ἐς ἡμᾶς μᾶλλον ἢ ἐς ὑμᾶς γεγονέναι. τῶν δὲ αὐτῶν ἔργων κεκωλυκότων
ὑμῶν τοῖς ἐν Ἀσίᾳ βασιλεῦσι τῆς Εὐρώπης μηδὲ ἐπιβαίνειν, τὰ πολλὰ
Χερρονήσου περιέσπασε. καὶ τάδε μὲν ἔστω τῆς ἐς ὑμᾶς ὕβρεώς τε καὶ διανοίας
αὐτοῦ καὶ ἀπειθείας ἔργα· ἡ δὲ παρασκευὴ δέος· καὶ πᾶσα ἕτοιμος ὡς ἐπὶ μέγαν
τε καὶ ἐγνωσμένον πόλεμον ἤδη· τοῦ τε ἰδίου στρατοῦ καὶ συμμάχων Θρᾳκῶν
καὶ Σκυθῶν, ὅσα τε ἄλλα πλησιόχωρα ἔθνη. ἐς δὲ τὸν Ἀρμένιον αὐτῷ καὶ ἐπι-
γαμία γέγονε· καὶ ἐς Αἴγυπτον καὶ Συρίαν περιπέμπει, προσεταιριζό-
μενος τοὺς βασιλέας· νῆές τε εἰσὶν αὐτῷ κατάφρακτοι τριακόσιαι· καὶ ἑτέρας

προσκατασκευάζεται· ἐπί τε πρωρέας καὶ κυβερνήτας, ἐς Φοινίκην καὶ Αἴγυπτον
περιέπεμψεν. ἃ πρὸς οὐκ ἐπὶ Νικομήδη τοσαῦτα σπουδάζοντα, ἀλλ' ἐφ' ὑμᾶς μὲν
ὦ Ῥωμαῖοι Μιθριδάτης ἐργάζεται. διόπερ αἰνῶν μὲν ἐξ οὗ Φρυγίαν αὐτὸν
πανούργως πριάμενον καὶ διαφθείραντα τῶν ὑμετέρων τινὰ στρατηγῶν, ἀπο-
θέσθαι προστάξατε, τῆς οὐ δικαίας κτήσεως καταγνόντες· χαλεπαίνων
δὲ ἐπὶ Καππαδοκίᾳ δεδομένῃ καὶ τῇδε πρὸς ὑμῶν Ἀριοβαρζάνῃ, δεδιὼς
δ' αὐξομένους ὑμᾶς, καὶ παρασκευαζόμενος ἐν τῇ καθ' ἡμᾶς προφάσει, καὶ
ὑμῖν εἰ δύναιτο ἐπιθέσθαι· σωφρονεῖν δ' ἐστὶ μὴ περιμένειν ὅτε πολεμεῖν ὑμῖν
ὁμολογήσει· ἀλλ' ἐς τὰ ἔργα αὐτοῦ μᾶλλον ἢ τοῖς λόγοις ἀφορᾶν· μηδὲ φιλίας
ὄνομα ἐπίπλαστον ὑποκρινομένῳ, τοὺς ἀληθεῖς καὶ βεβαίους ἐκδοῦναι
φίλους· μηδὲ τὴν σφετέραν περὶ τῆς ὑμετέρας βασιλείας κρίσιν ὑπεριδεῖν,
ἀκυρωθεῖσαν ὑπ' ἀνδρὸς ὁμοίως ἡμῖν τε καὶ ὑμῖν ἐχθροῦ. ὧδε μὲν
καὶ οἱ Νικομήδους ἔλεξαν. ἐπιθεὶς δὲ αὖθις ὁ Πελοπίδας ἐς τὸ τῶν Ῥω-
μαίων συνέδριον, περὶ μὲν τῶν πάλαι γεγονότων εἴ τι Νικομήδης ἐπιμέμ-
φοιτο, δικαστὰς Ῥωμαίους ἠξίου. τὰ δὲ νῦν, ἐν ὄψει γὰρ ὑμῶν γέγονε, τῆς τε
γῆς τῆς Μιθριδάτου πορθουμένης, καὶ τῆς θαλάσσης ἀποκλειομένης, καὶ
λείας τοσῆσδε ἐλαυνομένης, οὐ λόγων φησὶ χρῄζειν οὐδὲ κρίσεως· ἀλλ' αὖθις
ὑμᾶς παρακαλοῦμεν, ἢ κωλύειν τὰ γιγνόμενα, ἢ Μιθριδάτῃ συμμαχεῖν
ἀδικουμένῳ, ἢ τό γε δεύτερον ὦ ἄνδρες Ῥωμαῖοι, μὴ κωλύειν ἀμυνόμενον·
ἀλλ' ἀμφοῖν ἐκστῆναι τοῦ πόνου. τοσαῦτα τοῦ Πελοπίδου παλιλογήσαντος,
ἐγνωσμένον ἐκ πολλοῦ τοῖς Ῥωμαίων στρατηγοῖς ἐπικουρεῖν Νικομήδει· καὶ
ἐς ὑπόκρισιν τῆς ἀντιλογίας ἠκροῶντο. τὰ δὲ εἰρημένα ὅμως ὑπὸ τοῦ
Πελοπίδου, καὶ τὴν Μιθριδάτου φιλίαν ἐν συνθήκαις ἔτι οὖσαν αἰδούμενοι,
ἢ ἄποροι ἀποκρίσεως ἐπὶ πολύ· μέχρις ἐπισχόντες, μετὰ σοφίας δὲ
ἀπεκρίναντο· οὔτε Μιθριδάτην ἄν τι βουλοίμεθα παθεῖν ἄχαρι πρὸς
Νικομήδους, οὔτε Νικομήδην ἀνεξόμεθα πολεμούμενον· οὐ γὰρ ἡγού-
μεθα Ῥωμαίοις συμφέρειν βλαπτέσθαι Νικομήδη. ταῦτα δ' εἰπόντες, τὸν
Πελοπίδαν βουλόμενον διελέγχειν τῆς ἀποκρίσεως τὴν ἀπορίαν, ἀπέπεμψαν ἐκ
τοῦ συνεδρίου. Μιθριδάτης μὲν οὖν ὡς ἐμφανῶς ἤδη πρὸς Ῥωμαίων ἀδικού-
μενος, ἔπεμπε σὺν πολλῇ χειρὶ τὸν υἱὸν Ἀριαράθην βασιλέα Καππαδοκίας·
καὶ αὐτίκα εἶχεν ἀρχὴν αὐτῆς ὁ Ἀριαράθης, Ἀριοβαρζάνην ἐκβαλών· Πελοπί-
δας δὲ ἐς τοὺς Ῥωμαίων στρατηγοὺς αὖθις ἐλθών, ἔλεγεν ὧδε· ἃ μὲν ἠδικήμεθα

πρὸς ὑμῶν ὦ Ῥωμαῖοι βασιλεὺς Μιθριδάτης ἀφῄρηται Φρυγίαν τε καὶ Καππαδοκίαν
ἀφῃρημένος ἔναγχος, ἠκούσατε· ἃ δὲ Νικομήδης αὐτὸν ἔβλαπτεν, ὁρῶντες
ὑπεροράτε· φιλίαν τε καὶ συμμαχίαν ἣν μὲν προφέρουσιν, ὡς παρ᾽ οὐκ ἐγκαλοῦσιν
ἀλλ᾽ ἐγκαλουμένοις ἀπεκρίνασθε· μένομεν ἐξ ἴσου συμφέρειν τοῖς Ῥωμαίων
πράγμασι, βλάπτεσθαι Νικομήδη οἷα παρ᾽ αὐτὸν ἀδικούμενον· ὑμεῖς οὖν
αἴτιοι τῷ κοινῷ Ῥωμαίων τοῦδε τοῦ περὶ Καππαδοκίαν γεγονότος· δι᾽ ἃ γὰρ ὑμᾶς,
ὧδε μὲν ἡμᾶς ὑπερορῶντας, ὧδε δὲ σοφιζομένους ταῖς ἀποκρίσεσιν, οὕτως ἔπραξεν
ὁ Μιθριδάτης· ὁ πρέσβυς δὲ καθ᾽ ὑμῶν ἐν τῷ ὑμετέρῳ βήματι ἔφη, ὑμῖν
ἀπογνωσομένοις ἐπαγγέλλεται παρεῖναι· φθάνειν δὲ μηδέν, ἢ δὲ ἐξ ἀρχῆς αὐτοῦ
κοινοῦ Ῥωμαίων τόνδε πόλεμον, ἐνθυμουμένοις, ὅτι Μιθριδάτης μὲν βασι-
λεύει τῆς πατρῴας ἀρχῆς, ἣ δισμυρίων ἐστὶ σταδίων τὸ μῆκος· προσκέκτηται
δὲ πολλὰ περίχωρα· καὶ Κόλχους, ἔθνος ἀρειμάνιον· Ἑλλήνων τε τοὺς ἐπὶ τοῦ
Πόντου κατῳκισμένους· καὶ βαρβάρων τοὺς ὑπὲρ αὐτούς· φίλοις δὲ ἐς πᾶν
τὸ κελευόμενον ἑτοίμοις χρῆται· Σκύθαις τε καὶ Ταύροις καὶ Βαστέρναις· καὶ Θραξί·
καὶ Σαρμάταις· καὶ πᾶσι τοῖς ἀμφὶ Τάναϊν τε καὶ Ἴστρον, καὶ τὴν λίμνην ἔτι τὴν
Μαιῶτιν. Τιγράνης δ᾽ ὁ Ἀρμένιος αὐτῷ κηδεστής ἐστι· καὶ Ἀρσάκης ὁ Παρθυ-
αῖος, φίλος· νεῶν τε πλῆθος ἔχει, τὸ μὲν ἕτοιμον· τὸ δὲ, γιγνόμενον ἔτι· καὶ
παρασκευὴν ἐς πάντα ἀξιόλογον. οὐκ ἐψεύσαντο δ᾽ ὑμῖν ἔναγχος οἱ Βιθυνοὶ
καὶ περὶ τῶν ἐν Αἰγύπτῳ καὶ Συρίᾳ βασιλέων· οἷς οὐ μόνον εἰκός ἐστιν, ἢν μὲν ὁ
πόλεμος γένοιτο προσθήσεσθαι, ἀλλὰ τὴν ὀκτῆτον ὑμῖν Ἀσίαν καὶ Ἑλλάδα καὶ
Λιβύην, καὶ πολλὰ καὶ αὐτῆς Ἰταλίας, ὅσα τὴν ὑμετέραν πλεονεξίαν οὐ φέροντα,
πολεμεῖ νῦν πόλεμον ἄσπειστον· ὅπου τὸ δ᾽ ἀφελέσθαι δυνηθέντα, ἐπὶ χεῖρα τε
Μιθριδάτῃ· Νικομήδη αὐτῷ καὶ Ἀριοβαρζάνην παραμένοντας ἐπιπέμπουσιν·
καὶ φατὲ μὲν εἶναι φίλοι καὶ σύμμαχοι· ὑποκρίνεσθε οὕτω, χρῆσθε δὲ ὡς πολεμί-
οις· φρονεῖτε οὖν καὶ νῦν ἤ τι πρὸς τῶν γεγονότων ἐς μετάνοιαν ἠρέθισθε, ἢ Νικο-
μήδην κωλύσατε τοὺς ὑμετέρους ἀδικεῖν φίλους· καὶ τῶν δὲ πράξασιν ὑμῖν,
ὑπισχνοῦμαι συμμαχήσειν ἐπὶ τοῖς Ἰταλοῖς βασιλέα Μιθριδάτην, ἢ τὸ ἀκοσ
ἐν ἡμᾶς φιλίαν λύσαντες, ἐν Ῥώμῃ ἐπὶ κρίσιν ἴωμεν. ὁ μὲν δὴ τοιαῦτα εἶπε·
ὧδε ἔλεξεν· οἱ δὲ φορτικώτερον αὐτὸν εἰπεῖν ἡγούμενοι, Μιθριδάτην
μὲν ἐκέλευον ἀπέχεσθαι Νικομήδους καὶ Καππαδοκίας· αὐτοὶ γὰρ αὖθις Ἀριοβαρ-
ζάνην ἐς αὐτὴν κατάξειν· Πελοπίδαν δὲ αὐτίκα ἐξίστασθαι τοῦ στρατοπέδου· καὶ μηκέτι
πρεσβεύειν ἐς αὐτούς, ἢ μὴ τοῖς κελευομένοις ὁ βασιλεὺς ἐμμένοι. οὕτω μὲν ἀπε-

80

κρίναντο· καὶ ἀπιόντι φυλακὴν συνέπεμψαν, ἵνα μή τινας ἐπιπείθοι προ-
ϊών. ταῦτα δ᾽ εἰπόντες, ἀνακινδυνεύσαντες περὶ τοῦδε πολέμου τὸ βῆμα, ἢ τὸν
δῆμον ἐπιγνώμονα γενέσθαι, στρατιὰν ἤγειρον ἔκ τε Βιθυνίας καὶ Καππαδοκίας καὶ
Παφλαγονίας καὶ Γαλατῶν τῶν ἐν Ἀσίᾳ. ὡς δὲ αὐτοῖς ὅ, τε ἴδιος στρατὸς ὃν ἦγε Λ.
Κάσσιος ὁ τῆς Ἀσίας ἡγούμενος ἕτοιμος ἦν ἤδη, καὶ τὰ συμμαχικὰ πάντα συνήχθη,
διῃρημένοι τὸ πλῆθος ἐστρατοπέδευον· Κάσσιος μὲν ἐν μέσῳ Βιθυνίας καὶ Γαλατί-
ας· Μάνιος δὲ, ἡ διαβατὸν ἦν ἐς Βιθυνίαν τῷ Μιθριδάτῃ· Ὄππιος δὲ ἕτερος στρα-
τηγός, ἐπὶ τῶν ὁρῶν τῶν Καππαδοκίας. ἱππέας ἔχων ἕκαστος αὐτῶν καὶ πεζοὺς
ἀμφὶ τοὺς τετρακισμυρίους. ἦν δὲ καὶ νεῶν στόλος αὐτοῖς· οὗ περὶ Βυζάντιον [illegible]
Μινούκιός τε Ῥοῦφος καὶ Γάιος Ποπίλιος ἡγοῦντο· τὸ στόμα τοῦ Πόντου
φυλάσσοντες. παρῆν δὲ αὐτοῖς καὶ Νικομήδης, ἄρχων τε στρατοῦ πεντακισμυρί-
ου πεζῶν, καὶ ἱππέων ἑξακισχιλίων. τοσόσδε μὲν αὐτοῖς ἀθρόως στρατὸς ἠγήγερτο·
Μιθριδάτῃ δὲ τὸ μὲν οἰκεῖον ἦν μυριάδες πεζῶν πέντε καὶ εἴκοσι· καὶ ἱππεῖς
τετρακισμύριοι· νῆες κατάφρακτοι τετρακόσιαι· δρεπανηφόρα δὲ ἑκατόν· καὶ
ἡ ἄλλη παρασκευὴ τούτων κατὰ λόγον. στρατηγοὶ δὲ, Νεοπτόλεμός τε καὶ Ἀρχέλαος·
ἀλλήλων ἀδελφώ· καὶ τοῖς πλείστοις αὐτὸς βασιλεὺς παρεγίγνετο. συμμαχικὰ
δὲ ἦγον αὐτῷ, Ἀρκαθίας μὲν αὐτοῦ Μιθριδάτου παῖς, ἐκ τῆς βραχυτέρας
Ἀρμενίας, μυρίους ἱππέας· καὶ Δορύλαος ὁ φαλαγγίτας τεταγμένους· Κρατερὸς δὲ
ἑκατὸν καὶ τριάκοντα ἅρματα. τοσαύτη μὲν ἦν ἑκατέροις ἡ παρασκευή,
ὅτε πρῶτον ἠγωνίσαντο ἀλλήλοις Ῥωμαῖοί τε καὶ Μιθριδάτης, ἀμφὶ τὰς ἑκατὸν
καὶ ἑβδομήκοντα ὀλυμπιάδας. ἐν δὲ πεδίῳ πλατεῖ παρὰ τὸν Ἀμνειὸν πο-
ταμόν, καταλαβόντες ἀλλήλους, ὅ τε Νικομήδης καὶ οἱ τοῦ Μιθριδάτου στρατηγοί,
παρετάξαντο ἐς μάχην· Νικομήδης μὲν, ἅπαντας τοὺς ἑαυτοῦ· Νεοπτό-
λεμος δὲ καὶ Ἀρχέλαος, τοὺς εὐζώνους μόνους· καὶ τοὺς Ἀρκαθίας ἱππέ-
ας· καί τινα τῶν ἁρμάτων· ἡ γὰρ φάλαγξ ἔτι προσῄει. ἐν δέ τινα γή-
λοφον τοῦ πεδίου πετρώδη προλαβόντας ἀνέπεμψαν ὀλίγους, ἵνα μὴ
κυκλωθεῖεν ὑπὸ τῶν Βιθυνῶν πολὺ πλειόνων ὄντων. ὡς δὲ ἐξωθουμένους
εἶδον αὐτοὺς ἐκ τοῦ γηλόφου, δείσας ὁ Νεοπτόλεμος περὶ τῇ κυκλώσει, προ-
σεβοήθει μετὰ σπουδῆς· καλῶν ἅμα καὶ τὸν Ἀρκαθίαν. Νικομήδης δὲ ὁρῶν,
ἀντιπαρῄει· καὶ ἰσχυρὸς πολὺς ἐνταῦθα ἀγὼν καὶ φόνος. βιαζομένων δὲ
τῶν Νικομήδους, ἔφευγον οἱ Μιθριδάτειοι· ἕως ὁ Ἀρχέλαος ἀπὸ τοῦ δεξιοῦ
μεταθέων, ἐνέβαλεν ἐς τοὺς διώκοντας· οἱ δὲ ἐς αὐτὸν ἐπεστράφησαν·

ὁ δ' ὑποχωρῶν κατ' ὀλίγον, ἵν' ἔχοιεν ἐκ τῆς φυγῆς ἐπανελθεῖν οἱ περὶ τὸν Νεο-
πτόλεμον· ὡς δὲ εἴκασεν αὐτάρκως ἔχειν, ἐπέστρεφεν· καὶ τοῖς βιαιοτάτοις
τῶν δρεπανηφόρων ἁρμάτων ἐπιπέμπων μετὰ ῥύμης, διέκοπτε καὶ διέ-
τεμνε· τοὺς μὲν ἀθρόως ἐς δύο· τοὺς δὲ ἐς μέρη πολλά. τό τε γιγνόμενον ἐξέ-
πληττε τὴν στρατιὰν τοῦ Νικομήδους, ὅτε ἴδοιεν ἡμιτόμους ἄνδρας
ἔτι ἐμπνέοντας· καὶ ἐς πολλὰ διῃρημένους· καὶ τῶν δρεπανηφόρων ἀπηρ-
τημένων· ἀηδίᾳ τε μᾶλλον ὄψεως ἢ μάχης κατὰ τὴν τάξιν ὑπὸ φόβου
συνεχέων· ταραχθεῖσι δ' αὐτοῖς, ὁ μὲν Ἀρχέλαος ἐκ τοῦ μετώπου, Νεο-
πτόλεμος δὲ καὶ Ἀρκαθίας ἐκ τῆς φυγῆς ἀναστρέφοντες, ἐπέκειντο ὄπισθεν.
οἱ δὲ ἐπὶ πολὺ μὲν ἠμύνοντο ἐς ἑκατέρους ἐπιστρεφόμενοι· ὡς δὲ τὸ πλεῖστον
ἐπεπτώκει, Νικομήδης μὲν ἔφυγε μετὰ τῶν ὑπολοίπων ἐς Παφλαγονίαν·
οὐδ' ἐς χεῖρας ἐλθούσης πω τῆς Μιθριδατείου φάλαγγος· ἑάλω δ' αὐτοῦ
τὸ χαράκωμα καὶ τὰ χρήματα ὄντα καὶ πλῆθος αἰχμαλώτων· οὓς πάντας
Μιθριδάτης φιλανθρωπευσάμενος τε καὶ ἐφόδια δοὺς ἀπέλυσεν ἐς τὰ οἰκεῖ-
α ἀπιέναι· δόξαν ἐμποιῶν τοῖς πολεμίοις φιλανθρωπίας. ἔργον δὴ πρῶτον τότε
τοῦ Μιθριδατείου πολέμου· καὶ οἱ στρατηγοὶ τῶν Ῥωμαίων κατεπεπλήγεσαν·
ὡς ἐξ ἀβουλίας μᾶλλον καὶ προπετῶς ἄνευ τοῦ κοινοῦ τοσόνδε πόλεμον ἀνά-
ψαντες· ὀλίγοι τε γὰρ πλειόνων ἐκεκρατήκεσαν· καὶ οὐδὲ μετὰ δυσ-
χωρίων ἢ πολεμίου σφάλματος, ἀλλ' ἀρετῇ στρατηγῶν καὶ ἀνδρείᾳ στρατοῦ.
Νικομήδης μὲν οὖν Μανίῳ παρεστρατοπέδευε· Μιθριδάτης δὲ ἐπὶ τὸ
Σκορόβαν ὄρος ἀνῄει· ὃ τῆς ἐστὶ Βιθυνῶν καὶ τῆς Ποντικῆς χώρας·
πρόδρομοί τε αὐτοῦ Σαυροματῶν ἑκατὸν ἱππεῖς, ὀκτακοσίοις ἱππεῦσι
τοῦ Νικομήδους ἐντυχόντες, ᾕρησάν τινας τούτων· οὓς πάλιν ὁ Μι-
θριδάτης σὺν ἐφοδίοις μεθῆκεν ἐς τὰς πατρίδας ἀπιέναι. Μάνιον δ' ὑπο-
φεύγοντα, Νεοπτόλεμός τε καὶ Νεμάνης ὁ Ἀρμένιος, ἀμφὶ τὸ Πρωτο-
πάχιον χωρίον ἑβδόμης ὥρας καταλαβόντες, οἰχομένου πρὸς καλοῦν
Νικομήδους, ἠνάγκασαν ἐς μάχην· ἵππους ἔχοντα τετρακισχιλίους·
καὶ πεζοὺς ἐπὶ τούτοις δεκαπλασίονας· κτείναντες δ' αὐτοῦ περὶ μυρίους,
ἐζώγρησαν ἐς τριακοσίους· οὓς ὁμοίως ὁ Μιθριδάτης ἐς αὐτὸν
ἀναχθέντας, ἀπέλυσε· καταδημοκοπῶν τοὺς πολεμίους. Μανίου δ'
ἐλήφθη καὶ τὸ στρατόπεδον· καὶ φυγὼν αὐτὸς ἐπὶ τὸν Σαγγάριον ποταμὸν,
νυκτὸς γενομένης, ἐπέρασέ τε καὶ ἐς Πέργαμον ἐσώθη. Κάσσιος δὲ

καὶ Νικομήδης καὶ ὅσοι ἄλλοι Ῥωμαίων πρέσβεις παρῆσαν, ἐς Λεόντων
κεφαλὴν· ὃ τῆς Φρυγίας ἐστὶν ὀχυρώτατον χωρίον, μετεστρατοπέδευον·
καὶ τὸ πλῆθος ὅσον εἶχον χρόνου οὐ πάλαι συνειλεγμένον χειροτεχνῶν καὶ γεωργῶν
καὶ ἰδιωτῶν, ἐγύμναζον· καὶ τοὺς Φρύγας αὐτοῖς προσκατέλεγον· ὀκνούν-
των δὲ ἑκατέρων, ἀπέγνωσαν ὡς ὄχλον εἶναι ἀνδράσιν ἀπολέμοις· καὶ διαλύσαντες
αὐτοὺς ἀνεχώρουν· Κάσσιος μὲν ἐς Ἀπάμειαν σὺν τῷ ἑαυτοῦ στρατῷ· Νικο-
μήδης δὲ ἐς Πέργαμον· Μάγκινος δὲ ἐπὶ Ῥόδου· ὧν οἱ τὸ στόμα τοῦ Πόντου
κατεῖχον πυθόμενοι, διῃρέθησαν· καὶ Νικομήδης τάς τε κλεῖς τοῦ Πόντου
καὶ ναῦς ὅσας εἶχον τῷ Μιθριδάτῃ παρέδοσαν· ὁ δὲ ὁρμῇ τῇδε μιᾷ τὴν ἀρχὴν
ὅλην τοῦ Νικομήδους ὑπολαβὼν, ἐπῄει καὶ καθίστατο τὰς πόλεις· ἐμβαλὼν
δὲ καὶ ἐς Φρυγίαν, ἐς τὸ Ἀλεξάνδρου πανδοκεῖον κατέλυσεν, ἀσπαζόμενος
ἄρα ἔνθα Ἀλέξανδρος ἀνεπαύσατο, καὶ Μιθριδάτην σταθμεῦσαι. ὁ μὲν δὴ καὶ
Φρυγίας τὰ λοιπὰ καὶ Μυσίαν καὶ Ἀσίαν, ἃ Ῥωμαίοις νεόκτητα ἦν, ἐπέ-
τρεχε· καὶ ἐς τὰ περίοικα περιπέμπων, ὑπήγετο Λυκίαν τε καὶ Παμφυ-
λίαν καὶ τὰ μέχρις Ἰωνίας. Λαοδικεῦσι τε ἔτι ἀντέχουσι τοῖς περὶ τὸν Λύ-
κον ποταμὸν· Ῥωμαίων γάρ τις στρατηγὸς Κόιντος Ὄππιος, ἱππέας ἔχων καὶ
μισθοφόρους τινὰς ἐς τὴν πόλιν καταδραμὼν ἐφύλαττεν αὐτὴν, κήρυκα
ἐπιπέμψας ἐπὶ τὰ τείχη κελεύσας ἐκκηρύσσειν, ὅτι βασιλεὺς Μιθριδάτης ὑπι-
σχνεῖται Λαοδικεῦσιν ἄδειαν, εἰ τὸν Ὄππιον αὐτῷ προσαγάγοιεν. οἱ δὲ ἐπὶ τῷ
κηρύγματι, τοὺς μὲν μισθοφόρους Ὀππίου, μεθῆκαν ἀπαθεῖς ἀπιέναι· αὐτὸν
δ' ἦγον, τῷ Μιθριδάτῃ, τὸν Ὄππιον· καὶ ἡγουμένων αὐτῷ τῶν ῥαβδοφόρων ἐπὶ
χλευασμῷ τινι· καὶ αὐτὸν ὁ Μιθριδάτης οὐδὲν ἀδικήσας, ἐπήγετο πανταχοῦ λελυμένον·
ἐπιδεικνύμενος ἅμα Ῥωμαίων αἰχμάλωτον στρατηγόν· μετ' οὐ πολὺ δὲ καὶ
Μάνιον Ἀκύλιον, τὸν τῆς δὲ τῆς πρεσβείας καὶ τοῦδε τοῦ πολέμου μάλιστα αἴτιον,
ἑλὼν, δεδεμένον ἐπὶ ὄνου περιῆγε· κηρύσσοντα τοῖς ὁρῶσιν ὅτι Μάνιος
εἴη· μέχρι ἐν Περγάμῳ τοῦ στόματος αὐτοῦ κατεχώνευσε χρυσίον· δωροδοκίαν
ἅμα Ῥωμαίοις ὀνειδίζων. σατράπας δὲ τοῖς ἔθνεσιν ἐπιστήσας, ἐς Μαγνησίαν
καὶ Ἔφεσον καὶ Μιτυλήνην παρῆλθεν, ἀσμένως αὐτὸν ἁπάντων δεχομένων, Ἐφεσίων
δὲ καὶ τὰς Ῥωμαίων εἰκόνας τὰς παρὰ σφίσι καθαιρούντων, ἐφ' ᾧ δίκην ἔδοσαν
οὐ πολὺ ὕστερον. ἐπανιὼν δὲ ἐκ τῆς Ἰωνίας, Στρατονίκειαν εἷλε· καὶ ἐζημίω-
σε χρήμασι· καὶ φρουρὰν ἐς τὴν πόλιν ἐσήγαγεν. παρθένον τε
εὔμορφον ἰδὼν, ἐς τὰς γυναῖκας ἀνεδέξατο. καὶ ἦν τῷ [illegible] καὶ τὸ ὄνομα

συνθέμεναι, μόνη μὴ φιλοποίμενος ἦν· μαγνησίοι δὲ καὶ παφλαγόνες καὶ λύ-
κιοι ἔτι ἀντέχουσι, διὰ τῶν στρατηγῶν ἐπολέμει· καὶ τάδε μὲν ἦν ἀμφὶ
τὸν μιθριδάτην· ῥωμαῖοι δὲ ἐξ οὗ τῆς πρώτης αὐτοῦ ὁρμῆς τε καὶ ἐς τὴν ἀσίαν
ἐσβολῆς ἐπύθοντο, στρατιὰν ἐπ᾽ αὐτὸν ἐψηφίσαντο· καίπερ ἀσχολού-
μενοι στάσεσιν ἀτρύτοις ἐν τῇ πόλει, καὶ οἰκείῳ πολέμῳ χαλεπῷ· τῆς ἰ-
ταλίας ἀφισταμένης σχεδὸν ἁπάσης ἀνὰ μέρος· κληρουμένων δὲ τῶν ὑπάτων,
ἔλαχε μὲν κορνήλιος σύλλας ἄρχειν τῆς ἀσίας καὶ πολεμεῖν τῷ μιθριδάτῃ· χρη-
μάτων δ᾽ οὐκ ἐχόντων αὐτῶν ἐσενεγκεῖν, ἐψηφίσαντο πραθῆναι ὅσα νουμᾶς
πομπίλιος βασιλεὺς ἐς θυσίας θεῶν διετέτακτο· τοσήδε μὲν ἦν τότε ἀπο-
ρία· καὶ ἐς πάντα φιλοτιμία· καί τινα αὐτῶν ἔφθασε πραθῆναι· καὶ
συνενεγκεῖν χρυσίου λίτρας ἐνακισχιλίας· ἃς μόνας ἐς τηλικοῦτον πόλεμον
ἔδοσαν· σύλλαν μὲν οὖν ἐπὶ πολὺ αἱ στάσεις κατέσχον, ὡς ἐν τοῖς ἐμφυλίοις
γέγραπται· ἐν τούτῳ δὲ ὁ μιθριδάτης ἐπί τε ῥοδίους ναῦς πλέονας συνεπή-
γνυτο· καὶ σατράπαις ἅπασι καὶ πόλεων ἄρχουσι, δι᾽ ἀπορρήτων ἔγραφε· τριακο-
στὴν ἡμέραν φυλάξαντας, ὁμοῦ πᾶσιν ἐπιθέσθαι τοῖς παρὰ σφίσι ῥωμαίοις
καὶ ἰταλοῖς· αὐτοῖς τε καὶ γυναιξὶν αὐτῶν· καὶ παισὶ καὶ ἀπελευθέροις ὅσοι γένους
ἰταλικοῦ· κτείναντάς τε ἀτάφους ἀπορρῖψαι· καὶ τὰ ὄντα αὐτοῖς μερί-
σασθαι πρὸς βασιλέα μιθριδάτην· ἐπεκήρυξε δὲ καὶ ζημίαν τοῖς κατα-
θάπτουσιν αὐτούς, ἢ ἐπικρύπτουσι· καὶ μήνυτρα τοῖς ἐλέγχουσιν, ἢ τοὺς
κρυπτομένους ἀναιροῦσι· θεράπουσι μὲν, ἐπὶ δεσπότας ἐλευθερίαν·
χρήσταις δὲ ἐπὶ δανειστάς, ἥμισυ τοῦ χρέους· τάδε μὲν δι᾽ ἀπορρήτων ὁ μι-
θριδάτης ἐπέστειλεν ἅπασιν ὁμοῦ· καὶ τῆς ἡμέρας ἐπελθούσης, συμφορῶν
ἰδέαι ποικίλαι κατὰ τὴν ἀσίαν ἦσαν· ὧν ἔνια τοιάδε ἦν· ἐφέσιοι τοὺς
ἐς τὸ ἀρτεμίσιον καταφυγόντας συμπλεκομένους τοῖς ἀγάλμασιν, ἐξελ-
κοντες ἔκτεινον· περγαμηνοὶ τοὺς ἐς τὸ ἀσκληπιεῖον συμφυγόντας οὐκ ἀφι-
σταμένους ἐτόξευον, τοῖς ξοάνοις συμπλεκομένους· ἀδραμυττηνοὶ τοὺς ἐκ-
νέοντας ἐσβαίνοντες ἐς τὴν θάλασσαν ἀνῄρουν· καὶ τὰ βρέφη κατεπόντουν·
καύνιοι, ῥοδίοις ὑποτελεῖς ἐπὶ τῷ ἀντιόχου πολέμῳ γενόμενοι, καὶ ὑπὸ ῥω-
μαίων ἀφεθέντες οὐ πρὸ πολλοῦ, τοὺς ἰταλοὺς ἐς τὴν βουλαίαν ἑστίαν κατα-
φυγόντας, εἷλκον τε ἀπὸ τῆς ἑστίας, τὰ βρέφη σφῶν πρῶτα ἔκτεινον ἐν ὄψει
τῶν μητέρων· αὐτάς τε καὶ τοὺς ἄνδρας ἐπ᾽ ἐκείνοις· τραλλιανοὶ δ᾽ αὐθένται
τοῦ κακοῦ φυλαξάμενοι γενέσθαι, παφλαγόνα θεόφιλον ἄγριον ἄνδρα ἐς τὸ

ἔργον ἐμισθώσαντο· ὁ δὲ θεόφιλος αὐτοὺς συναγαγὼν ἐπὶ τὸν τῆς ὁμονοίας νεὼν
ἐπῄει τῷ φόνῳ· καί τινων τοῖς ἀγάλμασι συμπλεκομένων, τὰς χεῖρας ἀπέ-
κοπτε· τοιαύταις μὲν τύχαις οἱ περὶ τὴν ἀσίαν ὄντες ἰταλοί τε καὶ ῥωμαῖοι συνεφέ-
ροντο· ἄνδρες τε ὁμοῦ καὶ βρέφη καὶ γυναῖκες· καὶ ἐξελεύθεροι· καὶ θεράποντες
αὐτῶν, ὅσοι γένους ἰταλικοῦ· ᾧ καὶ μάλιστα δῆλον ἐγένετο τὴν ἀσίαν οὐ φόβῳ
μιθριδάτου μᾶλλον, ἢ μίσει ῥωμαίων τοιάδε ἐς αὐτοὺς ἐργάσασθαι· ἀλλ᾽ οὗτοι
μὲν δίκην ἔδοσαν διπλῆν, αὐτοῦ τε μιθριδάτου μετ᾽ ὀλίγον ἀπίστως
ἐνυβρίσαντος ἐς αὐτούς, καὶ ὕστερον κορνηλίου σύλλα· μιθριδάτης δὲ ἐς μὲν κῶ
κατέπλευσε κῴων αὐτὸν ἀσμένως δεχομένων· καὶ τὸν ἀλεξάνδρου παῖδα τοῦ βασι-
λεύοντος αἰγύπτου σὺν χρήμασι πολλοῖς ὑπὸ τῆς μάμμης κλεοπάτρας ἐν κῷ
καταλελειμμένον, παραλαβών, ἔτρεφε βασιλικῶς· ἔκ τε τῶν κλεοπάτρας θη-
σαυρῶν γάζαν πολλὴν καὶ τέχνην καὶ λίθους καὶ κόσμους γυναικείους· καὶ χρήματα
πολλὰ ἐς τὸν πόντον ἔπεμψεν· ἐν δὲ τούτῳ ῥόδιοι τά τε τείχη σφῶν καὶ τοὺς λιμένας
ἐκρατύναντο· καὶ μηχανὰς ἅπασιν ἐφίστανον· καί τινες αὐτοῖς τελμισσέων τε καὶ
λυκίων συνεμάχουν· ὅσοι τε ἰταλοὶ ἐξ ἀσίας διεφύγεσαν, ἐς ῥόδον ἅπαντες ἐχώρουν·
καὶ σὺν αὐτοῖς λούκιος κάσσιος ὁ τῆς ἀσίας ἀνθύπατος· ἐπιπλέοντος δὲ τοῦ μιθρι-
δάτου, τὰ προάστια καθῄρουν· ἵνα μηδὲν εἴη χρήσιμα τοῖς πολεμίοις· καὶ ἐπὶ
ναυμαχίαν ἀνήγοντο· ταῖς μὲν ἐκ μετώπου· ταῖς δὲ πλαγίοις· ὁ δὲ βασιλεύς, ἐπὶ
πεντήρους περιπλέων, ἐκέλευε τοὺς ἰδίους ἐς τὸ πέλαγος ἀνάγειν ἐπὶ κέρως·
καὶ τὴν εἰρεσίαν ἐπιταχύναντας, περικυκλοῦσθαι τοὺς πολεμίους, ὀλιγωτέρους ὄντας·
μέχρι δείσαντες οἱ ῥόδιοι περὶ τῇ κυκλώσει, ὑπεχώρουν κατ᾽ ὀλίγον· εἶτ᾽ ἐπιστρέ-
ψαντες ἐς τὸν λιμένα κατέφυγον· καὶ κλείθροις αὐτὸν διαλαβόντες, ἀπὸ τῶν τειχῶν
τὸν μιθριδάτην ἀπεμάχοντο· ὁ δέ, τῇ πόλει στρατοπεδεύων, καὶ συνεχῶς τῶν λιμένων
πειρώμενος καὶ ἀποτυγχάνων, ἀνέμενε τὸ πεζὸν ἐκ τῆς ἀσίας οἱ περαιωθῆναι· καὶ ἐν
τούτῳ βραχεῖαι καὶ συνεχεῖς ἐγίνοντο ἀψιμαχίαι τῶν ἐφεδρευόντων τοῖς τείχεσιν· ἐν οἷς
οἱ ῥόδιοι πλέον ἔχοντες, ἀνεθάρσουν κατ᾽ ὀλίγον· καὶ τὰς ναῦς διὰ χειρὸς εἶχον,
ὡς εἰ ἐπὶ καιρὸν ἴδοιεν, ἐπιθησόμενοι τοῖς πολεμίοις· ὁλκάδος δὲ βασιλι-
κῆς ἱστίῳ παραπλεούσης, ῥοδιακὴ δίκροτος ἐπ᾽ αὐτὴν ἀνήχθη· καὶ ταῖς δὲ
κατὰ σπουδὴν ἑκατέρων ἐπιβοηθούντων, ναυμαχία γίγνεται καρτερά· μιθρι-
δάτου μὲν ἐπιβαρύνοντος ὀργῇ καὶ πλήθει νεῶν· ῥοδίων δ᾽ αὖ τοὺς σκάφ-
σὺν ἐμπειρίᾳ περὶ πλοῦν τε καὶ ἀνατιτρώντων, ὥστε καὶ τριήρη αὐτοῖς
ἀνδράσιν ἀναδησάμενοι, καὶ ἀκροστόλια πολλὰ καὶ σκῦλα ἐς τὸν λιμένα φέρον

ἐπανήχθησαν. πεντήρους δὲ σφῶν εἰλημμένης ὑπὸ τῶν πολεμίων, ἀγνοοῦντες οἱ Ῥόδιοι ἐπὶ ζήτησιν αὐτῆς, ἓξ ταῖς μάλιστα ταχυναυτούσαις ἀνέπλεον. ὁ Δαμαγόρας δ' αὐταῖς ὁ ναύαρχος ἐπέπλει. πέντε δ' αὐτῷ καὶ εἴκοσιν ἐπιπέμψαντος τοῦ Μιθριδάτου, μέχρι μὲν ἐς δύσιν ὁ Δαμαγόρας ὑπεχώρει. συσκοτάζοντος δ' ἤδη, ταῖς βασιλικαῖς ἐς ἀπόπλουν ἐπιστρεφομέναις ἐμβαλών, δύο κατεπόντωσε· δύο δ' ἄλλας ἐς Λυκίαν συνεδίωξε· καὶ νύκτα πελαγίσας ἐπανῆλθε. τοῦτο Ῥοδίοις καὶ Μιθριδάτῃ τέλος ἦν τῆς ναυμαχίας· παράδοξον Ῥοδίοις τε διὰ τὴν ὀλιγότητα καὶ Μιθριδάτῃ διὰ τὸ πλῆθος γενόμενον. ἐν δὲ τῷ ἔργῳ περιπλέοντι τῷ βασιλεῖ ἐν τοῖς οἰκείοις ἐπισπέρχοντι, Χία συμμαχὶς ἐμβαλοῦσα ἐκ θορύβου κατέσεισε· καὶ ὁ βασιλεὺς οὐδὲν ὑποκρινάμενος, τὸν κυβερνήτην ὕστερον ἐκόλασε καὶ τὸν πρωρέα, καὶ Χίοις ἐμήνισε πᾶσι. τῶν δ' αὐτῶν ἡμερῶν τοῦ πεζοῦ τῷ Μιθριδάτῃ περαπλέοντος ἐπὶ ὁλκάδων καὶ τριηρῶν, πνεῦμα Καυνικὸν ἐμπεσὸν ἐς αὐτάς, ἐς Ῥόδον παρήνεγκε. καὶ οἱ Ῥόδιοι τάχιστα ἐπαναχθέντες, ἐνοχλουμένας ὑπὸ τοῦ κλύδωνος ἔτι καὶ διεσπαρμένας ἐμβαλόντες, ἀνεδήσαντό τινας, καὶ διέτρησαν ἑτέρας, ἃς δ' ἐνέπρησαν ἄλλας· καὶ ἄνδρας αἰχμαλώτους εἷλον ἐς τετρακοσίους. ἐφ' οἷς ὁ Μιθριδάτης ἑτέραν ναυμαχίαν ὁμοῦ καὶ πολιορκίαν ἡτοίμαζε. σαμβύκην δέ τινα μηχάνημα μέγιστον ἐπὶ δυοῖν νεῶν φερόμενον ἐποίει. αὐτομόλων δ' αὐτῷ λόφον ὑποδειξάντων εὐεπίβατον, ἵνα Ταβύριον Διὸς ἱερὸν ἦν, ᾗ κολοβὸν τειχίον ἐπ' αὐτοῦ, τὴν στρατιὰν ἐς τὰς ναῦς νυκτὸς ἐπέβησε· καὶ ἑτέροις δᾷδας ἀναδοὺς καὶ κλίμακας, ἐκέλευσε χωρεῖν ἑκατέρους μετὰ σιωπῆς, μέχρι τινὰ αὐτοῖς πυρσὸν ἴδωσιν ἐκ τοῦ Ταβυρίου· καὶ τότε ἐλθεῖν ὡς μετὰ βοῆς ὅτι μάλιστα μεγάλης, τοὺς μὲν τοῖς λιμέσιν ἐμπίπτειν, τοὺς δὲ τὰ τείχη βιάζεσθαι. οἱ μὲν δὴ μετὰ σιγῆς βαθείας προσεπέλαζον· Ῥοδίων δ' οἱ προφύλακες αἰσθόμενοι τῶν γινομένων, ἐπύρσευσαν. ἡ στρατιὰ τοῦ Μιθριδάτου νομίσασα τοῦτο εἶναι τὸν ἐκ Ταβυρίου πυρσόν, ἐκ βαθείας σιωπῆς ἠλάλαξαν ὁμοῦ πάντες. οἵ τε κλιμακοφόροι καὶ ὁ στόλος ὁ ναυτικός. Ῥοδίων δ' αὐτοῖς ἀκαταπλήκτως ἀντανακραγόντων καὶ ἀθρόως ἀναδραμόντων ἐς τὰ τείχη, οἱ βασιλικοὶ νυκτὸς μὲν οὐδὲν ἐπεχείρουν· ἡμέρας δ' ἀπεκρούσθησαν. ἡ σαμβύκη δ' ἐπελθοῦσα τοῦ τείχους, ᾗ τὸ τῆς Ἴσιδος ἱερὸν ἦν, ἐφόβει μάλιστα, βέλη τε πολλὰ ὁμοῦ καὶ κριοὺς καὶ ἀκόντια ἀφιεῖσα· στρατιῶταί τε σκάφεσι πολλοῖς μετὰ κλιμάκων περιέθεον, ὡς ἀναβη-

σόμενοι δι' αὐτῆς ἐπὶ τὰ τείχη. οἱ δὲ Ῥόδιοι καὶ τάδε δεξάμενοι εὐσταθῶς ὑπέμενον, ἕως ἥ τε μηχανὴ ὑπὸ βάρους ἐνεδίδου, καὶ φάσμα τῆς Ἴσιδος ἔδοξε πῦρ ἀφιέναι πολὺ κατ' αὐτῆς. ὁ Μιθριδάτης ἀπογνοὺς καὶ τῆσδε τῆς πείρας, ἀνεζεύγνυεν ἐκ τῆς Ῥόδου. Πάταρα δὲ τῇ στρατιᾷ περιϊστάς, ἔκοπτε Λητοῦς ἄλσος ἱερὸν ἐς μηχανάς· μέχρι φοβηθέντος αὐτὸν ἐνυπνίου, τῆς τε ὕλης ἐφείσατο, καὶ Πελοπίδαν Λυκίοις πολεμεῖν ἐπιστήσας, Ἀρχέλαον ἐς τὴν Ἑλλάδα ἔπεμψε, προσεταιριούμενον ἢ βιασόμενον αὐτὴν ὅπως δύναιτο. αὐτὸς δ' ἀπὸ τοῦδε τοῖς στρατηγοῖς τὰ πολλὰ μεθείς, ἐστρατολόγει καὶ ὅπλα ἐποίει· καὶ τῇ Στρατονικίδι γυναικὶ διεγάμει. δίκας ἐδίκαζε τοῖς ἐπιβουλεύειν ἢ τὸ σῶμα αὐτοῦ λεγομένοις ἢ νεωτερίζουσιν, ἢ ὅλως ῥωμαΐζουσι. ὁ μὲν ἐπὶ τοῖσδε ἦν. κατὰ δὲ τὴν Ἑλλάδα τοιάδε ἐγίγνετο. Ἀρχέλαος ἐπιπλεύσας ὁ στόλῳ πολλῷ, Δῆλόν τε ἀφισταμένην Ἀθηναίων καὶ ἄλλα χωρία, ἐχειρώσατο βίᾳ καὶ κράτει. κτείνας δ' ἐν αὐτοῖς δισμυρίους ἄνδρας, ὧν οἱ πλέονες ἦσαν Ἰταλοί, τὰ χωρία προσεποιεῖτο τοῖς Ἀθηναίοις. καὶ ἀπὸ τοῦδε αὐτούς, καὶ τὰ ἄλλα κομπάζων περὶ τοῦ Μιθριδάτου καὶ ἐς μέγα ἐπαίρων, ἐς φιλίαν ὑπηγάγετο. τά τε χρήματα αὐτοῖς τὰ ἱερὰ ἔπεμπε τὰ ἐκ Δήλου, δι' Ἀριστίωνος ἀνδρὸς Ἀθηναίου, συμπέμψας φυλακὴν τῶν χρημάτων ἐς δισχιλίους ἄνδρας· οἷς ὁ Ἀριστίων συγχρώμενος, ἐτυράννησε τῆς πατρίδος. καὶ τῶν Ἀθηναίων, τοὺς μὲν εὐθὺς ἔκτεινεν ὡς ῥωμαΐζοντας, τοὺς δ' ἀνέπεμπεν ἐς Μιθριδάτην. καὶ ταῦτα μέντοι σοφίαν τὴν Ἐπικούρειον ἠσκηκώς. ἀλλὰ γὰρ οὐχ ὅδε μόνος Ἀθήνησιν, οὐδὲ Κριτίας ἔτι πρὸ τούτου καὶ ὅσοι τῷ Κριτίᾳ συμφιλοσοφοῦντες ἐτυράννησαν· ἀλλὰ καὶ ἀν' Ἰταλίαν τῶν Πυθαγορισάντων, καὶ ἀνὰ τὴν ἄλλην Ἑλλάδα τῶν ἑπτὰ σοφῶν λεγομένων, ὅσοι πράγματα ἔλαβον, ἐδυνάστευσάν τε καὶ ἐτυράννησαν ὠμότερον τῶν ἰδιωτικῶν τυράννων· ὥστε καὶ περὶ τῶν ἄλλων φιλοσόφων, ἄπορον ποιῆσαι καὶ ὕποπτον, εἴτε δι' ἀρετήν, εἴτε πενίας καὶ ἀπραξίας τὴν σοφίαν ἔθεντο παραμύθιον. ὧν γε νῦν πολλοὶ ἰδιωτεύοντες καὶ πενόμενοι, καὶ τὴν ἀνάγκην ἐκ τῶν δὲ σοφίαν περικείμενοι, τοῖς πλουτοῦσιν ἢ ἄρχουσι λοιδοροῦνται πικρῶς· οὐχ ὑπεροψίαν πλούτου καὶ ἀρχῆς δόξαν σφίσι μᾶλλον ἢ ζηλοτυπίαν ἐς αὐτὰ προφέροντες. ὑπερορῶσι δὲ τοὺς οἱ βλασφημούμενοι πολὺ σοφώτερον. ταῦτα μὲν οὖν ἡγείσθω τις ἐς Ἀριστίωνα τὸν φιλόσοφον εἰρημένα, αἴτιον τῆς ἐμβολῆς τῷδε γενομένου.

Ἀρχελάῳ δ' Ἀχαιοὶ καὶ Λάκωνες προσετίθεντο· καὶ Βοιωτία πᾶσα χωρὶς Θεσπιέων, οὓς περικαθήμενος ἐπολιόρκει. τοῦ δ' αὐτοῦ χρόνου Μητροφάνης ὑπὸ Μιθριδάτου μεθ' ἑτέρας στρατιᾶς, Εὔβοιαν καὶ Δημητριάδα καὶ Μαγνησίαν οὐκ ἐνδεχομένας τὰ Μιθριδάτου, ἐπήλαυνε· καὶ Βρέττιος ἐκ Μακεδονίας ἐπελθὼν σὺν ὀλίγῳ στρατῷ, διεναυμάχησέ τε αὐτῷ, καὶ καταποντώσας πλοῖον καὶ ἡμιολίαν, ἔκτεινε πάντας τοὺς ἐν αὐτοῖς, ὁρῶντος τοῦ Μητροφάνους. ὁ δέ, καταπλαγείς, ἔφευγε· καὶ αὐτὸν ἀνέμῳ φερόμενον ὁ Βρέττιος οὐ καταλαβών, Σκίαθον ἐξεῖλεν, ἣ τῆς λείας τοῖς βαρβάροις ταμιεῖον ἦν· καὶ δούλους τινὰς αὐτῶν ἐκρέμασε· καὶ ἐλευθέρων ἀπέτεμε τὰς χεῖρας. ἐπί τε Βοιωτίαν τραπείς, ἑτέρων οἱ χιλίων ἱππέων καὶ πεζῶν ἐκ Μακεδονίας ἐπελθόντων, ἀμφὶ Χαιρώνειαν Ἀριστίωνι καὶ Ἀρχελάῳ τρισὶν ἡμέραις συνεπλέκετο· ἴσου καὶ ἀγχωμάλου παρ' ὅλον τὸν ἀγῶνα τοῦ ἔργου γιγνομένου. Λακώνων δὲ καὶ Ἀχαιῶν ἐς συμμαχίαν Ἀρχελάῳ καὶ Ἀριστίωνι προσιόντων, ὁ Βρέττιος ἅπασιν ὁμοῦ γενομένοις οὐχ ἡγούμενος ἀξιόμαχος ἔσεσθαι, ἀνεζεύγνυεν ἐς τὸν Πειραιᾶ, μέχρι καὶ τοῦδε Ἀρχέλαος ἐπιπλεύσας κατέσχε. Σύλλας δὲ τοῦ Μιθριδατείου πολέμου στρατηγὸς ὑπὸ Ῥωμαίων αἱρεθεὶς εἶναι, τότε πρῶτον ἐξ Ἰταλίας σὺν τέλεσι πέντε καὶ σπείραις τισὶ καὶ ἴλαις ἐς τὴν Ἑλλάδα περαιωθείς, χρήματα μὲν αὐτίκα καὶ συμμάχους καὶ ἀγορὰς ἔκ τε Αἰτωλίας καὶ Θεσσαλίας συνέλεγεν. ὡς δὲ ἱκανῶς ἔχειν ἐδόκει, διέβαινεν ἐς τὴν Ἀττικὴν ἐπὶ τὸν Ἀρχέλαον. προσιόντι δὲ αὐτῷ, Βοιωτία τε ἀθρόως μετετίθετο χωρὶς ὀλίγων, καὶ τὸ μέγα ἄστυ αἱ Θῆβαι μάλα κούφως ἀντὶ Ῥωμαίων ἑλόμενοι τὰ Μιθριδάτου, ὀξύτερον ἔτι πρὶν ἐς πεῖραν ἥκειν, ἀπ' Ἀρχελάου πρὸς Σύλλαν μετετίθεντο. ὁ δὲ ἐς τὴν Ἀττικὴν ἐχώρει, καὶ μέρος τι στρατοῦ ἐς τὸ ἄστυ περιπέμψας Ἀριστίωνα πολιορκεῖν, αὐτὸς ἔνθαπερ ἦν Ἀρχέλαος ἐπὶ τὸν Πειραιᾶ κατῆλθε, κατακεκλεισμένων ἐς τὰ τείχη τῶν πολεμίων. ὕψος δ' ἦν τὰ τείχη πηχῶν τεσσαράκοντα μάλιστα, καὶ εἴργαστο ἐκ λίθων μεγάλων τε καὶ τετραγώνων· Περικλέους ἔργον, ὅτε τοῖς Ἀθηναίοις ἐπὶ Πελοποννησίων στρατηγῶν, καὶ τὴν ἐλπίδα τῆς νίκης τῷ Πειραιεῖ τιθέμενος, μάλιστα αὐτὸν ἐκρατύνατο. Σύλλας δὲ καὶ τοῖσδε εὐθὺς τοῖς τείχεσιν, ὅμως ἐπῆγε τὰς κλίμακας· καὶ πολλὰ μὲν ἔδρα, πολλὰ δ' ἔπασχεν, ἰσχυρῶς τῶν Καππαδοκῶν αὐτὸν ἀμυνομένων, ἔστε κάμνων, ἐς Ἐλευσῖνα καὶ Μέγαρα ἀνεχώρει· καὶ μηχανὰς ἐπὶ τὸν Πειραιᾶ συνεπήγνυτο, καὶ χῶμα αὐτῷ προσχοῦν

ἐπενόει. τέχναι μὲν δὴ καὶ παρασκευὴ πᾶσα αὐτῷ, καὶ σίδηρος καὶ καταπέλται, καὶ εἴ τι τοιουτότροπον ἄλλο, ἐκ Θηβῶν ἐκομίζετο· ὕλην δὲ τὴν Ἀκαδημίαν ἔκοπτε, καὶ μηχανὰς εἰργάζετο μεγίστας· τά τε μακρὰ σκέλη καθῄρει, λίθους καὶ ξύλα καὶ γῆν ἐς τὸ χῶμα μεταβάλλων. δύο δ' ἐκ τοῦ Πειραιῶς Ἀττικοὶ θεράποντες, αἱρούμενοι τὰ Ῥωμαίων, ὡς φασίν, αὐτοῖς καταφυγὴν εἴ τι γίγνοιτο προορώμενοι, περιέγραφον ἐς μολίβδους πεποιημένους, ἐγγράφοντες ἀεὶ τὸ γιγνόμενον, ἐς τοὺς Ῥωμαίους ἠφίεσαν ἀπὸ σφενδόνης. καὶ τοῦδε γιγνομένου τε συνεχῶς καὶ ἐς Σύλλαν ἐλθόντος, Σύλλας τοῖς ἐσφενδονημένοις προσέχων, ἀνέγνω γεγραμμένον ὅτι τῆς ἐπιούσης ἐκ μετώπου πεζοὶ κατὰ τοὺς ἐργαζομένους ἐκδραμοῦνται· οἱ δ' ἱππῆς ἑκατέρωθεν ἐς τὰ πλάγια Ῥωμαίων ἐμβαλοῦσι. κρύψας οὖν τινα στρατιὰν ἀποχῶσαν, ὡς ἐγένετο τῶν πολεμίων ἡ ἐκδρομή, δόξασα δὴ μάλιστα αἰφνίδιος εἶναι, ὁ δὲ αἰφνιδιώτερον αὐτοῖς τοὺς κεκρυμμένους ἐπαφείς, ἔκτεινε πολλούς, καὶ ἐς τὴν θάλασσαν ἑτέρους περιέωσε. καὶ τοῦτο μὲν τῆς πείρας ἐκείνης τέλος ἦν. αἰρομένοις δὲ ἐπὶ μέγα ἀνὰ τοῖς χώμασι, πύργους ὁ Ἀρχέλαος ἀντεμηχανᾶτο, καὶ πλεῖστα ἐπ' αὐτοῖς ὄργανα ἐπετίθει. τάς τε δυνάμεις ἐκ Χαλκηδόνος καὶ τῶν ἄλλων νήσων μετεπέμπετο· καὶ τοῖς ἐρέταις καθώπλιζεν, ὡς ὄντος οἱ τοῦ κινδύνου περὶ τῶν ὅλων. ἐγίγνετο μὲν δὴ πλείων οὖσα τῆς Σύλλα στρατιᾶς ἡ Ἀρχελάου· καὶ ἐκ τῶνδε πολὺ πλείων· νυκτὸς δὲ μέσης, ὁ μὲν Ἀρχέλαος ἐκθορὼν μετὰ λαμπτήρων, ἐνέπρησε τὴν ἑτέραν τῶν χελωνῶν, καὶ τὰ ἐπ' αὐτῇ μηχανήματα· ἡμέραις δὲ δέκα μάλιστα ἄλλας ἐργασάμενος, ἐπέστησεν αὖθις ἔνθα καὶ τὰ πρότερα ἦν· καὶ τούτοις ὁ Ἀρχέλαος πύργον ἀντέθηκε κατὰ τὸ τεῖχος. καταπλευσάσης δ' αὐτῷ παρὰ Μιθριδάτου στρατιᾶς ἑτέρας, ἧς ἡγεῖτο Δρομιχαίτης, ἐξήγαγεν ἅπαντας ἐς μάχην· ἀναμίξας δὲ τοῖς σφενδονήταις καὶ τοξότας, ὑπὸ τὸ τεῖχος αὐτῷ παρέταττεν· ἵνα οἱ τειχοφύλακες ἐφικνοῖντο τῶν πολεμίων· ἕτεροι δ' ὑπὸ ταῖς πύλαις αὐτῷ πυρφόροι καιρὸν ἐκδρομῆς ἐπετήρουν. ἀγχωμάλου δὲ ἐς πολὺ τῆς μάχης οὔσης, ἐνέκλινον ἑκάτεροι παρὰ μέρος· πρῶτον μὲν οἱ βάρβαροι, μέχρις Ἀρχέλαος αὐτοὺς ἐπισχὼν ἐπανήγαγεν ἐς τὴν μάχην· ὧν δὴ καὶ μάλιστα καταπλαγέντες οἱ Ῥωμαῖοι, μετ' αὐτοὺς ἔφυγον· ἔστε καὶ τούσδε Μουρήνας ὑπαντιάσας ἐπέστρεφεν· ἄλλο δ' ἀπὸ ξυλῆς τέλος ἐπανιόν, καὶ σὺν αὐτοῖς οἱ ἄτιμοι σπουδῇ τὸν ἀγῶνα δρῶντες, ἐπέπεσον τοῖς Μιθριδατείοις μάλα καρτερῶς· μέχρι κτεῖναι μὲν αὐτῶν ἐς δισχιλίους, τοὺς δὲ λοιποὺς ἐς τὰ τείχη συνελάσαι. ὁ δ' Ἀρχέλαος δ' αὐτοῖς ἐπιστρέφων αὖθις, καὶ τῷ ἀγῶνι διὰ τὴν

προθυμίαν τε πολλὴν παρασχών. καὶ ἀποκλεισθεὶς ἀνιμήθη διὰ καλωδίων. ὁ δὲ
Σύλλας, τοὺς μὲν ἀτίμους περιφανῶς ἀγωνισαμένους, ἀπέλυσε τῆς ἀτιμίας· τοὺς
δ' ἄλλους ἐδωρήσατο πολλοῖς. καὶ χειμῶνος ἐπιόντος ἤδη, στρατόπεδον ἐν Ἐλευσῖνι
θέμενος, τάφρον ἄνωθεν ἐπὶ θάλατταν ἔτεμνε βαθεῖαν· τοῦ μὴ τοὺς πολεμίους
ἱππέας ἀμόχθως ἐπιτρέχειν. καὶ ταῦτα δὲ αὐτῷ πονουμένῳ, καθ' ἑκάστην ἡμέ-
ραν ἐγίγνοντο πόνοι ἀγῶνες, οἱ μέν, ἀμφὶ τῇ τάφρῳ, οἱ δέ, παρὰ τοῖς τείχεσιν·
ἐπεξιόντων θαμινὰ τῶν πολεμίων, καὶ λίθοις καὶ βέλεσι, καὶ μολιβδίναις χρω-
μένων. ὁ δὲ Σύλλας νεῶν δεόμενος, μετεπέμπετο μὲν ἐκ Ῥόδου· καὶ Ῥοδίων οὐ δυνη-
θέντων διαπλεῦσαι θαλασσοκρατοῦντος τοῦ Μιθριδάτου, Λούκουλλον ἄνδρα
Ῥωμαῖον περιφανῆ, καὶ τοῦ δὲ τοῦ πολέμου στρατηγὸν ἐπὶ Σύλλᾳ γενόμενον,
ἐκέλευεν ἐς Ἀλεξάνδρειαν καὶ Συρίαν λαθόντα διαπλεῦσαι, παρά τε τῶν βασι-
λέων καὶ πόλεων ὅσαι ναυτικαὶ στόλον τινὰ ἀγείραντα, τὸ Ῥοδίων ναυτικὸν παρα-
πέμψαι. ὁ μὲν δὴ πολεμίας οὔσης τῆς θαλάσσης οὐδὲν ἐνδοιάσας, ἐς κελή-
τιον ἀνέβη· καὶ ναῦν ἐκ νεὼς ἵνα λάθοι διαμείβων, ἐς Ἀλεξάνδρειαν ἐφέρετο. οἱ δὲ
προδιδόντες ἀπὸ τῶν τειχῶν πεσσοῖς πάλιν ἐπιγράψαντες ὅτι πέμψει τῆς δὲ
νυκτὸς Ἀρχέλαος ἐς τὸ τῶν Ἀθηναίων ἄστυ λιμῷ πιεζομένων πυροὺς ὑπὸ
στρατιωτῶν φερομένους, ἐσφενδόνησαν· καὶ ὁ Σύλλας ἐνεδρεύσας, ἐκράτησε
τοῦ τε σίτου καὶ τῶν φερόντων. τῆς δ' αὐτῆς ἡμέρας αὐτῷ καὶ Μουνάτιος περὶ Χαλκίδα
Νεοπτόλεμον ἕτερον στρατηγὸν κατατρώσας, ἔκτεινε μὲν ἐς χιλίους καὶ πεντακο-
σίους· ἔλαβε δὲ αἰχμαλώτους ἔτι πλείονας. οὐ πολὺ δὲ ὕστερον ἐν τῷ Πειραιεῖ
νυκτὸς ἔτι κοιμωμένων τῶν τειχοφυλάκων, Ῥωμαῖοι διὰ τῶν ἐγγὺς μηχανῶν
κλίμακας ἐπενεγκόντες ἐπὶ τὸ τεῖχος ἐπέβησαν· καὶ τοὺς φύλακας τοὺς
ἐγγὺς ἔκτειναν. φυγῆς δὲ τῶν βαρβάρων, οἱ μὲν δείσαντες ἀπεπήδων ἐς τὸν Πειραιᾶ
τὸ τεῖχος καταλιπόντες ὡς ἡλωκὸς ἅπαν. οἱ δ' ἐς ἀλκὴν τραπέντες,
ἔκτειναν τε τὸν ἡγεμόνα τῶν ἐπιβάντων· καὶ τοὺς λοιποὺς ἔξω κατεκρήμνισαν.
οἱ δὲ καὶ διὰ τῶν πυλῶν ἐκδραμόντες, ὀλίγου τὸν ἕτερον τῶν Ῥωμαίων πύργον ἐνέ-
πρησαν, εἰ μὴ Σύλλας ἐπιδραμὼν ἀπὸ τοῦ στρατοπέδου νυκτός τε ὅλης καὶ δι' ἡ-
μέρας ἐπιπόνῳ ἀγῶνι χρώμενος περιέσωσε. καὶ τότε μὲν ἐπεχώρουν οἱ βάρβαροι.
τοῦ δ' Ἀρχελάου πύργον ἕτερον μέγαν ἐπὶ τὸ τεῖχος ἀντικρὺς τοῦ Ῥωμαϊκοῦ πύρ-
γου στήσαντος, ἐπυργομάχουν πρὸς ἀλλήλους· ἐκ δ' ἀμφοῖν πυκνὰ καὶ θαμινὰ
πάντα ἀφιέντων, ὡς ὁ Σύλλας ἐκ καταπελτῶν ἀνὰ εἴκοσιν ὁμοῦ μολιβδαίνας βαρυ-
τάτας ἀφιείς, ἔκτεινε πολλούς· καὶ τὸν πύργον Ἀρχελάου κατέσεισε. [illegible]

μώτερον ἐποίησεν, ὡς ἀλθεῖν αὐτὸν ὑπὸ Ἀρχελάου διὰ δέος ὀπίσω κατὰ τάχος
ἀπαχθῆναι. πιεζομένων δ' ἔτι μᾶλλον ὑπὸ λιμοῦ τῶν ἐν ἄστει, πέμπουσι πάλιν
ἐμήνυον· ὅτι πέμψει νυκτὸς ἐς τὸ ἄστυ τροφάς· καὶ ὁ Ἀρχέλαος ὑπονοῶν τι
περὶ τὸν σῖτον γίνεσθαι μήνυμα καὶ προδοσίαν, ἅμα τὸν σῖτον ἔπεμπε·
καί τινας ἐφίστη ταῖς πύλαις μετὰ πυρὸς ἐς τοὺς Ῥωμαίους ἐκδραμουμένους,
εἰ Σύλλας γνοίη περὶ τὸν σῖτον. καὶ συνέπεσεν ἄμφω· Σύλλα μὲν ἑλεῖν τοὺς σι-
ταγωγοῦντας· Ἀρχελάῳ δὲ ἐμπρῆσαί τι τῶν μηχανημάτων. τοῦ δ' αὐτοῦ χρόνου
καὶ Ἀρκαθίας ὁ Μιθριδάτου υἱὸς μεθ' ἑτέρας στρατιᾶς ἐς Μακεδονίαν ἐμβαλών, οὐ
δυσχερῶς ὀλίγων τῶν ὄντων ἐκεῖ Ῥωμαίων ἐκράτησε· καὶ Μακεδονίαν πᾶσαν
ὑπηγάγετο. καὶ στρατεύσας ἐπὶ τρίτας, αὐτὸς ἐπὶ τὸν Σύλλαν ἐχώρει· μέχρι
νοσήσας περὶ τὸ Τισαῖον, ἐτελεύτησεν. ἐν δὲ τῇ Ἀττικῇ, τῶν μὲν ἄστει πονου-
μένων σφόδρα ὑπὸ λιμοῦ, πολλὰ ὁ Σύλλας ἐπετείχιζε φρούρια τοῦ μηδ' ἀπο-
διδράσκειν· ἀλλ' ἐμμένοντας ὑπὸ τοῦ πλήθους μᾶλλον ἐνοχλεῖσθαι. τῷ δὲ Πειραιεῖ
τὸ χῶμα ἐς ὕψος ἐγείρας, τὰ μηχανήματα ἐπῆγεν· Ἀρχελάου δὲ τὸ χῶμα ὑπο-
ρύττοντος, καὶ τὴν γῆν ὑποφέροντός τε καὶ ἐς πολὺ διαλανθάνοντος, τὸ χῶμα ὑφί-
ζανεν ἄφνω. καὶ ταχὺ αἰσθήσεως γενομένης, οἱ Ῥωμαῖοι τὰ μηχανήματα
ὑφεῖλκον· καὶ τὸ χῶμα ἀνεπλήρουν. τῷ δ' αὐτῷ τρόπῳ καὶ αὐτοὶ τὴν γῆν τεκμαιρόμενοι
ταχὺ τεκμαιρόμενοι διώρυττον· ἀλλήλοις τε συμπίπτοντες κάτω, ξίφεσι
καὶ δόρασιν ἐκ χειρὸς ὡς δυνατὸν ἦν ἐν σκότῳ διεμάχοντο. ὁμοῦ δὲ ταῦτα
ἐγίγνετο, καὶ ὁ Σύλλας ἀπὸ τῶν χωμάτων μηχανήμασι πολλοῖς τὸ τεῖχος ἐκριο-
κόπει· μέχρι μέρος αὐτοῦ καταβαλὼν καὶ τὸν πλησιάζοντα πύργον ἐπειγό-
μενος ἐμπρῆσαι, πολλὰ μὲν ἠφίει πυρφόρα τοξεύματα ἐς αὐτόν· τοὺς δὲ
εὐτολμοτάτους, ἔπεμπεν ἐπὶ κλιμάκων. σπουδῆς δὲ πολλῆς γιγνομένης
ἑκατέρωθεν, ὅ,τε πύργος ἐπιμπράτο. καὶ μέρος τι τοῦ τείχους ὀλίγον ὁ Σύλλας
καταβαλὼν, εὐθὺς ἐπέστησε φυλακήν. τά τε ὑπορωρυγμένα τοῦ τείχους
θεμέλια ξύλοις ἀνακρεμάμενα, θείου καὶ στυππείου καὶ πίσσης γέμοντα, αὐτὴν
πάντα ἐνεπίμπρη. τῶν δ' ἄλλο παρ' ἄλλο κατέπιπτε· καὶ τοὺς ἐφεστῶτας
αὐτοῖς συγκατέφερεν· ὅ τε θόρυβος οὗτος δὴ μάλιστα αἰφνίδιος καὶ πολὺς
ὤν, πάντῃ τοὺς τειχοφύλακας ἐτάραττεν, ὡς καὶ τὸ ὑπὸ σφίσιν αὐτίκα
πεσούμενον· ὅθεν ἐς πάντα σὺν δέει ἐπιστρεφόμενοι, τήν τε γνώμην ὑπό-
πτον εἶχον ὑπὸ τοῦ δέους, καὶ ἀσθενῶς τοῖς πολεμίοις ἀπεμάχοντο. καὶ
ὁ Σύλλας αὐτοῖς ὧδε ἔχουσιν ἐπικείμενος ἀπαύστως, καὶ τῶν ἰδίων τὸ

αἰεὶ πονουμένων ἀλλ' ἀντ' αὐτῶν ἑτέρους ἐφ' ἑτέροις ἐπῆγε, σὺν κλίμα-
ξι βοῇ καὶ παρακλήσει, προτρέπων ἅμα καὶ ἀπειλῶν καὶ παρακαλῶν,
ὡς ἐν τῷδε τῷ βραχεῖ, τοῦ παντὸς αὐτοῖς κριθησομένου. ἀντεπῆγε δὲ καὶ
ὁ Ἀρχέλαος ἑτέρους ἀντὶ τῶν τεθορυβημένων ἀνακαινίζων καὶ ὁ δὲ τὸ
ἔργον αἰεὶ παρακαλῶν ἅμα καὶ ἐποτρύνων ἅπαντας, ὡς ἐν ὀλίγῳ σφίσιν
ἔτι τῆς σωτηρίας οὔσης· πολλῆς δὲ σπουδῆς καὶ προθυμίας ἑκατέρωθεν αὖθις
ἅπασιν ἐγγενομένης, φερεπονώτατος ἦν, καὶ ὁ φόνος ἴσος καὶ ὅμοιος ἑκα-
τέρων· ἕως ὁ Σύλλας ἐξωσθεὶς ἐπιὼν καὶ μᾶλλον ἤδη κάμνων, ἀνεκάλει τὴν
στρατιὰν καὶ θαυμάσας, πολλοὺς ἐπῄνει. ὁ δ' Ἀρχέλαος αὐτίκα νυκτὸς τὸ
πεπτωκὸς τοῦ τείχους ᾠκοδόμει μηνοειδῆ αὐτοῖς πολλὰ προθεὶς ἔν-
δοθεν· οἷς ἐπιγινομένοις ὁ Σύλλας αὖθις ἐπεχείρει παντὶ τῷ στρατῷ, νομί-
ζων ἀσθενῆ καὶ ὑγρὰ ἐπιόντι, ῥᾳδίως κατεργάσασθαι· κάμνων δὲ ὡς ἐν στενῷ καὶ βαλλό-
μενος ἄνωθεν ἔκ τε μετώπου καὶ τῶν κεραιῶν, ὡς ἐν μηνοειδέσι χωρίοις,
τοῦ μὲν ἐπιχειρεῖν ἔτι τῷ Πειραιεῖ, φανερῶς ἀπέσχετο, γνώμην δὲ πολιορκίαν
ὡς λιμῷ παραστησόμενος αὐτοὺς καθίστατο. αἰσθόμενος δὲ τοὺς ἐν ἄστει μᾶλλον
πεπιεσμένους, καὶ κτήνη πάντα καταθύσαντας, δέρματά τε καὶ βύρσας ἕψοντας,
καὶ λιχμωμένους τὸ γιγνόμενον ἐξ αὐτῶν, τινὰς δὲ καὶ τῶν ἀποθνησκόντων
ἁπτομένους, ἐκέλευσε τῷ στρατῷ τὴν πόλιν περιταφρεύειν, ἵνα μηδὲ καθ' ἕνα
τις ἐκφεύγοι λανθάνων. ὡς δὲ καὶ τοῦτο ἐξείργαστο αὐτῷ, κλίμακας ἐπῆγεν
ὁμοῦ καὶ τὸ τεῖχος διώρυττε· τροπῆς δ' ὡς ἂν ἀσθενέσιν ἀνδράσιν αὐτίκα γενο-
μένης, ἐσέπεσεν ἐς τὴν πόλιν· καὶ εὐθὺς ἐν Ἀθήναις σφαγὴ πολλὴ ἦν καὶ ἀνηλεής·
οὔτε γὰρ ὑποφεύγειν ἐδύναντο δι' ἀτροφίαν, οὔτε παίδων ἢ γυναικῶν φειδὼ
ἦν, τοῦ Σύλλα τὸν ἐν ποσὶν ἀναιρεῖν κελεύοντος ὑπὸ ὀργῆς· ὡς ἐπὶ ταχείᾳ δὴ
καὶ ἐς βαρβάρους ἀλόγῳ μεταβολῇ καὶ πρὸς αὐτὸν ἀκράτῳ φιλονεικίᾳ. ὅθεν
οἱ πλέονες αἰσθόμενοι τοῦ κηρύγματος, ἑαυτοὺς τοῖς σφαγεῦσιν ὑπέρρι-
πτουν ἐς τὸ ἔργον. ὀλίγων δὴ ἦν ἀσθενὴς ἐς τὴν ἀκρόπολιν δρόμος· καὶ Ἀριστί-
ων αὐτοῖς συνέφυγεν, ἐμπρήσας τὸ ᾠδεῖον, ἵνα μὴ ἑτοίμοις ξύλοις αὐτίκα ὁ Σύλλας
ἔχοι τὴν ἀκρόπολιν ἐνοχλεῖν. ὁ δὲ ἐμπιπράναι μὲν τὴν πόλιν ἀπεῖπε, διαρπάσαι
δὲ ἔδωκε τῷ στρατῷ· καὶ ἕτοιμοι παρεσκευασμένων ἐν τροφῇ ἐν πολλοῖς οἰκήμασιν
εὑρέθησαν. τῇ δὲ ἑξῆς ὁ Σύλλας, τοὺς μὲν δούλους ἀπέδοτο· τοῖς δ' ἐλευθέροις, ὅσοι
νυκτὸς ἐπιλαβούσης, ἐξέφθασαν ἀναιρεθῆναι, πάμπαν ὀλίγοις οὖσι, τὴν μὲν
ἐλευθερίαν ἔφη διδόναι, ψῆφον δὲ καὶ χειροτονίαν τῶν μὲν ὡς οἱ πολεμή-

κότων ἀφαιρεῖσθαι· τοῖς δ' ἐκγόνοις καὶ ταῦτα διδόναι. ὧδε μὲν ἄδην ἔσχον
Ἀθῆναι κακῶν. ὁ δὲ Σύλλας, τὴν μὲν ἀκρόπολιν φρουρεῖν ἐπέστησεν. ἣ τὸν Ἀριστί-
ωνα καὶ τοὺς συμπεφευγότας λιμῷ καὶ δίψῃ πιεσθέντας, ἐξεῖλεν οὐ μετὰ πολύ. καὶ αὐτῶν
ὁ Σύλλας Ἀριστίωνα μὲν καὶ τοὺς ἐκείνῳ δορυφορήσαντας, ἢ ἀρχήν τινα ἄρξαντας,
ἢ ὅτιοῦν ἄλλο πράξαντας παρὰ τὰ πρότερον ἁλούσης τῆς Ἑλλάδος ὑπὸ Ῥωμαίων αὐτοῖς
διατεταγμένα, ἐκόλασε θανάτῳ· τοῖς δὲ ἄλλοις συνέγνω καὶ νόμους ἔθηκεν ἅπασιν
ἀγχοῦ τῶν πρόσθεν αὐτοῖς ὑπὸ Ῥωμαίων ὁρισθέντων. συνηνέχθη δὲ ἐκ τῆς ἀκρο-
πόλεως, χρυσίου μὲν ἐς τεσσαράκοντα λίτρας μάλιστα, ἀργύρου δὲ ἐς ἑξακοσίας. τάδε
μὲν ἀμφὶ τὴν ἀκρόπολιν, ὀλίγον ὕστερον ἐγένετο. ὁ δὲ Σύλλας αὐτίκα τοῦ ἄστεος
ληφθέντος, οὐ περιμένων ἔτι τὸν Πειραιᾶ διὰ πολιορκίας ἐξελεῖν, κριοὺς ὁμοῦ καὶ
βέλη καὶ ἀκοντιστὰς ἐπῆγεν· ἄνδρας τε πολλούς, οἳ διώρυσσον ὑπὸ χελώναις τὰ τείχη·
καὶ σπείρας, αἳ τοὺς ἐπὶ τῶν τειχῶν ἠκόντιζόν τε καὶ ἐτόξευον ἀθρόα, ἀνέ-
κοπτον. καὶ κατέρριψέ τι τοῦ μηνοειδοῦς, ὑγροῦ ἔτι καὶ ἀσθενοῦς ἐπιόντος,
ἅτε νεοδομήτου. ὑποιδομένου δὲ τούτου περὶ τὸν Ἀρχέλαον καὶ προοικοδομήσαντος ἔν-
δοθεν ὅμοια πολλά, τὸ μὲν ἔργον ἔτι τῷ Σύλλᾳ διήνυκεν· ἀεὶ ἐπιπίπτοντι ἕτερον
ὅμοιον ἐξ ἑτέρου, ὁρμῇ δὲ πάσῃ σπουδῇ καὶ στρατοῦ μεταβολῇ συνεχεῖ χρώμενος καὶ
ἐπιθέων αὐτοῖς καὶ παρακαλῶν ἐπὶ τὸ ἔργον, ὡς ἐν τῷδε ἔτι λοιπῷ τῆς ὅλης ἐλ-
πίδος καὶ κέρδους τῶν προπεπονημένων ὄντος. οἱ δὲ καὶ αὐτοὶ τῷ ὄντι σφίσι γινό-
μενοι τέλος εἶναι πόνων, καὶ ἐν τῷ ἔργῳ αὐτῷ ὡς μεγάλῳ καὶ λαμπρῷ τοιῶνδε τειχῶν
κρατῆσαι φιλοτιμούμενοι, προσέκειντο βιαίως· μέχρι καταπλαγεὶς αὐτῶν τὴν ὁρ-
μὴν ὁ Ἀρχέλαος ὡς μανιώδη καὶ ἀνάλογον, ἐξέλιπεν αὐτοῖς τὰ τείχη. ἐς δὲ τὴν τοῦ
Πειραιῶς ἀνέδραμεν ὀχυρωτάτην τε καὶ θαλάσσῃ περίκλυστον. ὧν ναῦς οὐκ
ἔχων ὁ Σύλλας, οὐδ' ἐπιχειρεῖν ἐδύνατο. ἐντεῦθεν ὁ μὲν Ἀρχέλαος ἐπὶ Θεσσαλί-
ας διὰ Βοιωτῶν ἀνεζεύγνυε· καὶ συνῆγεν ἐς Θερμοπύλας τὰ λοιπὰ τοῦ τε ἰδίου στρατοῦ
παντός, ὃν ἔχων ἦλθε, καὶ τοῦ συνδραμόντος καί τι παραγεγονότος. συνῆγε δὲ καὶ
τὸν σὺν Ἀρκαθίᾳ τῷ παιδὶ τοῦ βασιλέως ἐς Μακεδονίαν ἐλθόν· ἀκραιφνέστατον
δὴ καὶ πλῆρες ὂν τότε μάλιστα· οἷς αὐτίκα ἄλλους ὁ Μιθριδάτης ἀπέστελλεν·
οὐ γὰρ διέλιπε πέμπων. ὁ μὲν δὴ ταῦτα σὺν ἐπείξει συνῆγεν· ὁ δὲ
Σύλλας τὸν Πειραιᾶ τοῦ ἄστεος μᾶλλον ἐνοχλήσαντά οἱ, κατέπιμπρη, φεισάμενος
οὔτε τῆς ὁπλοθήκης, οὔτε τῶν νεωσοίκων, οὔτε τινὸς ἄλλου τῶν ἀοιδίμων. καὶ
μετὰ τοῦτ' ἐπὶ τὸν Ἀρχέλαον ᾔει κατὰ τὴν Βοιωτίαν ὁδόν. ὡς δὲ πλησίον ἦσαν
ἀλλήλοις, οἱ μὲν ἐκ Θερμοπυλῶν ἄρτι μετεχώρουν ἐς τὴν Φωκίδα, Θρᾷκές τε

ὄντες ἀπὸ τοῦ Πόντου Σκύθαι καὶ Καππαδόκαι, Βιθυνοί τε καὶ Γαλάται καὶ Φρύγες, καὶ ὅσα ἄλλα τῷ Μιθριδάτῃ νεόκτητα γένοιτο· πάντες ἐς δυώδεκα μυριάδας ἀνδρῶν· καὶ στρατηγοὶ αὐτῶν, ἦσαν μὲν καὶ κατὰ μέρος ἑκάστῳ· αὐτοκράτωρ δ' Ἀρχέλαος ἐπὶ πᾶσι. Σύλλας δ' ἦγεν Ἰταλιώτας καὶ Ἑλλήνων καὶ Μακεδόνων ὅσοι ἄρτι πρὸς αὐτὸν ἀπ' Ἀρχελάου μετετίθεντο, καὶ εἴ τι ἄλλο περίοικον· οὐδὲ τὸ τριτημόριον τὰ πάντα τῶν πολεμίων. ἀντικαθιστάντων δ' ἀλλήλοις, ὁ μὲν Ἀρχέλαος ἐξέτασσεν ἐς μάχην ἀεὶ προκαλούμενος· ὁ δὲ Σύλλας ἐβράδυνε, τὰ χωρία καὶ τὸ πλῆθος τῶν ἐχθρῶν περισκοπούμενος. ἀναχωροῦντι δ' ἐς Χαλκίδα τῷ Ἀρχελάῳ παρακολουθῶν, καιρὸν ἐπετήρει καὶ τόπον· ὡς δ' αὐτὸν εἶδε περὶ Χαιρώνειαν ἐν ἀποκρήμνοις στρατοπεδευόμενον, ἔνθα μὴ κρατοῦσιν ἀποχώρησις μηδὲ μία ἦν, πεδίον αὐτὸς εὐρὺ πλησίον καταλαβών, ἤθελεν ἐπάγειν ὡς καὶ ἄκοντα βιασόμενος ἐς μάχην Ἀρχέλαον· ἐν ᾧ σφίσι μὲν ὕπτιον καὶ ὑποτρέχον ἐς δίωξιν καὶ ἀναχώρησιν ἦν πεδίον· Ἀρχελάῳ δὲ κρημνοὶ περιέκειντο, οἳ τὸ ἔργον οὐκ εἴων οὐδενὶ κοινὸν ὅλου τοῦ στρατοῦ γενέσθαι· συστῆναι διὰ τὸ ἀνώμαλον οὐκ ἔχοντος· τραπεῖσί τε αὐτοῖς, ἄπορος διὰ τῶν κρημνῶν ἐγίγνετο ἡ φυγή. ὅμως, διὰ τοῖς δὲ ἐγχειρισμοῖς τῇ δυσχωρίᾳ μάλιστα πιστεύων ἐπῄει· ὡς οὖν δὲ ἐτοίμου χρησίμου τοῦ πλήθους Ἀρχελάῳ· ὁ δ' οὐκ ἐγνώκει μὲν αὐτῷ τότε συμπλέκεσθαι. διὸ ἠμέλει ὡς ἐστρατοπέδευσεν· ἐπιόντος δὲ ἤδη, τὴν δυσχωρίαν ὀψέ καὶ μόγις κατενόησε· καὶ προύπεμπέ τινας ἱππέας ἐς κώλυσιν αὐτοῦ· τραπέντων δὲ καὶ κατὰ τοὺς κρημνοὺς καταρριφέντων, ἑξήκοντα αὖθις ἔπεμψεν ἅρματα, εἰ δύναιτο μετὰ ῥύμης κόψαι καὶ διαρρῆξαι τὴν φάλαγγα τῶν πολεμίων. διαστάντων δὲ τῶν Ῥωμαίων, τὰ μὲν ἅρματα ὑπὸ τῆς φορᾶς ἐς τοὺς ὄπισθεν προσενεχθέντα τε καὶ δυσεπίστροφα ὄντα, πρὸς τῶν ὑστάτων περιστάντων αὐτὰ καὶ ἐσακοντιζόντων διεφθείρετο. ὁ δ' Ἀρχέλαος δυνηθεὶς ἂν καὶ ὡς ἀπὸ τοῦ χάρακος ἀσφαλῶς ἀπομάχεσθαι, τάχα οἱ καὶ τῶν κρημνῶν ἐς τοῦτο συλλαμβανόντων, ἐξῆγε σὺν ἐπείξει· καὶ διέτασσε μετὰ σπουδῆς, τὸ δὲ πλῆθος οὐ προεγνωκότων ἀνδρῶν, ἐν στενοτάτῳ μάλιστα γεγονὼς ἤδη τοῦ Σύλλα καὶ διὰ πλησιάζοντος. τοῖς δ' ἱππεῦσι πρώτοις ἐπαγαγὼν μετὰ δρόμου πολλοῦ, διέτεμε τὴν φάλαγγα Ῥωμαίων ἐς δύο, καὶ ῥᾳδίως ἑκατέρωθεν ἐκύκλου διὰ τὴν ὀλιγότητα. οἱ δ' ἀπεμάχοντο μὲν ἐγκρατῶς ἐς πᾶν ἐπιστρεφόμενοι· μάλιστα δὲ ἐπόνουν οἱ περὶ Γάλβαν τε καὶ Ὁρτήσιον· καθ' οὓς αὐτὸς ὁ Ἀρχέλαος ἐτέτακτο· τῶν βαρβάρων ὡς ἐν ὄψει τοῦ στρατηγοῦ, σὺν προθυμίᾳ σφοδρᾷ ἐπικειμένων. μέχρι ὁ Σύλλας μεταχωρεῖ ἐς αὐτοὺς σὺν ἱππεῦσι πολλοῖς,

ὁ δ' Ἀρχέλαος ἀπὸ τῶν σημείων στρατηγικῶν ὄντων καὶ τοῦ κονιορτοῦ πλείονος αἰρομένου, τεκμαιρόμενος εἶναι Σύλλαν τὸν ἐπιόντα, λύσας τὴν κύκλωσιν ἐς τάξιν ἐχώρει· ὁ δέ, τῶν τε ἱππέων τὸ ἄριστον ἄγων, καὶ δύο νέας σπείρας ἐν τῇ προόδῳ προσλαβών, αἳ ἐτετάχατο ἐφεδρεύειν, οὔπω τὸν κύκλον τοῖς πολεμίοις ἐξηρτικόσιν, οὐδὲ μετωπηδὸν ἀσφαλῶς διατεταγμένοις, ἐνέβαλε· καὶ θορυβήσαντας ἔκοψέ τε καὶ ἐς φυγὴν τραπέντας ἐδίωκεν. ἀρξαμένης δὲ ἐνταῦθα τῆς νίκης, οὐδὲ Μουρήνας ἠμέλει ἐπὶ τοῦ λαιοῦ τεταγμένος· ἀλλ' ὀνειδίσας τοῖς ὑφ' αὐτὸν καὶ γενναίως ἐμπεσὼν, ἐδίωκε καὶ αὐτός. τρεπομένων δὲ ἤδη τῶν Ἀρχελάου κεράτων, οὐδ' οἱ μέσοι τὴν τάξιν ἐφύλασσον· ἀλλ' ἀθρόα πάντων ἐγίγνετο φυγή. ἔνθα δὴ πάντα ὅσα εἴκασεν ὁ Σύλλας, ἐνέπιπτε τοῖς πολεμίοις· οὐ γὰρ ἔχοντες ἀναστροφὴν διὰ στενοχωρίαν οὐδὲ πεδίον ἐς φυγήν, ἐπὶ τοὺς κρημνοὺς ὑπὸ τῶν διωκόντων ἐωθοῦντο καὶ αὐτῶν, οἱ μὲν ὀξέως ἐπὶ τὸ πρὸς αὐτόν· οἱ δὲ βουλότερον ἐς τὸ στρατόπεδον ἔφερον. Ἀρχέλαος δ' αὐτοὺς προλαβών, ἀπρονοητότατα δὴ τότε μάλιστα συμφορῶν πολεμικῶν ἀπέκλειε, καὶ ἐπιστρέφειν ἐς τοὺς πολεμίους ἐκέλευεν. οἱ δ' ἀνεστρέφοντο μὲν ἐκ προθυμίας· οὔτε δὲ στρατηγῶν ἔτι καὶ ἐπιστατῶν ἐς διάταξιν ἔτι σφίσι παρόντων, οὔτε τὰ σημεῖα ἕκαστοι τὰ ἑαυτῶν ἐπιγιγνώσκοντες, ὡς ἐν ἀκόσμῳ τροπῇ διερριμμένων, χωρίου τε ἐς φυγὴν ἢ μάχην ἀποροῦντες, στενοτάτου τότε μάλιστα αὐτοῖς διὰ τὴν δίωξιν γενομένου, ἐκτείνοντο μηδ' ἀρήγοντες· οἱ μὲν ὑπὸ τῶν πολεμίων οὐδὲν ἀντιδρᾶσαι φθάνοντες, οἱ δὲ ὑπὸ σφῶν αὐτῶν ὡς ἐν πλήθει καὶ στενοχωρίᾳ θορυβούμενοι. πάλιν τε κατέφυγον ἐπὶ τὰς πύλας· καὶ ἠθροίζοντο περὶ αὐτάς, ἐπιμεμφόμενοι τοῖς ἀποκλείουσι· θεούς τε πατρίους αὐτοῖς καὶ τὴν ἄλλην οἰκειότητα σὺν ὀνείδει προύφερον, ὡς οὐχ ὑπὸ τῶν ἐχθρῶν μᾶλλον, ἢ τῶν δὲ ὑπερορώντων αὐτούς, ἀναιρούμενοι. ἕως τε μόλις αὐτοῖς ὁ Ἀρχέλαος ὀψὲ τῆς χρείας ἀνέῳξε τὰς πύλας· καὶ τοῦτο δὲ χρόνῳ μετὰ ἀταξίας ἐσέτρεχον. οἱ δὲ Ῥωμαῖοι ταῦτα συνιδόντες, καὶ παρακαλέσαντες τότε μάλιστα ἀλλήλους, δρόμῳ τοῖς φεύγουσι συνεπιπεσόντες ἐς τὸ στρατόπεδον, καὶ τὴν νίκην ἐντελῶς ἐξειργάσαντο. Ἀρχέλαος δὲ καὶ ὅσοι ἄλλοι κατὰ μέρος ἐξέφυγον, ἐς Χαλκίδα συνελέγοντο· οὐ πολὺ πλείους μυρίων, ἐκ δυώδεκα μυριάδων γενόμενοι. Ῥωμαίων δὲ ἔδοξαν μὲν ἀποθανεῖν πεντεκαίδεκα ἄνδρες· δύο δ' αὐτῶν ἐπανῆλθον. τοῦτο μὲν δὴ Σύλλα καὶ Ἀρχελάῳ τῷ Μιθριδάτου στρατηγῷ τῆς περὶ Χαιρώνειαν μάχης τέλος ἦν· δι' εὐβουλίαν μάλιστα Σύλλα, καὶ δι' ἀφροσύνην Ἀρχελάου, τοιοῦδε γενομένου.

σύλλας δὲ πολλῶν μὲν αἰχμαλώτων, πολλῶν δ' ὅπλων καὶ λαφύρων ἐκράτει, τὰ μὲν
ἀχρεῖα σωρεύσας, διαζωσάμενος ὡς ἔθος ἐστὶ Ῥωμαίοις, αὐτὸς ἐνέπρησε
τοῖς ἐνυαλίοις θεοῖς· ἀναπαύσας δὲ τὴν στρατιὰν ἐπ' ὀλίγον, ἐς τὸν Εὔριπον
σὺν ὀλίγοις ἐπὶ τὸν Ἀρχέλαον ἠπείγετο· Ῥωμαίων δὲ ναῦς οὐκ ἐχόντων, ἀδεῶς
τὰς νήσους περιέπλει τὰ παράλια πορθῶν· Ζακύνθῳ δ' ἐπιβὰς προεστρατοπέ-
δευσε· καί τινων Ῥωμαίων οἳ ἐπεδήμουν νυκτὸς ἐπιθεμένων αὐτῷ, κατὰ τάχος
ἐκβὰς, αὖθις ἀνήγετο ἐς Χαλκίδα· λῃστῇ μᾶλλον ἢ πολεμοῦντι ἐοικώς. Μι-
θριδάτης δὲ ἐπεὶ τοσῆσδε ἥττης ἐπύθετο, κατεπλάγη μὲν αὐτίκα καὶ ἔδεισεν ὡς
ἐπὶ ἔργῳ τοσούτῳ· στρατιὰν δ' ὅμως ἄλλην ἀπὸ τῶν ὑπ' αὐτὸν ἐθνῶν ἁπάντων κατὰ
σπουδὴν συνέλεγε· νομίσας δ' ἄν τινας αὐτῷ διὰ τὴν ἧτταν ἢ νῦν, ἢ εἴ τινα καιρὸν
ἄλλον ἀνδράσιν ἐπιθήσεσθαι, τοὺς ὑπόπτους ὅσοι πάντων πρὶν ἐξ ἑτέρου γενέσθαι τὸν πό-
λεμον ἀνῄρει· καὶ πρώτους μὲν τοὺς Γαλατῶν τετράρχας, ὅσοι τε αὐτῷ συνῆσαν ὡς
φίλοι καὶ ὅσοι μὴ κατήκοοι αὐτοῦ, πάντας ἔκτεινε μετὰ παίδων καὶ γυναικῶν· χωρὶς
τριῶν τῶν διαφυγόντων· τοῖς μὲν ἀνέδρας ἐπιπέμψας· τοὺς δὲ ἐπὶ διαίτῃ μιᾶς
νυκτός· οὐχ ἡγούμενος αὐτῶν οὐδένα οἱ βέβαιον, ἢν πλησιάσῃ Σύλλας, ἔσεσθαι·
σφετερισάμενος δ' αὐτῶν τὰς οὐσίας, φρουρὰς ἐσήγαγεν ἐς τὰς πόλεις· καὶ σατράπην
ἐπὶ τὸ ἔθνος Εὔμαχον ἔπεμψεν· ὃν αὐτίκα τῶν τετραρχῶν οἱ διαφυγόντες στρα-
τιὰν ἀγείραντες, ἀπὸ τῶν ἀγρῶν ἐξέβαλον αὐταῖς φρουραῖς διώκοντες ἐκ Γαλατί-
ας· καὶ Μιθριδάτῃ περιῆν Γαλατῶν ἔχειν τὰ χρήματα μόνα. Χίοις δὲ μηνίων, ἐξ οὗ τις
αὐτῶν ναῦς τῇ βασιλικῇ ἐν τῇ περὶ Ῥόδον ναυμαχίᾳ λαθοῦσα ἐνέβαλε,
πρῶτα μὲν ἐδήμευσε τὰ ὄντα Χίοις τοῖς ἐς Σύλλαν φυγοῦσιν· ἐξῆς δὲ ἔπεμπε
τοὺς τὰ Ῥωμαίων ἐρευνησομένους ἐν Χίῳ. καὶ τέλος Ζηνόβιος στρατιὰν ἄγων ὡς
ἐς τὴν Ἑλλάδα διαβαλῶν, τὰ τείχη τῶν Χίων καὶ τἄλλα ἐρυμνὰ χωρία τῆς νυκτὸς
κατέλαβε· καὶ ταῖς πύλαις φρουρὰν ἐπιστήσας, ἐκήρυξε τοὺς μὲν ξένους
ἀτρεμεῖν· Χίους δὲ ἐς ἐκκλησίαν συνελθεῖν· ὡς διαλεξόμενος αὐτοῖς τι παρὰ τοῦ
βασιλέως. ἐπεὶ δὲ συνῆλθον, ἔλεξεν, ὅτι βασιλεὺς ὕποπτον ἔχει τὴν πόλιν διὰ
τοὺς Ῥωμαΐζοντας· παύσεται δὲ ἤν τε τὰ ὅπλα παραδῶτε, καὶ ὁμήρους τῶν παί-
δων τοὺς ἀρίστους. οἱ μὲν δὴ κατειλημμένην σφῶν τὴν πόλιν ὁρῶντες, ἔδοσαν
ἄμφω· καὶ Ζηνόβιος αὐτὰ ἐς Ἐρυθρὰς ἐξέπεμψεν, ὡς αὐτίκα τοῖς Χίοις γρά-
ψοντος τοῦ βασιλέως. ἐπιστολὴ δὲ Μιθριδάτου ἧκε λέγουσα· δύσνοι καὶ νῦν ἐστὲ
Ῥωμαίοις ὧν ἔτι πολλοὶ παρ' ἐκείνοις εἰσί· καὶ τῶν κτημάτων Ῥωμαίων καρποῦσθε,
ἡμῖν οὐκ ἀναφέροντες· ἔς τε τὴν ἐμὴν ναῦν ἐν τῇ περὶ Ῥόδον ναυμαχίᾳ τριή-

ρης ὑμετέρα ἐνέβαλέ τε καὶ διέσεισεν· ὃ ἐγὼ περιέφερον ἑκὼν ἐς μόνους
τοὺς κυβερνήτας, εἰ δύναισθε σώζεσθαι καὶ διὰ πάντων· λανθάνοντες δὲ καὶ νῦν
τοὺς ἀρίστους ὑμῶν ἐς Σύλλαν διεπέμψατε· καὶ οὐδένα αὐτῶν ὡς οὐκ ἀπὸ τοῦ
κοινοῦ ταῦτα πράττοντα ἐνεδείξατε· οὐδὲ ἐμηνύσατε, ὃ τῶν οὐ συμπεπραχότων
ἔργον ἦν. τοῖς οὖν ἐπιβουλεύοντας μὲν τῇ ἐμῇ ἀρχῇ, ἐπιβουλεύσαντας δὲ
καὶ τῷ σώματι, οἱ μὲν ἐμοὶ φίλοι, ἐδικαίωσαν ἀποθανεῖν· ἐγὼ δ' ὑμᾶς ἐπιτιμῶμαι
δισχιλίοις ταλάντοις. τοσαῦτα μὲν ἡ ἐπιστολὴ περιεῖχεν. οἱ δὲ βουλόμενοι μὲν
ἐς αὐτὸν πρεσβεύσασθαι· Ζηνοβίου δὲ κατακωλύοντος, ὅπλων τε ἀφῃρημένοι, καὶ
παίδων σφίσι τῶν ἀρίστων ἐχομένων· στρατιᾶς τε βαρβαρικῆς τοσαύτης ἐφεστώσης,
οἰμώζοντες, ἔκ τε ἱερῶν κόσμους καὶ τὰ τῶν γυναικῶν πάντων, ἐς τὸ πλήρωμα
τῶν δισχιλίων ταλάντων συνέφερον. ὡς δὲ καὶ ταῦτ' ἐπεπλήρωτο, αἰτιασάμενος
τὸν σταθμὸν ἐνδεᾶ ὁ Ζηνόβιος, ἐς τὸ θέατρον αὐτοὺς συνεκάλει· καὶ τὴν στρατιὰν περι-
στήσας μετὰ γυμνῶν ξιφῶν, ἀμφί τε τὸ θέατρον αὐτό, καὶ τὰς ἀπ' αὐτοῦ μέχρι τῆς
θαλάσσης ὁδούς, ἦγε τοὺς Χίους· ἀνιστὰς ἕκαστον ἐκ τοῦ θεάτρου, καὶ ἐνετίθετο
ἐς τὰς ναῦς. ἑτέρωθι μὲν τοὺς ἄνδρας· ἑτέρωθι δὲ αὐτῶν τὰς γυναῖκας καὶ τὰ παιδία·
βαρβαρικῶς ὑπὸ τῶν ἀγόντων ὑβριζόμενα. ἀνάσπαστοι δὲ ἐντεῦθεν ἐς Μιθρι-
δάτην γενόμενοι, διεπέμφθησαν ἐς τὸν Πόντον τὸν Εὔξεινον. καὶ Χῖοι μὲν ὧδε
ἐπεπράχεσαν· Ζηνόβιον δὲ Ἐφέσιοι μετὰ στρατιωτῶν προσιόντα, ἐκέλευον
ἔξω πόλεως θέσθαι τὰ ὅπλα παρὰ ταῖς πύλαις, καὶ σὺν ὀλίγοις ἐσελθεῖν. ὁ δὲ ἐπέστη μὲν
ταῦτα· καὶ ἐσῆλθε πρὸς Φιλοποίμενα τὸν πατέρα Μονίμης τῆς ἐρωμένης
Μιθριδάτου· ἐπίσκοπον Ἐφέσου ἐκ Μιθριδάτου καθεστηκότα· καὶ συνελθεῖν
οἱ τοὺς Ἐφεσίους ἐς ἐκκλησίαν ἐκήρυττεν. οἱ δέ, οὐδὲν χρηστὸν ἔσεσθαι παρ'
αὐτοῦ προσδοκῶντες, ἐς τὴν ἐπιοῦσαν ἀνέθεντο. καὶ νυκτὸς ἀλλήλους
ἀγείραντές τε καὶ παρακαλέσαντες, Ζηνόβιον μὲν ἐς τὸ δεσμωτήριον ἐμ-
βαλόντες, ἔκτειναν· καὶ τὰ τείχη κατεῖχον· καὶ τὸ πλῆθος συνηθροίζον· καὶ τὰ
ἐκ τῶν ἀγρῶν συνῆγον· καὶ τὴν πόλιν ὅλως διὰ χειρὸς εἶχον. ὧν πυνθανό-
μενοι Τραλλιανοὶ καὶ Ὑπαιπηνοί, καὶ Μεσοπολῖται· καί τινες ἄλλοι τὰ Χίων
παθεῖν δεδιότες, ὅμοια τοῖς Ἐφεσίοις ἔδρων. Μιθριδάτης δὲ ἐπὶ μὲν τὰς ἀφε-
στηκυίας στρατιὰν ἐξέπεμπε· καὶ πολλὰ δεινὰ τοὺς λαμβανομένους ἔδρα. δεί-
σας δὲ περὶ τοῖς λοιποῖς, τὰς πόλεις τὰς Ἑλληνίδας ἠλευθέρου· καὶ χρεῶν ἀποκο-
πὰς αὐτοῖς ἐκήρυσσε· καὶ τοὺς ἐν ἑκάστῃ μετοίκους, πολίτας αὐτῶν ἐποίει·
καὶ τοὺς θεράποντας, ἐλευθέρους· ἐλπίσας ὅπερ ἦν καὶ συνηνέχθη, τοὺς

καὶ τὰ χρέως. καὶ μετοίκους ἢ θεράποντας, ἡγουμένους αὐτῇ Μιθριδάτου
ἀρχὴν οὐ βεβαίως τὰ δοθέντα αὐτοῖς ἕξειν, εὔνους αὐτῷ γενήσεσθαι. Μύννι-
ος δὲ καὶ Φιλότιμος οἱ Σμυρναῖοι· καὶ Κλεισθένης καὶ Ἀσκληπιόδοτος οἱ
Λέσβιοι, βασιλεῖ γνώριμοι πάντες· ὧν Ἀσκληπιόδοτος αὐτῷ ἐξενα-
γήκει ποτέ, ἐπιβουλὴν ἐπὶ τὸν Μιθριδάτην συνετίθεσαν. καὶ αὐτὸς ὁ
Ἀσκληπιόδοτος ἐμήνυσε τὴν ἐνέδραν. καὶ ἐς πίστιν, ὑπὸ κλίνῃ τινὶ παρε-
σκεύασεν ἐνακοῦσαι τοῦ Μυννίωνος. ἁλούσης δὲ τῆς ἐπιβουλῆς, οἱ μὲν
αἰκισθέντες ἐκολάσθησαν· ὑποψία δὲ ἐς τὰ ὅμοια πολλοὺς ἦγεν. ὡς δὲ
καὶ Περγαμηνῶν τῇ αὐτῇ βουλῇ ὄντες ὀγδοήκοντα ἄνδρες ἑάλωσαν, καὶ
ἐν ἄλλαις πόλεσιν ἕτεροι, ζητητὰς ὁ Μιθριδάτης πανταχοῦ περιέπεμπ(εν)·
οἳ τοὺς ἐχθροὺς ἐνδεικνύντων ἑκάστων, ἔκτειναν ἀμφὶ τοὺς χιλίους καὶ
ἑξακοσίους ἄνδρας. ὧν οἱ κατηγορήσαντες οὐ πολὺ ὕστερον, οἱ μὲν, ὑπὸ
Σύλλα διεφθάρησαν· οἱ δὲ, προανῄρουν ἑαυτούς· οἱ δ' ἐς τὸν Πόντον αὐτῷ
Μιθριδάτῃ συνέφυγον. γιγνομένων δὲ τῶνδε περὶ τὴν Ἀσίαν, ὀκτὼ μυ-
ριάδων στρατὸς ἕτερος ὁ τῷ Μιθριδάτῃ· καὶ αὐτὸν Δορύλαος ἐς τὴν Ἑλλάδα
πρὸς Ἀρχέλαον ἦγεν· ἔχοντα τῶν προτέρων ἔτι μυριάδας. ὁ δὲ Σύλλας
ἀντεστρατοπέδευε μὲν Ἀρχελάῳ περὶ Ὀρχομενόν· ὡς δὲ εἶδε τῆς ἐπελ-
θούσης ἵππου τὸ πλῆθος, ὤρυσσε τάφρους πολλὰς ἀνὰ τὸ πεδίον· εὖρος
δέκα ποδῶν. καὶ ἐπιόντος αὐτῷ τοῦ Ἀρχελάου, ἀντιπαρέταξεν. ἀσθενῶς
δὲ τῶν Ῥωμαίων διὰ τὸ πλῆθος τῆς ἵππου μαχομένων, ἐπὶ πολὺ μὲν αὐτοῖς
περιθέων παρεκάλει· καὶ ἐπεὶ παραχέσιν ἀπειλῶν, οὐκ ἐπέστρεφεν
δ' αὐτοὺς ἐς τὸ ἔργον οὐδείς, ἐξήλατο τοῦ ἵππου· καὶ σημεῖον ἁρπάσας, ἀνὰ
τὸ μεταίχμιον ἔθει μετὰ τῶν ὑπασπιστῶν κεκραγώς, εἴ τις ὑμῶν, ὦ Ῥωμαῖοι,
πύθοιτο, ποῦ Σύλλαν τὸν στρατηγὸν ὑμῶν αὐτῶν προυδώκατε, λέγειν ἐν Ὀρχο-
μενῷ μαχόμενον. οἱ δ' ἡγεμόνες αὐτῷ κινδυνεύοντι, συνεξέθεον ἐκ τῶν
ἰδίων τάξεων· συνεξέθεον δὲ καὶ ἡ ἄλλη πληθὺς αἰδουμένη· παλίωξίν τε
εἰργάσαντο. καὶ τῆς νίκης ἀρχομένης, ἀναθορὼν αὖθις ἐπὶ τὸν ἵππον, ἐπῄνει
τὸν στρατὸν περιιών, καὶ ἐπέσπερχεν. ἕως τέλος αὐτοῖς τὸ ἔργον ἐξετελέσθη.
καὶ τῶν πολεμίων, ἀπώλοντο μὲν ἀμφὶ τοὺς μυρίους· καὶ πεντακισχιλίους. καὶ
τούτων, οἱ μὲν ἡμίσεις ἱππεῖς μάλιστα· καὶ σὺν αὐτοῖς, ὁ παῖς Ἀρχελάου Διογένης·
οἱ πεζοὶ δ' ἐς τὸ στρατόπεδον συνέφυγον. καὶ δείσας ὁ Σύλλας μὴ πάλιν αὐτὸς
ὁ Ἀρχέλαος οὐκ ἔχων ναῦς, ἐς Χαλκίδα ὡς πρότερον διαφύγοι, τὸ πεδίον

ὅλον ἐκ διαστημάτων νυκτὸς ἐφύλασσε. καὶ μεθ' ἡμέραν σταδίον οὐχ ὅλον ἀ-
ποσχὼν τοῦ Ἀρχελάου, τάφρον αὐτῷ περιώρυσσεν οὐκ ἐπεξιόντι. καὶ
παρεκάλει τότε μάλιστα τὴν ἑαυτοῦ στρατιὰν ἐκπονῆσαι τοῦ παντὸς πολέμου
τὸ ἐπίλοιπον· ὡς τῶν πολεμίων αὐτὸν οὐδ' ὑφισταμένων. καὶ ἐπῆγεν αὐτὴν
ἐπὶ τὸ χαράκωμα τοῦ Ἀρχελάου· ὅμοια δὲ καὶ μεταβολῆς ἐγίγνετο καὶ παρὰ
τοῖς πολεμίοις· ὑπὸ ἀνάγκης τῶν ἡγεμόνων αὐτοὺς περιθεόντων. καὶ τὸν
παρόντα κίνδυνον προφερόντων· καὶ ὄνειδος, εἰ μὴ διὰ τοῦ χάρακος ὑπομαχέ-
σθαι τοῖς ἐχθροῖς ὀλιγωτέροις οὖσι. ὁρμῆς δὲ καὶ βοῆς ἑκατέρωθεν γενομένης,
πολλὰ μὲν ἐγίγνετο ἀμφοῖν ἔργα πολέμου· γωνίαν δέ τινα τοῦ χαρακώματος
οἱ Ῥωμαῖοι τὰς ἀσπίδας σφῶν ὑπερσχόντες, ἤδη διέσπων· οἱ βάρβαροι
καταθορόντες ἀπὸ τοῦ χαρακώματος εἴσω τῆς γωνίας, περιέστησαν αὐτήν, ὡς τοῖς ξί-
φεσιν ἀμυνούμενοι τοὺς ἐπιτρέχοντας. οὐδέ τις ἐτόλμα, μέχρι Βάσιλλος, ὁ ἡγούμενος τῆς
ταξίαρχος, ἐσήλατο πρῶτος· καὶ τὸν ὑπαντήσαντα ἔκτεινε. τότε δ' αὐτῷ συν-
εισέπεσεν ὁ στρατὸς ἅπας. καὶ φυγὴ τῶν βαρβάρων ἐγίγνετο καὶ φόνος·
τῶν μὲν, καταλαμβανομένων· τῶν δ' ἐς τὴν ἐγγὺς λίμνην ὠθουμένων τε
καὶ νεῖν οὐκ ἐπισταμένων, ἀξύνετα βαρβαρίζοντες τοῖς κτείνουσι παρακαλούντων.
Ἀρχέλαος δὲ ἐν ἕλει τινὶ ἐκρύφθη. καὶ σκάφους ἐπιτυχὼν, ἐς Χαλκίδα διέ-
πλευσε. καὶ εἴ τις ἦν ἄλλη Μιθριδάτου στρατιὰ κατὰ μέρος διατεταγμένη,
πᾶσαν αὐτοῖς ἐκάλει κατὰ σπουδήν. ὁ δὲ Σύλλας τῆς ἐπιούσης, τόν τε ταξίαρχον
ἐστεφάνου· καὶ τοῖς ἄλλοις ἀριστεῖα ἐδίδου· καὶ τὴν Βοιωτίαν συνεχῶς μετατιθε-
μένην, διήρπαζε. καὶ ἐς Θεσσαλίαν ἐλθὼν ἐχείμαζε. τὰς ναῦς τὰς μετὰ
Λουκούλλου περιμένων· ἀγνοῶν δὲ ὅπου ὁ Λούκουλλος εἴη, ἐναυπηγεῖτο ἕτερ(α)·
καὶ ταῦτα μέντοι Κορνηλίου τε Κίννα καὶ Γαΐου Μαρίου τῶν ἐχθρῶν αὐτοῦ
ἐν Ῥώμῃ ἐψηφισμένων εἶναι Ῥωμαίων πολέμιον, καὶ τὴν οἰκίαν αὐτοῦ καὶ τὰς
ἐπαύλεις καθῃρηκότων· καὶ τοὺς φίλους ἀνῃρηκότων. ὁ δέ, οὐδὲν οὐδ' ὣς καθῄρει
τῆς ἐξουσίας, τὸν στρατὸν ἔχων εὐπειθῆ καὶ πρόθυμον. Κίννας δὲ Φλάκκον ἡγού-
μενος οἱ συνάρχειν τὴν ὕπατον ἀρχήν, ἔπεμπεν ἐς τὴν Ἀσίαν μετὰ δύο τελῶν,
ἀντὶ τοῦ Σύλλα ὡς ἤδη πολεμίου γεγονότος, τῆς τε Ἀσίας ἄρχειν καὶ πολεμεῖν
τῷ Μιθριδάτῃ. ἀπείρῳ δὲ πολέμων ὄντι τῷ Φλάκκῳ, συνεξῆλθεν ἑκὼν ἀπὸ
τῆς βουλῆς, ἀνὴρ ἐπιθανὸς ἐς στρατηγίαν, ὄνομα Φιμβρίας. τούτοις ἐκ Βρεν-
τεσίου διαπλέουσιν, αἱ πολλαὶ τῶν νεῶν ἀπὸ χειμῶνος διεφθάρησαν. καὶ
τὰς προπλεούσας αὐτῶν ἐνέπρησε στρατὸς ἄλλος, ἐπιπεμφθεὶς ἐκ Μιθριδάτου.

μοχθηρὸν δ' ἦν τὸ τοῦ Φλάκκου ἦθος καὶ αὐτὸς ταῖς κολάσεσιν ὁ φιλοκερδής,
ὁ στρατὸς ἅπας ἀπεστράφη. καὶ μέρος αὐτῶν τι προπεμφθὲν ἐς Θετταλίαν,
ἐς τὸν Σύλλαν μετεστρατοπεδεύσατο. τοὺς δὲ ὑπολοίπους ὁ Φιμβρίας στρατηγικώτερος
τοῦ Φλάκκου φαινόμενος αὐτοῖς καὶ φιλανθρωπότερος, κατεῖχε μὴ μετα-
θέσθαι. ὡς δ' ἔν τινι καταγωγῇ περὶ ξενίας ἐς ἔριδας αὐτῷ τῷ ταμίᾳ γενο-
μένης, ὁ Φλάκκος διαιτῶν οὐδὲν ἐντίμως ὑπεσήμηνε τοῦ Φιμβρίου·
χαλεπήνας ὁ Φιμβρίας, ἠπείλησεν ἐς Ῥώμην ἐπανελεύσεσθαι. καὶ τοῦ Φλάκκου
δόντος αὐτῷ διάδοχον ἐς ἃ τότε διῴκει, φυλάξας αὐτὸν ὁ Φιμβρίας ἐς Χαλκη-
δόνα διαπλέοντα, πρῶτον μὲν Θέρμου τὰς ῥάβδους ἀφείλετο τὸν ἀντιστράτηγον
ὑπὸ τοῦ Φλάκκου καταλελειμμένον, ὡσεὶ τοῦ στρατοῦ τὴν στρατηγίαν περιθέντος.
εἶτα Φλάκκον αὐτὸν (σὺν ὀργῇ μετ' ὀλίγον) ἐπανιόντα, ἐδίωκε. ἕως ὁ μὲν Φλάκκος
ἐς τὴν οἰκίαν καταφυγών, νυκτὸς τὸ τεῖχος ὑπερελθών, ἐς Χαλκηδόνα πρῶτα,
ἔπειτ' αὖθις ἐς Νικομήδειαν ἔφυγε· καὶ τὰς πύλας ἀπέκλεισεν. ὁ δὲ Φιμβρίας
αὐτὸν ἐπελθὼν ἔκτεινεν ἐν φρέατί τινι κρυπτόμενον· ὕπατόν τε ὄντα Ῥωμαίων καὶ στρατη-
γὸν τοῦ δὲ τοῦ πολέμου, ἰδιώτης αὐτὸς ὤν. καὶ ὡς φίλῳ κηδεμόνι τισὶν ἐληλυθώς,
ἐκτεμών τε τὴν κεφαλὴν αὐτοῦ, μεθῆκεν ἐς θάλασσαν· τὸ λοιπὸν ἄταφον καταλιπών,
αὐτὸν αὐτοκράτορα ἀπέφηνε τοῦ στρατοῦ. καὶ μάχας τινὰς καλῶς ἐνίκησε
αὐτοῦ τῷ παιδὶ τοῦ Μιθριδάτου. αὐτόν τε βασιλέα συνεδίωξεν ἐς τὸ Πέργαμον.
καὶ ἐπὶ Πιτάνην ἐκ τοῦ Περγάμου διαφυγόντα, ἐπελθὼν ἀπετάφρευεν. ἕως ὁ μὲν βασι-
λεὺς ἐπὶ νεῶν ἔφυγεν ἐς Μιτυλήνην. ὁ δὲ Φιμβρίας ἐπιὼν τὴν Ἀσίαν, ἐκόλαζε
τοὺς καππαδοκίσαντας· καὶ τῶν οὐ δεχομένων αὐτὸν, τὴν χώραν ἐλεηλάτει. Ἰλιεῖς δὲ
πολιορκουμένους ὑπ' αὐτοῦ, κατέφυγον μὲν ἐπὶ Σύλλαν· Σύλλα δὲ φήσαντος
αὐτοῖς ἥξειν, καὶ κελεύσαντος ἐν τοσούτῳ δὲ Φιμβρίᾳ φράσαι, ὅτι σφᾶς ἐπιτε-
τράφασι τῷ Σύλλᾳ, πυθόμενος ὁ Φιμβρίας, ἐπῄνεσε μὲν ὡς ἤδη Ῥωμαίων φίλους.
ἐκέλευσε δὲ καὶ αὐτὸν ὄντα Ῥωμαῖον, εἴσω δέχεσθαι. κατειρωνευσάμενός τι καὶ
τῆς συγγενείας τῆς οὔσης Ῥωμαίοις Ἰλιεῦσιν. ἐσελθὼν δέ, τούς τε ἐν ποσὶ πάντας
ἔκτεινε· καὶ πάντα ἐνεπίμπρη· καὶ τοὺς πρεσβεύσαντας ἐς τὸν Σύλλαν, ἐλυμαίνετο
ποικίλως· οὔτε τῶν ἱερῶν φειδόμενος, οὔτε τῶν ἐς τὸν νεὼν τῆς Ἀθηνᾶς κατα-
φυγόντων· οὓς αὐτῷ νεῷ κατέπρησε· κατέσκαπτε δὲ καὶ τὰ τείχη. καὶ τῆς ὑστεραίας περιιών,
ἠρεύνα περὶ ὧν μή τι συνεστηκὸς ἔτι ᾖ. καὶ μὲν διεχείρου τῶν ἐπιλοίπων(?)
μένον ἀθρόοις ὑπὸ συγγενείας διωλώλει. καὶ οἰκόπεδον οὐδὲν αὐτῆς,
οὐ δίφρον, οὐδ' ἄγαλμα ἔτι ἦν. τὸ δὲ τῆς Ἀθηνᾶς ἕδος, ὃ Παλλάδιον καλοῦσι

καὶ διοπετὲς ἡγοῦνται, νομίζουσί τινες ἀρραγὲς εὑρεθῆναι τότε ἄθραυστον, τῶν ἐπι-
πεσόντων τειχῶν αὐτὸ περικαλυψάντων. εἰ μὴ Διομήδης αὐτὸ ἢ Ὀδυσσεὺς
ἐν τῷ Τρωϊκῷ ἔργῳ μετήνεγκεν ἐξ Ἰλίου. ταῦτα μὲν διὰ Φιμβρίου ἐς Ἴλιον εἴργα-
σται. λήγοντος ἤδη τι τῆς τρίτης καὶ ἑκατοστῆς ὀλυμπιάδος. καί τινες νομίζουσι
τὸ πάθος αὐτῇ τόδε μετ' Ἀγαμέμνονα χιλίοις καὶ πεντήκοντα ἔτεσι γενέσθαι
μάλιστα. ὁ δὲ Μιθριδάτης, ἐπεὶ καὶ τῆς περὶ Ὀρχομενὸν ἥττης ἐπύθετο, δια-
λογιζόμενος τὸ πλῆθος ὅσον ἐξ ἀρχῆς ἐς τὴν Ἑλλάδα πεπόμφει, καὶ τὴν συνεχῆ
καὶ ταχεῖαν αὐτοῦ φθορὰν, ἐπέστειλεν Ἀρχελάῳ διαλύσεις ὡς δύναιτο ἄριστα
ἐργάσασθαι. ὁ δὲ Σύλλᾳ συνελθὼν ἐς λόγους, ἔφη· φίλος ὢν ὑμῖν πατρῷος ὦ
Σύλλα, Μιθριδάτης ὁ βασιλεύς, ἐπολέμησε μὲν διὰ στρατηγῶν ἑτέρων πλεονε-
ξίαν. διαλύσεσθαι δὲ διὰ τὴν σὴν ἀρετὴν, ἢν τὰ δίκαια προστάττῃς. ὁ Σύλλας
ἀποσείσας τε νῦν, καὶ κτήματα οὐκ ἐπιτήδειον, οὐδ' ἄλλου δὲ οἱ καθ' αὐτὸν τῶν
ἐχθρῶν ὡς πολεμίων, ἀμυνόμενος ἧκε διὰ τῶν ἐν Πυθοῖ. καὶ Ὀλυμπίασι καὶ ἐπὶ Δαύρῳ
χρήματα, ἀνθ' ὧν τῆς δίκης προσῆγον τοῖς ἱεροῖς τὸ ἥμισυ τῆς Θηβαΐδος γῆς. πολλάκις
ἀποστάντων. ἀντὶ τῆς στάσεως αὐτῶν τῶν ἐχθρῶν ἐπιτιθέμενος ἀκραιφνῆ καὶ
ἀπαθῆ τὸν στρατὸν μεταγαγεῖν, ἀνεδίδου πρὸς τὰς διαλύσεις καὶ ἔφη· ἀδικού-
μενον μὲν ἦν ὦ Ἀρχέλαε Μιθριδάτην, περὶ ὧν καὶ δικαιοπρεσβεύειν. ἀδικοῦντος
δὲ, νῦν τοσοῦτον δὲ ἀλλοτρίαν ἐπιδραμεῖν· καὶ κτεῖναι πολὺ πλῆθος ἀνδρῶν·
τά τε κοινὰ καὶ ἱερὰ τῶν πόλεων καὶ τὰ ἴδια τῶν ἀνῃρημένων σφετερίσασθαι. τῷ δ'
αὐτῷ λόγῳ καὶ ἐς τοὺς ἰδίους φίλους ὡς περὶ ἡμᾶς ἄπιστος γενόμενος, ἔκτεινε
καὶ τῶν δὲ πολλούς· καὶ τῶν τετράρχων οὓς ὁμοδιαίτους ἦγε, νυκτὸς μιᾶς μετὰ
γυναικῶν καὶ παίδων τῶν οὐ πεπολεμηκότων· ἐπεὶ δὲ ἡμῖν καὶ φύσεως ἔχθραν
μᾶλλον ἢ πολέμου χρείαν ἐπεδείξατο· παντοίαις ἰδέαις κακῶν τοὺς ἀνὰ τὴν
Ἀσίαν Ἰταλιώτας, σὺν γυναιξὶ καὶ παισὶ καὶ θεράπουσι τοῖς οὖσι γένους Ἰταλικοῦ,
λυμηνάμενός τε καὶ κτείνας, τοσοῦτον ἐξήνεγκεν ἐς τὴν Ἰταλίαν μῖσος, ὁ νῦν ἡμῖν
ὑποκρινόμενος φιλίαν πρὸ ὧν, ἧς οὐ πρὶν εὐσκεδέδωκε μυριάδας ὑμῶν ὑπὸ
ὁμοῦ συγκοπῆναι, ἐμέμνητο δέ τε. ἀνθ' ὧν δίκαιον μὲν ἦν ἀπιστεῖν αὐτῷ τὰ
περὶ ἡμῶν γενέσθαι. σοῦ δὲ χάριν ὑποδέχομαι συγγνώμης αὐτὸν τεύξεσθαι
παρὰ Ῥωμαίων, ἢν τῷ ὄντι μεταγινώσκῃ. εἰ δὲ ὑποκρίνοιτο καὶ νῦν, ὥρα σοι
τὸ σαυτῷ σκοπεῖν ὦ Ἀρχέλαε, ἀνθυμουμένῳ μὲν ὅπως ἔχει τὰ παρόντα σοί τε
κἀκείνῳ· σκοποῦντι δὲ ὅτι πρό σου ἐκεῖνός τε ἑτέροις κέχρηται φίλοις, καὶ
ἡμᾶς, οἱ μὲν καὶ μανθάνουσι. ὡς δέ τι λέγοντος αὐτοῦ τὴν πεῖραν ἀπεσείσατο·

διοχράμας, ἔφη· τὸν ἐγχειρήσαντά σοι τῇ στρατηγίᾳ, οὔποτε προδώσω. ἐπὶ
πίζω δέ σοι δι' ἄλλα ἕξειν, ἢν μέτρια προστάξῃς. διαλιπὼν οὖν ὁ Σύλλας, ὀλίγ(ον)
εἶπεν· ἐὰν τὸν στόλον ἡμῖν, ὃν ἔχεις, ὦ Ἀρχέλαε, παραδῷς πάντα, Μιθριδάτης ἀποδώ-
σει στρατηγοῖς ἡμῶν, καὶ πρέσβεις καὶ αἰχμαλώτους, καὶ αὐτομόλους καὶ ἀνδράποδα
ἀποδράντα· καὶ Χίοις ἐπὶ τούτοις. ἐν ὅσους ἄλλους ἀνασπάστους ἐς τὸν Πόντον ἐποιή-
σατο μεθήσει· ἐξαγάγῃ δὲ καὶ τὰς φρουρὰς ἐκ πάντων φρουρίων· χωρὶς ὧν ἐκράτει πρὸ
τῆς δὲ τῆς παρασπονδήσεως. ἐσενέγκῃ δὲ ἡ δαπάνην τὴν δὲ τοῦ πολέμου
τὴν δι' αὐτὸν γενομένην. καὶ στέρξῃ μόνης ἄρχων τῆς πατρῴας δυναστείας. ἐλπίζω
δὲ πείσειν Ῥωμαίους αὐτῷ μηδὲν ἐπιμηνίσαι τῶν γεγονότων. ὁ μὲν δὴ τοσαῦτα ἐ-
εἶπεν. ὁ δ' Ἀρχέλαος τὰς μὲν φρουρὰς αὐτίκα πανταχόθεν ἐξῆγε· περὶ δὲ τῶν
ἄλλων ἐπέστελλε τῷ βασιλεῖ. καὶ Σύλλας τὴν ἐν τοσῷδε ἀργίαν διατιθέμενος,
Ἐνετοὺς ἐν Δαρδανεῖς καὶ Σιντούς, περίοικα Μακεδόνων ἔθνη, συνεχῶς ἐς Μακεδονίαν
ἐμβάλλοντα, ἐπιὼν ἐπόρθει· καὶ τὸν στρατὸν ἐγύμναζε· καὶ ἐχρηματίζετο ὁμοῦ. ἐλθόν-
των δὲ τῶν Μιθριδάτου πρέσβεων, οἳ τοῖς μὲν ἄλλοις συνετίθεντο· μόνην δὲ ἐξαιρούμενοι Παφλα-
γονίαν ἐπέσπων· ὅτι πολὺ πλειόνων ἂν ἐπιτύχῃ Μιθριδάτης, εἰ πρὸς τὸν ἕτερον ὑμῶν στρατηγὸν
διαλέγοιτο Φιμβρίαν. ἀγανακτήσας ὁ Σύλλας τῇ παραβολῇ, καὶ Φιμβρίαν ἔφη δώσειν δίκην,
καὶ αὐτὸς ἀνασκεψάμενος(?) ἐλεύσεσθαι ἐς Ἀσίαν, πότερα συνθηκῶν ἢ πολέμου δεῖται Μιθρι-
δάτης. ὧδε δ' εἰπών, ἤλαυνεν ἐπὶ Κυψέλων διὰ Θρᾴκης· Λούκουλλον ἐς Ἄβυδον προ-
πέμψας. ἤδη γὰρ αὐτῷ καὶ ὁ στόλος ἀφῖκτο· κινδυνεύσας μὲν ὑπὸ λῃστῶν ἁλῶναι
πολλάκις, στόλον δέ τινα νεῶν ἀγείρας ἀπό τε Κύπρου καὶ Φοινίκης· ἐν Ῥόδου καὶ
Παμφυλίας. ἐν πολλὰ δηώσας τῆς πολεμίας, καὶ τῶν τοῦ Μιθριδάτου νεῶν ἀποπειράσας
ἐν παράπλῳ. Σύλλας μὲν οὖν ἀπὸ Κυψέλων. ὁ Μιθριδάτης ἐκ Περγάμου, συνῄ-
εσαν αὖθις ἐς λόγους· ἐν κατέστησαν ἐς πεδίον ἀμφότεροι σὺν ὀλίγοις. φόβος τῶν
στρατῶν ἑκατέρωθεν. ἦρχε δ' ὁ λόγου Μιθριδάτης μὲν, ὑπομνήσας φιλίας καὶ
συμμαχίας ἰδίας. καὶ πατρῴας· καὶ ἐπὶ τοῖς Ῥωμαίων πρέσβεσι καὶ προβούλοις
ἐν στρατηγοῖς κατηγορίᾳ, ὧν ἐς αὐτὸν ἐπεπράχεσαν ἀδίκως· Ἀριοβαρζάνην
τε κατάγοντες ἐς Καππαδοκίαν· καὶ Φρυγίαν αὐτὸν ἀφαιρούμενοι· ἐν Νικομήδην
περιορῶντες ἀδικοῦντα. καὶ ταῦτ', ἔφη, πάντα ἔπραξαν ἐπὶ χρήμασι· παρ' ἀλλή-
λων παρ' ἐμοῦ τε ἢ παρ' ἐκείνων λαμβάνοντες· ὃ γὰρ δὴ μάλιστά τις ὑμῶν Ῥωμαίων καὶ
τοῖς πλείοσιν ἐπικαλέσειεν, ἐστὶν ἡ φιλοκέρδεια. ἀναρραγέντος δὲ ὑπὸ τῶν
ὑμετέρων στρατηγῶν τοῦ πολέμου, πάντα ὅσα ἀμυνόμενος ἔπραττον, ἀνάγκῃ
μᾶλλον ἢ κατὰ γνώμην ἐγίγνετο. ὁ μὲν δὴ Μιθριδάτης ὧδε εἰπὼν,

ἐπαύσατο. ὁ δὲ Σύλλας ὑπολαβὼν ἀπεκρίνατο· ἐφ' ἕτερα μὲν ἡμᾶς
ἐκάλεις, ὥστε τὰ προτεινόμενα ἀπαιτήσων(?)· οὐ μὴν ὀκνήσω, καὶ περὶ
τῶνδε διὰ βραχέων εἰπεῖν. ἐγὼ μὲν Καππαδοκίαν ἐς ἣν κατήγαγον Ἀριο-
βαρζάνην, Κιλικίας ἄρχων· ὧδε Ῥωμαίων ψηφισαμένων. ἐν σὺ κατήκουσας
ἡμῶν. δέον ἀντιλέγειν καὶ ἡμᾶς μεταδιδάσκειν, ἢ μηκέτι τοῖς ἐγνωσ-
μένοις ἀντιτιθέναι. Φρυγίαν δέ σοι Μάνιος ἔδωκεν ἐπὶ δωροδοκίᾳ.
ὃ κοινὸν ἦν ἀμφοῖν ἀδίκημα. καὶ τῷδε μάλιστα αὐτὴν ὁμολογεῖς οὐ
δικαίως λαβεῖν ἐκ δωροδοκίας. ὅτε Μάνιος ἐν τὰ ἄλλα ἠλέγχθη παρ'
ἡμῖν ἐπὶ χρήμασι πράξας. ἐν πάντα ἀνῄρει ἡ βουλή. ᾧ λόγῳ ἐν Φρυ-
γίαν ἀδίκως σοι δοθεῖσαν, οὐχ ἑαυτῇ συντελῆ ἐπέταξεν τοῖς φόροις,
ἀλλ' αὐτόνομον μεθῆκεν. ὧν δὲ ἡμᾶς οἱ πολέμῳ λαβόντες οὐκ ἀξιοῦμεν ἄρχειν,
τίνι λόγῳ σὺ καθέξεις. Νικομήδης δέ, αἰτιώμενός σε, Ἀλέξανδρον αὐτῷ
τοῦτο σῶμα τρώσαντα(?), ἐπιπέμψαι· καὶ Σωκράτη τὸν Χρηστὸν ἐπὶ τὴν ἀρχὴν
ἐπάξαι αὐτὸς ἀμυνόμενος, ἐς τὴν σὴν ἐμβαλεῖν. εἰ δέ τις ὅμως ἠδικοῦ,
ἐς Ῥώμην πρεσβεύειν ἔδει. ἐν τὰς ἀποκρίσεις ἀναμένειν. εἰ δὲ ἐν θᾶττον
ἠμύνου Νικομήδη, πῶς καὶ Ἀριοβαρζάνην ἀπήλαυνες, οὐδὲν ἀδικοῦντα;
ἐκβαλὼν δ' ἀνάγκην ἐπέθηκας τοῖς περὶ Ῥωμαίους, κατάγειν αὐτόν. καὶ
κατάγοντας κωλύων, σὺ τὸν πόλεμον ἐξῆψας. ἐγνωκὼς μὲν οὕτω πρὸ
πολλοῦ ἐν ᾧ ἤδη ἐπὶ δὴ ἔχων γῆς ἁπάσης ἄρξειν ἢ Ῥωμαίων κρατήσας, προ-
φάσεσι δ' ἐπὶ τὴν γνώμην τὰς δὲ ποιούμενος. καὶ τούτου τεκμήριον, ὅτι καὶ
Θρᾷκας καὶ Σκύθας ἐν Σαυρομάτας οὔπω τινὶ πολεμῶν, ἐς συμμαχίαν ἐπήγου·
ἐς τοὺς ἀγχοῦ βασιλέας περιέπεμπες· ναῦς τε ἐποιοῦ· καὶ πρωρέας ἐν κυ-
βερνήτας συνεκάλεις. μάλιστα δ' ὁ καιρὸς ἤλεγξε τῆς ἐπιβουλῆς. ὅτε
γὰρ τὴν Ἰταλίαν ἀφισταμένην ἡμῶν ᾔσθου, τὴν ἀσχολίαν τὴν δὲ ἡμῶν φυ-
λάξας, ἐπέθου μὲν Ἀριοβαρζάνῃ ἐν Νικομήδει· ἐν Γαλάταις· ἐν Παφλαγο-
νίᾳ. ἐπέθου δὲ Ἀσίᾳ τῷ ἡμετέρῳ χωρίῳ. καὶ λαβὼν οἷα δέδρακας, ἢ τὰς πό-
λεις αἷς τοὺς θεράποντας ἐν χρήστας ἐπέστησας. ἐλευθερίας καὶ χρεῶν ἀποκο-
παῖς, ἢ τοὺς Ἕλληνας, ὧν μετὰ προφάσεως χιλίους ἐν ἑξακοσίους διέφθειρας, ἢ
Γαλατῶν τοὺς τετράρχας οὓς ὁμοδιαίτους ἔχων ἀπέκτεινας. ἢ τὸ τῶν Ἰταλιω-
τῶν γένος, οὓς μιᾷ ἡμέρᾳ σὺν βρέφεσι ἐν μητράσιν ἔκτεινάς τε καὶ κατεπον-
τώσας· οὐκ ἀποσχόμενος. οὐδὲ τῶν ἐς τὰ ἱερὰ συμφυγόντων. ὅσην μὲν ὠ-
μότητα σὺ(?)· πόσην δὲ ἀσέβειαν ἐν ὑπερβολὴν μίσους ἐς ἡμᾶς προενήνοχε·

σφετερισάμενος δὲ πάντων τὰ χρήματα, ἃ τῷ ἀργυρώνῃ ἐπῆρας μεγάλοις στρα-
τοῖς· ἡμῶν ἀπειρημένον ἅπασι τῆς Ἀσίας βασιλεῦσι τῆς Εὐρώπης μηδὲ ἐπιβαίνειν·
διαπλεύσας δέ, Μακεδονίαν τε ἡμετέραν οὖσαν ἐπέτρεχες· καὶ τοὺς Ἕλληνας τὴν
ἐλευθερίαν ἀφῃροῦ· οὐ πρίν τε ἤρξω μετανοεῖν· οὐδ᾽ Ἀρχέλαος ὑπὸ σοῦ παρακαλεῖν,
ἢ Μακεδονίαν μὲν ἐμὲ ἀνασώσασθαι, τὴν δὲ Ἑλλάδα τῆς σῆς ἐκλῦσαι βίας. ἐκ καὶ
δέκα μυριάδας τοῦ σοῦ στρατοῦ κατακόψαι· καὶ τὸ στρατόπεδον λαβεῖν αὐταῖς
παρασκευαῖς· ὃ θαυμάζω δὲ δικαιολογουμένου νῦν, ἐφ᾽ οἷς δι᾽ Ἀρχελάου
παρεκάλεις· ἢ πόρρω μὲν ὄντα με ἐδεδοίκεις· ἀγχοῦ δὲ γενόμενον, ἐπὶ δί-
κῃ ἐληλυθέναι νομίζεις· ἧς ὁ καιρὸς ἀνήλωται. ὅτε πολεμήσαντος
σοῦ μέν, καὶ ἡμῶν ἀμυναμένων ἐγκαρτερῶς. καὶ ἀμυνοῦμεν ἐς τέλος.
τοιαῦτα τοῦ Σύλλα μετ᾽ ὀργῆς ἔτι λέγοντος, μετέπιπτεν ὁ βασιλεὺς καὶ ἐδεδοίκει.
καὶ ταῖς δι᾽ Ἀρχελάου γενομέναις συνθήκαις ἐνεδίδου· τάς τε ναῦς καὶ τὰ ἄλλα
πάντα παραδούς, ἐς τὸν Πόντον ἐπὶ τὴν πατρῴαν ἀρχὴν ἐπανῄει μόνην. ὧδε μέν,
ὁ πρῶτος Μιθριδάτου τε καὶ Ῥωμαίων πόλεμος κατεπαύετο. Σύλλας δὲ Φιμβρίου
δύο σταδίους ἀποσχών, ἐκέλευε παραδοῦναι οἱ τὸν στρατόν, οὐ παρανόμως ἄρχοντι. ὁ δ᾽
ἀντεπέσκωπτε μέν, ὡς οὐδ᾽ ἐκεῖνος ἔτι ἐννόμως ἄρχει· περιταφρεύοντος δὲ αὐτὸν
τοῦ Σύλλα, πολλῶν οὐκ ἀφανῶς ἀποδιδρασκόντων, ἐκκλησιάζων τοὺς λοιποὺς ὁ Φιμβρί-
ας συναγαγών, παρεκάλει παραμένειν· οὐ φαμένων δὲ πολεμήσειν πολίταις, καταρρή-
ξας τὸν χιτωνίσκον, ἑκάστοις προσέπιπτεν· ὡς δὲ καὶ τοῦτ᾽ ἀπεστρέφοντο, καὶ πολλαὶ
ἐγίγνοντο αὐτομολίαι, τὰς σκηνὰς τῶν ἡγεμόνων περιῄει· καί τινας αὐτῶν χρήμασι
διαφθείρας, ἐς ἐκκλησίαν αὖθις συνεκάλει· καὶ συνομνύναι οἱ προσέταττεν· ἐκ-
βοησάντων δὲ τῶν ἐντεταγμένων, ὅτι δέοι καλεῖν ἐπὶ τὸν ὅρκον ἐξ ὀνόματος, ὁ μὲν, ἐκήρυττε
τοὺς ἀεί τι παθόντας ὑφ᾽ ἑαυτοῦ· καὶ Νώνιον πρῶτον ἐκάλει κοινωνὸν οἱ πάντων γεγονότα.
οὐκ ὀμνύντος δὲ οὐδ᾽ ἐκείνου, τὸ ξίφος ἐπισπασάμενος ἐπηπείλει κτενεῖν αὐτόν, μέχρι
βοῆς ἐκ πάντων γενομένης καταπλαγείς, καὶ τοῦδε ἐπαύετο. θεράποντα δὲ χρήμασι
πείσας [illegible], ἔπεμψεν αὐτόμολον, ἐπιχειρεῖν τῷ Σύλλα
σώματι. ὁ δέ, τῷ ἔργῳ πλησιάζων καὶ ταρασσόμενος, ἐκ τοῦδε ὕποπτος γενό-
μενος, συνελήφθη τε καὶ ὡμολόγησε. ὁ δὲ στρατὸς ὁ τοῦ Σύλλα σὺν ὀργῇ καὶ κατα-
φρονήσει περιστάντες τὸ τοῦ Φιμβρίου χαράκωμα, καθελοιδόρουν αὐτόν. καὶ
Ἀθηνίωνα ἐκάλουν· ὃς δραπετῶν τῶν ἐν Σικελίᾳ ποτὲ ἀποστάντων ὀλιγήμερος
γεγένητο βασιλεύς. ἐφ᾽ οἷς ὁ Φιμβρίας ἀπογνούς, ἐπὶ τὴν τάφρον προῆλθε·
καὶ Σύλλαν αὐτῷ παρεκάλει συνελθεῖν ἐς λόγους. ὁ δέ, ἀνθ᾽ ἑαυτοῦ Ῥουτίλιον

ἔπεμπε. ὃ δὴ πρῶτον ἤλγησε τὸν Φιμβρίαν· οὐδὲ συνόδου ἀξιουμένης καὶ
τοῖς πολεμίοις ἀξιωθείσης. δεομένῳ δὲ τῷ συγγνώμης τυχεῖν εἴ τινος ἐξ-
ήμαρτεν, ὁ Ῥουτίλιος ὑπέσχετο Σύλλαν ἀφήσειν ἐπὶ θάλασσαν ἀπαθῆ διελθεῖν,
εἰ μέλλοι τῆς Ἀσίας ἐκχωρήσειν, ἧς Σύλλας ἀνθύπατος, ἀποπλεύσεσθαι. ὁ δέ, εἰπὼν
ὁδὸν ἔχειν κρείττονα, ἐπανῆλθεν ἐς Πέργαμον· καὶ ἐς τὸ τοῦ Ἀσκληπιοῦ ἱερὸν
παρελθών, ἐχρήσατο τῷ ξίφει· οὐ καιρίας δὲ αὐτῷ τῆς πληγῆς γενομένης, ἐκέλευσε
τὸν παῖδα ἐπερεῖσαι· ὁ δὲ, καὶ τὸν δεσπότην ἔκτεινε, καὶ αὑτὸν ἐπὶ τῷ δεσπότῃ. οὕτω
μὲν ὁ Φιμβρίας ἀπέθανε, πολλὰ τὴν Ἀσίαν ἐπὶ Μιθριδάτῃ λυμηνάμενος. ὃν αὐτοῦ
ὁ Σύλλας ἀφῆκε τοῖς ἀπελευθέροις θάψαι· ὁ ἐπειπών, οὐ μιμήσεσθαι Κίνναν καὶ Μάριον,
οἳ Ῥωμαίων θάνατόν τε πολλῶν καὶ ἀταφίαν ἐπὶ τῷ θανάτῳ κατέγνωσαν. τὸν δὲ στρατὸν
τοῦ Φιμβρίου προσιόντα οἱ, δεξιωσάμενός τε καὶ τῷ σφετέρῳ συναγαγών, Κουρίωνι
προσέταξε Νικομήδην ἐς Βιθυνίαν καὶ Ἀριοβαρζάνην ἐς Καππαδοκίαν καταγαγεῖν. τῇ τε
βουλῇ περὶ πάντων ἐπέστελλεν, οὐχ ὑποκρινόμενος ἐψηφισμένος πολέμιος.
αὐτὴν δὲ τὴν Ἀσίαν καθιστάμενος, Ἰλιέας μὲν καὶ Χίους καὶ Λυκίους καὶ Ῥοδίους καὶ
Μαγνησίαν καί τινας ἄλλους, ἢ συμμαχίας ἀμειβόμενος, ἢ ὧν διὰ προθυμίαν
ἐπεπόνθεσαν, ἐλευθέρους ἠφίει, καὶ Ῥωμαίων ἀνέγραφε φίλους.
ἐς δὲ τὰ λοιπὰ πάντα, στρατιὰν περιέπεμπε· καὶ τοῖς θεράπουσιν οἷς ἐλευθερίαν
ἐδεδώκει Μιθριδάτης, ἐκήρυττεν αὐτίκα ἐς τοὺς δεσπότας ἐπανιέναι. πολλῶν
δὲ ἀπειθούντων, καὶ πόλεών τινων ἀφισταμένων, ἐγίγνοντο σφαγαὶ κατὰ πλῆθος ἐλευθέ-
ρων τε καὶ θεραπόντων, ἐπὶ ποικίλαις προφάσεσι. τείχη τε πολλῶν καθῃρεῖτο·
καὶ συχνὰ τῆς Ἀσίας ἠνδραποδίζετο. οἵ τε καππαδοκίσαντες ἄνδρες ἢ πόλεις
ἐκολάζοντο πικρῶς· καὶ μάλιστα αὐτῶν Ἐφέσιοι, σὺν αἰσχρᾷ κολακείᾳ ἐς τὰ
Ῥωμαίων ἀναθήματα ἐνυβρίσαντες. ἐπὶ δὲ τοῖσδε καὶ κήρυγμα περιῄει
τοῖς ἐν ἀξιώσει κατὰ πόλιν, ἐν ἡμέρᾳ ῥητῇ πρὸς τὸν Σύλλαν ἀπαντᾶν ἐς
Ἔφεσον. ὁ συνελθοῦσιν αὐτοῖς, ἐπὶ τοῦ βήματος ἐδημηγόρησεν ὧδε. ἡμεῖς
στρατῷ πρῶτον ἐς Ἀσίαν παρήλθομεν, Ἀντιόχου τοῦ Σύρων βασιλέως πορθοῦντος
ὑμᾶς. ἐξελάσαντες δ᾽ αὐτόν, καὶ τὸν Ἅλυν καὶ Ταῦρον αὐτῷ τιθέμενοι τῆς ἀρχῆς
ὅρον, οὐ κατέσχομεν ὑμῶν ἡμετέρων ἐξ ἐκείνου γενομένων· ἀλλ᾽ ἀφήκαμεν
αὐτονόμους· πλὴν εἴ τινας Εὐμένει καὶ Ῥοδίοις συμμάχοις οὖσιν ἐνέδομεν,
οὐχ ὑποτελεῖς, ἀλλ᾽ ἐπὶ προστάταις εἶναι. τεκμήριον δ᾽ ὅτι Λυκίους αἰτιωμένους
τι Ῥοδίων ἀπηλλάξαμεν. ἡμεῖς μὲν δὴ τοιοίδε περὶ ὑμᾶς γεγόναμεν. ὑμεῖς
δὲ Ἀττάλου τοῦ Φιλομήτορος τὴν ἀρχὴν ἡμῖν ἐν διαθήκαις καταλιπόντος,

Ἀριστονίκῳ καθ᾽ ἡμῶν τέτταρσιν ἔτεσι συνεμαχεῖτε· μέχρι Ἀριστόνικος
ἑάλω· καὶ ὑμῶν οἱ πλέονες ἐς ἀνάγκην καὶ φόβον περιήλθετε. καὶ ὧδε
πράξαντες, ὅμως ἐν εἴκοσι καὶ τέτταρσιν ἔτεσιν ἐς μέγα πλούτου καὶ κάλλους κατα-
σκευῆς ἰδιωτικῆς τε καὶ δημοσίας προήλθετε, ὑπὸ τῆς εἰρήνης καὶ τρυφῆς ἐξυβρί-
σατε αὖθις· καὶ τὴν ἀσχολίαν ἡμῶν τὴν ἀμφὶ τὴν Ἰταλίαν φυλάξαντες, οἱ μὲν,
ἐπηγάγεσθε Μιθριδάτην· οἱ δὲ ἐλθόντι συνέθεσθε· ὃ δ᾽ ἦν πάντων μιαρώτατον,
ὑπέστητε αὐτῷ μιᾶς ἡμέρας τοὺς Ἰταλιώτας ἅπαντας αὐτοῖς παισὶ καὶ μητράσιν
ἀναιρήσειν· καὶ οὐδὲ τῶν ἐς τὰ ἱερὰ συμφυγόντων διὰ τοὺς ὑμετέρους θεοὺς, ἐφείσασθε·
ἐφ᾽ οἷς ἔδωκε μέν τινα καὶ αὐτῷ Μιθριδάτῃ δίκην· ἀπιστοῦντι ἐς ὑμᾶς γενομένῳ
καὶ φόνου καὶ δημεύσεων ἐμπλήσαντι ὑμᾶς· καὶ γῆς ἀναδασμοὺς ἐργασαμένῳ
καὶ χρεῶν ἀποκοπάς· καὶ δούλων ἐλευθερώσεις· καὶ τυράννους ἐπιστήσαντι ἐνίοις· καὶ λῃστήρια
πολλὰ, ἀνά τε γῆν καὶ θάλασσαν, ὡς αὐτίκα ὑμᾶς ἔχειν ἐν πείρᾳ καὶ παραβολῇ,
οἵους ἀνθ᾽ οἵων προστάτας ἐπηγάγεσθε· ἔδοσαν δέ τινα καὶ ἣν μὲν δίκην ὡς τῶνδε
ἄρξαντες· ἀλλὰ δεῖ καὶ κοινὴν ὑμῖν ἐπιτεθῆναι, τοιάδε εἰργασμένοις· ἣν ἐοικὸς
μὲν καὶ οἷς ἐδράσατε γενέσθαι· μὴ ποτε δὲ Ῥωμαῖοι σφαγὰς ἀσεβεῖς, ἢ δη-
μεύσεις ἀβούλους, ἢ δούλων ἐπαναστάσεις, ἢ ὅσα ἄλλα βάρβαρα, μηδὲ ἐπὶ
νοῦν λάβοιεν· φειδοῖ δὲ γένους ἔτι καὶ ὀνόματος Ἑλληνικοῦ. καὶ δόξης τῆς ἐπὶ
τῇ Ἀσίᾳ καὶ τῆς φιλτάτης Ῥωμαίοις φήμης, μόνοις ὑμῖν ἐπιγράφω
πέντε ἐτῶν φόρους ἐσενεγκεῖν αὐτίκα, καὶ τὴν τοῦ πολέμου δαπάνην, ὅση τε γέγονέ
μοι, καὶ ἔσται καθισταμένῳ τὰ ὑπόλοιπα· διαιρήσω δὲ ταῦθ᾽ ἑκάστοις ἐγὼ κατὰ
πόλεις· καὶ τάξω προθεσμίαν ταῖς ἐσφοραῖς· καὶ τοῖς οὐ φυλάξασιν, ἐπιθήσω
δίκην ὡς πολεμίοις· τοσαῦτ᾽ εἰπών, ἐπιδιῄρει τοῖς πρέσβεσι τὴν ζημίαν· καὶ
ἐπὶ τὰ χρήματα ἔπεμπεν· αἱ δὲ πόλεις ἀποροῦσαί τε καὶ δανειζόμεναι με-
γάλων τόκων, αἱ μὲν, τὰ θέατρα τοῖς δανείζουσιν· αἱ δὲ, τὰ γυμνάσια, ἢ τείχος,
ἢ λιμένας, ἤ τι δημόσιον ἄλλο σὺν ὕβρει στρατιωτῶν ἐπειγόντων ὑπετίθεντο·
τὰ μὲν δὴ χρήματα ὧδε τῷ Σύλλᾳ συνεκομίζετο· καὶ κακῶν ἅλις εἶχεν ἡ Ἀσία·
ἐπέπλει δὲ αὐτῇ καὶ λῃστεία πολλὴ ἀναφανδὸν, στόλοις ἐοικότα μᾶλλον ἢ
λῃσταῖς· Μιθριδάτου μὲν αὐτὰ πρῶτον καθέντος ἐς τὴν θάλασσαν, ὅτε πάντα ὡς
οὐκ ἐς πολὺ καθέξων ἐδῄου· πλεονασάντων δὲ τότε μάλιστα, οὐ τοῖς
πλέουσι μόνοις, ἀλλὰ καὶ λιμέσι καὶ χωρίοις καὶ πόλεσιν ἐπιχειροῦντα φανερῶς·
Ἴασος γέ τοι, καὶ Σάμος καὶ Κλαζομεναί, καὶ Σαμοθρᾴκη, Σύλλα παρόντος,
ἐλήφθησαν· καὶ τὸ ἱερὸν ἐσυλήθη τὸ Σαμοθρᾴκιον, χιλίων ταλάντων κόσμον·

ὡς ἐνομίζετο· ὁ δέ, ἢ τοὺς ἀδικοῦντας ὡς ἁμαρτάνοντας ἐνυβρίζεσθαι καταλιπών,
ἢ τὲ ἐπὶ τὴν Ῥώμην στάσιν ἐπειγόμενος, ἐς τὴν Ἑλλάδα· καὶ ἀπ᾽ αὐτῆς ἐς
τὴν Ἰταλίαν μετὰ τοῦ πλείονος στρατοῦ διέπλει· καὶ τὰ μὲν ἀμφὶ Σύλλαν, ἐν τοῖς
ἐμφυλίοις ἀναγέγραπται· ἄρχεται δὲ ὁ δεύτερος Ῥωμαίοις τε καὶ Μιθριδάτῃ πό-
λεμος ἐνθένδε· Μουρήνας μὲν ὑπὸ Σύλλα σὺν δύο τέλεσι τοῖς Φιμβρίου καθί-
στασθαι τὰ λοιπὰ τῆς Ἀσίας ὑπελέλειπτο· καὶ πολέμων ἀφορμὰς ἠρεσχήλει,
σὺν ἐπιθυμίᾳ θριάμβου· Μιθριδάτης δὲ ἐς τὸν Πόντον ἐσπλεύσας, Κόλχοις
καὶ Βοσποριανοῖς ἀφισταμένοις ἐπολέμει· ὧν Κόλχοι τὸν υἱὸν αὐτοῦ
Μιθριδάτην, βασιλέα σφίσιν ᾔτουν δοθῆναι· καὶ λαβόντες αὐτίκα
ὑπήκουσαν· ὑποπτεύσας δὲ ὁ βασιλεὺς τόδε πρὸς τοῦ παιδὸς αὐτοῦ βασιλείας
ἐπιθυμοῦντος γενέσθαι, καλέσας αὐτὸν, ἔδησεν ἐν πέδαις χρυσαῖς· καὶ μετ᾽ οὐ
πολὺ ἀπέκτεινε· πολλὰ χρήσιμον περὶ τὴν Ἀσίαν ἐν τοῖς πρὸς Φιμβρίαν
ἀγῶσι γενόμενον· ἐπὶ δὲ Βοσποριανούς, ναῦς τε συνεπήγνυτο· καὶ στρατὸν
ἡτοιμάζετο πολύν· ὡς τὸ μέγεθος αὐτῷ τῆς παρασκευῆς, δόξαν ἐγεῖραι
ταχεῖαν, οὐκ ἐπὶ Βοσποριανοῖς, ἀλλ᾽ ἐπὶ Ῥωμαίους τάδε συλλέγεσθαι· οὐ
γάρ πω οὐδὲ Ἀριοβαρζάνῃ πᾶσαν ἐβεβαίου Καππαδοκίαν· ἀλλ᾽ ἔστιν αὐτῆς
ἃ καὶ τότε κατεῖχεν· Ἀρχέλαόν τε ἐν ὑποψίᾳ ἐτίθετο, ὡς πολλὰ παρὰ τοῦ
δέοντος κατὰ τὴν Ἑλλάδα ἐν ταῖς διαλύσεσιν ἐπιχωρήσαντα τῷ Σύλλᾳ· ὧν ὁ
Ἀρχέλαος αἰσθανόμενός τε καὶ δείσας, ἐς Μουρήναν ἔφυγε· καὶ παροξύνας
αὐτὸν ἔπεισε Μιθριδάτῃ προεπιχειρεῖν· Μουρήνας μὲν δὴ διὰ Καππα-
δοκίας αὐτίκα ἐσβαλὼν ἐς Κόμανα πόλιν ὑπὸ τῷ Μιθριδάτῃ μεγίστην, σε-
βάσμιον ἱερὸν καὶ πλούσιον ἔχουσαν, ἱππέας τινὰς ἔκτεινε τοῦ Μιθριδάτου· καὶ
πρέσβεσιν αὐτοῦ τὰς συνθήκας προτείνουσιν, οὐκ ἔφη συνθήκας ὁρᾶν· οὐ
γὰρ συνεγέγραπτο Σύλλας· ἀλλ᾽ ἔργῳ τὰ λεχθέντα βεβαιώσας, ἀπήλλακτο·
ταῦτα δ᾽ εἰπὼν ὁ Μουρήνας, ἀδεῶς ἐλεηλάτει· καὶ οὐδὲ τῶν ἱερῶν χρημάτων
ἀπεχόμενος, ἐχείμαζεν ἐν Καππαδοκίᾳ· Μιθριδάτης δὲ ἐς Ῥώμην ἔπεμπε
πρός τε τὴν βουλὴν καὶ πρὸς Σύλλαν, αἰτιώμενος ἃ ποιεῖ Μουρήνας· ὁ δὲ ἐν τῷ
τὸν Ἅλυν ποταμὸν περάσας, μέγαν τε ὄντα καὶ δύσπορον, τότε μάλιστα αὐτῷ
γενόμενον ὑπὸ ὄμβρων, τετρακοσίας τοῦ Μιθριδάτου κώμας ἐπέτρεχεν, οὐκ
ἀπαντῶντος οὐδὲν αὐτῷ τοῦ βασιλέως, ἀλλὰ τὴν πρεσβείαν ἀναμένοντος·
λείας δὲ πολλῆς καταγέμων, ἐς Φρυγίαν καὶ Γαλατίαν ἐπανῄει· ἔνθα αὐτῷ
Καλλίδιος ἐπὶ ταῖς Μιθριδάτου μέμψεσι πεμφθεὶς ἀπὸ Ῥώμης, ψήφισμα

μὲν οὐδὲν ἐπέλυσε· ἐφεδρεύων δ' ἐπέσκοπον ἀνέμενε, τὸ βούλευμα αὐτοῦ κηδόμενος
φείδεσθαι τοῦ βασιλέως, οὔτε σπονδὰς ... ταῦτα δ' εἰπών, ὤφθη διαλεγόμενος
αὐτῷ μόνῳ. καὶ ὁ Μουρήνας οὐδὲν ἀνῆκε τῆς ὁρμῆς, ἀλλὰ καὶ τότε τὴν γῆν ἐπῄει τοῦ
Μιθριδάτου. ὁ δέ, σαφῶς ὑπὸ Ῥωμαίων ἡγούμενος πολεμεῖσθαι, Γόρδιον ἐς
τὰς κώμας ἐμβαλεῖν ἐκέλευσε. καὶ αὐτίκα ὁ Γόρδιος, ὑποζύγιά τε πολλὰ καὶ
σκευοφόρα, καὶ ἰδιώτας τε καὶ στρατιώτας συνήρπαζε· καὶ τῷ Μουρήνᾳ, μετα-
λαβὼν ποταμόν, ἀντεκαθέζετο. μάχης δ' οὐδέτερος ἦρχεν, ἕως ἀφίκετο Μι-
θριδάτης σὺν τῷ πλείονι στρατῷ. καὶ ἀμφὶ τῷ ποταμῷ μάχη γίνεται καρτερά.
καὶ βιασάμενος ὁ Μιθριδάτης ἐπέρα τὸν ποταμόν, καὶ τἆλλα πολὺ κρατῶν
τοῦ Μουρήνα γενόμενος. ὁ δὲ ἐς λόφον καρτερὸν ἀναφυγών, ἐπιχειροῦντος
αὐτῷ τοῦ βασιλέως, πολλοὺς ἀποβαλών, ἔφυγε διὰ τῶν ὀρῶν ἐπὶ Φρυγίας, ὁδὸν
ἄτριβῆ, βαλλόμενός τε καὶ χαλεπῶς. ἥ τε νίκη λαμπρὰ καὶ ὀξεῖα ἐς φόδον γενο-
μένη, ταχὺ διέπτη· καὶ πολλοὺς ἐς τὸν Μιθριδάτην μετέβαλεν. ὁ δὲ καὶ τὰ ἐν Καπ-
παδοκίᾳ φρούρια τοῦ Μουρήνα πάντα ἐπιδραμών τε καὶ ἐξελάσας, ἔθυε τῷ στρατίῳ
Διί, πάτριον θυσίαν ἐπὶ ὄρους ὑψηλοῦ κορυφήν, μείζονα ἄλλην ἀπὸ ξύλων
ἐπιτιθείς. πρῶτοι δ' αὐτὸν οἱ βασιλεῖς ξυλοφοροῦσι. καὶ περιθέντες ἑτέραν
ἐν κύκλῳ βραχυτέραν, τῇ μὲν ἄνω γάλα, μέλι, καὶ οἶνον καὶ ἔλαιον, καὶ θυ-
μιάματα πάντα ἐπιφοροῦσι· τῇ δὲ ἐπιπέδῳ, σῖτόν τε καὶ ὄψον ἐς ἄριστον τοῖς
παροῦσιν ἐπιτιθέντες, οἷόν τι καὶ ἐν Πασαργάδαις ἐστὶ τοῖς Περσῶν βασιλεῦσι
γένος θυσίας, ἀνάπτουσι τὴν ὕλην. ἡ δὲ ἁπτομένη διὰ τὸ μέγεθος, ἐκ πολλοῦ τε χιλίων
σταδίων γίγνεται τοῖς πλέουσι καταφανής. καὶ πελάσαι φασὶν οὐ πολλῶν ἡμερῶν,
ἀναφλεγομένου τοῦ ἀέρος, οὐ δυνατὸν εἶναι. ὁ μὲν δὴ τὴν θυσίαν ἦγε πατρίῳ νόμῳ.
Σύλλας δ' οὐκ ἀξιῶν τὸν Μιθριδάτην ἔνσπονδον πολεμεῖσθαι, Αὖλος Γαβίνιος
ἐπέμφθη, Μουρήνᾳ μὲν ἀληθῶς τῷδε προαγορεύσων μὴ πολεμεῖν Μι-
θριδάτῃ· Μιθριδάτην δὲ καὶ Ἀριοβαρζάνην ἀλλήλοις συναλλάξων. ὁ δὲ
Μιθριδάτης ἐν τῇ δὲ τῇ συνόδῳ παιδίον τετραετὲς ἐγγυήσας τῷ Ἀριοβαρ-
ζάνῃ, καὶ ἐπὶ τῇδε προφάσει λαβὼν ἔχειν Καππαδοκίας ὅσα τε εἶχε, καὶ ἕτερα
ἐπ' ἐκείνοις, εἱστία πάντας. καὶ χρυσίον ἐπί τε τῇ κύλικι καὶ τῇ τροφῇ. καὶ
ἐπισκώμμασι καὶ ἐπῳδαῖς, καὶ πᾶσιν ὡς πατρῷον ἔθος προυτίθει· οὐ μόνος
Γαβίνιος οὐχ ἥψατο. ὁ μὲν δὴ δεύτερος Μιθριδάτῃ καὶ Ῥωμαίοις πόλεμος,
τελευτῶν μάλιστα ἐς τρίτον ἐτελεύτα. καὶ σχολὴν ἄγων ὁ Μιθριδάτης, Βόσπορον
ἐχειροῦτο, καὶ βασιλέα αὐτοῖς τῶν υἱῶν ἕνα ἀπέδειξε Μαχάρην. τῶν δ' Ἀχαιῶν

τοὺς ὑπὲρ Κόλχους ἐμβαλών, οἳ δοκοῦσιν εἶναι τῶν ἐκ Τροίας καθ' ἑαυτὰ ἐπάνοδον
πλανηθέντων, δύο μέρη τοῦ στρατοῦ πολέμῳ τε καὶ κρύει καὶ ἐνέδραις
ἀποβαλών, ἐπανῆλθε. καὶ ἐς Ῥώμην τοὺς συγγραψομένους τὰ συγκείμενα· ἔ-
πεμπε δὲ καὶ Ἀριοβαρζάνης, ἢ ὑπ' ἐκείνων, οὔτε προστιθεὶς οὔτ' ἐνοχλούμενος, οὐκ ἀπο-
λαμβάνων Καππαδοκίαν, ἀλλὰ τὸ πλέον αὐτῆς ἔτι Μιθριδάτην ἀφαιρεῖσθαι. Μι-
θριδάτης μὲν οὖν Σύλλα κελεύσαντος αὐτῷ μεθεῖναι Καππαδοκίαν, μεθῆκε. καὶ
ἑτέραν πρεσβείαν ἔπεμπε, ἐπὶ τὰς τῶν συνθηκῶν συγγραφάς. ἤδη δὲ Σύλλα τε-
θνεῶτος, οὐκ ἐπαγόντων αὐτὴν ὡς ἐν ἀσχολίᾳ τῶν προβούλων ἐπὶ τὸ κοινόν, Τιγράνην
τὸν γαμβρὸν Μιθριδάτης ἔπεμπεν ἐς Καππαδοκίαν ἐμβαλεῖν, ὡς παρ' ἑαυτοῦ. καὶ
τὸ μὲν σόφισμα οὐκ ἔλαθε Ῥωμαίους. ὁ δ' Ἀρμένιος Καππαδοκίαν σαγηνεύσας, ἐς
τριάκοντα μυριάδας ἀνθρώπων ἀνασπάσας ἐς Ἀρμενίαν ἐπῴκισε. καὶ συνῴκιζεν
αὐτοὺς μεθ' ἑτέρων ἔς τι χωρίον, ἔνθα πρῶτον Ἀρμενίας τὸ διάδημα αὐτὸς περιέθη-
κατο. καὶ Τιγρανόκερταν ἀφ' ἑαυτοῦ προσεῖπε, δύναται δ' εἶναι Τιγράνου
πόλις. καὶ τάδε μὲν ἦν ἐν Ἀσίᾳ. Σερτώριος δὲ Ἰβηρίας ἡγούμενος, αὐτήν τε
Ἰβηρίαν καὶ τὰ περίοικα πάντα ἐπὶ Ῥωμαίους ἀνίστη. καὶ βουλὴν ἐκ τῶν
οἱ συνόντων, ἐς μίμημα τῆς συγκλήτου κατέλεγε. δύο δ' αὐτοῦ τῶν στασιωτῶν,
Λούκιοι Μάγνιός τε καὶ Φάννιος, Μιθριδάτην ἔπειθον συμμαχῆσαι τῷ Σερτω-
ρίῳ, πολλὰ περὶ Ἀσίας αὐτῷ καὶ τῶν ἐγγὺς ἐθνῶν ἐπελπίζοντες. ὁ μὲν δὴ
πεισθείς, ἐς τὸν Σερτώριον ἔπεμψεν. ὁ δὲ τοὺς πρέσβεις ἐπὶ τὴν ἑαυτοῦ
σύγκλητον παραγαγών τε καὶ μεγαλοφρονούμενος, ὅτι τὸ κλέος αὐτοῦ καὶ ἐς
τὸν Πόντον διίκοιτο, καὶ Ῥωμαίους ἕξοι πολιορκεῖν ἀπό τε δύσεως καὶ ἐξ
ἀνατολῆς, συνετίθετο τῷ Μιθριδάτῃ δώσειν Ἀσίαν τε καὶ Βιθυνίαν, καὶ
Παφλαγονίαν, καὶ Καππαδοκίαν καὶ Γαλατίαν. στρατηγόν τε αὐτῷ Μάρκον
Οὐάρειον, καὶ συμβούλους τοὺς Λουκίους Μάγνιόν τε καὶ Φάννιον ἔπεμπε.
μεθ' ὧν ὁ Μιθριδάτης ἐξέφαινε τὸν τρίτον καὶ τελευταῖον οἱ γενόμενον Ῥω-
μαίοις πόλεμον· ἐν ᾧ πᾶσαν ἀπώλεσε τὴν ἀρχήν. Σερτωρίου μὲν ἀποθ-
ανόντος ἐν Ἰβηρίᾳ, ἐπιπεμφθέντων δὲ οἱ στρατηγῶν ἀπὸ Ῥώμης, προ-
τέρου Λουκούλλου τοῦ δὲ τοῦ ἐν γε αὐτῷ ἄρχοντος Σύλλα, ὕστερον δὲ Πομπηΐου·
ἐφ' ὅτου πάντα ὅσα τὴν Μιθριδάτου καὶ ὅσα αὐτοῖς γείτονα ὄντα, μέχρις ἐπὶ
ποταμὸν Εὐφράτην, προφάσει τῇ ὁρμῇ τοῦ Μιθριδατείου πολέμου, Ῥω-
μαίοις ἅπαντα περιενήνεκται. Μιθριδάτης μὲν οὖν, οἷα Ῥωμαίοις πολλάκις
ἐς πεῖραν ἐληλυθώς, καὶ τόνδε μάλιστα τὸν πόλεμον εἰδὼς ἀπροφάσιστον

ἐπήκοος ὡς γενόμενον ἄπιστον ἐξελέγξειν, πᾶσαν ἐπενόει παρασκευήν· ὡς ἄρτι διακριθησόμενος περὶ ἁπάντων· καὶ τὸ λοιπὸν τοῦ θέρους καὶ τὸν χειμῶνα ὅλον, ὑλοτομῶν, ἐπήγνυτο ναῦς· καὶ ὅπλα· καὶ σίτου διακοσίας μεδίμνων μυριάδας ἐπὶ θαλάσσῃ διετίθει· σύμμαχοί τε αὐτῷ προσεγίγνοντο χωρὶς τῆς προτέρας δυνάμεως, Χάλυβες· Ἀρμένιοι· Σκύθαι· Ταῦροι· Ἀχαιοί· Ἡνίοχοι· Λευκόσυροι· καὶ ὅσοι περὶ Θερμώδοντα ποταμόν, γῆν ἔχουσι τὴν Ἀμαζόνων λεγομένην· τοσαῦτα μὲν ἐπὶ τοῖς προτέροις αὐτῷ περὶ τὴν Ἀσίαν προσεγίγνετο· περάσαντα δ' ἐς τὴν Εὐρώπην, Σαυρομάται οἵ τε βασίλειοι· καὶ Ἰάζυγες· καὶ Κόραλλοι· καὶ Θρᾳκῶν ὅσα γένη παρὰ τὸν Ἴστρον ἢ Ῥοδόπην ἢ τὸν Αἷμον οἰκεῖ· καὶ ἐπὶ τοῖσδε Βαστέρναι τὸ ἀλκιμώτατον αὐτῶν γένος· τοσάδε μὲν δὴ καὶ τῆς Εὐρώπης τότε προσελάμβανεν ὁ Μιθριδάτης· καὶ μυριάδες ἐκ πάντων ἐς τὸ μάχιμον αὐτῷ συνελέγοντο τέσσαρες καὶ δέκα μάλιστα πεζῶν· καὶ ἱππεῖς ἐπὶ μυρίοις ὀκτακισχίλιοι· πολὺς δὲ ἄλλος ὅμιλος ὁδοποιῶν· καὶ σκευοφόρων καὶ ἐμπόρων. ἀρχομένου δ' ἦρος, ἀπόπειραν τοῦ ναυτικοῦ ποιησάμενος, ἔθυε τῷ στρατίῳ Διὶ τὴν συνήθη θυσίαν· καὶ Ποσειδῶνι λευκῶν ἵππων ἅρμα καθεὶς ἐς τὸ πέλαγος, ἐπὶ Παφλαγονίας ἠπείγετο· στρατηγούντων αὐτῷ Ταξίλου τε καὶ Ἑρμοκράτους· ὡς δ' ἀφίκετο, ἐδημηγόρησε τῷ στρατῷ περί τε τῶν προγόνων μάλα σεμνολόγως· καὶ περὶ αὐτοῦ μεγαληγόρως, ὅτι τὴν ἀρχὴν ἐκ βραχείας ἐπὶ πλεῖστον προαγαγών, οὐ πώποτε Ῥωμαίων ἡττηθείη παρών· ἔτι τε κατηγόρησεν αὐτῶν ἐς πλεονεξίαν· καὶ ἀμετρίαν· ὑφ' ἧς ἔφη, ἡ τὴν Ἰταλίαν ἤδη περὶ δὲ αὐτὴν δεδούλωνται· ἢ τὰς γενομένας οἱ τελευταίας συνθήκας ἐπέφερον, ὡς οὐκ ἐθέλουσιν ἀναγράψασθαι, καιροφυλακοῦντες αὖθις ἐπιθέσθαι· καὶ τοῦτο αἴτιον τοῦ πολέμου τιθέμενος, ἐπῆγε τὴν ἑαυτοῦ στρατιὰν ὅλην καὶ παρασκευήν· καὶ Ῥωμαίων ἀσχολίαν πόλεμον μὲν ὑπὸ Σερτωρίου κατὰ κράτος ἐν Ἰβηρίᾳ· καὶ στασιαζόντων ἐς ἀλλήλους ἀνὰ τὴν Ἰταλίαν. διὸ ἡ τῆς θαλάσσης ἔφη καταφρονοῦντες λῃστευομένης πολὺν ἤδη χρόνον· καὶ σύμμαχος αὐτοῖς οὐδείς ἐστιν· οὐδ' ὑπήκοος ἑκούσιος ἔτι· οὐχ ὁρᾶτε δ' αὐτῶν ἔφη τοὺς ἀρίστους, ἐπιδεικνὺς Οὐάριόν τε καὶ τοὺς Λουκίους, πολεμίους μὲν ὄντας τῇ πατρίδι, συμμάχους δ' ἡμῖν; ταῦτ' εἰπὼν καὶ τὸν στρατὸν ἐρεθίσας, ἐνέβαλεν ἐς Βιθυνίαν, Νικομήδους ἄρτι τεθνεῶτος ἄπαιδος· ἢ τὴν ἀρχὴν Ῥωμαίοις ἀπολιπόντος· Κόττας δ' ἡγούμενος αὐτῆς ἀσθενὴς τὰ πολέμια παντάπασιν, ἔφυγεν ἐς Χαλκηδόνα μεθ' ἧς εἶχε δυνά-

μεως· καὶ Βιθυνία μὲν ἦν αὖθις ὑπὸ τῷ Μιθριδάτῃ, τῶν πανταχοῦ Ῥωμαίων ἐς Χαλκηδόνα πρὸς Κότταν συνθεόντων· ἐπιόντος δὲ ἤδη τῇ Χαλκηδόνι τοῦ Μιθριδάτου, Κόττας μὲν ὑπὸ ἀπραξίας οὐ προῄει· Νοῦδος δὲ ὁ ναύαρχος αὐτοῦ σὺν μέρει τινὶ στρατοῦ, τὰ ὀχυρώτατα τοῦ πεδίου καταλαβὼν καὶ ἐξελαθείς, ἔφυγεν ἐπὶ τὰς πύλας τῆς Χαλκηδόνος, δι' αἱμασιῶν πολλῶν πάνυ δυσχερῶς· ἀμφί τε τὰς πύλας ὠθισμὸς ἦν, ἐσπηδώντων ὁμοῦ· ὅθεν οὐδὲν τοῖς διώκουσιν αὐτοὺς βέλος ἠστόχει· ὡς δὲ καὶ περὶ τῶν πυλῶν δείσαντες οἱ φύλακες τὰ κλεῖθρα καθῆκαν ἐς αὐτὰς ἀπὸ μηχανῆς, Νοῦδον μὲν ἢ τῶν ἄλλων ἡγεμόνων τινὰς ὑπὸ καλῳδίοις ἀνιμήσαντο· οἱ δὲ λοιποὶ μεταξὺ τῶν τε φίλων ἢ τῶν πολεμίων ἀπώλοντο· τὰς χεῖρας ἑκατέροις ὀρέγοντες· ὅ, τε Μιθριδάτης τῇ φορᾷ τῆς εὐτυχίας χρώμενος, ἐπῆγεν αὐτῆς ἡμέρας ἐπὶ τὸν λιμένα τὰς ναῦς· καὶ τὸ κλεῖθρον ἁλύσει χαλκῇ δεδεμένον ἀπορρήξας, τέσσαρας μὲν ἐνέπρησε τῶν πολεμίων· τὰς δὲ λοιπὰς ἑξήκοντα ἀνεδήσατο· οὐδὲν [illegible] κωλύοντος ἔτι ὑπὸ Κόττα· ἀλλὰ τὰ τείχη συγκεκλεισμένου· ἀπέθανον δὲ Ῥωμαίων μὲν ἐς τρισχιλίους· καὶ Λούκιος Μάλλιος· ἀνὴρ ἀπὸ βουλῆς· Μιθριδάτου δὲ Βασταρνῶν τῶν πρώτων ἐσπεσόντων ἐς τὸν λιμένα, εἴκοσι· Λούκιος δὲ Λούκουλλος ὑπατεύων καὶ στρατηγὸς αἱρεθεὶς τοῦδε τοῦ πολέμου, τέλος μὲν τι στρατιωτῶν ἦγεν ἐκ Ῥώμης· δύο δ' ἄλλα τὰ Φιμβρίου. καὶ ἐπὶ τούτοις ἕτερα δύο προσλαβών· σύμπαντας ἔχων πεζοὺς τρεῖς μυρίους· ἢ ἱππέας ἐς χιλίους ἐπὶ διακοσίοις, παρεστρατοπέδευε τῷ Μιθριδάτῃ περὶ Κύζικον· ἢ δ' αὐτομόλων ἐπιγνοὺς ἀμφὶ τῷ βασιλεῖ στρατιὰν μὲν ἀνδρῶν ἀμφὶ μυριάδας τριάκοντα, ἀγορὰν δὲ εἴ τι σιτολογοῦντες ἢ ἐκ θαλάσσης λάβοι, ἔφη πρὸς τοὺς ἀμφ' αὐτόν, ἀμαχεὶ λήψεσθαι τοὺς πολεμίους αὐτίκα· καὶ τοῦ ἐπαγγέλματος αὐτοῖς ἐνεκελεύετο μνημονεύειν. ὄρος δὲ ἰδὼν εὐκαίρου ἐς στρατοπεδείαν, ὅθεν αὐτὸς μὲν ἔμελλεν εὐπορήσειν ἀγορᾶς, τοὺς δὲ πολεμίους ἀποκλείσειν, ὅτε χωρεῖ καταλαβεῖν· ὡς ἀπὸ τοῦδε τὴν νίκην ἀκίνδυνον ἕξειν· μιᾶς δὲ οὔσης ἐς αὐτὸ διόδου στενῆς, ὁ Μιθριδάτης αὐτὴν ἐφύλαττεν ἐγκρατῶς· ὧδε καὶ Ταξίλον ἢ τῶν ἄλλων ἡγεμόνων αὐτῷ παραινούντων. Λούκιος δὲ Μάνιος ὁ Σερτωρίῳ καὶ Μιθριδάτῃ τὰ ἐς ἀλλήλους διαιτήσας, ἀνὴρ ἡγεμὼν τοῦ Σερτωρίου, πρὸς Λούκουλλον ἔπεμψε κρύφα· καὶ πίστιν λαβών, μετέπειθε τὸν Μιθριδάτην ὑπεριδεῖν Ῥωμαίων παροδευόντων τε ἢ στρατοπεδευόντων ὅπη θελήσειαν· τὰ γὰρ Σερτωρίου ὑπὸ Φιμβρίᾳ

γενόμενα δ' ἐς τὴν Βιθυνίαν αὐτομόλων· εὐθὺς κατὰ τῶν βασιλικῶν προσιέσθαι·
τοσῶνδε χρήζειν αὐτὸν ἀγορᾶς ἀφθόνου, δεόμενον ἀμαχεὶ κρατῆσαι τῶν πο-
λεμίων. οἷς ὁ Μιθριδάτης συντιθέμενος, ἀνοιχθῆναι μάλα καὶ ἀνυπόπτως,
παρῆγε δὲ Ῥωμαίους διὰ στενῶν προσβάλλοντας ἀδεῶς. καὶ ἐπιτειχίζοντας
αὐτῷ μέγα ὄρος· οὗ κρατοῦντες, αὐτοὶ μὲν ὅθεν ἔμελλον ἀγορὰν
ἀδεῶς ἐπάξεσθαι· Μιθριδάτην δὲ λίμνῃ καὶ ὄρεσι καὶ ποταμοῖς ἀπο-
κλείσειν τῶν κατὰ γῆν ἀγορῶν· ὅτι μὴ ὀλίγης ὡς ποτὲ λάβοι· οὔτε ἐξόδους
ῥᾳδίας ἔτι ἔχοντα· οὔτε βιάζεσθαι δυνάμενον ἐπὶ Λούκουλλον ὑπὸ τῆς δυσ-
χωρίας, ἧς κρατῶν κατεφρόνησεν. ὅ τε χειμὼν ἤδη πλησιάζων, ἔμελλε καὶ
τῶν ἀπὸ τῆς θαλάσσης αὐτὸν ἐν ἀπορίᾳ καταστήσειν. ἃ θεωρῶν ὁ Λούκουλλος,
τοὺς φίλους ἀνεμίμνησκε τῆς ὑποσχέσεως. καὶ τὸ ἐπάγγελμα, ὡς παρ' ἐδό-
κει. ὁ δὲ Μιθριδάτης, δυνηθεὶς ἂν ἴσως καὶ τότε διὰ τὸ πλῆθος διὰ μέσων
ὤσασθαι τῶν πολεμίων, τούτου μὲν ὑπερεῖδε· Κυζίκῳ δὲ σὺν οἷς παρεσκεύαστο
πρὸς πολιορκίαν ἐπετίθετο, νομίζων αὐτῷ τῷδε διορθώσειν τὴν δυσχωρίαν
ὁμοῦ καὶ τὴν ἀπορίαν. οἷα δὲ καὶ εὐπορῶν στρατοῦ πολλοῦ, πᾶσιν ἔργοις ἐπεχείρει· τόν τε
σταθμὸν ἀποτειχίζων τείχει διπλῷ, καὶ τὰ λοιπὰ τῆς πόλεως ἀποταφρεύων· χώματά
τε πολλὰ ἤγειρε, καὶ μηχανὰς ἐπήγνυτο· πύργους, καὶ χελώνας κριοφόρους· ἑλέ-
πολιν ἑκατὸν πηχῶν· ἐξ ἧς ἕτερος πύργος ἐπῆρτο· καταπέλτας καὶ λίθους
καὶ βέλη ποικίλα ἀφιείς. μία δὲ τοῖς λιμέσι δύο πεντήρεσιν ἐζευγμέναις, πύρ-
γον ἕτερον ἔφερον· ἐξ οὗ γέφυρα ὁπότε προσπελάσειαν ἐς τὸ τεῖχος ὑπὸ μηχανῆς
ἐξήλλετο. ὡς δὲ ἕτοιμα αὐτῷ πάντα γεγένητο, πρῶτα μὲν τρισχιλίους αἰχμα-
λώτους Κυζικηνοὺς ἐπὶ νεῶν τῇ πόλει προσῆγεν· οἳ χεῖρας ἐς τὸ τεῖχος ὀρέ-
γοντες, ἐδέοντο σφῶν κινδυνευόντων φείσασθαι τοὺς πολίτας. μέχρι Πεισίστρατος
αὐτοῖς ὁ στρατηγὸς ὁ τῶν Κυζικηνῶν ἀπὸ τοῦ τείχους ἐκήρυξε φέρειν τὸ συμ-
βαῖνον ἐγκρατῶς αἰχμαλώτους γενομένους. ὁ δὲ Μιθριδάτης ὡς ἀπέγνω τῆσδε
τῆς πείρας, ἐπῆγε τὴν ἐπὶ τῶν νεῶν μηχανήν· καὶ ἡ γέφυρα ἐς τὸ τεῖχος
ἐξήλατο ἄφνω· καὶ τέσσαρες ἀπ' αὐτῆς ἄνδρες ἐξέδραμον. ᾧ δὴ καὶ μάλιστα
καινοτρόπῳ φανέντι καταπλαγέντες οἱ Κυζικηνοί, ἐπὶ μέν τι ὑπεχώρησαν·
οὐκ ἐξιόντων δὲ ἑτέρων ἐπιδραμόντων, ἀνεθάρρησάν τε καὶ τοὺς τέσσαρας ἐξέωσαν
ἐς τὸ ἔξω. ταῖς τε ναυσὶ πῦρ καὶ πίσσαν ἐπιχέοντες, ἠνάγκασαν πρύμναν
τε κρούσασθαι, καὶ ὑποχωρῆσαι ὀπίσω μετὰ τοῦ μηχανήματος. ὧδε μὲν δὴ τῶν
κατὰ θάλασσαν ἐπενεχθέντων ἐκράτουν οἱ Κυζικηνοί. τρίτα δ' αὖ τοῖς

ἐπήγετο τῆς αὐτῆς ἡμέρας τῇ αὐτῇ ἐπὶ γῆς μηχανημάτων ὁμοῦ πάντων. πονου-
μένοις καὶ μεταθέουσιν ἐπὶ τὰ βιαζόμενα. τοὺς μὲν οὖν κριούς, λίθοις
ἀπεκαύλιζον· ἢ βρόχοις ἀνέκλων· ἢ φορμοῖς ἐρίων, τὰς βίας ἐξέλυον. τῶν δὲ
βελῶν, τοῖς μὲν πυρφόροις ὑπήντων ὄξει καὶ ὕδατι· τὰ δ' ἄλλα προβολαῖς ἱματί-
ων ὀθόναις κεχαλασμέναις τὰς φορὰς ἀνέλυον. ὅλως τε οὐδὲν προθυμίας ἀπελεί-
πον τῶν δυνατῶν. καὶ αὐτοῖς φέρειν πονοῦσι ταῦτα καὶ κακοπαθοῦσιν, ὅμως ἐγένετο τοῦ
τείχους ἐκκαυθέντι καὶ συνεπεσόν τι ἐς ἑσπέραν· οὐ μὴν ἔφθασέ τις ἐσαλλόμενος
ἐπιθορεῖν. ἀλλ' αὖ τὴν νύκτα αὐτίκα περιῳκοδόμησαν οἱ Κυζικηνοί. τῶν δὲ
αὐτῶν ἡμερῶν πνεῦμα σφοδρὸν ἐπιγενόμενον, περιέκλασε τὰ λοιπὰ τοῦ μη-
χανήματος τοῦ βασιλέως. λέγεται δὴ πόλις αὐτὴ προίκιον ὑπὸ Διὸς τῇ Κόρῃ δοθῆναι.
καὶ σέβουσιν αὐτὴν οἱ Κυζικηνοὶ μάλιστα θεῶν. ἐπελθούσης δὲ τῆς ἑορτῆς, ἐν ᾗ θύ-
ουσι βοῦν μέλαιναν, οἱ μὲν οὐκ ἔχοντες, ἔπλαττον ἀπὸ σίτου· μέλαινα δὲ βοῦς ἐκ
πελάγους προσνηξαμένη αὐτοῖς διενήξατο. καὶ τὸ κλεῖθρον τοῦ στόματος ὑποδῦσά τε καὶ ἐς
τὴν πόλιν ἐσδραμοῦσα, ὥδευσεν ἀφ' ἑαυτῆς ἐς τὸ ἱερὸν καὶ τοῖς βωμοῖς παρέστη.
ταύτην μὲν οὖν οἱ Κυζικηνοὶ μετὰ χρηστῆς ἐλπίδος ἔθυον· οἱ δὲ φίλοι τῷ Μιθρι-
δάτῃ συνεβούλευον ὡς ἱερᾶς τῆς πόλεως ἀποπλεῦσαι. ὁ δ' οὐ πειθόμενος, ἐπὶ τὸ Δίνδυ-
μον ὄρος ὑπερκείμενον ἀνῄει· καὶ χῶμα ἀπ' αὐτοῦ ἐς τὴν πόλιν ἔχου· πύργους τε
ἐφίστη· καὶ ὑπονόμοις τὸ τεῖχος ἀνεκρήμνη. τοὺς δ' ἵππους ἀχρείους ὄντας
καὶ ἀσθενεῖς διὰ τροφῆς ἀπορίαν καὶ χωλοὺς ἐξ ὑποτριβῆς, ἐς Βιθυνίαν περιέπεμπε.
οἷς ὁ Λούκουλλος περῶσι τὸν Ῥυνδακὸν ἐπιπεσών, ἔκτεινε πολλοὺς καὶ αἰχμαλώτους
ἔλαβεν, ἄνδρας μὲν ἐς μυρίους καὶ πεντακισχιλίους· ἵππους δὲ ἑξακισχιλίους. καὶ
σκευοφόρα πολλά. καὶ τάδε μὲν ἦν περὶ Κύζικον. τῷ δ' αὐτῷ χρόνῳ Φρυγίαν Εὔμαχος
Μιθριδάτου στρατηγὸς ἐπιτρέχων, ἔκτεινε Ῥωμαίων πολλοὺς μετὰ παίδων καὶ γυναικῶν·
Πισίδας τε καὶ Ἰσαύρους ὑπήγετο· καὶ Κιλικίαν. μέχρι τῶν τις Γαλατικῶν τετραρχῶν
Δηιόταρος ἐπιπλαζόμενον αὐτὸν συνεδίωξε καὶ πολλοὺς διέφθειρε. καὶ τάδε μὲν
περὶ Φρυγίαν, τοιάδε ἐγίγνετο. Μιθριδάτου δὲ χειμὼν ἐπιγενόμενος, ἀφῄρητο καὶ τὴν
ἐκ θαλάσσης ἀγορὰν εἴ τις ἦν· ὥστε πάμπαν ὁ στρατὸς ἐλίμωττε. καὶ πολλοὶ μὲν
ἀπέθνησκον· εἰσὶ δ' οἳ καὶ σπλάγχνων ἐγεύοντο βαρβαρικῶς. οἱ δ' ἄλλοι πόας φα-
γόντες, ἐνόσουν. καὶ τὰ νεκρὰ σφῶν ἀγχοῦ ἄταφα ἐπιρριπτούμενα, λοιμὸν ἐπῆγεν
ἐπὶ τῷ λιμῷ. διεκαρτέρει δ' ὅμως ὁ Μιθριδάτης, ἐλπίζων ἔτι τὴν Κύζικον αἱ-
ρήσειν τοῖς χώμασι τοῖς ἀπὸ τοῦ Δινδύμου. ὡς δὲ καὶ ταῦθ' ὑπώρυττον οἱ Κυ-
ζικηνοί, καὶ τὰς ἐπ' αὐτῶν μηχανὰς ἐπίμπρασαν, καὶ ἐπεκθέοντες λιμώττουσι πολλάκις

ὑπεκθέντα τοῖς πολεμίοις αὐθημερὸν ἐπὶ τοῖς γεγονόσιν ἐπείθοντο. δρασμῷ
ὁ Μιθριδάτης ἐβουλεύετο ἐκφυγεῖν νυκτός. αὐτὸς μὲν ἐπὶ τῶν νεῶν ἐς Πάριον·
ὁ δὲ στρατὸς αὐτοῦ κατὰ γῆν ἐς Λάμψακον. περῶντι δ' αὐτοῖς τὸν Αἴσηπον, ὅ, τε
ποταμὸς τότε μάλιστα ὀρθὸς μέγιστος, καὶ ἐπὶ τῷ ποταμῷ Λούκουλλος ἐπι-
δραμὼν, ἔφθειρε. ὧδε μὲν οἱ Κυζικηνοὶ πολλὴν βασιλέως παρασκευὴν διέ-
φυγον· αὐτοί τε γενναίως ἀγωνισάμενοι, καὶ λιμῷ πιεσθέντος ὑπὸ Λουκούλλου·
ἀγῶνά τε αὐτῷ θέμενοι, μέχρι νῦν ἔτι τὰ Λουκούλλεια καλούμενα. Μι-
θριδάτης δὲ τοὺς μὲν ἐς Λάμψακον ἐκφυγόντας ἔτι τοῦ Λουκούλλου παρακαθη-
μένου, ναῦς ἐπιπέμψας ἐξεκόμισε σὺν αὐτοῖς Λαμψακηνοῖς. μυρίους δ'
ἐπιλέκτους ἐπὶ νεῶν πεντήκοντα, Οὐαρίῳ πεμφθέντι οἱ στρατηγεῖν ὑπὸ Σερ-
τωρίου καὶ Ἀλεξάνδρῳ τῷ Παφλαγόνι, καὶ Διονυσίῳ τῷ εὐνούχῳ καταλιπὼν,
ταῖς πλείοσιν αὐτῶν ἐς Νικομήδειαν ἔπλει. καὶ χειμῶνος ἐπιγενομένου, πολλ(ὰ)
ἑκατέρων διέφθειρε. Λούκουλλος δ' ἐπεὶ τὸ κατὰ γῆν εἴργαστο διὰ τοῦ λιμοῦ,
ναῦς ἐκ τῆς Ἀσίας ἀγείρας, διέδωκε τοῖς ἀμφ' αὐτὸν στρατηγοῖς. καὶ Τριάριος
μὲν Ἀπάμειαν εἷλεν ἐπιπλεύσας. καὶ πολλοὶ τῶν Ἀπαμέων συμφυγόντων ἐς
τὰ ἱερὰ ἐγίγνετο σφαγή. Βάρβας δὲ Προυσιάδα εἷλε τὴν πρὸς τῷ ὄρει. καὶ Νί-
καιαν ἔλαβε τῶν Μιθριδάτου φρουρῶν ἐκφυγόντων. Λούκουλλος περὶ τὸν
Ἀχαιῶν λιμένα, τρεῖς καὶ δέκα ναῦς εἷλε τῶν πολεμίων. Οὐάριον δὲ καὶ Ἀλέξανδρον
καὶ Διονύσιον περὶ Λῆμνον ἐν ἐρήμῃ νήσῳ καταλαβὼν, ἔνθα δείκνυται βωμὸς
Φιλοκτήτου, καὶ χάλκεος ὄφις καὶ τόξα καὶ θώραξ ταινίαις περιδετὸς μνῆμα
τῆς ἐκείνου πάθης, ἐπέπλει μὲν αὐτοῖς ῥοθίῳ τε πολλῷ καὶ μετὰ καταφρονήσεως·
ἀσταθῶς δ' ἐκείνων ὑπομενόντων, ἐπέσχε τὴν εἰρεσίαν· καὶ κατὰ δύο ναῦς ἐπιπέμπων
ἐρέθιζεν ἐς ἔκπλουν. οὐ σαλευόντων δὲ ἐκείνων ἀλλὰ ἀπὸ τῆς γῆς ἀμυνομένων,
περιέπλευσε τὴν νῆσον ἑτέραις ναυσί. καὶ πεζοὺς ἐς αὐτὴν ἐκβιβάσας,
συνήλασε τοὺς ἐχθροὺς ἐπὶ τὰς ναῦς. οἱ δὲ μὲν τὸ πέλαγος οὐκ ἐκφεύγοντες τὸν
Λουκούλλου στρατὸν δεδιότες· παρὰ δὲ τὴν γῆν πλέοντες, ἔκ τε τῆς γῆς καὶ τῆς
θαλάσσης ἀμφίβολοι γιγνόμενοι, κατετιτρώσκοντο. καὶ φόνος πολὺς ἦν αὐτῶν
καὶ φυγή. ἐλήφθησαν δ' ἐν σπηλαίῳ κρυπτόμενοι, Οὐάριός τε καὶ Ἀλέξανδρος,
καὶ Διονύσιος ὁ εὐνοῦχος. καὶ αὐτῶν ὁ μὲν Διονύσιος πιὼν ὅπερ ἐφέρετο φάρ-
μακον, αὐτίκα ἀπέθανεν. Οὐάριον δὲ ἀναιρεθῆναι προσέταξε Λούκουλλος·
οὐ γὰρ ἐδόκει Ῥωμαῖον ἄνδρα βουλευτὴν θριαμβεύειν. Ἀλέξανδρον δὲ ἐς τὸν
πομπὴν ἐφύλασσεν. καὶ Λούκουλλος περὶ τῶνδε Ῥωμαίοις ἐπέστελλε·

τὰ γράμματα δάφνῃ περιβαλὼν, ὡς ἔθος ἐστὶν ἐπὶ νίκαις. αὐτὸς δὲ ἐπεί-
γετο ἐς Βιθυνίαν. Μιθριδάτῃ δὲ ἐς Πόντον ἐσπλέοντι, χειμὼν ἐς δὶς ἐπι-
γίγνεται. καὶ τῶν ἀνδρῶν ἀμφὶ τοὺς μυρίους καὶ νῆες ἀμφὶ τὰς ἑξήκοντα διεφθά-
ρησαν. αἱ δὲ λοιπαὶ διερρίφησαν ὡς ἑκάστην ὁ χειμὼν ἐξήνεγκεν. αὐτὸς δὲ ῥη-
γνυμένης τῆς στρατηγίδος, ἐς λῃστῶν σκάφος, ἀπαγορευόντων τῶν φίλων, ὅμως
ἀνέβη. καὶ ἐς Σινώπην αὐτὸν οἱ λῃσταὶ διέσωσαν. ὅθεν ὁμοῦ ἐς Ἀμισὸν ἀπὸ
κάλω διαπλέων, πρός τε τὸν κηδεστὴν Τιγράνην τὸν Ἀρμένιον, καὶ ἐς Μαχάρην
τὸν υἱὸν ἄρχοντα Βοσπόρου περιέπεμπε, ἐπικουρεῖν ἐπείγων ἑκάτερον. ἐς τε
Σκύθας τοὺς ὁμόρους χρυσὸν καὶ δῶρα πολλὰ, Διοκλέα φέρειν ἐκέλευεν. ἀλλ'
ὁ μὲν, αὐτοῖς τε δώροις καὶ αὐτῷ χρυσίῳ πρὸς Λούκουλλον ηὐτομόλησεν. Λού-
κουλλος δ' ἐπὶ τῆς νίκης θρασέως προϊὼν ἐς τὸ πρόσω, καὶ τὰ ἐν ποσὶν ἅ-
παντα χειρούμενος, προενόμευεν. οἷα δ' εὐδαίμονος χώρας καὶ πολλοῦ χρόνου
ἀπολεμήτου. τὸ μὲν ἀνδράποδον, τεσσάρων δραχμῶν αὐτίκα ἐγίγνετο. οἱ δὲ
βόες, μιᾶς. αἶγες δὲ καὶ πρόβατα καὶ ἐσθὴς καὶ τὰ λοιπὰ τούτων, κατὰ λόγον. Λού-
κουλλος δ' Ἀμισόν τε καὶ Εὐπατορίαν, ἣν πλησίον Ἀμισοῦ ᾠκοδόμησεν ὁ Μιθρι-
δάτης, Εὐπατορίαν τε ὀνομάζων ἀφ' ἑαυτοῦ, καὶ βασίλεια τίθετο, περικαθή-
μενος ἐπολιόρκει. καὶ ἑτέρῳ στρατῷ Θεμίσκυραν, ἣ τῶν Ἀμαζόνων τινὸς ἐπώ-
νυμος ἐστὶ παρὰ τὸν Θερμώδοντα ποταμὸν ἐστί. τούτων δ' οἱ μὲν, τοῖς Θεμισκύ-
ρας ἐπικαθήμενοι, πύργους ἐπῆγον αὐτοῖς καὶ χώματα ἐχώννυον. καὶ
ὑπονόμους ὤρυττον. οὕτω δή τι μεγάλους, ὡς ἐν αὐτοῖς ὑπὸ τὴν γῆν ἀλλήλοις
κατὰ πλῆθος ἐπιχειρεῖν. καὶ οἱ Θεμισκύρειοι ὀπὰς ἄνωθεν ἐς αὐτοὺς ὀρύττον-
τες, ἄρκτους τε καὶ θηρία ἕτερα καὶ σμήνη μελισσῶν ἐς τοὺς ἐργαζομένους ἐνέ-
βαλλον. οἱ δ' ἀμφὶ τὴν Ἀμισὸν, ἕτερον τρόπον ἐμόχθουν· ἀπομαχομένων αὐτοὺς
τῶν Ἀμισέων. καὶ πολλάκις ἐκθεόντων καὶ ἐς μονομαχίαν προκαλουμένων. Μιθρι-
δάτης δ' αὐτοῖς πολλὴν ἀγορὰν καὶ ὅπλα καὶ στρατιὰν ἐπέμπε ἐκ Καβείρων.
ἔνθα χειμάζων, στρατὸν ἄλλον συνέλεγε. καὶ συνῆλθον αὐτῷ πεζοὶ μὲν ἐς τετρα-
κισμυρίους. ἱππεῖς δὲ ἐς τετρακισχιλίους. ἱσταμένου δὲ ἦρος, ὁ μὲν Λού-
κουλλος διὰ τῶν ὀρῶν ἐπὶ τὸν Μιθριδάτην ἐχώρει. προφυλακαὶ δ' ἦσαν ἐκείνῳ
κωλύειν τε Λούκουλλον, καὶ διαπυρσεύειν συνεχῶς, εἴ τι γίγνοιτο. καὶ ἦρχε
τῆς δὲ τῆς φυλακῆς ἐκ Μιθριδάτου τις, ἀνὴρ τοῦ βασιλικοῦ γένους, ὄνομα
Φοῖνιξ. ὃς ἐπεὶ Λούκουλλος ἐπέλαζε, Μιθριδάτῃ μὲν διεπύρσευεν. αὐτὸς
δὲ Λούκουλλον ηὐτομόλησε μετὰ τῆς δυνάμεως. καὶ ὁ Λούκουλλος ἀδεῶς

ἡ διὰ τῶν ὀρῶν ἐξηγεῖτο, ἐς κάβειρα κατέβαινε. γενομένης δ' αὐτῷ πρὸς μιθριδάτην τινὸς ἱππομαχίας, ἡττώμενος αὖθις ἐς τὸ ὄρος ἀνέθορε. ὁ δὲ ἵππαρχος αὐτοῦ πομπήϊος, ἐς μιθριδάτην τετρωμένος ἀνήχθη. πυθομένῳ βασιλεῖ τίνα χάριν οἱ περισωθεὶς δώσει τὸ ἀποδοῦναι, ἂν μὲν ἔφη σὺ φίλος γένοιο λουκούλλον, πάνυ πολλὴν ἀξίαν· εἰ δὲ ἐχθρὸς ἀγῆς, οὐδὲ βουλεύσομαι. ὁ δὲ μὲν ὁ πομπήϊος ἀπεκρίνατο· καὶ αὐτὸν τῶν βαρβάρων κτείνειν ἀξιούντων, ὁ βασιλεὺς ἔφη οὐκ ἐξυβρίσειν ἐς ἀτυχοῦσαν ἀρετήν. ἐκτάσσων δὲ συνεχῶς, οὐκ ἀντιόντος ἐς μάχην τοῦ λουκούλλου, περιιὼν ἀνάβασιν ἐπ' αὐτὸν ἐζήτει. καί τις ἀνὴρ ὢν τοῦ τῶ σκύθης ὄνομα ὀλκάβας, αὐτόμολος ὢν ἐς λούκουλλον ἐκ πολλοῦ, καὶ παρὰ τῷδε τῇ ἱππομαχίᾳ πολλοὺς περισώσας, καὶ διὰ τοῦτο παρὰ τοῦ λουκούλλου τραπέζης τε καὶ γνώμης καὶ ἀπορρήτων ἀξιούμενος, ἧκεν ἐπὶ τὴν σκηνὴν αὐτοῦ περὶ μεσημβρίαν ἀναπαυομένου. καὶ ἐσελθεῖν ἐβιάζετο βραχὺ καὶ ξίφος ἔχων ἐπὶ τοῦ ζωστῆρος ἐγχειρίδιον περικείμενος. κωλυόμενος δὲ ἠγανάκτει καὶ χρειάν τινα ἐπείγειν ἔφη, ἐξαναστῆσαι τὸν στρατηγόν. τῶν δὲ θεραπόντων οὐδὲν εἶπον ἡμῖν χρησιμώτερον λουκούλλῳ τῆς [illegible], ἐπέβη τῷ ἵππῳ αὐτίκα. καὶ ἐς τὸν μιθριδάτην ἐξήλασεν, ἢ τὸ ἐπιβουλεῦσαι καὶ δόξης ὑποπτεύεσθαι, ἤ τε σὺν ὀργῇ περὶ ὑβρίζεσθαι νομίζων. ἕτερόν τε σκύθην ὄνομα σοβάδακον ἀνέφηνε τῷ μιθριδάτῃ βουλεύειν αὐτομολίαν ἐς λούκουλλον. σοβάδακος μὲν δὴ συνελαμβάνετο. λούκουλλος δὲ τὴν κάθοδον τὴν ἐς τὸ πεδίον ἱπποκρατούντων τῶν πολεμίων ἐκτρεπόμενος καὶ πάροδον ἑτέραν οὐχ ὁρῶν, εὗρεν ἐν σπηλαίῳ κυνηγὸν θηρελατῶν ἐπιστήμονα. ᾧ χρώμενος ἡγεμόνι κατὰ ὁδοὺς ἀτριβεῖς περιῆλθεν ὑπὲρ κεφαλῆς τοῦ μιθριδάτου. καὶ κατῄει μὲν ἐκκλίνας τότε τὸ πεδίον διὰ τὴν ἵππον. χαράδραν δὲ ὕδατος ἐν προβολῇ θέμενος, ἐστρατοπέδευσεν. ἀπορῶν δὲ ἀγορᾶς, ἐς καππαδοκίαν ἔπεμπε ἐπὶ σῖτον. καὶ ἐς τοὺς πολεμίους ἠκροβολίζετο. μέχρι φευγόντων ποτὲ τῶν βασιλικῶν, ὁ μιθριδάτης ἀπὸ τοῦ χάρακος ἐπιδραμὼν καὶ ἐπιπλήξας, ἐπέστρεψεν αὐτούς. καὶ ῥωμαίους οὕτω κατεφόβησεν, ὡς ἄνω διὰ τῶν ὀρῶν φεύγοντας, οὐδ' ἀποστάντων αἰσθέσθαι τῶν πολεμίων ἐπὶ πολύ, ἀλλ' ἕκαστον ἡγεῖσθαι τὸν συμφεύγοντά οἱ καὶ ἐπιόντα εἶναι πολέμιον. οὕτω πάνυ κατεπεπλήγεσαν. καὶ ὁ μιθριδάτης περὶ τῆσδε τῆς νίκης πανταχοῦ γραφῶν περιέπεμπε. τῶν δ' ἱππέων πολὺ μέρος καὶ μάλιστα δὴ τὸ μαχιμώτατον, ἐφεδρεύειν ἔταξε τοῖς ἐκ καππαδοκίας τὴν ἀγορὰν τῷ λουκούλλῳ φέρουσιν, ἐλπίζων ἐν ἀπορίᾳ τροφῶν αὐτὸν γενόμενον, πάσχεσθαι οἷον αὐτὸς ἔπαθε περὶ κύζικον. καὶ τὸ μὲν ἐνθύμημα μέγα ἦν, ἀποκλεῖσαι τροφῶν λούκουλλον ἐκ μόνου

ἔχοντα καππαδοκίας. οἱ δ' ἱππεῖς τοῦ βασιλέως τοῖς προδρόμοις τῶν σιτοφόρων ἐν στενῷ περιτυχόντες, οὐκ ἀναμείναντες ἐς εὐρυχωρίαν προελθεῖν, ἀχρεῖον ὡς ἐν στενῷ σφίσι τὴν ἵππον ἐποίησαν. ἐν ᾧ ῥωμαῖοι φθάσαντες ἐξ ὁδοιπορίας ἐς μάχην παρασκευάσασθαι, τοὺς μὲν ἔκτειναν τῶν βασιλικῶν, βοηθούσης οἷα πεζοῖς τῆς δυσχωρίας· τοὺς δὲ ἐς τὰς πέτρας κατήραξαν· τοὺς δὲ διέρριψαν ὑποφεύγοντας. ὀλίγοι δὲ νυκτὸς ἐς τὸ στρατόπεδον ἀφικόμενοί τε καὶ μόνοι περιγενέσθαι λέγοντες, μέγα ὂν φήμῃ τὸ συμβὰν, μείζονι διεθρόησαν. μιθριδάτης δ' αὐτὸ πρὸ τοῦ λουκούλλου πυθόμενός τε, καὶ λούκουλλον ἡγούμενος ἐπὶ τοσῇδε ἱππέων ἀπορίᾳ αὐτίκα οἱ προσπεσεῖσθαι, φυγὴν ὑπ' ἐκπλήξεως ἐπενόει. καὶ τόδε τοῖς φίλοις αὐτίκα ἐξέφαινεν ἐν τῇ σκηνῇ. οἱ δὲ, πρὶν τι γενέσθαι παράγγελμα, νυκτὸς ἔτι σπουδῇ τὰ ἴδια ἕκαστος ἐξέπεμπεν ἐκ τοῦ στρατοπέδου. καὶ ὠθισμὸς περὶ τὰς πύλας, σκευοφόρων πολὺ πλῆθος ἦν. ὃ δὴ οἱ στρατιῶται θεώμενοι καὶ τοὺς φέροντας ἐπιγινώσκοντες, καὶ τοπάζοντες πολλὰ ἀτοπώτερα, σὺν δέει καὶ ἀγανακτήσει τοῦ μηδὲν αὐτοῖς ἐπηγγέλθαι, τὸν χάρακα σφῶν ἐπιδραμόντες ᾖρον. καὶ διέφευγον ὡς ἐκ πεδίου πάντη ἀκόσμως, οὐ περιμένοντος ἕκαστος αὐτῶν, ἄνευ στρατηγοῦ καὶ ἐπιστάτου παραγγέλματος. ὧν ὁ μιθριδάτης ὀξύτερον καὶ σὺν ἀταξίᾳ γινόμενα αἰσθόμενος, ἐξέδραμεν ἐκ τῆς σκηνῆς ἐς αὐτούς· καὶ λέγειν τι ἐπεχείρει· οὐδενὸς δὲ ἐσακούοντος ἔτι, συνθλιβεὶς ὡς ἐν πλήθει κατέπεσε. καὶ ἐς τὸν ἵππον ἀναβληθεὶς, ἐς τὰ ὄρη σὺν ὀλίγοις ἐφέρετο. λούκουλλος δὲ τῆς περὶ τὴν ἀγορὰν εὐπραγίας πυθόμενος, καὶ τὴν φυγὴν τῶν πολεμίων, ἐπὶ μὲν τοὺς ἐκφυγόντας, ἔπεμπε διώκειν ἱππέας πολλούς· τοῖς δὲ συσκευαζομένοις ἔτι κατὰ τὸ στρατόπεδον τοὺς πεζοὺς περιέστησεν, ἐκέλευε μὲν διαρπάζειν ἐν τῷ τότε μηδὲν, ἀλλὰ κτείνειν ἀφειδῶς. οἱ δὲ, σκεύη τε χρύσεα καὶ ἀργυρᾶ πολλὰ καὶ ἐσθῆτας πολυτελεῖς θεώμενοι, ἐξέστησαν τοῦ παραγγέλματος. αὐτόν τε μιθριδάτην οἱ καταλαμβάνοντες, ἡμίονόν τινα τῶν χρυσοφόρων ἐς τὸ δέρμα πατάξαντες, προσπεσόντες τοῦ χρυσίου περὶ τόδε γενόμενοι, διαφυγεῖν ἐς κόμανα περιεῖδον. ὅθεν ἐς τιγράνην ἔφυγε σὺν ἱππεῦσι δισχιλίοις. ὁ δὲ, αὐτὸν ἐς ὄψιν οὐ προσέμενος, ἐν χωρίοις ἐκέλευσε διαίτης βασιλικῆς ἀξιοῦσθαι. ὅτε δὴ καὶ μάλιστα τῆς ἀρχῆς ἀπογνοὺς ὁ μιθριδάτης, βακχίδην εὐνοῦχον ἔπεμπεν ἐς τὰ βασίλεια, τὰς ἀδελφὰς αὐτοῦ καὶ τὰς γυναῖκας καὶ παλλακὰς ὅπῃ δύναιτο ἀναιρήσοντα. αἱ μὲν δὴ διαφθείρονται ξίφει καὶ φαρμάκοις καὶ βρόχοις δεινὰ ποιοῦσαι. ταῦτα δ' ὁρῶντες οἱ φρούραρχοι τοῦ μιθριδάτου, ἀθρόοι ἐς τὸν λούκουλλον μετετίθεντο χωρὶς ὀλίγων. καὶ ὁ λούκουλλος αὐτοὺς ἐπιὼν καθίστατο. καὶ τὰς ἐπὶ τοῦ πόντου πόλεις περιπλέων,

ᾕρει, Ἄμαστρίν τε καὶ Ἡράκλειαν καὶ ἑτέρας· Σινώπη δ' ἔτι ἀντεῖχε καρτερῶς. καὶ ἐναυμάχησεν οὐ κακῶς· πολιορκούμενοι δὲ τὰς ναῦς τὰς βαρυτέρας σφῶν διέπρησαν· καὶ ἐς τὰς κουφοτέρας ἐμβάντες, ἀπέδρασαν. Λούκουλλος δὲ τὴν πόλιν ἐλευθέραν ἠφίει, διὰ σημεῖον τοιόνδε ἰδών· Αὐτόλυκόν φασιν ἐπὶ τὰς Ἀμαζόνας Ἡρακλεῖ συστρατεύοντα, ὑπὸ χειμῶνος ἐς Σινώπην καταχθῆναι· καὶ τῆς πόλεως κρατῆσαι. ἀνδριάντα τε σεβάσμιον τοῖς Σινωπεῦσιν ἔχειν· ὃν οἱ μὲν Σινωπεῖς ὡς ἔφθασαν τῇ φυγῇ ἐπάγεσθαι, ὀθόναις καὶ καλωδίοις περιέδησαν. οὐδὲν δὲ ὁ Λούκουλλος εἰδὼς οὐδὲ προμαθών, ἔδοξεν ὑπ' αὐτοῦ κληθεὶς ὁρᾶν αὐτόν· καὶ τῆς ἐπιούσης τὸν ἀνδριάντα τινῶν περιβεβλημένον παραφερόντων, ἐκλῦσαι κελεύσας, ἰδὼν οἷον ἔδοξε νύκτωρ ἑωρακέναι. τὸ μὲν δὴ σημεῖον τοιοῦτον ἦν. Λούκουλλος δὲ καὶ Ἀμισὸν ἐπὶ τῇ Σινώπῃ συνῴκιζεν· ἐκφυγόντων μὲν ὁμοίως τῶν Ἀμισέων διὰ θαλάσσης, πυνθανόμενος δ' ὑπ' Ἀθηναίων αὐτοὺς θαλασσοκρατούντων συνῳκίσθαι· καὶ δημοκρατίᾳ χρησαμένους ἐπὶ πολὺ τοῖς Περσικοῖς βασιλεῦσιν ὑπακοῦσαι· συναγαγόντας δ' αὐτοὺς ἐς τὴν δημοκρατίαν ἐκ προστάγματος Ἀλεξάνδρου πάλιν δουλῶσαι τοῖς Ποντικοῖς. ἐφ' οἷς ἄρα συμπαθὴς ὁ Λούκουλλος γενόμενός τε καὶ φιλοτιμούμενος γε ἔδοξεν ἐπ' Ἀλεξάνδρῳ περὶ γένος Ἀττικόν, αὐτόνομον ἠφίει τὴν πόλιν. καὶ τοὺς Σινωπέας κατὰ τάχος συνεκάλει. ὧδε μὲν δὴ Σινώπην καὶ Ἀμισὸν Λούκουλλος ἐπώρθει τε καὶ συνῴκιζε. καὶ Μαχάρης ὁ παῖς ὁ τοῦ Μιθριδάτου, Βοσπόρου τε βασιλεύοντι, καὶ στέφανον οἱ πέμψαντι ἀπὸ χρυσοῦ, φιλίαν συνετίθετο. Μιθριδάτην δ' ᾔτει παρὰ Τιγράνου. ὁ δ' αὖ τὰ ἄστη ἀναλαβὼν ἐπὶ θυμὸν ὀφλῶν ἐπὶ τῶν συλλειῶν ἐπιβολῶν, τὰ παρὰ μὲν ἐπὶ τοῖς καρποῖς· ἧκε δ' ἐπὶ τὰς οἰκίας καὶ τοῖς θεράπουσιν ὥρισε· καὶ ἐπινίκια ἔθυσεν, ὡς δὴ τὸν πόλεμον κατωρθωκώς. ἐπὶ δὲ ταῖς θυσίαις ἐπὶ τὸν Τιγράνην οὐκ ἐκδιδόντα Μιθριδάτην ἐστράτευε σὺν δύο τέλεσιν ἐπιλέκτοις· καὶ ἱππεῦσι πεντακοσίοις. καὶ τὸν Εὐφράτην περάσας μόνα τὰ χρήματα τοῖς βαρβάροις αἰτῶν, διώδευεν. οἱ γὰρ ἄνδρες οὐκ ἐπολέμουν· οὐδ' ἠξίουν τι πάσχειν πρίν γε Λούκουλλον καὶ Τιγράνην ἀλλήλοις διακριθῆναι. Τιγράνην δὲ οὐδεὶς ἐμήνυεν ἐπιόντα Λούκουλλον· ὁ γάρ τοι πρῶτος εἰπὼν, ἐκρέμασθη ὑπ' αὐτοῦ. συνταράσσειν αὐτὸν τὰς πόλεις νομίσαντος. ὡς δὲ ᾐσθάνετο, Μιθροβουζάνην προὔπεμψε μετὰ δισχιλίων ἱππέων Λούκουλλον ἐπισχεῖν τοῦ δρόμου. Μαγκαίῳ δὲ Τιγρανόκερτα φυλάττειν ἐπέτρεψεν· ἥν τινα πόλιν ὡς μοι προείρηται ἐπὶ τῇ τιμῇ

τῇ ἑαυτοῦ βασιλέως, ἐν ἐκείνῳ γενεαῖς τῶν χωρίων συνῴκιζε. καὶ τοῖς ἀρίστοις δ' αὐτὴν συνεκόσμει· ζημίαν ἐπιτιθεὶς ὅσα μὴ μεταφέροιεν δὲ δημευθήσεσθαι· τείχη τε αὐτῷ περιέβαλε πεντήκοντα πήχεων τὸ ὕψος. ἱπποστασίων βαθὺ γέμοντα. καὶ βασίλεια καὶ παραδείσους κατὰ τὸ προάστειον ἐποίησε μακρούς. καὶ κυνηγέσια πολλὰ καὶ λίμνας. ἄγχου δὲ καὶ φρούριον ἀνίστη καρτερόν. καὶ ταύτην τότε Μαγκαίῳ ταύτῃ ἐπιτρέψας περιῄει στρατιὰν ἀγείρων. Μιθροβουζάνην μὲν ὁ Λούκουλλος διαφθείρας ἐκ τῆς πρώτης προσβολῆς τρεψάμενος ἐδίωκε. Μαγκαῖον δὲ Σεξτίλιος ἐς Τιγρανόκερταν κατακλείσας, τὰ μὲν βασίλεια αὐτίκα ἀτείχιστα ὄντα διήρπασε· τὴν δὲ πόλιν καὶ τὸ φρούριον ἀπετάφρευε· καὶ μηχανὰς ἐφίστη· καὶ ὑπονόμοις ἀνεκρήμνει τὸ τεῖχος. καὶ Σεξτίλιος μὲν ἀμφὶ ταῦτα ἐγίγνετο· Τιγράνης δὲ πεζῶν ἐς πεντεκαίδεκα καὶ εἴκοσι μυριάδας ἀγείρας, καὶ ἱππέας πεντάκις μυρίους, προὔπεμψε μὲν αὐτῶν ἐς Τιγρανόκερταν περὶ ἑξακισχιλίους· οἳ διὰ μέσου Ῥωμαίων ὠσάμενοί τε καὶ τὰς παλλακὰς τοῦ βασιλέως ἐξαρπάσαντες ἐπανῆλθον. τῷ δὲ λοιπῷ στρατῷ Τιγράνης αὐτὸς ἤλαυνεν ἐπὶ Λούκουλλον. καὶ αὐτῷ τότε πρῶτον Μιθριδάτης ἐς ὄψιν ἐλθών, συνεβούλευε μὴ συμπλέκεσθαι Ῥωμαίοις. ἀλλὰ τῷ ἱππικῷ μόνῳ περιτρέχοντα καὶ τὴν γῆν λυμαινόμενον ἐς λιμὸν αὐτοὺς ἐνδεῖναι περικλείσαντα· ᾧ τρόπῳ καὶ αὐτὸς ὑπὸ Λουκούλλου περὶ Κύζικον ἀμαχεὶ κάμνων τὸν στρατὸν ἀπολέσαι. ὁ δέ, γελάσας αὐτοῦ τὴν στρατηγίαν, προῄει συνεσκευασμένος ἐς μάχην. καὶ τῶν Ῥωμαίων ὀλιγότητα ἰδών, ἀπέσκωψεν οὕτως. εἰ μὲν πρέσβεις εἰσὶν οἵδε, πολλοί· εἰ δὲ πολέμιοι, πάμπαν ὀλίγοι. Λούκουλλος δὲ λόφον δὲ καιρὸν ἰδὼν ὄπισθεν τοῦ Τιγράνους, τοὺς μὲν ἱππέας ἐκ μετώπου προσέταξεν ἐνοχλεῖν αὐτῷ. καὶ περισπᾶν ἐφ' ἑαυτούς. καὶ ὑποχωροῦντας. ἵνα τῶν βαρβάρων διωκόντων, ἡ τάξις παραλυθῇ· τοῖς δὲ πεζοῖς αὐτὸς ἐς τὸν λόφον περιοδεύσας, ἀνῆλθε λαθών. καὶ ὡς εἶδε τοὺς πολεμίους ὑπὸ τῆς διώξεως οἷα νικώντων, ἐς πολλὰ διεσκεδασμένους, τὰ δὲ σκευοφόρα αὐτῶν ἅπαντα ὑποκείμενα, ἀνεβόησε· νικῶμεν ὦ ἄνδρες· καὶ ἐπὶ τὰ σκευοφόρα πρῶτος ἵετο δρόμῳ. τὰ δέ, αὐτίκα σὺν θορύβῳ φεύγοντα, τοῖς πεζοῖς ἐνέπιπτε. καὶ τοῖς ἱππεῦσιν οἱ πεζοί. τροπή τε ἦν αὐτίκα ὁλοσχερής. οἵ τε γὰρ ἐν τῇ διώξει μακρὰν ἀπεσπασμένοι τῶν Ῥωμαικῶν ἱππέων ἐπιστραφέντων ἐς αὐτοὺς ἀπώλλυντο. καὶ τὰ σκευοφόρα τοῖς ἄλλοις ἐνέπιπτεν ὡς ἐνοχλούμενα. πάντων τε ὡς ἐν τοσῷδε πλήθει θλιβομένων καὶ τὸ ἀκριβὲς οὐκ εἰδότων ὅποθεν ἡ ἧττα αὐτοῖς ἄρχοιτο, πολὺς ἦν φόνος. οὐδενὸς σκυλεύοντος οὐδέν· ἀπηγόρευτο γὰρ ἐκ Λουκούλλου μετὰ ἀπειλ.

ὥστε ψέλλια καὶ περιαυχένια ἀποβάλλοντες, ἔκτεινον ἐπὶ σταδίους ἑκατὸν εἴκοσιν, ἕως τε νὺξ ἐπελάβετο· τότε δ᾽ ἀναστρέφοντες ἐσκύλευον. ἐδίδου γὰρ ὁ Λούκουλλος ἤδη. γιγνομένης δὲ τῆς ἥττης ὁ Μαγκαῖος ἐφορῶν ἀπὸ Τιγρανοκέρτων, τοὺς Ἕλληνας οἳ ἐμισθοφόρουν αὐτῷ πάντας ἐξώπλισεν ὑποπτεύων. οἱ δὲ συλληφθῆναι δεδιότες, ἀθρόοι σκυτάλας ἔχοντες, ἐβάδιζόν τε καὶ ηὐλίζοντο. Μαγκαίου δὲ τοὺς βαρβάρους ἐπάγοντος αὐτοῖς ὡπλισμένοις, ἀναδησάμενοι τὰ ἱμάτια ταῖς λαιαῖς ἀντὶ ἀσπίδων, μετὰ τόλμης ἐπέδραμον ἐς αὐτούς· καὶ ὅσους ἀνῄρουν, ἀεὶ ἐμερίζοντο τὰ ὅπλα. ὡς δὲ ἐκ τῶν ἀναιρουμένων εἶχον αὐτάρκη, μέσους πύργους τινὰς κατέλαβον, καὶ Ῥωμαίους ἔξω ἐκάλουν τε καὶ ἀναβαίνοντας ἐσεδέχοντο. οὕτω μὲν ἑάλω Τιγρανόκερτα· καὶ πλοῦτος διηρπάζετο πολὺς, οἷα πόλεως νεοκατασκεύου, φιλοτίμως συνῳκισμένης. Τιγράνης δὲ καὶ Μιθριδάτης, στρατὸν ἄλλον ἤθροιζον περιιόντες· οὗ τὴν στρατηγίαν ἐπετέτραπτο Μιθριδάτης· ἡγουμένου Τιγράνου αὐτῷ γεγονέναι τὰ πάθη μᾶλλον δι᾽ ἐκεῖνον. ἔπεμπον δὲ καὶ ἐς τὸν Παρθυαῖον ἐπικουρεῖν σφίσι παρακαλοῦντες. ἀντιπρεσβεύοντος δὲ Λουκούλλου ἀξιοῦντος, ἢ οἱ συμμαχῆσαι, ἢ ἀμφοτέροις ἐκστῆναι τοῦ ἀγῶνος, ὁ μὲν κρύφα συντιθέμενος ἑκατέροις, οὐκ ἔφθασεν οὐδετέροις ἀμῦναι. ὁ δὲ Μιθριδάτης ὅπλα τε εἰργάζετο κατὰ πόλιν ἑκάστην, καὶ ἐστρατολόγει σχεδὸν ἅπαντας Ἀρμενίους. ἐπιλεξάμενος δ᾽ αὐτῶν τοὺς ἀρίστους, ἐς ἑπτακισμυρίους πεζοὺς καὶ ἱππέας ἡμίσεας, τοὺς μὲν ἄλλους ἀπέλυσε· τοὺς δὲ ἴλας τε καὶ σπείρας ἀγχοτάτω τῆς Ἰταλικῆς συντάξεως καταλέγων, Ποντικοῖς ἀνδράσι γυμνάζειν παρεδίδου. προσιόντος δ᾽ αὖ τοῦ Λουκούλλου, ὁ μὲν Μιθριδάτης τὸ πεζὸν ἅπαν καὶ μέρος σὺν ἵππῳ ἐπὶ λόφου συνεῖχε· τῷ λοιπῷ ἱππικῷ δ᾽ ἐπιὼν Τιγράνης τοῖς σιτολογοῦσι Ῥωμαίοις περιπεσὼν, ἡσσᾶτο· καὶ μᾶλλον ἀδεῶς ἀπὸ τοῦδε οἱ Ῥωμαῖοι πλησίον αὐτοῦ Μιθριδάτου ἐσιτολόγουν τε καὶ ἐστρατοπέδευον. κονιορτὸς δ᾽ αὖθις ἠγείρετο πολὺς ὡς ἐπιόντος τοῦ Τιγράνου· καὶ τάχ᾽ ἂν ἔμελλεν ἐν μέσῳ Λούκουλλον ἀμφοῖν γενέσθαι. ὁ δὲ αἰσθόμενος, τοὺς μὲν ἀρίστους τῶν ἱππέων προὔπεμψε πορρωτάτω συμπλέκεσθαι τῷ Τιγράνῃ, καὶ κωλύειν αὐτὸν ἐξ ὁδοιπορίας ἔτι παρεγκαθίστασθαι· αὐτὸς δὲ τὸν Μιθριδάτην προκαλούμενος ἐς μάχην καὶ περιταφρεύων, ἠρέθιζεν· ὡς λιμὸς ἐπίεζε, διέλυσε τὸ ἔργον ἅπασι. ὁ Τιγράνης μὲν ἐξ ὅλης Ἀρμενίας ἐς τὰ ἐντὸς ἀνεζεύγνυεν· ὁ δὲ Μιθριδάτης, ἐς τὸν Πόντον ἐπὶ τὰ λοιπὰ τῆς ἰδίας ἀρχῆς ἐπείγετο, τετρακισχιλίους

ἰδίους ἔχων, καὶ τοὺς ἑτέρους παρὰ Τιγράνου λαβών. ὑφ᾽ ᾧ ἑπόμενος αὐτῷ Λούκουλλος, ἀνεζεύγνυε καὶ αὐτὸς ἀπορῶν. φθάσας δ᾽ αὐτὸν ὁ Μιθριδάτης, ἐπέθετο Φαβίῳ τῷ ἄρχοντι πρὸς Λουκούλλου στρατηγεῖν ἀπολελειμμένῳ· καὶ τρεψάμενος αὐτὸν, ἔκτεινε πεντακοσίους. ἐλευθερώσαντος δὲ τοῦ Φαβίου θεράποντας ὅσοι ἦσαν ἐν τῷ στρατοπέδῳ, καὶ δι᾽ ὅλης ἡμέρας αὖθις ἀγωνιζομένου, παλίντροπος ἦν ὁ ἀγών· μέχρι τὸν Μιθριδάτην πληγέντα λίθῳ τε ἐς τὸ γόνυ καὶ ὑπὸ τὸν ὀφθαλμὸν βέλει, κατὰ σπουδὴν ἀποκομισθῆναι. καὶ πολλὰς ἡμέρας τοὺς μὲν, φόβῳ τοῦ βασιλέως τῆς σωτηρίας· τοὺς δὲ, ὑπὸ πλήθους τραυμάτων ἠρεμεῖν. Μιθριδάτην μὲν οὖν ἐθεράπευον Ἀγαροὶ, Σκυθικὸν ἔθνος, ἰοῖς ὄφεων ἐς τὴν θεραπείαν χρώμενοι· καὶ ἐπὶ τῷδε ἀεὶ βασιλεῖ συνόντες. Φαβίῳ δὲ Τριάριος, ἕτερος Λουκούλλου στρατηγὸς, ἐπελθὼν μετ᾽ οἰκείου στρατοῦ, τήν τε ἀρχὴν παρὰ τοῦ Φαβίου καὶ τὸ ἀξίωμα παρελάμβανε. καὶ μετ᾽ οὐ πολὺ χωρούσης ἐς μάχην αὐτοῦ τε καὶ Μιθριδάτου, πνεῦμα ὁποῖον οὐκ ἀπομνημονεύεται γενέσθαι, τάς τε σκηνὰς ἀμφοτέρων διέρριψε, καὶ τὰ ὑποζύγια περιέσυρε, καὶ τῶν ἀνδρῶν ἐνίους κατεκρήμνισε. καὶ τότε μὲν ἀνεχώρουν ἑκάτεροι. ἀπαγγελλομένου δὲ Λουκούλλου προσιέναι, προλαβεῖν τὸ ἔργον ὁ Τριάριος ἐπειγόμενος, ἔτι νυκτὸς ἐπεχείρει ταῖς Μιθριδάτου προφυλακαῖς. ἰσομάχου δὲ ἐς πολὺ τοῦ ἀγῶνος ὄντος, ὁ βασιλεὺς ἐς τὸ καθ᾽ αὑτὸν μέρος ἐπιβρίσας, ἔκρινε τὴν μάχην· καὶ διασπάσας τοὺς ἀντιμαχομένους, τὸ πεζὸν αὐτῶν κατέκλεισεν ἐς διώρυχα πηλοῦ, ἔνθα διεφθείροντο στῆναι μὴ δυνάμενοι· τοὺς δ᾽ ἱππέας ἀνὰ τὸ πεδίον ἐδίωκεν, ἐκθύμως τῇ φορᾷ τῆς εὐτυχίας χρώμενος· ἕως τις αὐτὸν Ῥωμαῖος λοχαγὸς, οἷα θεράπων αὐτοῦ συντροχάζων, ἐς τὸν μηρὸν ἐπάταξε ξίφει πληγὴν βαρεῖαν, οὐκ ἐλπίσας ἐς τὰ νῶτα διὰ τοῦ θώρακος ἀφίξεσθαι. καὶ τόνδε μὲν ἀθρόως οἱ πλησίον συνεκόπτον. ὁ δὲ Μιθριδάτης ἀπεφέρετο ὀπίσω· καὶ οἱ φίλοι τὴν στρατιὰν ἀπὸ νίκης λαμπρᾶς ἀνεκαλοῦσι σὺν ἐπείξει βαθείᾳ. ἐνέπιπτε δὲ τοῖς μαχομένοις ἐπὶ τῷ παραλόγῳ τῆς ἀνακλήσεως θόρυβός τε καὶ ἀπορία, μή τι δεινὸν ἑτέρωθι εἴη. μέχρι μαθόντες, ἀθρόοι ἐν τῷ πεδίῳ τὸ σῶμα περιιστάντες ἐθορύβουν· ἕως Τιμόθεος αὐτοῖς ὁ ἰατρὸς ἐπισχὼν τὸ αἷμα, ἐπέδειξεν αὐτὸν ἐκ μετεώρου· οἷόν τι καὶ Μακεδόσιν ἐν Ἰνδοῖς ὑπὲρ Ἀλεξάνδρου δεδιόσιν, ὁ Ἀλέξανδρος αὑτὸν ἐπὶ νεὼς θεραπευόμενον ἐπέδειξεν. ὁ δὲ Μιθριδάτης ὡς ἀνήνεγκεν, αὐτίκα τοῖς ἀνακαλέσασιν ἐκ τῆς μάχης κατεμέμφετο· καὶ τὸν στρατηγὸν αὐτῆς ἡμέρας ἦγεν αὖθις ἐπὶ τὸ Ῥωμαίων στρατόπεδον. οἱ δὲ, καὶ ἐκ τούτου ἀπεφοί

γεσαν ἤδη ξαυτῆς· σκῦλα μὲν δὲ τῶν νεκρῶν, ἔπεσον δὲ χιλίαρχοι μὲν τέσσαρες καὶ εἴκοσι· ἑκατόνταρχοι δὲ, πεντήκοντα καὶ ἑκατόν· ὅσον ἡγεμόνων πλῆθος οὐ ῥᾳδίως συνέπεσε Ῥωμαίοις ἐν ἥττῃ μιᾷ. ὁ δὲ Μιθριδάτης ἀπομένων ἦν Ῥωμαῖοι βραχύτερον ἀπομένειν καὶ λοιπὸν, ἀνεζεύγνυε· τὰ μὲν ἀκόμιστα πάντα σιτολογῶν· τὰ δὲ λοιπὰ διαφθείρων τὸν Λούκουλλον ἐπιόντα προσδεχόμενος· καί τις ἀνὴρ Ῥωμαῖος ἀπὸ βουλῆς Ἀττίδιος ὄνομα, δίκην φυγὼν ἐκ τῆς πατρίδος ἐπὶ Μιθριδάτην πρὸ πολλοῦ καὶ φιλίας ἀξιούμενος, ἑάλω τότε ἐπιβουλεύων αὐτῷ· καὶ τὸν μὲν ὁ βασιλεὺς οὐ δικαιῶν βασανίζειν Ῥωμαῖον ποτὲ βουλευτὴν γενόμενον, ἔκτεινε· τοὺς δὲ συνωμότας, ᾐκίσατο δεινῶς· ἀπελευθέρους δ' οἳ τῷ Ἀττιδίῳ συνεγνώκεσαν, ἀπαθεῖς ἀφῆκεν ὡς δεσπότῃ διακονησαμένους· Λουκούλλου δ' ἤδη τῷ Μιθριδάτῃ παραστρατοπεδεύοντος, ὁ τῆς Ἀσίας στρατηγὸς περιπέμπων ἐκήρυσσε Ῥωμαίοις ἐπικαλεῖν Λουκούλλῳ ὡς πέρα τοῦ δέοντος πολεμοῦντι· ἐφ' αὐτῷ τῆς στρατείας ἀφίεσθαι· καὶ τῶν οὐ πιθομένων τὰ ὄντα δημεύσειν· ὧν ἐξαγγελθέντων, ὁ στρατὸς αὐτίκα διελύετο χωρὶς ὀλίγων· ὅσοι πάνυ πένητες ὄντες τὴν ζημίαν οὐ δεδιότες, τῷ Λουκούλλῳ παρέμενον· ὧδε μὲν δὴ ὁ Λουκούλλου πρὸς Μιθριδάτην πόλεμος ἐς οὐδὲν βέβαιον οὐδὲ κεκριμένον τέλος ἔληξεν· ἀφισταμένης γὰρ τῆς Ἰταλίας ἐνοχλούμενοι καὶ λῃστευομένης τῆς θαλάσσης λιμῷ πιεζόμενοι, οὐκ ἐν καιρῷ σφίσιν ἡγοῦντο πολεμεῖν· ἄλλον τοιοῦτον δὲ πόλεμον πρὶν τὰ ἐνοχλοῦντα λαβέσθαι· ὧν ὁ Μιθριδάτης αἰσθανόμενος ἐς Καππαδοκίαν ἐσέβαλε· καὶ τὴν ἰδίαν ἀρχὴν ὠχύρου· καὶ τὰ δὲ αὐτοῦ περιορῶντα, οἱ Ῥωμαῖοι περιεώρων ἐφ' ὅσον αὐτοῖς ἡ θάλασσα ἐκαθαίρετο· ὡς δὲ ἐκαθάρθη, ὁ καθήρας Πομπήιος εὐθὺς ἦν ἐν Ἀσίᾳ, τὸν Μιθριδάτειον πόλεμον ἀναλαμβάνων αὐτίκα· καὶ ἐπέστελλον καὶ τοῦδε τῷ Πομπηίῳ στρατηγῆσαι· διό μοι δοκεῖ μέρος ὄντα τῆς Πομπηίου στρατηγίας τὰ περὶ τὴν θάλασσαν αὐτῷ πρὸ Μιθριδάτου κατειργασμένα, ἐν οὐδὲ μέρει συγγραφῆς οἰκείᾳ ἀναλέξαντα, ἐν τῷδε μέρος συναγαγεῖν τε καὶ ἐπιδραμεῖν ὡς ἐγένετο· Μιθριδάτης ὅτε πρῶτον Ῥωμαίοις ἐπολέμει καὶ τῆς Ἀσίας ἐκράτει, Σύλλα περὶ τὴν Ἑλλάδα πονουμένου, ἡγούμενος οὐκ ἐς πολὺ καθέξειν τῆς Ἀσίας, τά τε ἄλλα ὥς μοι προείρηται ἐλυμαίνετο πάντα· καὶ ἐς τὴν θάλασσαν πειρατὰς καθῆκεν· οἳ τὸ μὲν πρῶτον ὀλίγοις σκάφεσι καὶ μικροῖς οἷα λῃσταὶ περιπλέοντες, ἐλύπουν· ὡς δὲ ὁ πόλεμος ἐμηκύνετο, πλείονες ἐγίγνοντο· καὶ ναυσὶ μεγάλαις ἐπέπλεον· γευσάμενοι δὲ κερδῶν μεγάλων, οὐδ' ἡττωμένου καὶ σπενδομένου Μιθριδάτου καὶ ἀναχω-

ροῦντος τοῦ Μιθριδάτου ἔτι ἐπαύοντο· οἱ γὰρ βίου καὶ πατρίδων διὰ τὸν πόλεμον ἀφῃρημένοι καὶ ἐς ἀπορίαν ἐμπεσόντες ἀθρόαν, ἀντὶ τῆς γῆς ἐκαρποῦντο τὴν θάλασσαν· μυοπάρωσι πρῶτον καὶ ἡμιολίαις· εἶτα δικρότοις καὶ τριήρεσι κατὰ μέρη περιπλέοντες· ἡγεμόνων λῃστάρχων οἷα πολέμου στρατηγῶν· ἅ τε ἀτειχίστοις πόλεσιν ἐπιπίπτοντες καὶ τὰ τῇ διορύττοντες ἢ κόπτοντες ἢ πολιορκίᾳ λαμβάνοντες, ἐσύλων· καὶ τοὺς ἄνδρας οἷς τι πλέον εἴη, ἐς ναυλοχίαν ἐπὶ λύτροις ἐπῆγον· καὶ τὰ δὲ τὰ λήμματα ἀδοξοῦντα ἤδη δὲ τὸ τῶν λῃστῶν ὄνομα μισθὸν ἐκάλουν στρατιωτικόν· χειροτέχνας τε εἶχον ἐπὶ δεσμοῖς δεδεμένους· καὶ ὕλην ξύλου χαλκοῦ καὶ σιδήρου συμφέροντες, οὔποτε ἐπαύοντο· ἐπαιρόμενοι γὰρ ὑπὸ τοῦ κέρδους καὶ τὸ λῃστεύειν οὐκ ἐγνωκότες ἔτι μεταθῆναι, βασιλεῦσι δ' ἤδη καὶ τυράννοις καὶ στρατοπέδοις μεγάλοις ἑαυτοὺς ὁμοιοῦντες· καὶ νομίζοντες ὅτε συνέλθοιεν ἐς ταὐτὸ πάντες, ἀμάχοι γενήσεσθαι, ναῦς τε καὶ ὅπλα πάντα ἐτεκταίνοντο· μάλιστα περὶ τὴν Τραχεῖαν λεγομένην Κιλικίαν, ἣν κοινὸν σφῶν ὅρμον ἐποιοῦντο καὶ στρατόπεδον ἐπιθέντες εἶναι· φρούρια μὲν καὶ ἄκρας καὶ νήσους ἐρήμους καὶ ναυλοχία ἔχοντες πολλαχοῦ· κυριωτάτας δὲ ἀφετηρίας ἡγούμενοι, τὰς περὶ τήνδε τὴν Κιλικίαν τραχεῖάν τε καὶ ἀλίμενον οὖσαν καὶ κορυφαῖς μεγάλαις ἐξέχουσαν· ὅθεν δὴ καὶ πάντες ὀνόματι κοινῷ Κίλικες ἐκαλοῦντο· ἀρξαμένου μὲν ἴσως τοῦ κακοῦ παρὰ τῶν τραχεῖν Κιλίκων· συνεπιλαβόντων δὲ, Σύρων τε καὶ Κυπρίων καὶ Παμφύλων καὶ τῶν Ποντικῶν καὶ σχεδὸν ἁπάντων τῶν ἑῴων ἐθνῶν, οἳ πολλοῦ καὶ χρονίου σφίσιν ὄντος τοῦ Μιθριδατείου πολέμου δρᾶν τι μᾶλλον ἢ πάσχειν αἱρούμενοι, τὴν θάλασσαν ἀντὶ τῆς γῆς ἐπελέγοντο· ὥστε πολλαὶ τάχιστα αὐτῶν μυριάδες ἦσαν· καὶ οὐ μόνης ἔτι τῆς ἑῴας θαλάσσης ἐκράτουν, ἀλλὰ τῆς ἐντὸς Ἡρακλείων στηλῶν ἁπάσης· καὶ γάρ τινας ἤδη Ῥωμαίων στρατηγοὺς ναυμαχίᾳ νενικήκεσαν· ἄλλους τε καὶ τὸν τῆς Σικελίας, περὶ αὐτὴν Σικελίαν· ἄπλωτά τε ἦν ἤδη πάντη, καὶ ἡ γῆ τῶν ἔργων ἀνδέκτος διὰ τὴν ἐπιμιξίαν· ἡ τε πόλις Ῥωμαίων ᾐσθάνετο μάλιστα τοῦ κακοῦ, τῶν τε ὑπηκόων σφίσι καμνόντων· καὶ αὐτοὶ διὰ πλῆθος ἴδιον ἐπιπόνως λιμώττοντες, τὸ δ' ἔργον αὐτοῖς ἐφαίνετο μέγα καὶ δύσχερές, ἐξελεῖν τοσόνδε στρατόπεδον ἀνδρῶν ναυτικῶν· μεμερισμένα μὲν ἐν πάσῃ ἀνὰ κύκλον τὴν θάλασσαν· κοῦφα δὲ ταῖς κατασκευαῖς ἐς τὸ ὑποφεύγειν· καὶ οὐκ ἐκ πατρίδων ἢ φανερᾶς χώρας ὁρμώμενα· οὐδ' οἰκεῖον οὐδὲν ἢ ἴδιον, ἀλλὰ τὸ προστυχὸν ἔχοντα· ὥστε πολὺς ὢν ὁ τοῦδε τοῦ πολέμου παράλογος ἄνομον

οὐδὲ γ' ἔχοντος οὐδὲ βέβαιον οὐδὲ φανερόν, ἀμήχανον ὁμοῦ ἐς φόβον εἰργάζετο.
Μουρήνας τε ἐπεχείρησεν αὐτοῖς, οὐδὲν δ' εἰργάσατο μέγα· ἀλλ' οὐδὲ Σερουίλιος Ἰσαυ-
ρικὸς ἐπὶ τῷ Μουρήνᾳ. ἀλλ' ἤδη καὶ τῆς γῆς τῆς Ἰταλικῆς τοῖς παραλίοις, ἀμφί τε
τὸ Βρεντέσιον καὶ τὴν Τυρρηνίαν ἐπέβαινον οἱ λῃσταὶ σὺν καταφρονήσει. καὶ γυναῖκας
παροδεύοντα τῶν ἐπὶ πατρίδων καὶ δύο στρατηγοὺς αὐτοῖς σημείοις συνήρπασαν. ὧν
οὔτε τὴν βλάβην οὔτε τὴν αἰσχύνην ἔτι φέροντες οἱ Ῥωμαῖοι, τὸν δὲ σφῶν ἐπὶ
δόξης ὄντα μεγίστης Πομπήιον, αἱροῦνται νόμῳ στρατηγὸν ἐπὶ τρία ἔτη αὐτο-
κράτορα εἶναι θαλάσσης τε ἁπάσης ὅση στηλῶν Ἡρακλείων ἐντός ἐστι· καὶ γῆς
ἀπὸ θαλάσσης σταδίους τετρακοσίους ἄνω· βασιλεῦσί τε καὶ δυνάσταις καὶ ἔ-
θνεσι καὶ πόλεσι πάσαις ἐπέστελλον, ἐς πάντα συλλαμβάνειν τῷ Πομπηίῳ.
καὶ αὐτῷ στρατιὰν καταλέγειν ἔδοσαν· καὶ χρήματα ἀγείρειν· στόλον ἐπέμψαν
δὲ καὶ παρὰ σφῶν στρατὸν πολὺν ἐκ καταλόγου. καὶ ναῦς ὅσας εἶχον. χρήματα
δὲ ἑξακισχίλια τάλαντα Ἀττικά. οὕτω μέγα καὶ δύσεργον ἡγοῦντο εἶναι
τοσῶνδε κρατῆσαι στρατοπέδων· ἐν τοσῇδε θαλάσσῃ. καὶ μυχοῖς τοσοῖσδε. διαλαν-
θανόντων τε ἀμυδρῶς. καὶ ὑποχωρούντων ῥᾳδίως. καὶ ἐμπιπτόντων αὖθις ἀφανῶς.
ἀνήρ τε οὐδείς πω πρὸ τοῦ Πομπηίου ἐπὶ τοσῶνδε ἀρχὴν αἱρεθεὶς ὑπὸ Ῥω-
μαίων ἐξέπλευσεν. ᾧ στρατιὰ μὲν αὐτίκα ἦν αὖ δυοκαίδεκα μυριάσι πεζῶν.
καὶ ἱππεῖς τετρακισχίλιοι· νῆες δὲ σὺν ἡμιολίαις ἑβδομήκοντα καὶ διακό-
σιαι. ὑπηρέται δ' ἀπὸ τῆς βουλῆς οὓς ἐκάλουν πρεσβευτάς, πέντε καὶ εἴκοσιν.
οἷς ὁ Πομπήιος ἐπιδιῄρει τὴν θάλασσαν· καὶ ναῦς ἐδίδου καὶ ἱππέας ἑκάστῳ·
καὶ στρατὸν πεζόν· καὶ στρατηγικὰ σημεῖα περικεῖσθαι· ἵνα αὐτοκράτορες ὦσιν
ὧν ἐπιστεύοντο μέρους ἕκαστος ὑπάρχοι· αὐτὸς δ' οἷα δὴ βασιλεὺς βασιλέων
αὐτοὺς περιθέων καὶ ἐφορῶν μένοντας ἐφ' ὧν ἐτάχθησαν. μὴ δὲ μεταδιώκον-
τες τοὺς λῃστὰς περιφέροιντο ἐξ ἔργων ἀτελῶν ἐπὶ ὄντων γῆς ἑτέρας. ἀλλ' εἶεν
οἱ πανταχόθεν αὐτοῖς ἀπαντῶντες, καὶ τὰς ἐς ἀλλήλους διαδρομὰς
ἀποκλείοντες. οὕτω διαθεὶς ὁ Πομπήιος ἅπαντα, ἐπέστησεν Ἰβηρίᾳ μὲν
καὶ ταῖς Ἡρακλείαις στήλαις, Τιβέριον Νέρωνα· καὶ Μάλλιον Τορκουᾶτον·
ἀμφὶ δὲ τὴν Λιγυστινήν τε καὶ Κελτικὴν θάλασσαν, Μάρκον Πομπώνιον· Λι-
βύῃ δὲ καὶ Σαρδόνι καὶ Κύρνῳ καὶ ὅσαι πλησίον νῆσοι, Λέντουλόν τε
Μαρκελλῖνον· καὶ Πούπλιον Ἀτίλιον· περὶ δὲ αὐτὴν Ἰταλίαν, Λούκιον
Γέλλιον· καὶ Γναῖον Λέντουλον· Σικελίαν δὲ καὶ τὸν Ἰόνιον, ἐφύλασσον
αὐτῷ Πλώτιός τε Βάρρων καὶ Τερέντιος Οὐάρρων μέχρις Ἀκαρνανίας.

Πελοπόννησον δὲ καὶ τὴν Ἀττικήν, ἔτι δ' Εὔβοιαν καὶ Θεσσαλίαν καὶ Μακεδονίαν
καὶ Βοιωτίαν, Λούκιος Σισέννας· τὰς δὲ νήσους καὶ τὸ Αἰγαῖον ἅπαν καὶ τὸν
Ἑλλήσποντον ἐπ' αὐτοῖς, Λούκιος Λόλλιος· Βιθυνίαν δὲ καὶ Θρᾴκην καὶ Προπον-
τίδα καὶ τὸ τοῦ Πόντου στόμα, Πούπλιος Πίσων· Λυκίαν δὲ καὶ Παμφυλίαν.
καὶ Κύπρον καὶ Φοινίκην, Μέτελλος Νέπως· ὧδε μὲν αὐτῷ διετετάχατο
οἱ στρατηγοὶ ἐπιχειρεῖν τε καὶ ἀμύνεσθαι. καὶ φυλάσσειν τὰ τεταγμένα· καὶ τοὺς
παρ' ἀλλήλων ἐκφεύγοντας ὑπολαμβάνειν· ἵνα μὴ διώκοντες ἀφίστωνται τὸ
μακρόν· μηδὲ ὥσπερ ἐν δρόμῳ περιφέροιντο. καὶ χρόνιον εἴη τὸ ἔργον· αὐτὸς δ'
ἅπαντα ἐπέπλει. καὶ τὰ πρὸς δύσιν πάντα ἡμέραις τεσσαράκοντα ἐπιδών, ἐς
Ῥώμην παρῆλθεν· ὅθεν ἐς Βρεντέσιον. καὶ ἐκ Βρεντεσίου τοσῷδε διαστή-
ματι τὰ ἕω περιπλεύσας, ἐξέπληξεν ἅπαντας· τάχει τε ἐπίπλου καὶ μεγέθει
παρασκευῆς· καὶ φόβῳ δόξης· ὥστε τοὺς λῃστὰς ἐλπίσαντας αὐτῷ προσεπιχειρήσειν.
ἢ οὐκ ἀμυδρόν γε τὸ κατὰ σφῶν ἔργον ἀποδείξειν, δείσαντας αὐτίκα, τῶν πόλεων ἃς
ἐπολιόρκουν ἐξαναχωρῆσαι· καὶ ἐς τὰς συνήθεις ἄκρας καὶ ναυλόχους ὑποφεύγειν·
καὶ τῷ Πομπηίῳ τὴν μὲν θάλασσαν αὐτίκα ἀμαχεὶ κεκαθάρθαι· τοὺς δὲ λῃστὰς ὑπὸ τῶν
στρατηγῶν ἁλίσκεσθαι πανταχοῦ κατὰ μέρη. αὐτὸς δὲ ἐς Κιλικίαν ἠπείγετο
μετὰ ποικίλου στρατοῦ καὶ μηχανημάτων πολλῶν· ὡς ἐπὶ πάσας παντοίας μάχας καὶ πο-
λιορκίας αὐτῷ δεησομένης, ἐπὶ ἄκρας ἀποκρήμνοις. οὐδενὸς δὲ ἐδέησε· τὸ γὰρ
κλέος αὐτοῦ καὶ τὴν παρασκευὴν οἱ λῃσταὶ καταπλαγέντες καὶ ἐλπίσαντες εἰ μὴ
διὰ μάχης ἔλθοιεν, τεύξεσθαι φιλανθρωπίας, πρῶτοι μὲν οἱ Κράγον καὶ Ἀντίκραγον
ἔχοντες φρούρια μέγιστα· μετὰ δ' ἐκείνους, οἱ ὄρειοι Κίλικες ἐφεξῆς ἅπαντες,
ἑαυτοὺς ἐνεχείριζον· ὅπλα τε ὁμοῦ πολλά, τὰ μὲν ἕτοιμα· τὰ δέ, χαλκευόμενα
παρέδωκαν· καὶ ναῦς, τὰς μὲν ἔτι πηγνυμένας, τὰς δ' ἤδη πλεούσας· χαλκόν τε
καὶ σίδηρον ἐς ταῦτα συνηγμένον· καὶ ὀθόνας· καὶ κάλως· καὶ ὕλην ποικί-
λην· αἰχμαλώτων τε πλῆθος· τῶν μὲν, ἐπὶ λύτροις· τῶν δέ, ἐπὶ ἔργοις δεδεμένων.
ὧν ὁ Πομπήιος, τὴν μὲν ὕλην ἀνέπρησε· τὰς δὲ ναῦς, ἀπήγαγε· τοὺς δ' αἰχμαλώτους
ἐς τὰς πατρίδας ἀφῆκε· καὶ πολλοὶ κενοτάφια σφῶν κατέλαβον ὡς ἐπὶ νεκροῖς
γενόμενα· τοὺς δὲ πειρατάς, οἳ μάλιστα ἐδόκουν οὐχ ὑπὸ μοχθηρίας ἀλλ' ἀπορίᾳ
βίου διὰ τὸν πόλεμον ἐπὶ ταῦτα ἐλθεῖν, ἐς Μαλλὸν καὶ Ἄδανα· καὶ Ἐπιφάνειαν·
ἢ εἴ τι ἄλλο πόλισμα ἕτερον ἔρημον ἢ ὀλιγάνθρωπον ἦν τῆς δὲ τῆς Τρα-
χείας Κιλικίας συνῴκιζε· τοὺς δέ τινας αὐτῶν καὶ ἐς Δύμην τῆς Ἀχαΐας ἐξέ-
πεμψεν. ὁ δὲ μὲν ὁ λῃστρικὸς πόλεμος χαλεπώτατος ἔσεσθαι νομισθείς, ὀλι-

ἡγεμόνος ἐνδόντο τῷ Πομπηίῳ. ναῦς δ' ἔλαβε· τὰς μὲν ἁλούσας ἑβδο-
μήκοντα· τὰς δὲ ὑπ' αὐτῶν παραδοθείσας ἓξ ἢ τριακοσίας· πόλεις δὲ καὶ φρού-
ρια καὶ ὁρμητήρια ἄλλα αὐτῶν, εἴκοσι καὶ ἑκατόν· λῃσταὶ δ' ἀνῃρέθησαν
ἐν ταῖς μάχαις, ἀμφὶ τοὺς μυρίους. ἐπὶ δὲ τούτοις ὀξέως τε οὕτως καὶ παρα-
δόξως γενομένοις, οἱ Ῥωμαῖοι τὸν Πομπήιον μέγα ἐπαίροντες, ἔτι ὄντα περὶ Κι-
λικίαν, εἵλοντο τοῦ πρὸς Μιθριδάτην πολέμου στρατηγόν· ἐπὶ τῆς ὁμοίας ἐξουσίας
αὐτοκράτορα ὄντα, ὅπῃ θέλοι συντίθεσθαί τε καὶ πολεμεῖν. καὶ φίλους ἢ πολεμίους
Ῥωμαίοις οὓς δοκιμάσειε ποιεῖσθαι· στρατιᾶς τε πάσης ὅση πέραν ἐστὶ τῆς Ἰ-
ταλίας, ἄρχειν ἔδωκαν· ἅπερ οὐδενί πω πάντα ἀθρόα πρὸ τοῦδε ὁμοῦ πάντη
ἐδόθη· καὶ ἴσως αὐτὸν καὶ διὰ τάδε μέγαν στρατηγὸν ὀνομάζουσιν. ὁ γάρ τοι πό-
λεμος ὅ τε τοῦ Μιθριδάτου καὶ ὑπὸ τῶν προτέρων στρατηγῶν ἐξήνυστο ἤδη. Πομπήι-
ος μὲν οὖν διαδεχθεὶς ἐκ τῆς Ἀσίας στρατὸν ἀγείρας, μετεστρατοπέδευεν ἐπὶ τοὺς ὅρους τοῦ
Μιθριδάτου. Μιθριδάτῃ δὲ ἦν ἐπίλεκτος οἰκεῖος στρατός, τρισμύριοι πεζοί· καὶ
ἱππεῖς τρισχίλιοι· καὶ προυκάθητο τῆς χώρας. ἄρτι δ' αὐτὴν Λουκούλλου διεφθαρ-
κότος, ἀπόρως εἶχεν ἀγορᾶς. ὅθεν αὐτομολίαις ἐπετίθεντο πολλοί· καὶ τούσδε
μὲν ὁ Μιθριδάτης ἐρευνώμενος, ἐκρήμνη· καὶ ὀφθαλμοὺς ἀνώρυττε· καὶ ἔ-
καιε· τὰ μὲν αὐτομολιῶν, ἧσσον ἦν ἠνώχλει διὰ φόβον τῶν κολάσεων. ἐπετρίβετο
δὲ τῇ ἀπορίᾳ· πρέσβεις οὖν ὡς Πομπήιον πέμψας, ἠξίου μαθεῖν τίς ἂν εἴη τοῦ
πολέμου διάλυσις. ὁ δὲ ἂν τοὺς αὐτομόλους ᾔτει μὲν παραδοῦναι σφᾶς, ἐς αὐτὸν ᾔτει μὲν
ἐπιτρέψαι. ὧν ὁ Μιθριδάτης πυθόμενος, τοῖς αὐτομόλοις τὸ περὶ αὐτοῦ ἔφρασε·
καὶ δεδιότας ὁρῶν, ὤμοσεν ὅτι οἱ διὰ πρὸς Ῥωμαίους ἐστὶν ἄσπονδα διὰ τὴν πλεονε-
ξίαν αὐτῶν· καὶ οὐκ ἐκδώσει τινὰ οὐδὲ πράξει ποτέ, ὃ μὴ κοινῇ πᾶσι συνοίσει.
ὁ μὲν δὴ ὧδε εἶπεν· ὁ δὲ Πομπήιος ἐνέδραν ποιήσας ἱππέων, ἑτέρους
ἐπέμπεν ἐκ φανεροῦ τοῖς προφύλαξι τοῦ βασιλέως ἐνοχλεῖν· καὶ ἐνετέλλετο
αὐτοῖς ἐρεθίζειν καὶ ὑποφαίνειν ὡς ἡττωμένους, ἕως τε περιοὶ ἐκ τῆς
ἐνέδρας περιλαβόντες αὐτοὺς ἐτρέψαντο. καὶ ἔφθασαν ἂν οἱ ταχεῖς καὶ ἐς τὸ
στρατόπεδον συνεισπηδῆσαι, εἰ μὴ δείσας ὁ βασιλεύς, προήγαγε τὸ πεζόν.
οἱ δ' ἀνεχώρουν. καὶ τέλος ἦν τοῦτο τῆς πρώτης Πομπηίου καὶ Μιθριδάτου
πείρας ἀλλήλων καὶ ἱππομαχίας. ἐνοχλούμενος δ' ὑπὸ τῆς ἀπορίας ὁ βασιλεύς,
ὑπεχώρει ἐς χώραν· καὶ ἐδέχετο Πομπήιον ἐς τὴν ἑαυτοῦ· ἐπιζῶν καθη-
μένον ἐν τῇδε τῇ διεφθαρμένῃ κακοπαθήσειν. ὁ δὲ ἀγορὰν μὲν ἐπακτὸν
ἐκ τῶν ὄπισθεν εἶχε· περιιὼν δὲ τὰ πρὸς ἕω τοῦ Μιθριδάτου, φρούρια

αὐτῷ καὶ στρατόπεδα πολλὰ ἐστήσατο, πεντήκοντα σταδίους περιθείς, ἀπε-
τάφρευε, τοῦ μὴ σιτολογεῖν αὐτὸν ἐπὶ ἀδεῶς. καὶ ὁ βασιλεὺς ἀποταφρευό-
μενος οὐκ ἐπετίθετο· εἴθ' ὑπὸ δέους, εἴθ' ὑπὸ ἀνοίας, ἣ πᾶσιν ἐπιγίγνεται πλησιά-
ζουσι τῶν κακῶν. καὶ ἔμεινεν δ' αὖθις ἐξ ἀπορίας, τὰ ὑποζύγια ὅσα εἶχε κατέ-
κοπτε· τοὺς ἵππους μόνους περιποιούμενος. ἔς τε μόλις ἐπὶ πεντήκοντα
διαρκέσας ἡμέρας, νυκτὸς ἀπεδίδρασκε σὺν σιωπῇ βαθείᾳ διὰ ὁδῶν δυσχε-
ρῶν. ὡς δὲ αὐτὸν μόλις ἡμέρας ὁ Πομπήιος καταλαβών, ἥπτετο τῶν ὑστάτων,
ὁ μὲν καὶ τότε τῶν φίλων ἐκτάξαι κελευόντων, οὐκ ἐμάχετο· ἀλλὰ τοῖς ἱππεῦσι
μόνοις τοὺς πλησιάζοντας ἀνακόπτων, ἑσπέρας ἐν ὕλαις ηὐλίζετο πυκναῖς.
τῇ δὲ ἐπιούσῃ χωρίον κατέλαβε περίκρημνον· οὗ μία ἐς αὐτὸ ἄνοδος ἦν· ἐς
τέσσαρας αὐτὴν σπείρας προυφύλασσον. ἀντεφύλασσον δὲ καὶ Ῥωμαῖοι, μὴ
διαφυγεῖν Μιθριδάτην. ἅμα δ' ἡμέρᾳ, τὸν μὲν στρατὸν αὐτῶν ὥπλιζεν ἑκά-
τερος· οἱ προφύλακες δ' ἀλλήλων κατὰ τὸ πρανὲς ἀπεπειρῶντο. καί τινες
ἱππέες τοῦ Μιθριδάτου χωρίς τε τῶν ἵππων καὶ χωρὶς ἐπαγγέλματος, ἐβοήθουν
τοῖς σφετέροις προφύλαξι· πλειόνων δὲ σφίσι Ῥωμαίων ἱππέων ἐπιόντων, οἱ
ἄνιπποι τῶν Μιθριδατείων οἵδε, ἀθρόως ἐς τὸ στρατόπεδον ἀνεπήδων· ἀναβη-
σόμενοί τε τοῖς ἵπποις, καὶ ἐξ ἴσου τοῖς ἐπιοῦσι Ῥωμαίοις συνεσόμενοι. καὶ τι-
νὲς δ' αὐτοὺς οἱ ἄνω ἔτι ὁπλιζόμενοι σὺν δρόμῳ καὶ βοῇ προσθέοντας, τὸ
γιγνόμενον οὐκ εἰδότες, ἀλλὰ φυγὴν αὐτοὺς ὑπολαβόντες, ὡς ἡλωκυίας
σφῶν ἤδη κατὰ θάτερα τοῦ στρατοπέδου, τὰ ὅπλα μεθέντες ἔφευγον· ἄτε
ἐξόδου δ' οὔσης τοῦ χωρίου, περιέπιπτον ἀλλήλοις ἀναστρεφόμενοι, μέχρι
κατηλλάσσοντο κατὰ τῶν κρημνῶν. οὕτω μὲν ἡ στρατιὰ τῷ Μιθριδάτῃ διὰ προ-
πέτειαν τῶν ἄνευ προστάγματος τοῖς προμάχοις ἐπικουρεῖν ἡγουμένων θορυ-
βηθεῖσα, διεφθάρη· καὶ τὸ λοιπὸν ἔργον, εὔκολον ἦν τῷ Πομπηίῳ· κτείνοντι
καὶ συλλαμβάνοντι ἀνόπλους ἔτι ἐν περικρήμνῳ συγκεκλεισμένους.
ἐν ἀνῃρέθησαν ἐς μυρίους· καὶ τὸ στρατόπεδον ὅλον τῇ παρασκευῇ κατει-
λήφθη. Μιθριδάτης δὲ μετὰ τῶν ὑπασπιστῶν μόνων ὠσάμενος ἐς τὰ κατὰ
κρημνῶν καὶ διαφυγών, ἐνέτυχεν τισὶν ἱππεῦσι μισθοφόροις, ἐς πεζοῖς ὡς
τρισχιλίοις· οἳ αὐτῷ διὰ σιωπῆς σὺν τούτοις εἰς Σινόρηγα φρούριον· ἔνθα αὐτῷ χρή-
ματα πολλὰ ἐσεσώρευτο. καὶ δωρεὰς ἔμμισθον ἐνιαυτοῦ τοῖς συμφυγοῦσιν ἔ-
δωκε· φέρων δὲ ἑξακισχίλια τάλαντα, ἐπὶ τὰς τοῦ Εὐφράτου πηγὰς ἠπεί-
γετο. ὡς ἐκεῖθεν ἐς Κόλχους περάσων. δρόμῳ δ' ἀπαύστῳ χρώμενος, τὸν

μὲν Ἀφράτην ὑπερῆλθε, ᾗ μάλιστα τεταρτῆ· τοὺς δ᾽ ἄλλους καθιστάμενος
καὶ ὁπλίζων τοὺς ἑαυτοῦ προσιόντας, ἐν τῇ Χωτηνῇ ἀρμενίων ἀνέβαλεν·
ἔνθα Χωτηνοὺς μὲν καὶ Ἴβηρας κωλύοντας αὐτὸν βέλεσι καὶ σφενδόναις, ἐλαύνων
διῆλθεν ἐπὶ τὸν Ἄψαρον ποταμόν. Ἴβηρες δὲ τοῖς ἀνάπαλιν, οἱ μὲν, προγόνους·
οἱ δ᾽ ἀποίκους ἡγοῦνται τῶν Εὐρωπαίων Ἰβήρων· οἱ δὲ, μόνον ὁμωνύμους· ἔθος
γὰρ οὐδὲν ἢ ὅμοιον· ἢ γλῶσσα. Μιθριδάτης δὲ ἐν Διοσκούροις χειμάζων, ἣν πόλιν
οἱ Κόλχοι σύμβολον ἡγοῦνται τῆς Διοσκούρων σὺν Ἀργοναύταις ἐπιδημίας,
οὐδὲν σμικρὸν οὐδ᾽ ἰδιωτικὸν ἐν φυγῇ διενοεῖτο· ἀλλὰ τὸν Πόντον ὅλον ἐγκυκλώσας,
Σκύθας ἐπὶ τῷ Πόντῳ καὶ Μαιώτιδα λίμνην ὑπερελθών, ἐς Βόσπορον ἐμβαλεῖν·
τήν τε Μαχάρους τοῦ παιδὸς ἀρχὴν, ἀχαρίστου τε περὶ αὐτὸν γενομένου παραλαβών,
αὖθις ἐγγὺς Ῥωμαίοις γενέσθαι· καὶ πολεμεῖν ἐκ τῆς Εὐρώπης οἷς ἐν τῇ
Ἀσίᾳ, τὸν πόρον ἐν μέσῳ θέμενος· ὃν κληθῆναί τινες νομίζουσι Βόσπορον,
Ἰοῦς διανηξαμένης, ὅτε βοῦς γενομένη κατὰ ζῆλον τὸν Ἥρας ἔφυγεν. Ἐν
τοσούτῳ παραδόξῳ ἐπειγόμενος ὁ Μιθριδάτης ἀφικέσθαι, ὅμως ἐπενόει
καὶ διώδευεν ἔθνη Σκυθικὰ, πολέμια καὶ ἀλλότρια, πείθων ἢ βιαζόμενος·
οὕτω καὶ φεύγων καὶ ἀτυχῶν αἰδέσιμος ἔτι καὶ φοβερὸς ἦν. Ἡνιόχοις μὲν οὖν
δεχομένοις αὐτὸν, προώδευεν· Ἀχαιοὺς δ᾽ ἐτρέψατο διώκων· οὓς ἀπὸ Τροίας ἐπανι-
όντας, φασὶν ἐς τὸν Πόντον ὑπὸ χειμῶνος ἐκπεσεῖν, καὶ πολλὰ παθεῖν ὡς Ἕλληνας
ὑπὸ βαρβάρων· πέμψαντας δὲ ἐπὶ ναῦς ἐς τὰς πατρίδας καὶ ὑπεροφθέντας, μηνίσαι
τῷ Ἑλληνικῷ γένει· καὶ Σκυθικοῖς ὅσοις ἔλοιεν Ἕλληνας καταθύειν· πρῶτον μὲν
ἅπαντας ὑπ᾽ ὀργῆς· σὺν χρόνῳ δὲ τοὺς καλλίστους αὐτῶν μόνους· μετὰ δὲ, τοὺς
κληρουμένους. Καὶ τάδε μὲν περὶ Ἀχαιῶν τῶν Σκυθικῶν. Ὁ δὲ Μιθριδάτης
ἐς τὴν Μαιῶτιν ἐμβαλὼν, ἧς εἰσὶ πολλοὶ δυνάσται, πάντες αὐτὸν κατὰ κλέος ἔργων τε
καὶ ἀρχῆς καὶ δυνάμεως ἔτι οὔσης ἀξιολόγου δεχόμενοί τε καὶ παραπέμ-
ποντες· καὶ δῶρα πολλὰ φέροντες καὶ κομιζόμενοι ἕτερα. Ὁ δὲ, καὶ συμμαχίαν αὐτοῖς
ἐτίθετο· ἐπινοῶν ἕτερα καινότερα, διὰ Θρᾴκης ἐς Μακεδονίαν καὶ διὰ Μακε-
δόνων ἐς Παίονας ἐμβαλὼν, ὑπερελθεῖν ἐς τὴν Ἰταλίαν τὰ Ἄλπεια ὄρη. Γάμοις
τε θυγατέρων ἐπὶ τῇδε τῇ συμμαχίᾳ τοὺς δυνατωτέρους αὐτῶν ἀνεκτᾶτο. Μαχά-
ρης δὲ αὐτοῦ ὁ παῖς πυνθανόμενος ὁδόν τε τοσαύτην ὀλίγῳ χρόνῳ καὶ ἄγρια
ἔθνη, καὶ τὰ καλούμενα κλεῖθρα Σκυθῶν, οὐδενί πω γεγονότα περατὰ διοδεῦσαι,
πρέσβεις μέν τινας ἐς αὐτὸν ἔπεμψεν ἀπολογησομένους, ὡς δι᾽ ἀνάγκην θερα-
πεύσειε Ῥωμαίους· ὀργὴν δὲ ἄκρον εἰδὼς, ἔφυγεν ἐς τὴν ἐν τῷ Πόντῳ Χερρό-

νησον, τὰς ναῦς διαπρήσας· ἵνα μὴ διώξειεν αὐτὸν ὁ πατήρ. Ἑτέρας δὲ ἐπιπέμ-
ψαντος ἐκείνου, προλαβὼν, ἑαυτὸν ἔκτεινεν. Ὁ δὲ Μιθριδάτης αὐτοῦ τῶν φίλων
οὓς μὲν αὐτὸς ἐν τῇ ἀρχῇ ἀπιόντι ἐδεδώκει, συλλαβὼν ἔκτεινε· τοὺς δὲ τοῦ παιδὸς,
ἀπαθεῖς ὡς ὑπὲρ τὸ ἴδιον φίλον γενομένους ἀφῆκε. Καὶ τάδε μὲν ἦν ἀμφὶ
τὸν Μιθριδάτην. Ὁ δὲ Πομπήιος αὐτὸν ἐπὶ τῇ φυγῇ μέχρι Κόλχων ἐδίωξε.
μετὰ δὲ τοῖς Κόλχοις οὐδαμὰ δόξας αὐτὸν, οὔτε τὸν Πόντον οὔτε τὴν Μαιῶτιν λί-
μνην περιελάσεσθαι· οὐδὲ μεγάλοις ἔτι πράγμασιν ἐγχειρήσειν ἐκπεσόντα, τοὺς
Κόλχους ἐπῄει, καθ᾽ ἱστορίαν τῆς Ἀργοναυτῶν καὶ Διοσκούρων καὶ Ἡρακλέους ἐπιδημίας·
τὸ πάθος μάλιστα ἰδεῖν ἐθέλων ὃ Προμηθεῖ φασὶ γενέσθαι περὶ τὸ Καύκασον ὄρος.
Χρυσοφοροῦσι δὲ ἐκ τοῦ Καυκάσου πολλαὶ πηγαὶ ψῆγμα ἀφανές· καὶ οἱ περίοικοι
κῴδια θέντες ἐς τὸ ῥεῦμα βαθύμαλλα, τὸ ψῆγμα ἀνισχόμενον αὐτοῖς ἐκλέγουσι·
καὶ τοιοῦτον ἦν ἴσως καὶ τὸ χρυσόμαλλον Αἰήτου δέρος. Τὸν οὖν Πομπήιον ἐπὶ τὴν
ἱστορίαν ἰόντα, οἱ μὲν ἄλλοι παρέπεμπον ὁμοῦ ἔθνη γείτονα· Ὀροίζης δὲ ὁ τῶν Ἀλ-
βανῶν βασιλεὺς, καὶ Ἀρτώκης ὁ Ἰβήρων, ἑπτὰ μυριάσιν ἐλόχων ἀμφὶ τὸν Κύρτον
ποταμόν· ὃς διὰ δώδεκα στόμασι πλωτοῖς ἐς τὴν Κασπίαν θάλασσαν ἐρεύγεται, πολλῶν
ἐς αὐτὸν ἐμβαλόντων ποταμῶν· καὶ μεγίστου πάντων Ἀράξου. Αἰσθόμενος δὲ τῆς
ἐνέδρας ὁ Πομπήιος, τὸν ποταμὸν ἐζεύγνυ· καὶ τοὺς βαρβάρους συνήλασεν
ἐς λόχμην βαθεῖαν, ὑλομαχῆσαι δὲ εἰσὶ δεινοὶ κρυπτόμενοί τε καὶ ἐπιόντες
ἀφανῶς· αὐτὴν λόχμην τὸν στρατὸν περιστήσας ἐνέπρησε· καὶ τοὺς ἐκφεύγοντας
ἐδίωκεν, ἕως ἅπαντας ὅμηρά τε καὶ δῶρα ἠνάγκασε. Καὶ ἐθριάμβευσεν ὕστε-
ρον καὶ ἀπὸ τῶνδε. Πολλαὶ δὲ ἔν τε τοῖς ὁμήροις καὶ τοῖς αἰχμαλώτοις εὑρέ-
θησαν γυναῖκες οὐ μείονα τῶν ἀνδρῶν τραύματα ἔχουσαι· καὶ ἐδόκουν Ἀμαζόνες
εἶναι· ἤ τι ἔθνος ἐστὶν αὐτοῖς γειτονεῦον Ἀμαζόνων ἐπίκλητον, τότε ἐς
συμμαχίαν γενόμεναι, ἤ τινας πολεμικὰς ὅλως γυναῖκας οἱ τῇδε βάρ-
βαροι καλοῦσιν Ἀμαζόνας. Ἐπανιὼν δὲ ἐντεῦθεν ὁ Πομπήιος, ἐστράτευεν ἐς
Ἀρμενίαν, ἔγκλημα ἐς Τιγράνην τιθέμενος ὅτι συνεμάχει Μιθριδάτῃ· καὶ
ἦν ἤδη περὶ Ἀρτάξατα τὸ βασίλειον. Τιγράνης δὲ οὐκ ἐγνωσμένος πολεμεῖν
ἔτι· παῖδας δὲ ἐκ τῆς Μιθριδάτου θυγατρὸς αὐτῷ γεγενημένους, ὧν δύο μὲν
αὐτὸς ὁ Τιγράνης ἀνῃρήκει· τὸν μὲν, ἐν μάχῃ πολεμοῦντά οἱ· τὸν δὲ ἐν κυνη-
γεσίοις αὐτοῦ πεσόντος ἀμελήσαντα, καὶ τὸ διάδημα περιθέμενον ἔτι κειμένου·
ὁ δὲ τρίτος Τιγράνης ἐν μὲν τοῖς κυνηγεσίοις ὑπεραλγήσας τοῦ πατρὸς, ἐστεφανώ-
θη παρ᾽ αὐτοῦ· μικρὸν δὲ διαλιπὼν, ἀπέστη ὅδε· καὶ πολεμῶν τῷ πατρὶ καὶ

ἡττώμενος, πρὸς Φραάτην ἀπέφυγε τὸν Παρθυαίων βασιλέα· ἄρτι τὴν Σινα-
τρίκου τοῦ πατρὸς ἀρχὴν διαδεδεγμένον· πλησιάσαντος δὲ τοῦ Πομπηίου, καὶ
γνωσάμενος Φραάτης συγχωροῦντά τι κακὸν μὲν καὶ ἰδίαν φιλίαν εἰς τὸν
Πομπήιον μεμνημένον, κατέφυγεν ὁ παῖς ἱκέτης εἰς τὸν Πομπήιον· καίτοι ταῦτα
ὢν Μιθριδάτου θυγατριδοῦς· ἀλλὰ μέγα δικαιοσύνης ἡ ἐπὶ πίστει κλέος ἦν τοῦ
Πομπηίου παρὰ τοῖς βαρβάροις· ὅθεν ἐπ' αὐτὸν καὶ ὁ πατὴρ Τιγράνης, οὐδὲ ἐπι-
κηρυκευσάμενος, ἦλθε· τά τε ἄλλα πάντα ἑαυτοῦ ἐπιτρέψας αὐτῷ δίκαια
Πομπηίῳ ἢ κατηγορήσων τοῦ παιδὸς ἐπὶ Πομπηίου· χιλίαρχοι δὲ αὐτῷ
καὶ ἵππαρχοι ἐπιτιμήσαντος ἄνευ τοῦ Πομπηίου, οἱ μὲν ὄντες
ἀμφὶ τὸν Τιγράνην τὸ ἀκήρυκτον τῆς ὁδοῦ δεδιότες, ἔφυγον ὀπίσω· ὁ δὲ
Τιγράνης ἦλθε· καὶ τὸν Πομπήιον ὡς κρείττονα βαρβαρικῶς προσκυνήσας·
εἰσὶ δ' οἳ λέγουσιν, ὑπὸ ῥαβδούχοις αὐτὸν ἀχθῆναι· μεταπεμπτὸν ὑπὸ τοῦ
Πομπηίου γενόμενον· ὁ ποτέρως δ' ἦλθεν, ἐξελογεῖτο περὶ τῶν γεγονότων.
Καὶ ἐδίδου Πομπηίῳ μὲν αὐτῷ τάλαντα ἑξακισχίλια· τῶν στρατιωτῶν δὲ,
δραχμὰς πεντήκοντα ἑκάστῳ· καὶ λοχαγῷ, χιλίας· καὶ χιλιάρχῳ μυρίας·
ὁ δὲ Πομπήιος αὐτῷ συνεγίνωσκε τῶν γεγονότων· καὶ συνήλλαξε τῷ
παιδί· καὶ δίδωσι τῷ μὲν υἱῷ ἀρχὴν τῆς Σωφηνῆς καὶ Γορδυηνῆς· αἳ
νῦν ἐστὶν Ἀρμενία βραχυτέρα· τὸν δὲ πατέρα τῆς ἄλλης Ἀρμενίας, ἐπὶ τῷ δὲ
τῷ παιδὶ κληρονόμῳ· τὴν δὲ ἐπίκτητον αὐτοῦ ἀρχὴν, ἐκέλευσεν ἀφιέναι·
καὶ μεθίει, Συρίαν τὴν ἀπ' Εὐφράτου μέχρι τῆς θαλάσσης· ἦρχε γὰρ δὴ
αὐτῆς δέ· καὶ Κιλικίας τινὰ ὁ Τιγράνης, Ἀντίοχον ἐκβαλὼν τὸν εὐσεβῆ
προσαγορευθέντα· Ἀρμενίων δ' ὅσοι τὸν Τιγράνην πρὸς Πομπήιον ἀπιόντα
ἐγκαταλελοίπεσαν, ἀντεποιοῦντο τοῦ ἔχοντος τὸν παῖδα αὐτοῦ παρὰ τῷ
Πομπηίῳ ἔτι ὄντα, πείθουσιν ἐπιθέσθαι τῷ πατρί· καὶ ὁ μὲν, ἐλήφθη· καὶ
ἐδέθη· καὶ μεταξὺ Παρθυαίους ἐρεθίζων ἐπὶ Πομπήιον, ἐθριαμβεύθη
καὶ ἀνῃρέθη· ὁ δὲ Πομπήιος ἐκτετελέσθαι οἱ τὸν πάντα πόλεμον ἡγού-
μενος, ᾤκιζε πόλιν ἔνθα τὴν μάχην ἐνίκα Μιθριδάτην· ἣ ἀπὸ τοῦ
ἔργου Νικόπολις κληΐζεται· καὶ ἔστιν Ἀρμενίας τῆς βραχυτέρας λεγο-
μένης. Ἀριοβαρζάνῃ δὲ ἀπεδίδου βασιλείαν Καππαδοκίας· καὶ προσ-
ετέθεικε Σωφηνὴν καὶ Γορδυηνήν· ἃ τῷ παιδὶ ἐμεμέριστο τῷ Τιγράνους.
Καὶ στρατηγία ταῦτα νῦν ἅμα τῇ Καππαδοκίᾳ καὶ τάδε· ἔδωκε δὲ τῆς Κιλικίας
πόλιν Καστάβαλα· καὶ ἄλλας. Ἀριοβαρζάνης μὲν οὖν τὴν βασιλείαν ὅλην

τῷ παιδὶ περιιὼν ἐνεχείρισε· καὶ πολλαὶ μεταβολαὶ μέχρι Καίσαρος
ἐγένοντο τοῦ Σεβαστοῦ· ἐφ' οὗ καθάπερ τὰ λοιπὰ, ἡ δὲ ἡ βασιλεία
περιῆλθεν εἰς στρατηγίαν· ὁ δὲ Πομπήιος καὶ τὸν Ταῦρον ὑπερβαίνων, ἐπο-
λέμησεν Ἀντιόχῳ τῷ Κομμαγηνῷ· ἕως εἰς φιλίαν ὁ Ἀντίοχος αὐτῷ συνῆλθεν·
ἐπολέμησε δὲ καὶ Δαρείῳ τῷ Μήδῳ μέχρις ἔφυγεν· ἤτε Ἀντιόχῳ συμμαχῶν,
ἤτε Τιγράνῃ πρότερον· ἐπολέμησε δὲ καὶ Ἀρέτᾳ τοῖς Ναβαταίοις· Ἀρέτα
βασιλεύοντος αὐτῶν· καὶ Ἰουδαίοις· Ἀριστοβούλου τοῦ βασιλέως ἀποστάντος·
ἕως καθεῖλεν Ἱεροσόλυμα· τὴν ἁγιωτάτην αὐτοῖς πόλιν· καὶ Κιλικίας δὲ
ὅσα οὔπω Ῥωμαίοις ὑπήκουε· τὴν ἄλλην Συρίαν· ὅσα τε περὶ Εὐφράτην ἐστί·
καὶ κοίλη καὶ Φοινίκη· καὶ Παλαιστίνη λέγεται· τὴν Ἰδουμαίων· καὶ Ἰτου-
ραίων· ὅσα ἄλλα ὀνόματα συνειλήφει, ἐπιὼν ἀμαχεὶ Ῥωμαίοις καθίστατο· ἔγκλη-
μα οὐδὲν ἔχων εἰς Ἀντίοχον τὸν εὐσεβῆ παρόντα καὶ δεόμενον ὑπὲρ ἀρχῆς
πατρῴας· ἡγούμενος δὲ τὸν κρατήσαντα τοῦ Ἀντιόχου τῆς γῆς ἀπελάσας, Ῥω-
μαίοις αὐτὴν κατὰ τόδε προσκτῆσθαι· ταῦτα δ' αὐτῷ διοικουμένῳ, πρέσ-
βεις ἀφίκοντο Φραάτου καὶ Τιγράνους εἰς πόλεμον ἀλλήλοις συμπεσόντων·
οἱ μὲν Τιγράνους ὡς φίλῳ συμμαχεῖν τὸν Πομπήιον ἀξιοῦντες· οἱ δὲ τοῦ
Παρθυαίου φιλίαν αὐτῷ πρὸς Ῥωμαίους τιθέμενοι· ὁ δ' οὖν Πομπήιος ἄνευ
Παρθυαίοις πολεμῆσαι ἄνευ Ῥωμαίων ψηφίσματος, ἔπεμψεν ἀμφοτέροις
διαλλακτάς· ὁ μὲν, ἀμφὶ ταῦτα ἦν· Μιθριδάτης δὲ ἐκ περιόδου ἤνυσε
τοῦ Πόντου· καὶ Παντικάπαιον ἐμπόριον δ' ὂν παλαιὸν ἐπὶ τῆς ἐκβολῆς
τοῦ Πόντου καταλαβὼν, κτείνει τὸν υἱὸν Ξιφάρην ἐπὶ τοῦ πόρου, διὰ μητρὸς
ἁμάρτημα τοιόνδε· φρούριόν τι ἦν Μιθριδάτῃ· ἔνθα λανθάνοντες ὑπό-
γαιοι θησαυροὶ πολλῶν σιδηροδέτων χαλκείων, πολλὰ χρήματα ἔκρυπτον·
Στρατονίκη δὲ μία τῶν Μιθριδάτου παλλακῶν ἢ γυναικῶν, ἣ τοῦδε
τοῦ φρουρίου τὴν ἐπιστήμην ἢ φυλακὴν ἐπετέτραπτο, περιιόντος
ἔτι τὸν Πόντον τοῦ Μιθριδάτου, τὸ φρούριον ἐνεχείρισε τῷ Πομπηίῳ· καὶ
τοὺς θησαυροὺς ἀπογεγραμμένους ἐμήνυσεν· ἐπὶ συνθήκῃ μόνῃ τῇδε· ὅτι
εἰ τὸν υἱὸν Ξιφάρην ὁ Πομπήιος εἰλήφοι, περισώσει· ὁ δ' οὖν μὲν, τοῖς χρή-
μασιν ἐπιτυχὼν, ὑπέσχετο αὐτῇ τὸν Ξιφάρην· καὶ ἐδεδώκει φέρεσθαι
τὰ ἴδια· αἰσθόμενος δὲ τῶν γεγονότων ὁ Μιθριδάτης, κτείνει τὸν Ξιφάρην
ἐπὶ τοῦ πόρου ἐφορώσης τῆς μητρὸς πέραθεν· ἣ δ' ἐξέρριψεν ἄταφον· καὶ
ὁ μὲν, υἱοῦ κατεφρόνησεν εἰς ἀνίαν τῆς ἁμαρτούσης· καὶ πρέσβεις εἰς τὸν

πομπήιον ἔτι περὶ συρίαν ὄντα καὶ οὐκ αἰσθανόμενον αὐτοῦ παρόντος ἐπέμπετο.
οἳ τῆς πατρώας ἀρχῆς αὐτὸν ῥωμαίοις τελεσιφόροις ὑπισχνοῦντο. πομπη-
ίου δ' αὐτὸν ἐλθόντα δεῖσθαι τὸν μιθριδάτην κελεύοντος καθὰ καὶ τιγράνης ἀφί-
κετο, τοῦτο μὲν οὐκ ἔφη ποτὲ ὑποστήσεσθαι μιθριδάτης ὤν. πέμψειν δὲ τῶν
παίδων τινὰς καὶ φίλους. ἅμα δὲ ταῦτ' ἔλεγε· καὶ στρατιὰν ἀθρόως κατέλεγεν
ἐλευθέρων τε καὶ δούλων. ὅπλα τε πολλὰ καὶ βέλη καὶ μηχανὰς ἐπήγνυ. φειδό-
μενος οὔτε τινὸς ὕλης οὔτε βοῶν ἀροτήρων ἐς τὰ νεῦρα. ἐσφοράς τε πᾶσιν
ἐπὶ τῇ βραχύτατα τῆς οὐσίας ἐπέγραφεν. οἱ δὲ ὑπηρέται τούτων, πολλὰ
ἀνύβριζον οὐκ αἰσθομένου τοῦ μιθριδάτου. νόσον γάρ τινα ἦγεν ἕλκους τοῦ
προσώπου νοσῶν, ὑπὸ τρισὶν εὐνούχων ἐθεραπεύετο καὶ ἑωρᾶτο. ὡς δὲ ἔληγε
τὸ πάθος, καὶ ὁ στρατὸς αὐτῷ συνήγετο ἤδη, ἐπίλεκτοι μὲν ἑξήκοντα σπεῖραι
ἀνὰ ἑξακοσίους ἄνδρας, πολὺς δὲ καὶ ἄλλος ὅμιλος. καὶ νῆες. καὶ φρούρια ὅσα
οἱ στρατηγοὶ περὶ τὴν νόσον ᾑρήκεσαν. καὶ ἐπέρα τοὺς στρατοὺς μέρος ἐς
φαναγόρειαν. ἕτερον ἐμπόριον ἐπὶ τοῦ στόματος. ὡς κατορθώσας ἔχοντας
ἐμβολάς, ἔτι πομπηίου περὶ συρίαν ὄντος. κάστωρ δὲ φαναγορεύς, ἠκισ-
μένος ποτὲ ὑπὸ τρύφωνος εὐνούχου βασιλικοῦ, τὸν τρύφωνα ἐσιόντα
κτείνει πρὸς πέδον. καὶ τὸ πλῆθος ἐπ' ἐλευθερίαν συνεκάλει. οἱ δὲ, καίπερ
ἤδη τῆς ἀκροπόλεως ἐχομένης ὑπὸ ἀρταφέρνους τε καὶ ἑτέρων υἱέων τοῦ μι-
θριδάτου, ξύλα περιθέντες τὴν ἀκρόπολιν ἐνεπίμπρασαν. ὥσθ' ὁ μὲν ἀρτα-
φέρνης καὶ δαρεῖος. καὶ ξέρξης. καὶ ὁ ξαθρης. καὶ εὐπάτρα. παῖδες τοῦ
μιθριδάτου δείσαντες ἐπὶ τῷ πυρὶ, παρέδωκαν ἑαυτοὺς ἄγεσθαι. καὶ ἦν
αὐτῶν ἀρταφέρνης ἀμφὶ τεσσαράκοντα ἔτη μόνος. οἱ δὲ λοιποὶ, παῖδες
εὔμορφοι. κλεοπάτρα δὲ ἀντέσχεν, ἑτέρα παῖς τοῦ μιθριδάτου. καὶ αὐτὴν
ὁ πατὴρ ἀγάμενος τῆς εὐψυχίας, διεκρότησε πολλὰ ἐπιπέμψας ἐξήρπασε. ὅσα
δὲ ἐστὶν ἡ φρούρια, ἄρτι ληφθέντα τῷ μιθριδάτῃ γινόμενα, πρὸς τὴν θορ-
μουργίαν τῶν φαναγορέων ἀφίσταντο τοῦ μιθριδάτου. χερρόνησός τε καὶ
θεοδοσία. καὶ νυμφαῖον. καὶ ὅσα ἄλλα περὶ τὸν πόντον εὔκαιρα ἐς πό-
λεμον. ὁ δὲ, τὰς ἀποστάσεις ὁρῶν πυκνάς. καὶ τὸν στρατὸν ὕποπτον ἔχων
μὴ οὐ βέβαιος ᾖ διὰ τὴν ἀνάγκην τῆς στρατείας καὶ τῶν ἐσφορῶν βαρύτητα. καὶ
τὴν ἀεὶ τοῖς στρατοῖς ἐπὶ κακοῖς ἡγεμόνας ἀτυχοῦντας ἀπιστίαν, ἔπεμπεν ἐς
τοὺς σκύθας διὰ εὐνούχων τοῖς δυνάσταις τὰς θυγατέρας ἐς γάμους. αἰτῶν
στρατιὰν κατὰ τάχος ἥκειν οἱ περὶ γε. πεντακόσιοι δὲ αὐτὰς ἀπὸ τοῦ στρατοῦ

παρέπεμπον ἄνδρες. οἱ μιθριδάτου βραχὺ διασχόντες, ἔκτειναν αὐτίκα τοὺς
ἄγοντας εὐνούχους. ἀεὶ πρὸς εὐνούχους κρατοῦντας τοῦ μιθριδάτου
ἀπεχθανόμενοι, καὶ τὰς κόρας ἐς τὸν πομπήιον ἀπήγαγον. ὁ δὲ, καὶ τοσῶν-
δε καὶ φρουρίων. καὶ τῆς ἀρχῆς ὅλης ἀφῃρημένος, καὶ οὐδὲν
ἀξιόμαχον ἔτι ὢν, οὐδὲ τῆς σκυθῶν συμμαχίας ἡγούμενος ἂν τυχεῖν,
ὅμως οὐδὲν οὐδὲ τότε ταπεινὸν, ἢ ταῖς συμφοραῖς ἄξιον ἐνεθυμεῖτο. ἀλλ'
ἐς κελτοὺς ἐκ πολλοῦ φίλους ἐπὶ τῷδε γεγονότας ἐπενόει διελθὼν ἐς
τὴν ἰταλίαν σὺν ἐκείνοις ἐμβαλεῖν. ἐλπίζων ὅτι πολλὰ καὶ τῆς ἰταλίας
αὐτῆς, ἐχθρῶς ῥωμαίοις προσέσεσθαι. πυνθανόμενος ὧδε καὶ ἀννίβαν πρᾶξαι
πολεμουμένων ἐν ἰβηρίᾳ. καὶ ἐπιφοβώτατον ἐκ τοῦδε ῥωμαίοις
γενέσθαι. ἤδη δὲ καὶ ἔναγχος τὴν ἰταλίαν σχεδὸν ἅπασαν ἀπὸ ῥωμαίων
ἀποστᾶσαν ὑπὸ ἔχθους. καὶ ἐπὶ πλεῖστον αὐτοῖς πεπολεμηκυῖαν. σπάρ-
τακῳ τε μονομάχῳ συστᾶσαν ἐπ' αὐτοῖς. ἀνδρὶ ἐπ' οὐδεμιᾶς ἀξιώσεως
ὄντι. ταῦτα ἐνθυμούμενος, ἐς κελτοὺς ἠπείγετο. τοῦ δὲ τολμήματος δι'
αὐτὸ λαμπροτάτου γινομένου, ὁ στρατὸς ὤκνει. δι' αὐτὸ μάλιστα τῆς τόλμης
τὸ μέγεθος. ἐπί τε χρόνιον στρατείαν καὶ ἐς ἀλλοτρίαν ἐγχειρούμενοι. καὶ ἐπὶ
ἄνδρας, ὧν οὐδὲν ἦν σφᾶς ἀντικρατοῦσιν. αὐτόν τε τὸν μιθριδάτην ἡγού-
μενοι τῶν ἐλπίδων ἀπογινώσκοντα, βούλεσθαί τι δρῶντα καὶ βασιλικὸν μᾶλλον,
ἢ δι' ἀργίας ἀποθανεῖν, ὅμως ἀνεκαρτέρουν καὶ ἡσύχαζον. οὐ γάρ τι σμι-
κρὸς οὐδ' εὐκαταφρόνητος ἦν βασιλεὺς. οὐδὲ ἐν ταῖς συμφοραῖς. ὧδε δὲ ἐχόντων
ἁπάντων, φαρνάκης ὁ τῶν παίδων αὐτῷ τιμιώτατος τε καὶ πολλάκις αὐτοῦ
τῆς ἀρχῆς ἀποδεδειγμένος ἔσεσθαι διάδοχος, δείσας περὶ τοῦδε τοῦ
στόλου καὶ τῆς ἀρχῆς, ὡς νῦν μὲν ἔτι συγγνώμην τινὰ ῥωμαίων, ἀπολου-
μένης δὲ παντάπασιν ὁλοκλήρως ἐπὶ τὴν ἰταλίαν τῆς στρατείας, ἢ θάτε-
ρας αἰτίας καὶ λογισμῶν ἐπιθυμίας, ἐπεβούλευε τῷ πατρί. ληφθέντων δὲ
τῶν συνεγνωκότων αὐτῷ καὶ ἐπὶ βασάνοις ἀγομένων, μηνοφάνης μετέ-
πεισε τὸν μιθριδάτην, ὡς οὐ δέον ἀποπλέοντα ἤδη τὸν ἔτι οἱ τιμιώτατον
υἱὸν ἀνελεῖν. γίνεσθαι δὲ φιλεῖ τὰ τοιαῦτα πρὸ τῶν ἔργων πολέμων. ὧν παυομένων
καὶ τάδε καθίστασθαι. ὁ μὲν, δὴ πειθεὶς, προὔτεινε τῷ παιδὶ συγγνώμην. ὁ δὲ,
δείσας τι μήνιμα καὶ τὸν στρατὸν εἰδὼς κατοκνοῦντα τὴν στρατείαν, νυκτὸς
ἐς πρώτους τοὺς ῥωμαίων αὐτομόλους ἄγχιστα τοῦ μιθριδάτου στρατοπε-
δεύοντας, ἐσῆλθε. καὶ τὸν κίνδυνον αὐτοῖς ἰοῦσιν ἐπὶ τὴν ἰταλίαν ὅσος εἴη

σαφῶς ᾔδει τὴν χάριν, πολλὰ δὲ μηνυόντων ἐδεδίει ἔσεσθαι περὶ αὐτοῦ, προήγαγεν ἐς ἀπόστασιν ἀπὸ τοῦ πατρός· ὡς δ' ἐπείσθησαν οἵδε, τῆς αὐτῆς νυκτὸς ἐς τὰ ἐγγὺς ἄλλα στρατόπεδα ἔπεμπεν ὁ Φαρνάκης· συνθεμένων δὲ κἀκείνων, πρῶτοι μὲν ἅμα ἕῳ ἠλάλαξαν οἱ αὐτόμολοι· ἐπὶ δὲ κἀκείνοις οἱ ἀεὶ πλησίον τὴν βοὴν μεταλαμβάνοντες· καὶ τὸ ναυτικὸν αὐτοῖς ἐπήχησεν. οὐ προειδότες μὲν ἅπαντες ἴσως, ὀξύρροποι δ' ὄντες ἐς μεταβολὰς καὶ τὸ δυστυχοῦν ὑπερορῶντες· ἐν δὲ τῷ καινῷ τὰς ἐλπίδας τιθέμενοι. οἱ δὲ, καὶ ἀγνοίᾳ τῶν συνεγνωκότων ἡγούμενοι πάντας διεφθάρθαι, καὶ μόνοι ἔτι ὄντες, ἔσεσθαι τοῖς πλείοσιν καταφρόνητοι, φόβῳ καὶ ἀνάγκῃ μᾶλλον ἢ ἑκουσίῳ γνώμῃ συνεπήχουν· Μιθριδάτης δ' ἐγειρόμενος ὑπὸ τῆς βοῆς, ἔπεμψέ τινας ἐρησομένους ὅτι χρῄζοιεν οἱ βοῶντες· οἱ δ' οὐκ ἐγκαλυψάμενοι, τὸν υἱὸν ἔφασαν βασιλέα ἐθέλειν νέον ἀντὶ γέροντος· εὐνούχοις τε ἐκδεδομένου, κτείναντός τε ἤδη πολλοὺς υἱέας τε καὶ ἡγεμόνας καὶ φίλους· ὧν ὁ Μιθριδάτης πυθόμενος, ἐξῄει διαλεξόμενος αὐτοῖς· καί τι πλῆθος ἐκ φρουρίου τοῖς αὐτομόλοις συνέτρεχεν· οἱ δ' οὐκ ἔφασαν αὐτοῖς προσήσεσθαι, πρὶν ἀνήκεστόν τι ἐργάσασθαι, δεικνύντες ὁμοῦ τὸν Μιθριδάτην. οἱ μὲν δὴ, τὸν ἵππον ἔφθασαν αὐτοῦ κτεῖναι φυγόντος· καὶ τὸν Φαρνάκην ὡς ἤδη κρατοῦντες, ἀνεῖπον βασιλέα. καὶ βίβλον τις πλατεῖαν φέρων ἐξ ἱεροῦ, ἔστεψεν αὐτὸν ἀντὶ διαδήματος. ἃ ὁ πατὴρ ἄνωθεν ἐκ περιπάτου θεώμενος, ἔπεμπεν ἐς τὸν Φαρνάκην ἄλλον ἐπ' ἄλλῳ, φυγεῖν αἰτῶν ἀσφαλῆ. οὐδενὸς δὲ τῶν πεμπομένων ἐπανιόντος, δείσας μὴ Ῥωμαίοις ἐκδοθείη, τοὺς μὲν σωματοφύλακας αὐτοῦ καὶ φίλους τοὺς ἔτι οἱ παραμένοντας ἐπῄνει, ἔπεμψεν ἐς τὸν νέον βασιλέα· καὶ αὐτῶν τινὰς προσιόντας, ἔκτεινεν ἡ στρατιὰ παραλόγως. αὐτὸς δὲ παραλύσας ὃ περὶ τῷ ξίφει φάρμακον ἀεὶ περιέκειτο, ἐκίρνη· δύο δὲ αὐτῷ θυγατέρες ἔτι κόραι συντρεφόμεναι, Μιθριδάτις τε καὶ Νύσσα, τοῖς Αἰγύπτου καὶ Κύπρου βασιλεῦσιν ἐγγεγυημέναι, προλαβεῖν τοῦ φαρμάκου παρεκάλουν· καὶ σφόδρα εἴχοντο· καὶ πίνοντα κατεκώλυον· ἕως ἔπιον λαβοῦσαι. καὶ ταῖν μὲν, αὐτίκα τὸ φάρμακον ἥπτετο· τοῦ δὲ Μιθριδάτου καίτοι συντόνως ἐξεπίτηδες βαδίζοντος, οὐκ ἐφικνεῖτο. διὰ ἔθος καὶ συντροφίαν ἑτέρων φαρμάκων, οἷς ἐς ἄμυναν δηλητηρίων ἐχρῆτο συνεχῶς· καὶ νῦν ἔτι φάρμακα Μιθριδάτεια λέγεται. Βίτοιτον οὖν τινα ἰδὼν ἡγεμόνα Κελτῶν, πολλὰ μὲν ἐκ τῆς σῆς ἔφη δεξιᾶς

ἐς πολεμίους ὠνάμην· ὀνήσομαι δὲ μέγιστον, εἰ νῦν με κατεργάσαιο, ἐς πομπὴν ἀπαχθῆναι κινδυνεύοντα θριάμβου, τὸν μέχρι πολλοῦ τοσῆσδε ἀρχῆς αὐτοκράτορα καὶ βασιλέα· ἀδυνατοῦντα ἐκ φαρμάκων ἀποθανεῖν, δι' εὐήθη προφυλακὴν ἑτέρων φαρμάκων. τὸ γὰρ δὴ χαλεπώτατον καὶ σύνοικον ἀεὶ βασιλεῦσι φάρμακον, ἀπιστίαν στρατοῦ καὶ παίδων καὶ φίλων οὐ προειδόμην· ὁ τὰ ἐπὶ τῇ διαίτῃ πάντα προϊδὼν καὶ φυλαξάμενος. ὁ μὲν δὴ Βίτοιτος ἐπικλασθεὶς, ἐπεκούρησε χρῄζοντι βασιλεῖ· καὶ ὁ Μιθριδάτης ἀπέθνῃσκεν ἑπτακαιδέκατος ὢν ἐκ Δαρείου τοῦ Ὑστάσπου Περσῶν βασιλέως· ὄγδοος δ' ἀπὸ Μιθριδάτου τοῦ Μακεδόνων ἀποστάντος τε καὶ κτησαμένου τὴν Ποντικὴν ἀρχήν· ἐβίω δ' ὀκτὼ ἢ ἐννέα ἐπὶ τοῖς ἑξήκοντα ἔτεσι· καὶ τούτων, ἑπτὰ καὶ πεντήκοντα ἔτεσιν ἐβασίλευσε· ὀρφανὸν γάρ ὄντα περιῆλθεν ἡ ἀρχή. ἐχειρώσατο δὲ τὰ περίοικα τῶν βαρβάρων· καὶ Σκυθῶν ὑπηγάγετο πολλούς· καὶ Ῥωμαίοις τεσσαράκοντα τοῦτον τὸν πόλεμον ἐγκρατέως ἐπολέμησεν· ἐν ᾧ Βιθυνίας ἐκράτησε πολλάκις καὶ Καππαδοκίας· Ἀσίαν τε ἐπέδραμε· καὶ Φρυγίαν καὶ Παφλαγονίαν· καὶ Γαλατίαν· καὶ Μακεδονίαν· ἔς τε τὴν Ἑλλάδα ἐμβαλὼν, πολλὰ καὶ μεγάλα ἔδρασε· καὶ τῆς θαλάσσης ἀπὸ Κιλικίας ἐπὶ τὸν Ἰόνιον ἦρξε· μέχρι Σύλλας αὐτὸν αὖθις ἐς τὴν πατρῴαν ἀρχὴν συνέκλεισεν, ἐκ καὶ δέκα στρατοῦ μυριάδας ἀποβαλόντα· καὶ τοσῷδε πταίσματι συμπεσὼν, ὅμως ἀνεκίνησε τὸν πόλεμον εὐμαρῶς, στρατηγοῖς τε συνενεχθεὶς ἐς μάχας τοῖς ἀρίστοις, Σύλλᾳ μὲν ἔπειτα τοῦ Λουκούλλου καὶ Πομπηίου· πολλὰ καὶ τῶνδε πλεονεκτήσας πολλάκις· Λούκιον δὲ Κάσσιον· καὶ ὁ Ὀππίον Κόιντον· καὶ Μάνιον Ἀκύλιον αἰχμαλώτους ἔχων περιήγετο· μέχρι τὸν μὲν, ἔκτεινεν αἴτιον τοῦ πολέμου γενόμενον· τοὺς δὲ, ἀπέδωκε τῷ Σύλλᾳ· ἐνίκα δὲ καὶ Φιμβρίαν· καὶ Μουρήναν· καὶ Κότταν ὕπατον· καὶ Φάβιον καὶ Τριάριον· τὸ φρόνημα δ' ἦν ἀεὶ καὶ ἐν ταῖς συμφοραῖς μέγα καὶ φερέπονος· καὶ οὐδὲ μέντοι κατὰ Ῥωμαίων ὁδὸν εἰς ἐπιχείρησιν οὐδ' ἡττώμενος, παρέλιπεν· ὃς καὶ Σαυνίταις καὶ Κελτοῖς συνετίθετο· καὶ ἐς Σερτώριον ἔπεμψεν ἐς Ἰβηρίαν· τρωθείς τε τοσαυτάκις καὶ πολλάκις ὑπὸ πολεμίων καὶ ἑτέρων κατ' ἐπιβουλὰς, οὐκ ἀπέστη τινὸς οὐδ' ὥς· καίπερ ὢν πρεσβύτης· οὐ μὴν οὐδὲ τῶν ἐπιβουλευόντων τις αὐτῷ ἔλαθεν· οὐδ' ἡ τελευταία· ἀλλ' ἑκὼν ταύτης ὑπεριδὼν, ἀπώλετο δι' αὐτήν· οὕτως ἀχάριστον ἡ πονηρία συγγνώμης τυχοῦσα· φονικὸς δὲ καὶ ὠμὸς ἐς πάντα ἦν·

καὶ τὴν μητέρα ἔκτανε· καὶ τὸν ἀδελφόν· καὶ τῶν παίδων τρεῖς υἱούς· καὶ τρεῖς θυγατέρας.
τὸ σῶμα δὴ ἦν μέγας μὲν, ὡς ὑποδηλοῦσιν ὅσα ὅπλα αὐτοῦ ἔπεμψεν ἐς Νεμέ-
αν τε καὶ Δελφούς· ἐρρωμένος δὲ, ὡς μέχρι τέλους ἱππεῦσαί τε καὶ ἀκοντίσαι· καὶ
χίλια στάδια τῆς ἡμέρας περιμενόντων αὐτὸν κατὰ διαστήματα ἵππων, δραμεῖν· καὶ
ἅρμα ἤλαυνεν ἑκκαίδεκα ἵπποις ὁμοῦ· καὶ παιδείας ἐπεμελεῖτο ἑλληνικῆς· διὸ
καὶ τῶν ἱερῶν ἤσκει τῶν ἑλληνικῶν· καὶ μουσικὴν ἠγάπα· καὶ σώφρων τὰ
πολλὰ καὶ φερέπονος ὤν, περὶ μόνας ἡττᾶτο τὰς τῶν γυναικῶν ἡδονάς.
ὁ μὲν δὴ Εὐπάτωρ καὶ Διόνυσος ἐπικληθεὶς Μιθριδάτης, ὧδε ἐτελεύτα· καὶ
Ῥωμαῖοι μαθόντες ἑώρταζον, ὡς ἐχθροῦ δυσχεροῦς ἀπηλλαγμένοι· Φαρ-
νάκης δὲ Πομπηίῳ τὸν νέκυν τοῦ πατρὸς ἐς Σινώπην ἐπὶ τριήρους ἔπεμψε·
καὶ τοὺς Μανίου ἑλόντας, ὅμηρά τε πολλά, ὅσα ἦν ἑλληνικά τε καὶ βαρβαρικά,
δεόμενος ἢ τῆς πατρῴας ἀρχῆς, ἢ Βοσπόρου γε βασιλεύειν μόνου· ἥν τινα
καὶ Μαχάρης ὁ ἀδελφὸς αὐτοῦ βασιλείαν παρὰ Μιθριδάτου περιειλήφει. Πομπή-
ιος δὲ ἐς μὲν τὸ σῶμα τοῦ Μιθριδάτου, χορηγίαν ἔδωκε· καὶ θάψαι βασιλικῇ
ταφῇ τοῖς θεράπουσιν αὐτοῦ προσέταξε· καὶ ἐν Σινώπῃ τοῖς βασι-
λείοις ἐνθέσθαι τάφοις· ἀγάμενος αὐτὸν τῆς μεγαλουργίας, ὡς τῶν καθ' αὑτὸν
βασιλέων ἄριστον· Φαρνάκην δὲ ἀπαλλάξαντα πόνου πολλοῦ τὴν Ἰταλίαν,
φίλον καὶ σύμμαχον Ῥωμαίοις ἐποιήσατο· καὶ βασιλέα ἔδωκεν αὐτῷ
Βοσπόρου· χωρὶς Φαναγορέων, οὓς ἐλευθέρους καὶ αὐτονόμους ἀφῆκεν· ὅτι
πρῶτοι μάλιστα οἱ δὲ ἀναρρωννυμένῳ τῷ Μιθριδάτῃ καὶ ναῦς καὶ στρατὸν
ἄλλον καὶ ὁρμητήρια ἔχοντι ἐπὶ Χερρονήσου· ἡγεμόνες τε τοῖς ἄλλοις ἀποστάσεως
ἐγένοντο· καὶ Μιθριδάτῃ καταλύσεως αἴτιοι. αὐτὸς δὲ ἀνύσας τῷδε πολέμῳ τέ-
λη, λῃστήρια καθήρας· καὶ βασιλέα καθελὼν μέγιστον· καὶ συνενεχθεὶς μάχαις
διὰ τοῦ Ποντικοῦ πολέμου. Κόλχοις τε καὶ Ἀλβανοῖς καὶ Ἴβηρσι· καὶ Ἀρμενί-
οις καὶ Μήδοις· καὶ Ἄραψι· καὶ Ἰουδαίοις· καὶ ἑτέροις ἔθνεσιν ἑῴοις τὴν ἀρχὴν ὥρισε τῷ Ῥω-
μαίοις μέχρις Αἰγύπτου· ἐς δὲ Αἴγυπτον αὐτὴν οὐ παρῆλθε. καίτοι στασια-
ζούσαν ἐς τὸν βασιλέα· καὶ καλοῦντος αὐτὸν ὡς αὐτοῦ βασιλέως· καὶ πέμψαντος
αὐτῷ δῶρα καὶ χρήματα καὶ ἐσθῆτας ἐς τὸν στρατὸν ἅπαντα· εἴτε δείσας μέγεθος
ἀρχῆς ἔτι εὐτυχούσης· εἴτε φυλαξάμενος ἐχθρῶν φθόνον· ἢ χρησμῶν
ἀπαγόρευσιν· ἢ τε ἑτέροις λογισμοῖς, οὓς ἐξοίσω κατὰ τὰ Αἰγύπτια· τῶν δὲ
ἑαλωκότων ἐθνῶν, τὰ μὲν αὐτόνομα ἠφίει συμμαχικὰ ὄντα· τὰ δὲ, ὑπὸ Ῥω-
μαίοις αὐτίκα ἐγίγνετο· τὰ δὲ ἐς βασιλείας διεδίδου· Τιγράνην μὲν Ἀρμενίαν.

καὶ Φαρνάκην Βοσπόρον· καὶ Ἀριοβαρζάνην Καππαδοκίαν· καὶ ὅσα προεῖπον
ἕτερα. Ἀντιόχῳ δὲ τῷ Κομμαγηνῷ, Σελεύκειαν ἐπέτρεψε· καὶ ὅσα τῆς Μεσο-
ποταμίας ἄλλα κατέδραμεν· ἐποίησε δὲ καὶ τετράρχας Γαλλογραικῶν μὲν οἱ νῦν εἰσὶ
Γαλάται Καππαδόκαις ὅμοροι, Δηιόταρον καὶ ἑτέρους· Παφλαγονίας δὲ Ἄτταλον·
καὶ Κόλχων, Ἀρίσταρχον δυνάστην· ἀπέφηνε δὲ καὶ τῆς ἐν Κομμάνοις θεᾶς, Ἀρ-
χέλαον ἱερέα· ὅπερ ἐστὶ δυναστεία βασιλική· καὶ τὸν Φαναγορέα Κάστορα, Ῥωμαίων
φίλον· πολλὴν δὲ καὶ ἑτέροις χώραν τε καὶ χρήματα ἔδωκε· καὶ πόλεις ᾤκισεν·
ἐν μὲν τῇ βραχυτέρᾳ Ἀρμενίᾳ, Νικόπολιν ἐπὶ τῇ νίκῃ· ἐν δὲ Πόντῳ, Εὐπατο-
ρίαν· ἣν αὐτὸς μὲν ὁ Εὐπάτωρ Μιθριδάτης ἔκτισε· καὶ Εὐπατορίαν ὠνόμασεν
ἀφ' ἑαυτοῦ· ὑποδεξαμένην δὲ Ῥωμαίους καθῃρήκει· καὶ ὁ Πομπήιος ἐγείρας,
Μαγνόπολιν ἐκάλει· ἐν δὲ Καππαδοκίᾳ Μάζακα ὑπὸ τοῦ πολέμου λελυμασ-
μένην ἐς τέλος, ἤγειρεν αὖθις· καὶ ἑτέρας πολλαχοῦ καθίστανε, καθῃρημένας ἢ βεβλαμμένας,
διωρθοῦτο· περί τε τὸν Πόντον καὶ Παλαιστίνην καὶ Κοίλην Συρίαν καὶ Κιλικίαν·
ἐν ᾗ δὴ μάλιστα τοὺς λῃστὰς συνῴκιζε· καὶ ἡ πόλις ἡ πάλαι Σόλοι, νῦν Πομπηιό-
πολίς ἐστιν· ἐν δὲ Ταλαύροις ἥν τινα πόλιν ὁ Μιθριδάτης εἶχε ταμιεῖον τῆς
κατασκευῆς, δισχίλια μὲν ἐκπώματα λίθου τῆς ὀνυχίτιδος λεγομένης διάχρυσα,
χρυσοκόλλητα· καὶ φιάλας· καὶ ψυκτῆρας πολλούς· καὶ ῥυτά· καὶ κλίνας· καὶ θρόνους
κατακόσμους· καὶ ἵππων χαλινούς· καὶ προστερνίδια· καὶ ἐπωμίδια· πάντα
ὁμοίως διαλίθια καὶ κατάχρυσα. ὧν ἡ παράδοσις διὰ τὸ πλῆθος ἐς τριάκοντα
ἡμέρας παρέτεινε· καὶ ἦν τὰ μὲν, ἐκ Δαρείου τοῦ Ὑστάσπου· τὰ δὲ ἐκ τῆς Πτολεμαί-
ων ἀρχῆς· ὅσα Κλεοπάτρα Κῴοις παρέθετο, καὶ Κῷοι Μιθριδάτῃ παρέδοσαν· τὰ
δὲ, καὶ ὑπ' αὐτοῦ Μιθριδάτου κατεσκεύαστο καὶ συνείλεκτο, φιλοκάλου καὶ περὶ
κατασκευὴν γενομένου. λήγοντος δὲ τοῦ χειμῶνος, διέδωκεν ὁ Πομπήιος
ἀριστεῖα τῷ στρατῷ· καθ' ἕκαστον ἄνδρα χιλίας πεντακοσίας Ἀττικάς· καὶ τοῖς
ἡγουμένοις αὐτῶν ἀνάλογον· καὶ φασὶ γενέσθαι τάλαντα μύρια ἑξακισχί-
λια· αὐτὸς δὲ ἐς Ἔφεσον καταβὰς, διέπλευσεν ἐπὶ Ἰταλίας· καὶ ἐς Ῥώμην
ἠπείγετο· διαφεὶς ἐν Βρεντεσίῳ τὸν στρατὸν ἐπὶ τὰ οἰκεῖα. ἐφ' ὅτῳ μάλιστα
ὡς δημοτικὸς τοὺς Ῥωμαίους ἐξέπληξε· καὶ αὐτῷ προσιόντι, ἀπήντων
κατὰ μέρος· πορρωτάτω μὲν οἱ νέοι· ἑξῆς δὲ ὡς ἐδύναντο καθ' ἡλικίαν
ἕκαστοι· καὶ ἐπὶ πᾶσιν ἡ βουλή, θαυμάζουσα τῶν γεγονότων· οὐ γάρ πώ τις
ἐχθρὸν τηλικοῦτον ἑλὼν, τοσαῦτα ὁμοῦ καὶ μέγιστα ἔθνη προσειλήφει· καὶ
τὴν Ῥωμαίων ἀρχὴν ἐπὶ τὸν Εὐφράτην ᾠκείκει· ὁ δὲ, ἐθριάμβευσεν ἐπὶ

λαμπροτάτης καὶ ἧς οὔτις πρὸ τοῦ, δόξης, ἔτη ἔχων πέντε καὶ τριά-
κοντα· δύο ἐφεξῆς ἡμέρας ἐπὶ πολλοῖς ἔθνεσιν· ἀπό τε τοῦ πόντου
καὶ ἀρμενίας· καὶ καππαδοκίας· καὶ κιλικίας· καὶ συρίας ὅλης· καὶ ἀλβανῶν
καὶ ἡνιόχων· καὶ ἀχαιῶν τῶν ἐν σκυθίαις· καὶ ἰβηρίας τῆς ἑώας· καὶ παρῆγεν
ἐν μὲν τοῖς λιμέσιν, ἑπτακοσίας ναῦς ἐντελεῖς· ἐς δὲ τὴν πομπὴν τοῦ θρι-
άμβου, ζεύγη καὶ φορεῖα χρυσοφόρα· καὶ ἕτερα κόσμου ποικίλου· καὶ
τὴν δαρείου τοῦ ὑστάσπου κλίνην· καὶ τὸν τοῦ εὐπάτορος αὐτοῦ θρόνον· καὶ
σκῆπτρον αὐτοῦ· καὶ εἰκόνα ὀκτάπηχυν ἀπὸ στερεοῦ χρυσίου· παρῆγε·
καὶ ἐπισήμου ἀργυρίου, μυριάδας ἑπτακισχιλίας· καὶ πεντακοσίας δέκα·
ἁμάξας δὲ ὅπλων, ἀπείρους τὸ πλῆθος· καὶ νεῶν ἔμβολα· καὶ πλῆθος
αἰχμαλώτων τε καὶ λῃστῶν· οὐδένα δεδεμένον· ἀλλὰ τὰ πάτρια ἐσταλμένους·
αὐτοῦ δὲ τοῦ πομπηίου προῆγον οἵ τε τῶν πεπολεμημένων βασιλέων
ἡγεμόνες· ἢ παῖδες· ἢ στρατηγοὶ ἦσαν· οἱ μὲν, αἰχμάλωτοι ὄντες· οἱ δέ, ἐς
ὁμηρείαν δεδομένοι· τριακόσιοι μάλιστα καὶ εἴκοσι καὶ τέσσαρες· ἔνθα δὴ
καὶ ὁ τιγράνου παῖς ἦν τιγράνης· καὶ πέντε μιθριδάτου· ἀρταφέρνης τε
καὶ κῦρος· καὶ ὀξάθρης· καὶ δαρεῖος· καὶ ξέρξης· καὶ θυγατέρες, ὀρσάβαρίς
τε καὶ εὐπάτρα· παρήγετο δὲ καὶ ὁ κόλχων σκηπτοῦχος ὀλθάκης· καὶ ἰουδαί-
ων βασιλεὺς ἀριστόβουλος· καὶ οἱ κιλίκων τύραννοι· καὶ σκυθῶν βασίλειοι
γυναῖκες· καὶ ἡγεμόνες τρεῖς ἰβήρων· καὶ ἀλβανῶν δύο· καὶ μένανδρος
ὁ λαοδικεύς· ἱππάρχης τοῦ μιθριδάτου γενόμενος· τῶν δὲ οὐκ ἀφικομένων,
εἰκόνες παρεφέροντο. τιγράνους καὶ μιθριδάτου· μαχομένων τε καὶ νικω-
μένων καὶ φευγόντων· μιθριδάτου δὲ καὶ ἡ πολιορκία· καὶ ἡ νὺξ ὅτε ἔφευγεν
ᾔκαστο· καὶ ἡ σιωπή· ἐπὶ τῇ δὲ ἐδείχθη καὶ ὡς ἀπέθανεν· αἵ τε παρ-
θένοι αἱ συναποθανεῖν αὐτῷ ἑλόμεναι, παρεζωγράφηντο· καὶ τῶν προαπο-
θανόντων υἱέων καὶ θυγατέρων ἦσαν γραφαί· θεῶν τε βαρβαρικῶν εἰκόνες·
καὶ κόσμοι πάτριοι· παρεφέρετο δὲ καὶ πίναξ, ἐγγεγραμμένων τῶνδε·
νῆες ἑαλώκασιν χαλκέμβολοι ὀκτακόσιαι· πόλεις ἐκτίσθησαν καππαδοκῶν
ὀκτώ· κιλίκων δὲ καὶ κοίλης συρίας εἴκοσι· παλαιστίνης δέ, ἡ νῦν σε-
λευκίς· βασιλεῖς ἐνικήθησαν, τιγράνης ὁ ἀρμένιος· ἀρτώκης ἴβηρ·
ὀροίζης ἀλβανός· δαρεῖος μῆδος· ἀρέτας ναβαταῖος· ἀντίοχος κομμαγηνός·
τοσαῦτα μὲν ἐδήλου τὸ γράμμα· αὐτὸς δὲ ὁ πομπήιος ἐπὶ ἅρματος
ἦν· καὶ τοῦδε λιθοκολλήτου· χλαμύδα ἔχων ὥς φασιν ἀλεξάνδρου τοῦ

μακεδόνος, εἴ τῳ πιστόν ἐστιν· ἔοικε δ᾽ αὐτὴν εὑρεῖν ἐν μιθριδάτου,
κῴων παρὰ κλεοπάτρας λαβόντων· εἵποντο δὲ αὐτῷ μετὰ τὸ ἅρμα, οἱ συ-
στρατευσάμενοι τῶν ἡγεμόνων· οἱ μὲν, ἐπὶ ἵππων· οἱ δέ, πεζοί· παρελθὼν δ᾽
ἐς τὸ καπιτώλιον, οὐδένα τῶν αἰχμαλώτων ὡς ἕτεροι τῶν θριάμβους παραγα-
γόντων· ἀλλὰ τὰς πατρίδας ἔπεμψε δημοσίοις δαπανήμασι. χωρὶς τῶν
βασιλικῶν· καὶ τούτων μόνος ἀριστόβουλος εὐθὺς ἀνῃρέθη· καὶ τιγράνης
ὕστερον· ὁ μὲν δὴ θρίαμβος ἦν τοιόσδε· φαρνάκης δὲ πολιορκῶν φαναγορέ-
ας καὶ τὰ περίοικα τοῦ βοσπόρου· μέχρις ὧν φαναγορεῖς λιμῷ ἐς μάχην προελθόντες,
ἐκράτησε μάχῃ· καὶ ἔβλαψεν οὐδέν· ἀλλὰ φίλους ποιησάμενος καὶ λαβὼν
ὅμηρα, ἀνεχώρει· μετ᾽ οὐ πολὺ δὲ καὶ σινώπην εἷλε· καὶ ἀμισὸν ἐνθυ-
μεζόμενος· καὶ καλουισίῳ στρατηγοῦντι, ἐπολέμησεν ἐν ᾧ χρόνῳ πομπήιος
καὶ καῖσαρ ἐς ἀλλήλους ἦσαν· ἕως αὐτὸν ἄσανδρος ἐχθρὸς ἴδιος, ῥωμαίων
οὐ σχολαζόντων, ἐξήλασε τῆς ἀσίας· ἐπολέμησε δὲ αὐτῷ καῖσαρ, καθῃρηκώς τε
πομπήιον ἐπανιών τι ἀπ᾽ αἰγύπτου περὶ τὸ σκότιον ὄρος· ἔνθα ὁ πάππος
αὐτοῦ ῥωμαίων τῶν ἀμφὶ τριάριον ἐκεκρατήκει· καὶ ἡττηθείς, ἔφυγεν
σὺν χιλίοις ἱππεῦσιν ἐς σινώπην· καὶ καῖσαρ δι᾽ ἀσχολίαν οὐ διώ-
ξας αὐτόν, ἀλλ᾽ ἐπιπέμψαντος αὐτὸν δομέτιον, παραδοὺς τὴν σινώπην δομε-
τίῳ, ὑπόσπονδος ἀφείθη μετὰ τῶν ἱππέων· καὶ τοὺς ἵππους ἔκτεινε· πολλὰ
δυσχεραινόντων τῶν ἱππέων· ναυσὶ δὲ ἐπιβάς, ἐς τὸν πόντον ἔφυγε· καὶ σκυθῶν
τινας καὶ σαυροματῶν συναγαγών, θεοδοσίαν καὶ παντικάπαιον κατέλαβε·
ἐπιθεμένου δὲ αὖθις αὐτῷ κατὰ τὸ ἔχθος ἀσάνδρου, οἱ μὲν ἱππεῖς ἀπορίᾳ
τε ἵππων, καὶ ἀμαθίᾳ πεζομαχίας, ἐνικῶντο· αὐτὸς δὲ ὁ φαρνάκης μόνος ἠ-
γωνίζετο καλῶς· μέχρι κατατρωθείς, ἀπέθανε πεντηκοντούτης ὤν· καὶ
βασιλεύσας βοσπόρου πεντεκαίδεκα ἔτη· ὧδε μὲν δὴ καὶ φαρνάκης ἐξέ-
πεσε τῆς ἀρχῆς· καὶ αὐτοῦ τὴν βασιλείαν, γάιος μὲν καῖσαρ ἔδωκε μιθριδά-
τῃ τῷ περγαμηνῷ, συμμαχήσαντι οἱ προθύμως ἐν αἰγύπτῳ· νῦν δ᾽ εἰσὶν οἰ-
κεῖοι· πόντου δὲ καὶ βιθυνίας, πέμπεταί τις στρατηγὸς ἐτήσιος· τὰ δὲ ἔθνη
ὑπὸ τοῦ πομπηίου δεδομένα, ὁ μὲν γάιος ἐπιμεμφόμενος τοῖς ἔχουσιν
ὅτι πομπηίῳ κατ᾽ αὐτοῦ συνεμάχουν, ὅμως ἐφύλαξε· πλὴν τῆς ἐν
κομάνοις ἱερωσύνης· ἣν ἐς λυκομήδην μετήνεγκεν ἀπὸ ἀρχελάου· μετ᾽
οὐ πολὺ δ᾽ ὕστερον καὶ τάδε καὶ ὁ γάιος καῖσαρ· καὶ μάρκος ἀντώνιος,
ἐς ἑτέρους ἐδεδώκεσαν, ἐς στρατηγίας ῥωμαίων περιῆλθεν ἅπαντα

σεβαστοῦ Καίσαρος ἡγοῦντος Αἴγυπτον. ὀλίγης ἔτι Ῥωμαίοις προφάσεως
ἐς ἕκαστον δεομένων. ὅθεν αὐτοῖς τῆς ἡγεμονίας ἐπὶ τῷδε τῷ Μιθρι-
δατείῳ πολέμῳ προελθούσης ἔς τε τὸν πόντον τὸν Εὔξεινον. καὶ ἐπὶ ψάμμον
τὴν πρὸ Αἰγύπτου. καὶ ποταμὸν Εὐφράτην ἀπὸ Ἰβήρων τῶν παρὰ στήλαις Ἡ-
ρακλέους, εἰκότως ἥ τε νίκη μεγάλη, καὶ ὁ στρατηγήσας Πομπήιος ἐκλήθη μέγας.
ἔχουσι δ' αὐτοῖς καὶ Λιβύην, ὅση μέχρι Κυρήνης· Κυρήνην γὰρ αὐτὴν
Ἀπίων βασιλεὺς τοῦ Λαγιδῶν γένους νόθος ἐν διαθήκαις ἀπέλιπεν· Αἴ-
γυπτος δέ, ἐς περίοδον τῆς ἐντὸς θαλάσσης ἔτι ἐλείπεν: + ~

+ Ἀππιανοῦ Ῥωμαϊκῶν ιδ'. ἐμφυλίων α'. : +

ωμαίοις ὁ δῆμος καὶ ἡ βουλὴ πολλάκις ἐς ἀλλήλους περί τε νόμων θέσεως καὶ χρεῶν
ἀποκοπῆς ἢ γῆς διαδατουμένης ἢ ἐν ἀρχαιρεσίαις ἐστασίασαν· οὐ μήν τι
χειρῶν ἔργον ἐμφύλιον ἦν· ἀλλὰ διαφοραὶ μόναι καὶ ἔριδες ἔννομοι· καὶ τάδε
μετὰ πολλῆς αἰδοῦς εἴκοντες ἀλλήλοις διετίθεντο. ὁ δὲ δῆμός ποτε καὶ στρατευό-
μενος, ἐς τοιάνδε ἔριν ἐμπεσών, οὐκ ἐχρήσατο τοῖς ὅπλοις παροῦσιν· ἀλλ' ἐς τὸ
ὄρος ἐκδραμών, τὸ ἀπὸ τοῦδε κληζόμενον ἱερόν, οὐδὲν οὐδὲ τότε χειρῶν ἔργον ἦν·
ἀλλ' ἀρχὴν ἑαυτοῦ προστάτιν ἀπέφηνε καὶ ἐκάλεσε δήμαρχον· ἐς κώλυσιν μάλιστα
τῶν ὑπάτων ἀπὸ τῆς βουλῆς αἱρουμένων, μὴ ἐντελὲς αὐτοῖς ἐπὶ τῇ πολιτείᾳ τὸ
κράτος ᾖ· ὅθεν δὴ καὶ μάλιστα δυσμενέστερον ἔτι καὶ φιλονικότερον ἐς ἀλλήλας αἱ
ἀρχαὶ διετίθεντο ἀπὸ τοῦδε· καὶ ἡ βουλὴ καὶ ὁ δῆμος ἐς αὐτὰς ἐμερίζοντο, ὡς ἐν ταῖς
τῶνδε πλεονεξίαις ἑκάτεροι τῶν ἑτέρων ἐπικρατοῦντες. Μάρκιός τε ὁ Κοριολανὸς
ἐν ταῖσδε ταῖς ἔρισιν ἐξελαθεὶς παρὰ δίκην, ἐς Οὐολούσκους ἔφυγέ τε καὶ πόλεμον
ἐπήγαγε τῇ πατρίδι. καὶ τοῦτο μόνον ἄν τις εὕροι τῶν πάλαι στάσεων, ἔργον ἔνοπλον·
καὶ τοῦθ' ὑπ' αὐτομόλου γενόμενον. ξίφος δὲ οὐδέν πω παρενεχθὲν ἐς ἐκκλησίαν.
οὐδὲ φόνον ἔμφυλον. πρίν γε Τιβέριος Γράκχος δημαρχῶν καὶ νόμους ἐσφέρων,
πρῶτος ἐν στάσει ἀπώλετο. καὶ ἐπ' αὐτῷ πολλοὶ κατὰ τὸ Καπιτώλιον εἰλούμενοι,
περὶ τὸν νεὼν ἀνῃρέθησαν. καὶ οὐκ ἀνέσχον ἔτι αἱ στάσεις ἐπὶ τῷδε τῷ μύσει·
διαιρουμένων ἑκάστοτε σαφῶς ἐπ' ἀλλήλοις. καὶ ἐγχειρίδια πολλάκις φερόντων·
κτιννυμένης τέ τινος ἀρχῆς ἐκ διαστήματος ἐν ἱεροῖς ἢ ἐκκλησίαις ἢ ἀγο-
ραῖς, δημάρχων ἢ στρατηγῶν ἢ ὑπάτων ἢ τῶν ἐς ταῦτα παραγγελλόντων ἢ τῶν
ἄλλως ἐπιφανῶν. ὕβρις τε ἄκοσμος ἐπεῖχεν αἰεὶ διὰ ὀλίγου. καὶ νόμων καὶ
δίκης αἰσχρὰ καταφρόνησις. προϊόντος δὲ ἐς μέγα τοῦ κακοῦ, ἐπανα-
στάσεις ἐπὶ τὴν πολιτείαν φανεραί. καὶ στρατεῖαι μεγάλαι καὶ βίαιοι κατὰ

τῆς πατρίδος ἐγίγνοντο, φυγάδων ἀνδρῶν ἢ καταδίκων. καὶ ἐπὶ ἀρχῆς τινος
ἢ στρατοπέδου φιλονεικοῦντες ἀλλήλοις. δυναστεῖαί τε ἦσαν ἤδη κατὰ πολλὰ
καὶ στασίαρχοι μοναρχικοί· οἱ μέν, οὐ μεθιέντες ἔτι τὰ πιστευθέντα σφίσιν
ὑπὸ τοῦ δήμου στρατόπεδα· οἱ δὲ καὶ κατὰ σφᾶς ἄνευ τοῦ κοινοῦ κατ' ἀλλήλων
ξενολογοῦντες. ὁπότεροι δ' αὐτῶν τὴν πόλιν προλάβοιεν, τοῖς ἑτέροις ἦν ὁ
ἀγών, λόγῳ μὲν ἐπὶ τοὺς ἀντιστασιώτας· ἔργῳ δ' ἐπὶ τὴν πατρίδα· ἐσέβαλλον γὰρ ὡς
πολεμίαν, καὶ σφαγαὶ ὠμαὶ τῶν ἐν ποσὶν ἐγίγνοντο ἀνηλεεῖς· καὶ ἄλλων ἐπὶ θανάτῳ
προγραφαὶ καὶ φυγαὶ καὶ δημεύσεις· ἐνίοις δὲ καὶ βάσανοι παντάπασιν ἐπαχθεῖς. ἔργον
τε οὐδὲν ἀηδὲς ἀπῆν. μέχρι τῶνδε τῶν στασιαρχῶν εἷς, ἔτει πεντηκοστῷ μάλιστα
ἀπὸ Γράκχου, Κορνήλιος Σύλλας, κακῷ τὸ κακὸν ἰώμενος, μόναρχον αὑτὸν
ἀπέφηνεν ἐπὶ πλεῖστον. οὓς δικτάτορας ἐκάλουν τε. καὶ ἐπὶ ταῖς φοβερωτάταις χρείαις
ἑξαμήνους τιθέμενοι, ἐκ πολλοῦ διελελοίπεσαν. ὁ δὲ Σύλλας βίᾳ μὲν καὶ ἀνάγκῃ,
λόγῳ δὲ αἱρετός, ἐς ἀεὶ δικτάτωρ γενόμενος, ὅμως ἐπεί τε ἐκορέσθη τῆς δυναστείας,
πρῶτος ἀνδρῶν ὅδε μοι δοκεῖ θαρρῆσαι, τυραννικὴν ἀρχὴν ἔχων ἀποθέσθαι.
καὶ ἐπειπεῖν, ὅτι καὶ τοῖς μεμφομένοις εὐθύνας ὑφέξει. ἰδιώτης τε ὁρώντων ἁπάντων,
ἐπὶ πολὺ βαδίσαι κατ' ἀγοράν. καὶ ἐπανελθεῖν ἀπαθὴς οἴκαδε. τοσοῦτον ἦν ἄρα
τοῖς ὁρῶσιν, ἔτι τῆς ἀρχῆς αὐτοῦ δέος. ἢ τῆς ἀποθέσεως κατάπληξις. ἢ τῶν
εὐθυνῶν τῆς ἐπαγγελίας αἰδώς. ἢ ἄλλη φιλανθρωπία. καὶ λογισμός, ἐπὶ συμφέροντι
τὴν τυραννίδα γενέσθαι. ὧδε μὲν ἐπὶ βραχὺ ἔληξαν αἱ στάσεις ἐπὶ Σύλλα. καὶ
κακῶν ἀντίδοσις ἦν, ὧν ὁ Σύλλας εἰργάζετο. μετὰ δὲ Σύλλαν αὖθις ἀνερριπί-
ζετο. μέχρι Γάιος Καῖσαρ, αἱρετὴν ἀρχὴν ἐπὶ πολὺ δυναστεύων ἀνὰ τὴν Γαλατικήν. τῆς
βουλῆς αὐτὴν ἀποθέσθαι κελευούσης, αἰτιώμενος οὐ τὴν βουλήν, ἀλλὰ Πομπή-
ιον ἐχθρὸν ὄντα οἱ. καὶ στρατοῦ περὶ τὴν Ἰταλίαν ἡγούμενον. τῆς ἀρχῆς αὐτὸν
ἐπιβουλεύοντα παραλύειν, προὐτίθει προκλήσεις. ἢ ἀμφοτέρους στρατεύματα
ἔχειν, ὡς τῆς ἔχθρας τὴν ἀφοβίαν. ἢ καὶ Πομπήιον ὅσα ἔχοι μεθέντα, ἰδιω-
τεύειν ὁμοίως ὑπὸ νόμοις. οὐ πείθων δ' οὐδέτερα, ἐκ Γαλατίας ἤλαυνεν ἐπὶ
τὸν Πομπήιον ἐς τὴν πατρίδα· ἐσβαλών τε ἐς αὐτήν. καὶ διώκων ἐκφυγόντα,
περὶ Θεσσαλίαν ἐνίκησε μάχῃ μεγάλῃ καὶ λαμπρῶς. καὶ ἐδίωκεν ἐς Αἴγυπτον
ὑποφεύγοντα. ἀναιρεθέντος δὲ Πομπηίου πρὸς ἀνδρῶν Αἰγυπτίων, ἐπανῆλ-
θεν ἐς Ῥώμην. καὶ περὶ Αἴγυπτον ἐργασάμενός τε καὶ ἐπιμείνας. μέχρι
καταστήσαι τοῖς αὐτῆς τοὺς βασιλέας· στασιώτην τε μέγιστον ὧν διὰ μεγαλουργίαν
πολεμικὴν μέγας ἐπώνυμον ἦν. οὗτος δὴ μάλιστα πόλεμον κράτει σαφῶς

καθῃρῶν, οὐδενὸς αὐτῷ θαρροῦντος ἐς οὐδὲν ἔτι ἀντιστῆναι, διόπερ
ἐπὶ Σύλλᾳ δικτάτωρ ἐς τὸ διηνεκὲς ᾑρέθη. καὶ στάσεις αὖθις κατεπαύοντο
πᾶσαι. ἐς ὅτε καὶ τόνδε, Βροῦτος καὶ Κάσσιος ζήλῳ τε τῆς ἀρχῆς τοῦ μεγέθους.
καὶ πόθῳ τῆς πατρίου πολιτείας, ἐν τῷ βουλευτηρίῳ κατέκανον. δημοτικώτατον
καὶ ἐμπειρότατον ἀρχῆς γενόμενον. ὅ γέ τοι δῆμος αὐτὸν μάλιστα πάντων
ἐπόθησε. καὶ τοὺς σφαγέας ἐζήτουν περιιόντες. καὶ τὸ σῶμα ἔθαψαν ἐν
ἀγορᾷ μέσῃ. καὶ νεὼν ἐπῳκοδόμησαν τῇ πυρᾷ. καὶ θύουσιν ὡς θεῷ. αἱ δὲ αὖθις
ἐπανελθοῦσαί τε καὶ αὐξηθεῖσαι δυνατώτατα, ἐς μέγα προῆλθον. καὶ φόνοι καὶ
φυγαί. καὶ ἐπὶ θανάτῳ προγραφαί. βουλευτῶν τε καὶ τῶν καλουμένων ἱππέων, κατὰ
πλῆθος ἀθρόως ἑκατέρων ἐγίγνοντο. τοὺς ἐχθροὺς ἀλλήλοις τῶν στασιωτῶν
ἀντιπαρεχόντων. καὶ ἐς τοῦτο ἀμελούντων, καὶ φίλων καὶ ἀδελφῶν. τοσοῦτον ἐκράτει
τῆς ἐς τὰ οἰκεῖα εὐνοίας, ἡ ἐς τὰ ἀντίπαλα φιλονεικία. προϊόντα τε τὴν Ῥωμαίων
ἀρχήν, ὥσπερ ἰδιωτικὸν κτῆμα διενείμαντο ἐφ' ἑαυτῶν, τρεῖς οἵδε ἄνδρες.
Ἀντώνιός τε καὶ Λέπιδος. καὶ ὅτῳ πρότερον μέν, Ὀκταούιος ὄνομα ἦν. Καίσαρι δὲ
πρὸς γένους ὤν. καὶ θετὸς ἐν διαθήκαις ὑπ' αὐτοῦ γενόμενος, Καῖσαρ ἐκ τοῦδε
μετωνομάζετο. ἐπὶ δὲ τῇ διαιρέσει τῇδε. μετὰ βραχὺ συμπεσόντες ὡς
εἰκὸς ἦν ἐς ἀλλήλους, ὁ Καῖσαρ αὐτῶν συνέσει τε καὶ ἐμπειρίᾳ προύχων,
Λέπιδον μὲν πρότερον αὐτοῦ ἣν ἐκεκλήρωτο Λιβύην. ἐπὶ δὲ τῷ Λεπίδῳ
καὶ Ἀντώνιον. πολέμῳ περὶ Ἄκτιον ἀφείλετο, τὴν ἀπὸ Συρίας ἐπὶ κόλπον τὸν Ἰό-
νιον ἀρχήν. ἐπί τε τούτοις, μεγίστοις δὴ φανεῖσι. καὶ ἐς ἔκπληξιν ἅπαν-
τας ἐμβαλοῦσιν, εἷλε καὶ Αἴγυπτον ἐπιπλεύσας. χρονιωτάτην τε οὖσαν ἐς τότε. καὶ
δυνατωτάτην μετὰ Ἀλέξανδρον ἀρχήν. καὶ μόνην Ῥωμαίοις ἔτι λείπουσαν, ἐς τὰ νῦν
ὄντα, ὥστε, σεβαστὸς ἐπὶ τοῖς ἔργοις ἔτι περιών. ὅδε πρῶτος ὀφθῆναί τε
Ῥωμαίοις. καὶ κληθῆναι πρὸς αὐτῶν. αὐτός τε ἑαυτὸν ὥσπερ Γάιος. καὶ ἔτι τὸ
δύνασθαι τῷ ἔτι Γαΐου, ἄρχοντα ἀποφῆναι, τῆς τε πατρίδος. καὶ τοῖς ὑπ' αὐτὴν
ἔθνεσιν ἅπασιν. οὐδὲν αἱρέσεως ἢ χειροτονίας, ἢ προσποιήματος ἔτι δεηθείς.
χρονίου δὲ αὐτῷ καὶ ἐγκρατοῦς τῆς ἀρχῆς γενομένης, ἐπιτυχὴς ἐς τὰ πάντα καὶ
φοβερὸς ὤν, γένος ἀφ' ἑαυτοῦ καὶ διαδοχὴν τὴν ἐπικρατοῦσαν, ὁμοίως
ἐγκατέλιπεν. ὧδε μὲν ἐκ στάσεων ποικίλων, ἡ πολιτεία Ῥωμαίοις,
ἐς ὁμόνοιαν καὶ μοναρχίαν περιέστη. ταῦτα δ' ὅπως ἐγένετο, συνέγραψα
καὶ συνήγαγον. ἀξιοθαύμαστα ὄντα τοῖς ἐθέλουσιν ἰδεῖν, φιλοτιμίαν
ἀνδρῶν ἄμετρον. καὶ φιλαρχίαν δεινήν. καρτερίαν τε ἄτρυτον, καὶ κακῶν

ἰδέας μυρίας. μάλιστα δ' ὅτι μοι τῆς Αἰγυπτίας συγγραφῆς, τάδε προηγού-
μενα καὶ τελευτῶντα ἐς ἐκείνην, ἀναγκαῖον ἦν προαναγράψασθαι. ἐς ἐκείνην δὲ
γὰρ Αἴγυπτος ἐλήφθη διὰ τήνδε τὴν στάσιν, Ἀντωνίῳ Κλεοπάτρας συμμαχούσης.
διῄρηται δὲ αὐτῶν διὰ τὸ πλῆθος, συνθάδε μέν, ὅσα ἐπὶ Κορνήλιον Σύλλαν,
ἀπὸ Σεμπρωνίου Γράκχου. ἑξῆς δ' ὅσα μέχρι Γαΐου Καίσαρος τῆς τελευτῆς.
αἱ δὲ λοιπαὶ τῶν ἐμφυλίων βίβλοι δηλοῦσιν, ὅσα οἱ τρεῖς ἐς ἀλλήλους τε καὶ
Ῥωμαίους ἔδρασαν. μέχρι τοῦ τελευταίου δὴ τῶνδε τῶν στάσεων καὶ μεγίστου ἔργου,
τοῦ περὶ Ἄκτιον Καίσαρι πρὸς Ἀντώνιον ὁμοῦ καὶ Κλεοπάτραν γενομένου,
ὃ ἀρχὴ καὶ τῆς Αἰγυπτιακῆς συγγραφῆς ἔσται. Ῥωμαῖοι τὴν Ἰταλίαν πολέμῳ
κατὰ μέρη χειρούμενοι, γῆς μέρος ἐλάμβανον. καὶ πόλεις ἐνῴκιζον. ἢ ἐς τὰς
πρότερον οὔσας κληρούχους ἀπὸ σφῶν κατέλεγον. καὶ τάδε μὲν ἀντὶ φρουρίων
ἐπενόουν. τῆς δὲ γῆς τῆς δορικτήτου σφίσιν ἑκάστοτε γιγνομένης, τὴν μὲν
ἐξειργασμένην, αὐτίκα τοῖς οἰκιζομένοις ἐπιδιῄρουν. ἢ ἐπίπρασκον. ἢ
ἐξεμίσθουν. τὴν δ' ἀργὸν ἐκ τοῦ πολέμου τότε οὖσαν. ἣ δὴ καὶ μάλιστα ἐπλήθυεν.
οὐκ ἄγοντές πω σχολὴν διαλαχεῖν, ἐπεκήρυττον ἐν τοσῷδε τοῖς ἐθέλουσιν
ἐκπονεῖν, ἐπὶ τέλει τῶν ἐτησίων καρπῶν. δεκά[τῃ] μὲν τῶν σπειρομένων,
πέμπτῃ δὲ τῶν φυτευομένων. ὥριστο δὲ καὶ τοῖς προβατεύουσι, τέλη. μειζόνων
τε καὶ ἐλαττόνων ζῴων. καὶ τάδε ἔπραττον, ἐς πολυανδρίαν τοῦ Ἰταλικοῦ γένους.
φερεπονωτάτου σφίσιν ὀφθέντος, ἵνα συμμάχους οἰκείους ἔχοιεν. ἐς δὲ
τοὐναντίον αὐτοῖς περιῄει. οἱ γὰρ πλούσιοι τῆσδε τῆς ἀνεμήτου γῆς
τὴν πολλὴν καταλαβόντες. καὶ χρόνῳ θαρροῦντες. οὔ τινα σφᾶς ἔτι ἀφαιρή-
σεσθαι, τά τε ἀγχοῦ σφίσιν ὅσα τε ἦν ἄλλα βραχέα πενήτων. τὰ μέν, ὠνού-
μενοι πειθοῖ. τὰ δέ, βίᾳ λαμβάνοντες, πεδία μακρὰ ἀντὶ χωρίων ἐγεώργουν.
ὠνητοῖς ἐς αὐτὰ γεωργοῖς καὶ ποιμέσι χρώμενοι. τοῦ μὴ τοὺς ἐλευθέρους ἐς
τὰς στρατείας ἀπὸ τῆς γεωργίας περισπᾶν. φερούσης ἅμα καὶ τῆσδε τῆς κτήσεως
αὐτοῖς, πολὺ κέρδος. ἐκ πολυπαιδίας θεραπόντων. ἀκινδύνως αὐξομένων
διὰ τὰς ἀστρατείας. ἀπὸ δὲ τούτων, οἱ μὲν δυνατοί, πάμπαν ἐπλούτουν.
καὶ τὸ τῶν θεραπόντων γένος, ἀνὰ τὴν χώραν ἐπλήθυε. τοὺς δ' Ἰταλιώτας ὀλι-
γότης καὶ δυσανδρία κατελάμβανε. τρυχομένους πενίᾳ τε καὶ ἐσφοραῖς
καὶ στρατείαις. εἰ δὲ καὶ σχολάσειαν ἀπὸ τούτων, ἐπὶ ἀργίας διετίθεντο. τῆς
γῆς ὑπὸ τῶν πλουσίων ἐχομένης. καὶ γεωργοῖς χρωμένων, θεράπουσιν,
ἀντὶ ἐλευθέρων. ἐφ' οἷς ὁ δῆμος ἐδυσφόρει μέν, ὡς οὔτε συμμάχων εὐπορή-

πολὺ ἐπὶ δ᾽ ἀπορήσειν σωμάτων· οὔτε τῆς ἡγεμονίας οἱ, γενησομένης ἀκινδύνου, διὰ πλῆθος τοσόνδε θεραπόντων· διορθοῦσιν δ᾽ οὐκ ἐπινοοῦντες, ὡς οὐδὲ ῥᾴδιον ὂν, οὐδὲ πάντη δίκαιον, ἄνδρας τοσούσδε ἐκ τοσοῦδε χρόνου, κτῆσιν τοσήνδε ἀφαιρεῖσθαι· φυτῶν τε ἰδίων καὶ οἰκοδομημάτων καὶ κατασκευῆς, μόλις ποτὲ γνώμῃ δημάρχων εἰσηγουμένων, ἔκριναν μηδένα ἔχειν τῆσδε τῆς γῆς πλέθρα πεντακοσίων πλείονα· μηδὲ προβατεύειν, ἑκατὸν πλείω τὰ μείζονα· καὶ πεντακοσίων τὰ ἐλάσσονα· καὶ ἐς ταῦτα δ᾽ αὐτοῖς, ἀριθμὸν ἐλευθέρων ἔχειν ἐπέταξαν· οἳ τὰ γιγνόμενα φυλάξειν τε καὶ μηνύσειν ἔμελλον· οἱ μὲν δὴ, τάδε νόμῳ περιλαβόντες, ἐπώμοσαν ἐπὶ τῷ νόμῳ· καὶ ζημίαν ὥρισαν· ἡγούμενοι, τὴν λοιπὴν γῆν· αὐτίκα τοῖς πένησι κατ᾽ ὀλίγον διαπραθήσεσθαι· φροντὶς δ᾽ οὐδεμία ἦν· οὔτε τῶν νόμων, οὔτε τῶν ὅρκων· ἀλλ᾽ οἵ τινες καὶ ἔδοξαν φροντίσαι, τὴν γῆν ἐς τοὺς οἰκείους ἐπὶ ὑποκρίσει διένεμον· οἱ δὲ πολλοὶ, τὸ σύνολον κατεφρόνουν· μέχρι Τιβέριος Σεμπρώνιος Γράκχος· ἀνὴρ ἐπιφανὴς καὶ λαμπρὸς ἐς φιλοτιμίαν· εἰπεῖν τε δυνατώτατος· καὶ ἐκ τῶνδε ὁμοῦ πάντων, γνωριμώτατος ἅπασι, δημαρχῶν· ἐσεμνολόγησε περὶ τοῦ Ἰταλικοῦ γένους· ὡς εὐπολεμωτάτου τε καὶ συγγενοῦς· φθειρομένου δὲ κατ᾽ ὀλίγον, εἰς ἀπορίαν καὶ ὀλιγανδρίαν· καὶ οὐδὲ ἐλπίδα ἔχοντος ἐς διόρθωσιν· ἐπὶ δὲ τῷ δουλικῷ δυσχεράνας, ὡς ἀστρατεύτῳ. καὶ οὔποτε ἐς δεσπότας πιστῷ, τὸ ἔναγχος ἐπήνεγκεν ἐν Σικελίᾳ δεσποτῶν πάθος, ὑπὸ θεραπόντων γενόμενον· ηὐξημένων κἀκείνων ἀπὸ γεωργίας· καὶ τὸν ἐπ᾽ αὐτοὺς Ῥωμαίων πόλεμον, οὐ ῥᾴδιον οὐδὲ βραχύν· ἀλλὰ ἔς τε μῆκος χρόνου, καὶ τροπὰς κινδύνων ποικίλας ἐκτραπέντα· ταῦτα δὲ εἰπὼν, ἀνεκαίνιζε τὸν νόμον· μηδένα τῶν πεντακοσίων πλέθρων πλέον ἔχειν· παισὶ δ᾽ αὐτῶν, ὑπὲρ τὸν παλαιὸν νόμον, προσετίθει τὰ ἡμίσεα τούτων· καὶ τὴν λοιπὴν, τρεῖς αἱρετοὺς ἄνδρας· ἐναλλασσομένους κατ᾽ ἔτος, διανέμειν τοῖς πένησι· τοῦτο δ᾽ ἦν ὃ μάλιστα ἠνώχλει τοὺς πλουσίους· οὐ δυναμένους ἔτι ὡς πρότερον τοῦ νόμου καταφρονεῖν διὰ τοὺς διαιροῦντας· οὐδὲ ὠνεῖσθαι παρὰ τῶν κληρουμένων· ὁ γάρ τοι Γράκχος καὶ τόδε προϊδόμενος, ἀπηγόρευε μὴ πωλεῖν· συνιστάμενοι δὴ κατὰ σφᾶς, ὠλοφύροντο· καὶ προύφερον τοῖς πένησιν, ἀρχαῖά τε ἔργα ἑαυτῶν· καὶ φυτὰ· καὶ οἰκοδομίας· καί τινες τιμὴν, ἐνίοις δεδομένην γείτοσιν· εἰ καὶ τοῦτο μετὰ τῆς γῆς ἀπολέσουσι· τάφους τε ἔνιοι πατέρων ἐν τῇ γῇ· καὶ διαιρέσεις ἐπὶ τοῖς κλήροις ὡς πατρῴοις· οἱ δὲ, καὶ προῖκας γυναικῶν ἐς ταῦτα ἀνηλω-

μένας. ἢ τὴν γῆν, παισὶν ἐν προικὶ δεδομένην· δανεισταί τε χρέα καὶ ταύτης ἐπεδείκνυον· καὶ ἄκοσμος ἦν ὀλοφυρμὸς καὶ ἀγανάκτησις· οἱ δ᾽ αὖ πένητες, ἀντωδύροντο, ἐξ εὐπορίας ἐς πενίαν ἐσχάτην· καὶ ἀπ᾽ αὐτῆς ἐς ἀτεκνίαν· οὐ δυνάμενοι παιδοτροφεῖν, περιφέρεσθαι· στρατείας τε ὅσας στρατεύσαιντο τὴν γῆν τήνδε περιποιούμενοι, κατέλεγον· καὶ ἠγανάκτουν, εἰ τῶν κοινῶν ἀποστεροῖντο· ὠνείδιζόν τε ἅμα αὐτοῖς, αἱρουμένοις ἀντὶ ἐλευθέρων καὶ πολιτῶν καὶ στρατιωτῶν, θεράποντας, ἄπιστον ἔθνος· καὶ δυσμενὲς αἰεί· καὶ διὰ τοῦτο ἀστράτευτον· τοιαῦθ᾽ ἑκατέρων ὀδυρομένων τε καὶ ἀλλήλοις ἐπικαλούντων, πλῆθος ἄλλο, ὅσον ἐν ταῖς ἀποικίσι πόλεσιν. ἢ ταῖς ἰσοπολίτισιν. ἢ ἄλλως ἐκοινώνει τῆσδε τῆς γῆς, δεδιότες ὁμοίως ἐπῄεσαν· καὶ ἐς ἑκατέρους αὐτῶν διεμερίζοντο· πλήθει τε θαρροῦντες, ἐξετραχύνοντο· καὶ στάσεις ἐξάπτοντες ἀμέτρους, τὴν δοκιμασίαν τοῦ νόμου περιέμενον· οἱ μὲν, ὡς οὐδενὶ τρόπῳ συγχωρήσοντες αὐτὸν γενέσθαι κύριον· οἱ δ᾽ ὡς κυρώσοντες ἐξ ἅπαντος· φιλονεικία δὲ ἑκατέροις προσεπῆν ἐπὶ τῇ χρείᾳ· καὶ ἐς τὴν κυρίαν ἡμέραν, παρεσκευάζοντο κατ᾽ ἀλλήλων· Γράκχῳ δ᾽ ὁ νοῦς τοῦ βουλεύματος ἦν, οὐκ ἐς εὐπορίαν· ἀλλ᾽ ἐς εὐανδρίαν· τοῦ δὲ ἔργου τῇ ὠφελείᾳ μάλιστα αἰωρούμενος· καὶ ὡς οὔ τι μεῖζον οὐδὲ λαμπρότερον ἡ δυναμένης ποτὲ παθεῖν τῆς Ἰταλίας, τοῦ περὶ αὐτὸ δυσχεροῦς, οὐδὲν ἐνεθυμεῖτο· ἐνστάσης δὲ τῆς χειροτονίας, πολλὰ μὲν ἄλλα προεῖπεν ἐπαγωγὰ καὶ μακρά. διηρώτα δὲ ἐκείνους, εἰ δίκαιον τὰ κοινὰ κοινῇ διανέμεσθαι· καὶ εἰ συγγενέστερος αἰεὶ θεράποντος, ὁ πολίτης· καὶ χρησιμώτερος, ὁ στρατιώτης, ἀπολέμου· καὶ τοῖς δημοσίοις εὐνούστερος, ὁ κοινωνός· οὐκ ἐς πολὺ δὲ τὴν σύγκρισιν ὡς ἄδοξον ἐπενεγκών, αὖθις ἐπῄει τὰς τῆς πατρίδος ἐλπίδας καὶ φόβους διεξιών· ὅτι πλείστης γῆς ἐκ πολέμου βίᾳ κατέχοντες· καὶ τὴν λοιπὴν τῆς οἰκουμένης χώρας ἐν ἐλπίδι ἔχοντες, κινδυνεύουσιν ἐν τῷδε περὶ ἁπάντων· ἢ κτήσασθαι καὶ τὴν λοιπὴν δι᾽ εὐανδρίαν, ἢ καὶ τάδε δι᾽ ἀσθένειαν καὶ φθόνον, ὑπὸ ἐχθρῶν ἀφαιρεθῆναι· ὧν, τὸ μὲν, τὴν δόξαν καὶ εὐπορίαν· τὸ δὲ, τὸν κίνδυνον καὶ φόβον ὑπερβαλὼν, ἐκέλευε τοὺς πλουσίους ἐνθυμουμένους ταῦτα, ἐπιδοῦναι μὲν εἰ δέοι παρὰ σφῶν αὐτῶν, τήνδε τὴν γῆν, ἐς τὰς μελλούσας ἐλπίδας τοῖς παιδοτροφοῦσι χαρίζεσθαι· καὶ μὴ ἐν ᾧ περὶ μικρῶν διαφέρονται, τῶν πλειόνων ὑπεριδεῖν· μισθὸν ἅμα τῆς πεπονημένης ἐργασίας αὐτάρκη φερομένους, τὴν ἐξαίρετον ἄνευ τιμῆς κτῆσιν, ἐς ἀεὶ, βέβαιον ἑκάστῳ πεντακοσίων πλέθρων, καὶ παισὶν οἷς εἰσὶ παῖδες ἑκάστῳ καὶ τούτων τὰ ἡμίσεα·

τοιαῦτα πολλὰ ὁ Γράγχος εἰπών, τοὺς πένητας, καὶ ὅσοι ἄλλοι πειθοῖ μᾶλλον
ἢ τῷ πόθῳ τῆς κτήσεως ἐχρῶντο, ἐρεθίσας, ἐκέλευε τῷ γραμματεῖ τὸν νόμον
ἀναγνῶναι. Μᾶρκος δὲ Ὀκτάουιος δήμαρχος ἕτερος ὑπὸ τῶν κτηματικῶν
διακωλύειν παρεσκευασμένος, καὶ ὢν ἀεὶ παρὰ Ῥωμαίοις ὁ κωλύειν
δυνατώτερος, ἐκέλευε τὸν γραμματέα σιγᾶν. καὶ τότε μὲν αὐτῷ πολλὰ
μεμψάμενος ὁ Γράγχος, ἐς τὴν ἐπιοῦσαν ἀγορὰν ἀνετίθετο. φυλακήν τε παρα-
στησάμενος ἱκανήν, ὡς καὶ ἄκοντα βιασόμενος Ὀκτάουιον, ἐκέλευε σὺν
ἀπειλῇ τῷ γραμματεῖ, τὸν νόμον ἐς τὸ πλῆθος ἀναγινώσκειν. καὶ ὁ μὲν ἀνεγί-
γνωσκε· καὶ Ὀκταουΐου κωλύοντος, ἐσιώπα. λοιδοριῶν δὲ τοῖς δημάρ-
χοις ἐς ἀλλήλους γιγνομένων, καὶ τοῦ δήμου θορυβοῦντος ἱκανῶς, οἱ δυνατοὶ
τοὺς δημάρχους ἠξίουν ἐπιτρέψαι τῇ βουλῇ περὶ ὧν διαφέρονται. καὶ
ὁ Γράγχος ἁρπάσας τὴν γνώμην, ὡς δὴ πάσῃ τοῖς εὖ φρονοῦσιν ἀρέσοντος τοῦ
νόμου, διέτρεχεν ἐς τὸ βουλευτήριον. ἐκεῖ δὲ ὡς ὑπ' ὀλίγοις ὑβριζόμενος,
ὑπὸ τῶν πλουσίων, αὖθις ἐκδραμὼν ἐς τὴν ἀγοράν, ἔφη διαψήφισιν
προθήσειν ἐς τὴν ἐπιοῦσαν ἀγοράν, περί τε τοῦ νόμου καὶ τῆς ἀρχῆς τῆς
Ὀκταουΐου, εἰ χρὴ δήμαρχον ἀντιπράττοντα τῷ δήμῳ τὴν ἀρχὴν
ἐπέχειν. καὶ ἔπραξεν οὕτως· ἐπεί τε γὰρ ὁ Ὀκτάουιος οὐδὲν καταπλαγείς,
αὖθις ἐνίστατο. ὁ δέ, προτέραν τὴν περὶ αὐτοῦ ψῆφον ἀνεδίδου, καὶ τῆς
πρώτης φυλῆς καταψηφισαμένης τὴν ἀρχὴν τὸν Ὀκτάουιον ἀποθέσθαι,
ἐπιστραφεὶς πρὸς αὐτὸν ὁ Γράγχος, ἐδεῖτο μεταθέσθαι. οὐ πειθομένου δὲ
τὰς ἄλλας ψήφους ἐπῆγε. οὐσῶν δὲ τότε φυλῶν πέντε καὶ τριάκοντα,
καὶ συνδραμουσῶν ἐς τὸ αὐτὸ σὺν ὀργῇ, τῶν προτέρων ἑπτακαίδεκα· ἡ μὲν
ὀκτωκαιδεκάτη τὸ κῦρος ἔμελλεν ἐπιθήσειν. ὁ δὲ Γράγχος αὖθις ἐν
ὄψει τοῦ δήμου τότε μάλιστα κινδυνεύοντι τῷ Ὀκταουΐῳ, λιπαρῶς ἐνέ-
κειτο μὴ ἔργον ὁσιώτατον καὶ χρησιμώτατον Ἰταλίᾳ πάσῃ συγχέαι· μη-
δὲ σπουδὴν τοῦ δήμου τοσήνδε ἀνατρέψαι, ᾧ τι καὶ παρενδοῦναι προθυ-
μουμένῳ, δημαρχοῦντα ἥρμοζε. μηδ' αὐτοῦ τὴν ἀρχὴν ἀφαιρουμένην
περιιδεῖν ἐπὶ καταγνώσει. καὶ τοιάδε λέγων, καὶ θεοὺς μαρτυρόμενος, ἄκων
ἄνδρα συνάρχοντα ἀτιμοῦν, ὡς οὐκ ἔπειθεν, ἐπῆγε τὴν ψῆφον. καὶ ὁ μὲν
Ὀκτάουιος αὐτίκα ἰδιώτης γενόμενος, διαλαθὼν ἀπεδίδρασκε. Κόιντος
δὲ Μούμμιος ἀντ' αὐτοῦ δήμαρχος ᾕρητο. καὶ ὁ νόμος ὁ περὶ τῆς γῆς
ἐκεκύρωτο. διανέμειν τε αὐτὴν ἐχειροτονήθησαν πρῶτοι, Γράγχος αὐτὸς

ὁ νομοθέτης καὶ ἀδελφὸς ὁμώνυμος ἐκείνῳ. καὶ ὁ κηδεστὴς τοῦ νομοθέτου
Κλαύδιος Ἄππιος. πάνυ τοῦ δήμου. καὶ ὡς δεδιότος μὴ τὸ ἔργον
ἐκλειφθείη τοῦ νόμου, εἰ μὴ Γράγχος αὐτοῦ σὺν ὅλῃ τῇ οἰκίᾳ κατάρχοιτο.
Γράγχος δὲ μεγαλαυχούμενος ἐπὶ τῷ νόμῳ καὶ ὑπὸ τοῦ πλήθους οἷα δὴ
κτίστης οὐ μιᾶς πόλεως οὐδὲ ἑνὸς γένους, ἀλλὰ πάντων ὅσα ἐν Ἰταλίᾳ ἔθνη, ἐς
τὴν οἰκίαν παρεπέμπετο. καὶ μετὰ ταῦθ' οἱ μὲν ἐκκρατηκότες, ἐς τοὺς ἀγροὺς ἀπε-
χώρουν ὅθεν ἐπὶ ταῦτα ἐληλύθεσαν. οἱ δὲ ἡσσημένοι δυσφοροῦντες ἔτι παρέ-
μενον. καὶ ἐλογοποίουν οὐ χαιρήσειν Γράγχον αὐτίκα ὅτε γένοιτο ἰδιώτης, ἀρ-
χήν τε ὑβρίσαντα ἱερὰν καὶ ἄσυλον, καὶ στάσεως τοσήνδε ἀφορμὴν ἐς τὴν Ἰταλίαν
ἐμβαλόντα. θέρος δὴ ἦν ἤδη. καὶ προγραφαὶ δημάρχων ἐς τὸ μέλλον. καὶ οἱ πλού-
σιοι τῆς χειροτονίας πλησιαζούσης, ἄλλους σαφῶς ἦσαν ἐσπουδακότες ἐς τὴν ἀρχὴν
τοὺς μάλιστα Γράγχῳ πολεμίους. ὁ δὲ ἐγγὺς τοῦ κακοῦ γιγνομένου, δείσας εἰ μὴ καὶ
ἐς τὸ μέλλον ἔσοιτο δήμαρχος, συνεκάλει τοὺς ἐκ τῶν ἀγρῶν, ἐπὶ τὴν χειροτονίαν.
ἀσχολουμένων δὲ ἐκείνων ὡς ἐν θέρει, συνηγούμενος ὑπὸ τῆς προθεσμίας ὀλίγης
ἐς τὴν χειροτονίαν ἐπιούσης ἐπὶ τὸν ἐν τῷ ἄστει δῆμον κατέφυγε. καὶ περιιὼν κατὰ
μέρος ἕκαστον ἐδεῖτο δήμαρχον αὐτὸν ἐς τὸ μέλλον ἑλέσθαι, κινδυνεύοντα δι' ἐκείνους.
γιγνομένης δὲ τῆς χειροτονίας, δύο μὲν ἔφθασαν αἱ πρῶται φυλαὶ Γράγχον ἀποφῆναι.
τῶν δὲ πλουσίων ἐνισταμένων οὐκ ἔννομον εἶναι δὶς ἐφεξῆς τὸν αὐτὸν ἄρχειν, ὁ Ῥούβριος
δημάρχου τοῦ προεδρεύειν τῆς ἐκκλησίας ἐκείνης διαλαχόντος, ἐνδοιάζοντος
ἐπὶ τῷδε, Μούμμιος αὐτὸν ὁ ἐπὶ τῷ Ὀκταουΐῳ δημαρχεῖν ᾑρημένος, ἐκέλευεν
ἑαυτῷ τὴν ἐκκλησίαν ἐπιτρέψαι. ὁ μὲν ἐπέτρεψεν. οἱ δὲ λοιποὶ δήμαρχοι,
περὶ τῆς ἐπιστασίας ἠξίουν διακληροῦσθαι· Ῥουβρίου γὰρ τοῦ λαχόντος ἐκστάντος
αὖθις ἅπαντας τὴν διακλήρωσιν περιιέναι. ἔριδος δὲ καὶ ἐπὶ τῷδε πολλῆς
γενομένης, ὁ Γράγχος ἡττούμενος, τὴν μὲν χειροτονίαν ἐς τὴν ἐπιοῦσαν ἡμέ-
ραν ἀνετίθετο. πάντα δ' ἀπογνούς, ἐμελανειμόνει τε ἔτι ὢν ἄρχος. καὶ τὸ λοιπὸν
τῆς ἡμέρας, ἐν ἀγορᾷ τὸν υἱὸν ἐπάγων ἑκάστοις συνίστη καὶ παρετίθετο, ὡς αὐτὸς
ὑπὸ τῶν ἐχθρῶν αὐτίκα ἀπολούμενος. οἴκτου δὲ πολλοῦ συλλογισμῷ τῇ πενίᾳ
ἐπιλαμβάνοντος ὑπέρ τε σφῶν αὐτῶν ὡς οὐκ ἐν ἰσονόμῳ πολιτευσόντων ἔτι, ἀλλὰ
δουλευσόντων κατακράτος τοῖς πλουσίοις, καὶ ὑπὲρ αὐτοῦ Γράγχου, τοιαῦτα δεδιότος
τε καὶ πάσχοντος ὑπὲρ αὐτῶν, σύν τε οἰμωγῇ προπεμπόντων αὐτὸν ἁπάντων ἐπὶ τὴν
οἰκίαν ἑσπέρας, καὶ θαρρεῖν ἐς τὴν ἐπιοῦσαν ἡμέραν ἐπικελευόντων, ἀναθαρρήσας
ὁ Γράγχος, ἔτι νυκτὸς τοὺς στασιώτας συναγαγών, καὶ σημεῖον εἰ μάχης δεήσειεν

ἀποδεῖξαι, κατέλαβε τοῦ Καπιτωλίου τὸν νεών, ἔνθα χειροτονήσειν ἔμελλον.
καὶ μέσος τῆς ἐκκλησίας ἐνοχλούμενος ὑπὸ τῶν δημάρχων καὶ τῶν πλουσίων,
οὐκ ἐώντων ἀναδοθῆναι περὶ αὐτοῦ χειροτονίαν, ἀνέσχε τὸ σημεῖον. καὶ βοῆς
ἄφνω παρὰ τῶν συνειδότων γενομένης, χειρῶν τε ἦν ἤδη τὸ ἀπὸ τοῦδε.
καὶ τῶν Γράκχου οἱ μέν, αὐτὸν ἐφύλαττον οἷά τινες δορυφόροι· οἱ δέ, τὰ ἱ-
μάτια περιζωσάμενοι, ῥάβδους καὶ ξύλα τὰ ἐν χερσὶ τῶν ὑπηρετῶν ἁρπά-
σαντές τε καὶ διακλάσαντες ἐς πολλά, τοὺς πλουσίους ἐξήλαυνον ἀπὸ τῆς ἐκκλη-
σίας σὺν τοσῷδε ταράχῳ καὶ τραύμασιν, ὡς τούς τε δημάρχους δείσαντας διαφυγεῖν
ἐκ μέσου, καὶ τὸν νεὼν τοὺς ἱερέας ἐπικλεῖσαι. δρόμον τε πολλῶν ἀκόσμων εἶναι
καὶ φυγὴν καὶ λόγον οὐκ ἀκριβῆ· τῶν μέν, ὅτι καὶ τοὺς ἄλλους δημάρχους ὁ Γράκχος
παραλύσειε τῆς ἀρχῆς· οὐ γὰρ ὁρωμένων αὐτῶν εἴκαζον οὕτως· τῶν δ' ὅτι αὐτὸς
ἑαυτὸν ἐς τὸ μέλλον δήμαρχον ἄνευ χειροτονίας ἀποφαίνει. γιγνομένων δὲ τούτων,
ἡ βουλὴ συνῆλθεν ἐς τὸ τῆς πίστεως ἱερόν. καί μοι θαῦμα καταφαίνεται, τὸ
πολλάκις ἐν τοιοῖσδε φόβοις διὰ τῆς αὐτοκράτορος ἀρχῆς διασεσωσμένους,
τότε μηδ' ἐπινοῆσαι δικτάτορα λαβεῖν. ἀλλὰ χρήσιμον ταῦτα τοῖς προτέροις τόδε
τὸ ἔργον εὑρεθέν, μηδὲ μνήμῃ τοῖς πολλοῖς ἐπαχθῆναι, μήτε τότε μήθ' ὕ-
στερον. κρίναντες δ' ὅσα ἔκριναν, ἐς τὸ Καπιτώλιον ἀνῄεσαν. καὶ πρῶτος αὐτοῖς
ὁ μέγιστος ἀρχιερεὺς λεγόμενος ἐξῆρχε τῆς ὁδοῦ, Κορνήλιος Σκιπίων ὁ Νασικᾶς,
ἐβόα τε μέγιστον ἕπεσθαι οἷς ἐθέλοντας σώζεσθαι τὴν πατρίδα. καὶ τὸ κράσπεδον
τοῦ ἱματίου τῇ κεφαλῇ περιεστείλατο· εἴτε τῷ παρασήμῳ τοῦ σχήματος πλέ-
ονας οἱ συντρέχειν ἐπισπώμενος, εἴτε πολέμου τι σύμβολον τοῖς ὁρῶσιν ὡς
κόρυθα ποιούμενος, εἴτε θεοῖς ἐγκαλυπτόμενος ὧν ἔμελλε δράσειν. ἀνελθὼν
δ' ἐς τὸ ἱερόν, καὶ τοῖς Γρακχίοις ἐπιδραμών, ἐξίσταντο ὡς κατ' ἀξίωσιν ἀνδρὸς ἀρί-
στου· καὶ τὴν βουλὴν ἅμα οἱ θεωροῦντες ἐπιοῦσαν· οἱ δέ, τὰ ξύλα τῶν Γρακχί-
ων αὐτῶν περισπάσαντες, ὅτε βάθρον ἢ ἄλλην παρασκευὴν ὡς ἐκκλησίαν συνε-
νηνεγμένην διαθραύσαντες, ἔπαιον αὐτοὺς καὶ ἐδίωκον. καὶ ἐς τὸ ἀπόκρημνον κατερρί-
πτουν. κἀν τῷδε τῷ κυδοιμῷ, πολλοί τε τῶν Γρακχίων καὶ Γράκχος αὐτὸς εἰλούμενος
περὶ τὸ ἱερόν, ἀνῃρέθη παρὰ τὰς θύρας παρὰ τοὺς τῶν βασιλέων ἀνδριάντας·
καὶ πάντας αὐτούς, νυκτὸς ἔρριψαν ἐς τὸ ῥεῦμα τοῦ ποταμοῦ. οὕτω μὲν δὴ Γράκχος
ὁ Γράκχου τοῦ δὶς ὑπατεύσαντος καὶ Κορνηλίας τῆς Σκιπίωνος τοῦ Καρχηδονίους
τὴν ἡγεμονίαν ἀφελομένου παῖς, ἀρίστου βουλεύματος ἕνεκα βιαίως αὐτὸ
προσιών, ἀνῄρητο ἔτι δημαρχῶν ἐν τῷ Καπιτωλίῳ. καὶ πρῶτον ἐν ἐκκλησίᾳ

τὸ δὲ μύσος γενόμενον, οὐ διέλιπεν ἀεί τινος ὁμοίου γιγνομένου παραδείγματος.
ἡ δὲ πόλις ἐπὶ τῷ Γράκχου φόνῳ διῄρητο ἐς λύπην καὶ ἡδονήν. οἱ μὲν ὀδυ-
ρόμενοι αὐτούς τε κἀκεῖνον καὶ τὰ παρόντα, ὡς οὐκέτι πολιτείαν ἀλλὰ χειρο-
κρατίαν καὶ βίαν· οἱ δ' ἐξειργάσθαι σφίσιν ἡγούμενοι πάνθ' ὅσα ἐβούλοντο. καὶ τάδε
μὲν ἦν ὅτε Ἀριστόνικος Ῥωμαίοις περὶ τῆς ἀρχῆς ἐπολέμει τῆς ἐν Ἀσίᾳ. ἀναιρε-
θέντος δὲ Γράκχου, καὶ τελευτήσαντος Ἀππίου Κλαυδίου, ἀντικαθίσταντο μὲν ἐς τὸ τὴν
γῆν ἅμα τῷ νεωτέρῳ Γράκχῳ διανέμειν, Φούλβιος Φλάκκος καὶ Παπίριος Κάρβων.
ἀμελούντων δὲ τῶν κεκτημένων αὐτὴν ἀπογράφεσθαι, καὶ κηρυττόντων ἐνδεικνύ-
ναι, καὶ ταχὺ πλῆθος ἦν δικῶν χαλεπῶν. ὅση γὰρ ἄλλη πλησίον [illegible] τῇδε ἐπε-
πρατο, ἢ τοῖς συμμάχοις ἐπιδιῄρητο, διὰ τὸ τῆσδε μέτρον ἐξητάζετο ἅπασα. ὅπη
τε ἐπέπρατο, καὶ ὅπως ἐπιδιῄρητο· οὔτε τὰ συμβόλαια, οὔτε τὰς κληρουχίας ἔτι ἐχόντων
ἁπάντων. ἃ δὲ καὶ ηὑρίσκετο, ἀμφίλογα ἦν. ἀναμετρουμένης τε αὐτῆς, οἱ μὲν
ἐκ πεφυτευμένης καὶ ἐπαύλεων, ἐς ψιλὴν μετετίθεντο· οἱ δὲ ἐξ ἐνεργῶν, ἐς ἀργὸν
ἢ λίμνας ἢ τέλματα· οὔτε τὴν ἀρχὴν ἐπὶ δορικτήτοις ἀκριβῆ πεποιημένοι καὶ τὸ κή-
ρυγμα τὴν ἀνέμητον ἐξεργάζεσθαι προλέγον, ἐπῆρε πολλούς, τὰ πλησίον ἐκπο-
νοῦντας τὴν ἑκατέρας ὄψιν συγχέαι. χρόνος τε ἐπελθὼν ἐνεόχμωσε πάντα. καὶ τὸ
τῶν πλουσίων ἀδίκημα καίπερ ὂν μέγα, δυσεπίγνωστον ἦν. καὶ οὐδὲν ἄλλο ἢ πάντων
ἀνάστασις ἐγίγνετο, μεταφερομένων τε καὶ μετοικιζομένων ἐς ἀλλότρια. ταῦτά τε
δή, καὶ τὰς ἐπὶ τούτοις τῶν δικαζόντων ἐπείξεις οὐ φέροντες οἱ Ἰταλιῶται, Κορνή-
λιον Σκιπίωνα ὃς Καρχηδόνα ἐπόρθησεν, ἠξίουν σφῶν ἀδικουμένων προ-
στάτην γενέσθαι. ὁ δὲ τοῖς πολέμοις αὐτοῖς κεχρημένος προθυμοτάτοις, ὑπεριδεῖν τε
ὤκνησε. καὶ παρελθὼν εἰς τὸ βουλευτήριον, τὸν μὲν Γράκχου νόμον οὐκ ἔψεγε
διὰ τὸν δῆμον σαφῶς· τὴν δὲ τούτου δυσχέρειαν ἐπεξιών, ἠξίου τὰς δίκας οὐκ
ἐπὶ τῶν διαιρούντων, ὡς ὑπόπτων τοῖς δικαζομένοις, ἀλλ' ἐφ' ἑτέρων λέγεσθαι.
ᾧ δὴ καὶ μάλιστα ἔπεισεν ὡς δοκοῦντι δικαίῳ. καὶ Τουδιτανὸς αὐτοῖς ὑπα-
τεύων, ἐδόθη δικάζειν. ἀλλ' ὁ μὲν ἁψάμενος τοῦ ἔργου καὶ τὴν δυσχέρειαν ἰδών,
ἐπὶ Ἰλλυριοὺς ἐστράτευε, πρόφασιν τήνδε ποιούμενος τοῦ μὴ δικάζειν·
οἱ δὲ τὴν γῆν διανέμοντες, οὐκ ἀπαντῶντος αὐτοῖς οὐδενὸς ἐς δίκην, ὑπ'
ἀργίας ἦσαν. καὶ μῖσος ἐντεῦθεν ἤρξατο ἐς τὸν Σκιπίωνα τοῦ δήμου καὶ ἀγα-
νάκτησις, ὅτι αὐτὸν ἀγαπήσαντες ἐπιφθόνως καὶ πολλὰ τοῖς δυνατοῖς ἐναντιω-
θέντα ὑπὲρ αὐτοῦ, ὕπατόν τε δὶς ἑλόμενοι παρανόμως, ὑπὲρ τῶν Ἰταλιωτῶν
ἀντιπολιτευόμενον σφίσιν ἑώρων. ταῦτά τε δόξαντα τοῦ Σκιπίωνος, οἱ πάνυ ἐχθροὶ

κατιδόντα, ἔδοξεν, ὡς λῦσαι τὸν Γράκχου νόμον ὅλως διεγνωκώς, μηδ' οἱ
πολλοὶ ἐπὶ τῷ δεινῷ ὅπλοις φόνον ἐργάσασθαι· ὧν ὁ δῆμος ἀκροώμενος,
ἐδεδίει, μέχρι ὁ Σκιπίων ἑσπέρας παραθέμενος ἑαυτῷ δέλτον, ἐς ἣν νυκτὸς
ἔμελλε γράψειν τὰ λεχθησόμενα ἐν τῷ δήμῳ, νεκρὸς ἄνευ τραύματος εὑρέθη·
εἴτε Κορνηλίας αὐτῷ τῆς Γράκχου μητρὸς ἐπιθεμένης, ἵνα μὴ ὁ Γράκχου νόμος λυ-
θείη· καὶ συλλαβούσης ἐς τοῦτο Σεμπρωνίας τῆς θυγατρός, ἣ τῷ Σκιπίωνι γαμου-
μένη, διὰ δυσμορφίαν καὶ ἀπαιδίαν, οὔτ' ἐστέργετο οὔτ' ἔστεργεν, εἴθ' ὥς ἔνιοι δο-
κοῦσιν, ἑκὼν ἀπέθανε· συνιδὼν ὅτι οὐκ ἔσοιτο δυνατὸς κατασχεῖν ὧν ὑπέ-
σχοιτο· εἰσὶ δ' οἳ βασανιζομένους φασὶ θεράποντας εἰπεῖν ὅτι αὐτὸν ξένοι διὰ
τῆς ὀπισθοδόμου νυκτὸς ἐπεισαχθέντες, ἀποπνίξαιεν· καὶ οἱ πυθόμενοι, ὀκνή-
σαιεν ἐξενεγκεῖν διὰ τὸν δῆμον· ὀργιζόμενον ἔτι καὶ τῷ θανάτῳ συνηδόμενον.
Σκιπίων μὲν δὴ τεθνήκει· καὶ οὐδὲ δημοσίας ταφῆς ἠξιοῦτο, μέγιστα δὴ τὴν ἡγε-
μονίαν ὠφελήκει· οὕτως ἡ παραυτίκα ὀργὴ, τῆς ποτὲ χάριτος ἐπικρατεῖ·
καὶ τόδε ὂν τηλικοῦτον, οἷα πάρεργον ἐπὶ τῇ Γράκχου στάσει συνέπεσε· τὴν δὲ
διαίρεσιν τῆς γῆς οἱ κεκτημένοι· καὶ ὣς ἐπὶ προφάσεσι ποικίλαις διέφερον
ἐπὶ πλεῖστον· καί τινες εἰσηγοῦντο τοὺς συμμάχους ἅπαντας· οἳ δὴ περὶ τῆς
γῆς μάλιστα ἀντέλεγον, ἐς τὴν Ῥωμαίων πολιτείαν ἀναγράψαι, ὡς μείζονι χάριτι
περὶ τῆς γῆς διοισομένους· καὶ ἐδέχοντο ἀσμένως τοῦθ' οἱ Ἰταλιῶται· προτι-
θέντες τῶν χωρίων τὴν πολιτείαν· συνέπρασσέ τε αὐτοῖς ἐς τοῦτο μάλιστα πάντων
Φούλβιος Φλάκκος ὑπατεύων ἅμα καὶ τὴν γῆν διανέμων· ἡ βουλὴ δὲ χαλεπαίνε
τοὺς ὑπηκόους σφῶν ἰσοπολίτας ποιήσασθαι· καὶ τόδε μὲν τὸ ἐγχείρημα, οὕτω
διελύθη· ὁ δῆμος ἐν ἐλπίδι τέως τῆς γῆς γενόμενος, ἠθύμει· ὧδε δὲ αὐτοῖς
ἔχουσιν, Κασσίου τε τῶν τὴν γῆν διαιρούντων ἐς δημαρχίαν, ἐπιφανὴς Γάιος
Γράκχος, ὁ Γράκχου τοῦ νομοθέτου νεώτερος ἀδελφός, καὶ πολὺν μὲν ἡσυχάσας ἐπὶ
τῇ τοῦ ἀδελφοῦ συμφορᾷ· πολλῶν δ' αὐτοῦ καταφρονούντων ἐν τῷ βουλευτηρίῳ,
παρήγγειλεν ἐς δημαρχίαν· καὶ περιφανέστατα αἱρεθεὶς, εὐθὺς ἐπεβούλευε τῇ
βουλῇ· σιτηρέσιον ἔμμηνον ὁρίσας ἑκάστῳ τῶν δημοτῶν ἀπὸ τῶν κοινῶν χρη-
μάτων· οὐ πρότερον εἰωθὸς διαδίδοσθαι· καὶ ὁ μὲν, ὀξέως οὕτως ἐνὶ πολιτεύ-
ματι τὸν δῆμον ὑπηγάγετο· συμπράξαντος αὐτῷ Φουλβίου Φλάκκου· καὶ
αὖθις ἐπὶ τῷ δὲ καὶ τὸ μέλλον ᾑρέθη δημαρχεῖν· καὶ γάρ τις ἤδη νόμος κεκύρωτο·
εἰ δήμαρχος ἐνδέοι ταῖς παραγγελίαις, τὸν δῆμον ἐκ πάντων ἐπιλέγεσθαι· ὁ μὲν
δὴ Γάιος Γράκχος, οὕτως ἐδημάρχει τὸ δεύτερον· οἷα δὲ ἔχων τὸν δῆμον ἐμμίσθον,

ὑπήγετο καὶ τοὺς καλουμένους ἱππέας· οἳ τὴν ἀξίωσιν εἰσὶ τῆς βουλῆς καὶ τῶν
βουλευτῶν ἐν μέσῳ, ἑτέρου τοιοῦδε πολιτεύματος· τὰ δικαστήρια ἀδο-
ξοῦντα ἐπὶ δωροδοκίαις, ἐς τοὺς ἱππέας ἀπὸ τῶν βουλευτῶν μετέφερε, τὰ
ὑπόγυια μάλιστα αὐτοῖς ὀνειδίζων· ὅτι Κορνήλιος Κόττας· καὶ Σαλινάτωρ· καὶ
τρίτος ἐπὶ τούτοις Μάνιος Ἀκύλιος ὁ τὴν Ἀσίαν ἑλών, σαφῶς δεδωροδοκηκότες,
ἀφείθησαν ὑπὸ τῶν δικαστῶν· οἵ τε πρέσβεις οἱ κατ' αὐτῶν ἔτι παρόντες, σὺν φθό-
νῳ ταῦτα περιιόντες ἐκεκράγεσαν· ἃ δὴ ἡ βουλὴ μάλιστα αἰδουμένη, ἐς τὸν
νόμον ἐνεδίδου· καὶ ὁ δῆμος αὐτὸν ἐκύρου· καὶ μετηνέχθη μὲν ὧδε ἐς τοὺς ἱππέας
ἀπὸ τῆς βουλῆς τὰ δικαστήρια· φασὶ δὲ, κυρωθέντος ἄρτι τοῦ νόμου, τὸν Γράκχον
εἰπεῖν, ὅτι ἀθρόως τὴν βουλὴν καθῃρήκοι· τοῦ δὲ ἔργου προϊόντος ἐς πεῖραν, μᾶλλον
ἐπιεκφανῆναι τὸ ἔπος τοῦ Γράκχου· τὸ γὰρ δικάζειν αὐτοὺς, Ῥωμαίοις καὶ Ἰταλι-
ώταις ἅπασι, καὶ αὐτοῖς βουλευταῖς ἐπὶ παντὶ μέτρῳ, χρημάτων τε πέρι καὶ ἀτιμίας
καὶ φυγῆς, τοὺς μὲν ἱππέας οἷα τινὰς ἄρχοντας αὐτῶν ὑπερῆρε· τοὺς δὲ βουλευτάς,
ἴσα καὶ ὑπηκόους ἐποίει· συνιστάμενοί τε τοῖς δημάρχοις οἱ ἱππεῖς ἐς τὰς χειρο-
τονίας· καὶ ἀντιλαμβάνοντες παρ' αὐτῶν ὅ τι θέλοιεν, ἐπὶ μέγα φόβον τοῖς βουλευταῖς
ἐχώρουν· ταχύ τε περιήνεκτο ἀνεστράφθαι τὸ κράτος τῆς πολιτείας· τὴν μὲν ἀξίωσιν μόνην
ἔτι τῆς βουλῆς ἐχούσης· τὴν δὲ δύναμιν, τῶν ἱππέων· προϊόντες γὰρ οὐκ ἐς δυνα-
στείαν μόνον, ἀλλὰ καὶ σαφῶς ἐνύβριζον τοῖς βουλευταῖς παρὰ τὰς δίκας· καὶ
δωροδοκιῶν μεταλαβόντες, καὶ γευσάμενοι καὶ οἵδε κερδῶν ἀθρόων, αἰσχρό-
τερον ἔτι καὶ ἀμετρότερον αὐτοῖς ἐχρῶντο· κατηγόρους τε ἐγκαθέτους ἐπὶ τοῖς
πλουσίοις ἐπῆγοντο· καὶ τὰς τῶν δωροδοκιῶν δίκας συνιστάμενοι σφίσιν αὐτοῖς
καὶ βιαζόμενοι, παντάπασιν ἀνῄρουν· ὡς καὶ τὸ ἔθος ὅλως τῆς τοιᾶσδε εὐθύνης ἐπι-
λιπεῖν· καὶ στάσιν ἄλλην τὸν δικαστικὸν νόμον, οὐκ ἐλάσσω τῶν προτέρων πολὺ
παρασχεῖν· ὁ δὲ Γράκχος, καὶ ὁδοὺς ἔτεμνεν ἀνὰ τὴν Ἰταλίαν μακράς· πλῆθος ἐρ-
γολάβων καὶ χειροτεχνῶν ὑφ' ἑαυτῷ ποιούμενος, ἑτοίμων ἐς ὅ τι κελεύοι· καὶ ἀποικί-
ας συνήγετο πολλάς· καὶ τοὺς Λατίνους ἐπὶ πάντα ἐκάλει τὰ Ῥωμαίων· ὡς οὐκ εὐπρεπῶς
συγγενέσι τῆς βουλῆς ἀντιστῆναι δυναμένης· τῶν τε ἑτέρων συμμάχων, οἷς οὐκ ἐξῆν
ψῆφον ἐν ταῖς Ῥωμαίων χειροτονίαις φέρειν, ἐδίδου φέρειν ἀπὸ τοῦδε· ἐπιτέχνη-
καὶ τοῖς δὲ ἐν ταῖς χειροτονίαις τῶν νόμων, αὐτοὺς συνεῖναι σπεύδοντας· ᾧ δὴ μάλιστα ἡ βουλὴ
διαταραχθεῖσα, τοῖς ὑπάτοις ἐκέλευσε προγράψαι, μηδένα τῶν οὐ φερόντων ψῆφον
ἐπιδημεῖν τῇ πόλει· μηδὲ προσπελάζειν ἀπὸ τεσσαράκοντα σταδίων παρὰ
τὴν ἔκθεσιν ἐπὶ τῶν δὲ τῶν νόμων χειροτονιῶν· Λίβιόν τε Δροῦσον ἕτερον δή-

δήμαρχον ἐπισκωλῦσαι τὸν Γράκχου νόμον· οὐκ ἐπιλέγοντα τῷ δήμῳ τὰς αἰτίας· δέδοται δὲ τῷ κωλύοντι μηδὲ ἐπιλέγειν. ἔδωκάν τε αὐτῷ φιλανθρωπεύσασθαι τὸν δῆμον δώδεκα ἀποικίαις· ᾧ δὴ καὶ μάλιστα ὁ δῆμος ἡσθεὶς τῶν Γράκχου νόμων κατεφρόνησεν. ὁ δὲ τοῦ δημοκοπήματος ἐκπεσὼν ἐς Λιβύην ἅμα Φουλβίῳ Φλάκκῳ κἀκείνῳ μεθ' ὑπατείαν διὰ τάδε δημαρχεῖν ᾑρημένῳ διέπλευσεν. ἐψηφισμένης κατὰ δόξαν εὐκαρπίας ἐς Λιβύην ἀποικίας· καὶ τῶνδε αὐτῶν οἰκιστῶν ἐπίτηδες ᾑρημένων· ἵνα μικρὰ ἀποδημούντων ἀναπαύσαιτο ἡ βουλὴ τῆς δημοκοπίας. οἱ δὲ τῇ ἀποικίᾳ τὴν πόλιν διέγραφον, ἔνθα ποτὲ ἦν ἡ Καρχηδών· οὐδὲν φροντίσαντες, ὅτι Σκιπίων αὐτὴν ὅτε κατέσκαπτεν, ἐπηράσατο ἐς ἀεὶ μηλόβοτον εἶναι. διέγραφον δὲ ἐς ἑξακισχιλίους ἀντὶ ἐλαττόνων τῶν ἐν τῷ νόμῳ, ὡς καὶ τῷδε τὸν δῆμον ὑπαξόμενοι. ἐπανελθόντες τε ἐς Ῥώμην συνεκάλουν ἐξ ὅλης Ἰταλίας τοὺς ἑξακισχιλίους. ἐπιστειλάντων δὲ τῶν ἐν Λιβύῃ τὴν πόλιν ἔτι διαγραφόντων, ὅτι λύκοι τοὺς ὅρους Γράκχου τε καὶ Φουλβίου διέρριψαν ἀνασπάσαντες· καὶ τῶν μάντεων τὴν ἀποικίαν ἡγουμένων ἀπαισιώτερον, ἡ μὲν βουλὴ προέγραφεν ἐκκλησίαν, ἐν ᾗ τὸν νόμον ἔμελλε τὸν περὶ τῆς ἀποικίας λύσειν. ὁ δὲ Γράκχος καὶ ὁ Φούλβιος ἐπεὶ καὶ τοῦδε ἐξέπιπτον, μεμηνόσιν ἐοικότες ἐψεῦσθαι τὴν βουλὴν ἔφασκον περὶ τῶν λύκων· οἵ τε θρασύτατοι τῶν δημοτῶν αὐτοῖς συνελάμβανον· ἐγχειρίδια φέροντες ἐς τὸ Καπιτώλιον· οὗ περὶ τῆς ἀποικίας ἐκκλησιάσειν ἔμελλον. ἤδη δὲ τοῦ δήμου συνειλεγμένου καὶ Φουλβίου τι περὶ τούτου ἀρχομένου λέγειν, ὁ Γράκχος ἀνέβαινεν ἐς τὸ Καπιτώλιον· ὑπὸ τῶν συνθεμένων δορυφορούμενος· ἐνοχλούμενος δ' ὑπὸ τοῦ συνειδότος ὡς ἐπὶ ἀλλοκότοις βουλεύμασι, τὴν μὲν σύνοδον τῆς ἐκκλησίας ἀπέκλινεν· ἐς δὲ τὴν στοὰν παρελθὼν ἐβάδιζεν ἐφεδρεύων παρεσομένοις. καὶ αὐτὸν οὕτως ἔχοντα θορυβούμενον κατιδὼν δημότης ἀνὴρ Ἀντύλλος ἐν τῇ στοᾷ θύων, ἐμβαλὼν τὴν χεῖρα ἤτοι πυθόμενος ἢ ὑποπτεύων, ἢ ἄλλως ἐς τὸν λόγον ὑπαχθείς, ἱκέτευεν φείσασθαι τῆς πατρίδος. ὁ δὲ μᾶλλον τε θορυβηθεὶς καὶ δείσας ὡς κατάφωρος, ἔβλεψεν αὐτῷ δριμύ. καί τις τῶν παρόντων οὔτε σημείου τινὸς ἀρθέντος οὔτε προστάγματος προγεγονότος, ἐκ μόνης τῆς ἐς τὸν Ἀντύλλον Γράκχου δριμύτητος εἰκάσας ἤδη τὸν καιρὸν ἥκειν, καὶ χαριεῖσθαί τι τῷ Γράκχῳ δόξας προώτος ἐξάρξας ἔργου, τὸ ἐγχειρίδιον ἐπισπάσας, διαχειρίζεται τὸν Ἀντύλλον. βοῆς δὲ γενομένης καὶ σώματος ὀφθέντος ἐν

μέσῳ νεκροῦ, πάντες ἐκ τοῦ ἱεροῦ κατεπήδων συνεχόμενοι καὶ φοβούμενοι. Γράκχος δὲ ἐς τὴν ἀγορὰν ἀνελθών, ἐβούλετο μὲν αὐτοῖς ἐκλογίσασθαι περὶ τοῦ γεγονότος· οὐδενὸς δ' αὐτὸν οὐδ' ἐφισταμένου, ἀλλ' ὡς ἐναγῆ πάντων ἐκτρεπομένων, ὁ μὲν Γράκχος καὶ ὁ Φλάκκος ἀπορούμενοι καὶ τὸν καιρὸν ὧν ἐβούλοντο φθάσαι τῇ ἐγχειρήσει ἀπολωλεκότες, ἐς τὰς οἰκίας διέτρεχον· καὶ οἱ συνθέμενοι αὐτοῖς, σὺν ἐσθῆσιν αὐτάς. τὸ δ' ἄλλο πλῆθος ἐκ μέσων νυκτῶν ὡς ἐπὶ δή τινι κακῷ, τὴν ἀγορὰν προκατελάμβανον. καὶ ὃς ἐπεδήμει τῶν ὑπάτων Ὀπίμιος, διέταξε μέν τινας ἐνόπλους ἐς τὸ Καπιτώλιον ἅμα ἕῳ συνιέναι· καὶ τὴν βουλὴν διὰ κηρύκων συνεκάλει. αὐτὸς δὲ ἐν μέσῳ πάντων ἐν τῷ ναῷ τῶν Διοσκούρων ἐφήδρευε τοῖς ἐσομένοις. τὰ δὲ ἦν τοιάδε. ἡ μὲν βουλὴ Γράκχον καὶ Φλάκκον ἐκ τῶν οἰκιῶν ἐς ἀπολογίαν ἐς τὸ βουλευτήριον ἐκάλουν. οἱ δέ, σὺν ὅπλοις ἐξέθεον ἐπὶ τὸν Ἀβεντῖνον λόφον· ἐλπίσαντες εἰ τόνδε προλάβοιεν, ἐνδώσειν πρὸς τὰς συνθήκας αὐτοῖς τὴν βουλήν. διαθέοντές τε τοὺς θεράποντας συνεκάλουν ἐπ' ἐλευθερίᾳ. καὶ τῶνδε μὲν οὐδεὶς ὑπήκουεν· αὐτοὶ δὲ σὺν οἷς εἶχον ἀμφ' αὑτοὺς τὸ Ἀρτεμίσιον καταλαβόντες, ἐκρατύνοντο. καὶ Κόιντον τὸν Φλάκκου παῖδα ἐς τὴν βουλὴν ἔπεμπον δεόμενοι διαλλαγῶν τυχεῖν καὶ βιοῦν μεθ' ὁμονοίας. οἱ δὲ ἐκήρυσσον αὐτοῖς ἀποθεμένοις τὰ ὅπλα, ἥκειν ἐς τὸ βουλευτήριον καὶ λέγειν ὅ,τι θέλοιεν· ἢ μηκέτι πέμπειν μηδένα. τῶν δ' αὖθις τὸν Κόιντον ἐπιπεμψάντων, τὸν μὲν ὁ Ὀπίμιος ὁ ὕπατος διὰ τὴν προαγόρευσιν ὡς οὐκέτι πρεσβευτὴν ὄντα, συνελάμβανε· τοῖς δὲ περὶ τὸν Γράκχον, τοὺς ὡπλισμένους ἐπέπεμπε. καὶ Γράκχος μὲν διὰ τῆς ξυλίνης γεφύρας, ἐς τὸ πέραν τοῦ ποταμοῦ καταφυγὼν ἐς ἄλσος τι μεθ' ἑνὸς θεράποντος, ὑπέσχε τῷ θεράποντι τὴν σφαγήν, καταλαμβανόμενος. Φλάκκου δὲ ἐς ἐργαστήριον ἀνδρὸς γνωρίμου καταφυγόντος, οἱ μὲν διώκοντες, τὴν οἰκίαν οὐκ εἰδότες, ὅλον ἐμπρήσειν τὸν στενωπὸν ἠπείλουν. ὁ δ' ὑποδεξάμενος, αὐτὸς μὲν ὤκνησε μηνῦσαι τὸν ἱκέτην. ἑτέρῳ δὲ προσέταξε μηνῦσαι. καὶ συλληφθεὶς ὁ Φλάκκος ἀνῃρέθη. Γράκχου μὲν δὴ καὶ Φλάκκου τὰς κεφαλὰς ἔφερόν τινες Ὀπιμίῳ· καὶ αὐτοῖς ὁ Ὀπίμιος ἰσοβαρὲς χρυσίον ἀντέδωκεν. ὁ δὲ δῆμος αὐτῶν τὰς οἰκίας διήρπαζε. καὶ τοὺς συμφρονήσαντας ὁ Ὀπίμιος συλλαβών, ἐς τὴν φυλακὴν ἐνέβαλλέ τε, καὶ ἀποπνιγῆναι προσέταξε. Κόιντον δὲ τὸν Φλάκκου παῖδα συνεχώρησεν ἀποθανεῖν ὡς ἐθέλοι. καὶ τὴν πόλιν ἐπὶ τοῖς φόνοις ἐκάθηρεν. ἡ δὲ βουλὴ, καὶ νεὼν ὁμονοίας αὐτὸν ἐν ἀγορᾷ προσέταξεν ἐγεῖραι. καὶ ἡ στάσις ἡ τοῦ δευτέρου Γράκχου, ἐς τάδε ἔληγε. νόμος τε οὐ πολὺ ὕστερον

ἐκυρώθη, τὴν γῆν ὑπὲρ ἧς διεφέροντο, ἐξεῖναι πιπράσκειν τοῖς ἔχουσιν· ἀπεί-
ρητο γὰρ ἐκ Γράκχου τοῦ προτέρου καὶ τόδε· καὶ εὐθὺς οἱ πλούσιοι παρὰ τῶν πενή-
των ἐωνοῦντο ἢ ταῖσδε ταῖς προφάσεσιν ἐβιάζοντο· καὶ περιῄει ἐς χεῖρον ἔτι τοῖς
πένησι, μέχρι Σπούριος Βόριος δημαρχῶν εἰσηγήσατο νόμον· τὴν μὲν γῆν μηκέτι
διανέμειν, ἀλλ' εἶναι τῶν ἐχόντων, φόρους δ' ὑπὲρ αὐτῆς τῷ δήμῳ κατατίθεσθαι· καὶ
τάδε τὰ χρήματα χωρεῖν ἐς διανομάς· ὅπερ ἦν μέν τις τοῖς πένησι παρηγορία,
διὰ τὰς διανομάς· ὄφελος δ' οὐδὲν ἐς πολυπληθίαν· ἅπαξ δὲ τοῖς σοφίσμασι τοῖσδε
τοῦ Γρακχείου νόμου παραλυθέντος, ἀρίστου καὶ ὠφελιμωτάτου, εἰ ἐδύνατο πραχθῆναι
γενομένου, καὶ τοὺς φόρους οὐ πολὺ ὕστερον διέλυσε δήμαρχος ἕτερος· καὶ ὁ δῆμος ἀθρό-
ως ἁπάντων ἐξεπεπτώκει· ὅθεν ἐσπάνιζον ἔτι μᾶλλον ὁμοῦ πολιτῶν τε καὶ στρατιωτῶν
καὶ γῆς προσόδου καὶ διανομῶν καὶ νόμων· πεντεκαίδεκα μάλιστα ἔτεσιν ἀπὸ τῆς
Γράκχου νομοθεσίας, ἐπὶ δίκαις ὄντες ἀργίᾳ γεγονότες· τῷ δ' αὐτῷ χρόνῳ Σκηπίων ὕπατος
καθῄρει τὸ θέατρον· οὗ Λεύκιος Κάσσιος ἦρκτο, καὶ ἤδη τέλος ἐλάμβανεν, ὡς καὶ τόδε
στάσεων ἄρξον ἑτέρων· ἢ οὐ χρήσιμον ὅλως Ἑλληνικαῖς ἡδυπαθείαις Ῥωμαίους ἐθίζεσθαι·
τιμητὰς δὲ Κόιντος Κεκίλιος Μέτελλος Γλαυκίαν τε βουλεύοντα καὶ Ἀπουλήιον Σατο-
ρνῖνον δεδημαρχηκότα ἤδη, τῆς ἀξιώσεως παρέλυεν, αἰσχρῶς βιοῦντας· οὐ μὴν ἐδυνή-
θη· ὁ γάρ οἱ συνάρχων, οὐ συνέθετο· μικρὸν οὖν ὕστερον ὁ Ἀπουλήιος ὡς ἀμυνούμενος
τὸν Μέτελλον, ἐς ἑτέραν παρήγγελλε δημαρχίαν, φυλάξας στρατηγοῦντα τὸν Γλαυ-
κίαν· καὶ τῆς δὲ τῶν δημάρχων τῆς χειροτονίας προεστῶτα· Νώνιος μὲν οὖν ἐπιφανὴς
ἀνήρ, ἔς τε τὸν Ἀπουλήιον παρρησίᾳ χρώμενος, καὶ Γλαυκίαν ἐξονειδίζων, δήμαρχος
ἀπεδείχθη· δείσαντες δ' ὅ τε Γλαυκίας καὶ ὁ Ἀπουλήιος μὴ δημαρχῶν αὐτοὺς ἀμύναιτο,
ὄχλον ἀνδρῶν ἀθροίσαντες ἀπὸ τῆς ἐκκλησίας ἀπιόντι, ἐπιπέμπουσι σὺν θορύβῳ· καὶ
ἔς τι πανδοχεῖον συμφυγόντα κατεκέντησαν· τοῦ δὲ πάθους οἰκτροῦ καὶ δεινοῦ
φανέντος, οἱ περὶ τὸν Γλαυκίαν, οὔπω τοῦ δήμου συνελθόντος, ἅμα ἕῳ χειροτονοῦσι
δήμαρχον τὸν Ἀπουλήιον· καὶ τὸ μὲν Νωνίου πάθος ὧδε ἐσιγήθη διὰ τὴν δημαρχίαν
Ἀπουληίου, δεδιότων αὐτὸν ἔτι ἐξελέγχειν· ἐξηλάθη δὲ καὶ Μέτελλος ὑπ' αὐτῶν,
προσλαβόντων Γάιον Μάριον, ἕκτην ἄρχοντα ὑπατείαν, ἐχθρὸν ἀφανῆ τοῦ Μετέλλου·
καὶ συνέπραξαν ὧδε ἅπαντες ἀλλήλοις· ὁ μὲν Ἀπουλήιος νόμον ἐσέφερε δια-
δάσασθαι γῆν, ὅσην ἐν τῇ νῦν ὑπὸ Ῥωμαίων καλουμένῃ Γαλατίᾳ Κίμβροι γένος Κελτῶν
κατειλήφεσαν· καὶ αὐτοὺς ὁ Μάριος ἔναγχος ἐξελάσας, τὴν γῆν ὡς οὐκέτι Γαλατῶν,
ἐς Ῥωμαίους περιεσπάκει· προσέκειτο δὲ εἰ κυρώσειε τὸν νόμον ὁ δῆμος, τὴν
βουλὴν ἐν πένθ' ἡμέραις ἐπομόσαι πείσεσθαι τῷ νόμῳ· ἢ τὸν οὐκ ὀμόσαντα

μήτε βουλεύειν, καὶ ὀφλεῖν τῷ δήμῳ τάλαντα εἴκοσιν· ὑπονοοῦντες οὕτως ἄλλους
τε τῶν δυσχεραινόντων ἀμυνεῖσθαι καὶ Μέτελλον, ὑπὸ φρονήματος οὐκ ἐνδώσοντα
πρὸς τὸν ὅρκον· ὁ μὲν δὴ νόμος ὧδε εἶχε· καὶ ὁ Ἀπουλήιος, ἡμέραν αὐτοῦ τῇ δοκιμα-
σίᾳ προὔθηκε· καὶ περιέπεμπε τοὺς ἐξαγγέλλοντας τοῖς ἐν ἀγροῖς· οἷς δὴ καὶ
μάλιστα ἐθάρρουν ὑπεστρατευμένοις Μαρίῳ· πλέον δ' ἐκτῶντο ἐκ τοῦ νόμου οἱ Ἰταλιῶται,
ὁ δῆμος ἐδυσχέραινε· καὶ στάσεως ἐν τῇ κυρίᾳ γενομένης, οἱ μὲν ἐκώλυον τῶν δημάρχων
τὸν νόμον, ὑβριζόμενοι πρὸς τοῦ Ἀπουληίου, κατεπήδων ἀπὸ τοῦ βήματος· ὁ δὲ
πολιτικὸς ὄχλος ἐβόα, ὡς γενομένης ἐν ἐκκλησίᾳ βροντῆς· ὅθεν οὐ θέμις ἐστὶ Ῥωμαίοις
οὐδὲν ἔτι κυροῦν· βιαζομένων δὲ καὶ ὣς τῶν περὶ τὸν Ἀπουλήιον, οἱ πολιτικοὶ τὰ ἱμά-
τια διαζωσάμενοι καὶ τὰ προστυχόντα ξύλα ἁρπάσαντες, τοὺς ἀγροίκους διέστησαν· οἱ δ'
αὖθις ὑπὸ τοῦ Ἀπουληίου συγκαλούμενοι, μετὰ ξύλων καὶ οἵδε τοῖς ἀστικοῖς ἐπῄεσαν·
καὶ βιασάμενοι, τὸν νόμον ἐκύρωσαν· κυρωθέντος δ' αὐτίκα Μάριος ὁ ὕπατος, τῇ βουλῇ
προὐτίθει σκοπεῖν περὶ τοῦ ὅρκου· καὶ τὸν Μέτελλον εἰδὼς στερρόν τε τὴν γνώμην καὶ βέ-
βαιον ἐφ' ὅτι φρονήσειε, καὶ ἢ προφθάσειε, ἐπιθεὶς πρῶτος ἐς μέσον τὴν γνώμην τὴν αὑτοῦ
μετ' ἐνέδρας· καὶ ἔλεγεν, ὡς οὔποτε τὸν ὅρκον ἑκὼν τόνδε αὐτὸς ὀμόσαι· συναπο-
φηναμένου δὲ ταῦτα καὶ τοῦ Μετέλλου καὶ τῶν ἄλλων αὐτοὺς ἐπαινεσάντων, ὁ Μάριος διέ-
λυσε τὴν βουλήν· εἶτα τῆς πέμπτης ἡμέρας, ἣ τῷ ὅρκῳ τελευταία κατὰ τὸν νόμον
ἦν, ἀμφὶ δεκάτην ὥραν αὐτοὺς κατὰ σπουδὴν συναγαγών, ἔφη τὸν δῆμον ἐσπουδακό-
τα περὶ τὸν νόμον δεδιέναι· μηχανὴν δ' ὁρᾶν καὶ σόφισμα τοιόνδε· ὀμόσειν γὰρ ᾗ νόμος
ἐστὶ τῷδε πείσεσθαι τῷ νόμῳ· καὶ νῦν μέν, οὕτω διασκεδάσειν τοὺς ἀπὸ τῶν ἀγρῶν
ἐνεδρεύοντας· ὕστερον δ' οὐ δυσχερῶς ἐπιδείξειν, ὅτι οὐκ ἔστι νόμος, ὁ πρὸς βίαν τε
καὶ βροντῆς ὀνομασθείσης κεκυρωμένος παρὰ τὰ πάτρια· ταῦτα δ' εἰπὼν καὶ τέλος
οὐδὲν ἀναμείνας, τῶν ἐπισιωπώντων ἔτι καὶ καταπλήξεως ἐπὶ τῇ ἐνέδρᾳ, καὶ τῷ χρόνῳ δεδα-
πανημένῳ, οὐδὲ ἐνθυμηθῆναί τι παρασχὼν αὐτοῖς, ἐξανίστατο ἐς τὸν τοῦ Κρόνου νεών·
οὗ τὰ ταμεῖα ἐχρῆν ὀμνύναι· καὶ ὤμνυε σὺν τοῖς φίλοις πρῶτος· ὤμνυον δὲ καὶ οἱ
λοιποί, τὸ ἑαυτοῦ δεδιὼς ἕκαστος· Μέτελλος δ' οὐκ ὤμοσε μόνος· ἀλλ' ἐπὶ τῆς αὐτοῦ
προαιρέσεως διέμενεν ἀφόβως· καὶ αὐτὸν εὐθὺς τῆς ἐπιούσης, ὁ Ἀπουλήιος ἐπιπέμψας
τὸν ὑπηρέτην, ἐξεῖλκεν ἀπὸ τοῦ βουλευτηρίου· ῥυομένων δὲ τῶν ἑτέρων δημάρχων, ὁ Γλαυ-
κίας καὶ ὁ Ἀπουλήιος, ἐς τοὺς ἀγροίκους ἐκδραμόντες, οὐκ ἔφασκον αὐτοῖς ἔσεσθαι
τὴν γῆν, οὐδὲ τὸν νόμον κύριον, εἰ μὴ Μέτελλος ἐξελαθείη· ψήφισμά τε φυγῆς
ἐπέγραφον αὐτῷ· καὶ τοὺς ὑπάτους ἐπικηρύξαι προσετίθεσαν, μηδένα Μετέλλῳ
κοινωνεῖν πυρὸς ἢ ὕδατος ἢ στέγης· ἔς τε τὴν δοκιμασίαν τοῦ δὲ τοῦ ψηφίσματος ἡ-

μαρίων προύγραφον· δημαγωγικῆς δὲ τῶν ἀστικῶν ἀγανακτήσεως πόλεως, καὶ Μέτελλον παραπεμ-
πόντων μετ' ἐννοίᾳ σὺν ξιφιδίοις, ὁ μέτελλος αὐτοῖς ἀσπασάμενος καὶ ἐπαινέσας
τῆς προαιρέσεως, οὐκ ἔφη δι' ἑαυτὸν ἐάσειν οὐδένα κίνδυνον ἐπιγενέσθαι τῇ πατρίδι·
καὶ τόδ' εἰπών, ὑπεξῆλθε τῆς πόλεως· καὶ τὸ ψήφισμα ὁ ἀπουλήιος ἐκύρου· καὶ τὰ ἐν τῷ
ψηφίσματι μάριος ἐπεκήρυττεν· οὕτω μὲν δὴ καὶ μέτελλος ἀνὴρ ἀδοκιμώτατος
ἔφευγε· καὶ ὁ ἀπουλήιος μετ' αὐτόν, τρίτον ἐδημάρχει· καί τις αὐτῷ συνῆρχε δραπέ-
της εἶναι νομιζόμενος· γράκχου ἑαυτὸν τοῦ πρεσβυτέρου παῖδα ἐπιγραφόμενος· καὶ τὸ
πλῆθος αὐτῷ συνεπράξατο περὶ τὴν χειροτονίαν, πόθῳ γράκχου· προτεθείσης δὲ
ὑπάτων χειροτονίας, μᾶρκος μὲν ἀντώνιος ἐπὶ θάτερον ἀναμφιλόγως ᾑρέθη·
τὴν δὲ ὑπόλοιπον, γλαυκίας ὁ λεχθεὶς καὶ μέμμιος μετῄεσαν· μεμμίου δὲ ὄντος ἐπιδο-
ξοτέρου παραπολύ, δείσας ὁ γλαυκίας καὶ ἀπουλήιος, ἐπιπέμπουσιν αὐτῷ
σὺν ξύλοις ἐν αὐτῇ τῇ χειροτονίᾳ· οἳ τὸν μέμμιον παίοντες ἐν μέσῳ πάντων
ὁρώντων, συνέκοψαν· καὶ ἡ μὲν ἐκκλησία θορυβηθεῖσα διελύετο· οὔτε νόμων·
οὔτε δικαστηρίων οὔτε τινὸς αἰδοῦς ἔτι ὑπούσης· ὁ δὲ δῆμος ἀγανακτῶν ἐν τῇ
ἐπιούσῃ ἡμέρᾳ μετ' ὀργῆς συνέτρεχεν ὡς κτενοῦντες τὸν ἀπουλήιον·
ὁ δ' ἄλλο πλῆθος ἀθροίσας ἀπὸ τῶν ἀγρῶν μετὰ γλαυκίου καὶ γαΐου σαφηίου ταμί-
ου τὸ καπιτώλιον κατέλαβε· καὶ αὐτοὺς τῆς βουλῆς ἀναιρεθῆναι ψηφισαμένης,
ὁ μάριος ἀχθόμενος, ὅμως ὥπλιζέ τινας σὺν ὄκνῳ· καὶ βραδύνοντος, ἕτεροι
τὸ ὕδωρ τὸ ἐπιρρέον ἐς τὸ ἱερὸν διέτεμον· καὶ σαφήιος μὲν ἐμπρῆσαι
τὸν νεὼν ὑπὸ δίψης ἀπολλύμενος ἠξίου· γλαυκίας δὲ καὶ ἀπουλήιος ἐλπίσαντες
αὐτοῖς ἐπικουρήσειν μάριον, παρέδωκαν ἑαυτοὺς οἵδε πρῶτοι· καὶ ἐπ' ἐκείνοις
ὁ σαφήιος· μάριος δ' αὐτίκα πάντας αὐτοὺς ἀναιρεῖν κελευόντων, ἐς τὸ βουλευτήριον
συνέκλεισεν ὡς ἐννομώτερον ἐργασόμενος· οἱ δέ, πρόφασιν τοῦτ' εἶναι νομί-
ζοντες, τὸν κέραμον ἐξέλυον τοῦ βουλευτηρίου· καὶ τοὺς ἀμφὶ τὸν ἀπουλήιον ἔ-
βαλλον, ἕως ἀπέκτειναν ταμίαν τε καὶ δήμαρχον καὶ στρατηγόν, ἔτι περικειμέν-
ους τὰ σύμβολα τῆς ἀρχῆς· πολὺς δὲ καὶ ἄλλος ὅμιλος ἐν τῇ στάσει διέφθαρτο· καὶ δή-
μαρχος ἕτερος, τοῦ γράκχου παῖς εἶναι νομιζόμενος, πρώτην δημαρχῶν ἐκείνην
ἡμέραν· οὐδὲν δὴ ἔτι ὤφθη αἰδοῦς, οὐκ ἐλευθερίας, οὔτε δημοκρατίας, οὔτε νόμων,
οὔτε ἀξιώσεως, οὔτε ἀρχῆς· ὅπου καὶ ἡ τῶν δημάρχων ἐς τε κωλύσιν ἁμαρτημά-
των, καὶ ἐπικούρησιν τῶν δημοτῶν γενομένη ἱερὰ καὶ ἄσυλος οὖσα, τοιάδε ὕ-
βριζε· καὶ τοιάδε ἔπασχε· ἀναιρεθέντων δὲ τῶν δημάρχων τῶν ἀπουληίου, ἡ μὲν
βουλὴ καὶ ὁ δῆμος ἐκεκράγεσαν καταγαγεῖν μέτελλον· πόπλιος δὲ φρούριος

δήμαρχος οὐδὲ ἐλευθέρου πατρὸς ἀλλ' ἐξ ἐλευθέρου, θρασέως ἀνίστατο αὐτοῖς· καὶ
οὐδὲ μετέλλου τοῦ μετέλλου παιδὸς ἱκετεύοντος αὐτὸν ἐν ὄψει τοῦ δήμου καὶ
δακρύοντος καὶ τοῖς ποσὶ προσπίπτοντος, ἀνεκλάσθη· ἀλλ' ὁ μὲν παῖς ἐκ τῆσδε
τῆς ὄψεως, εὐσεβὴς ἐς τὸ ἔπειτα ἐκλήθη· τοῦ δὲ ἐπιόντος ἔτους, φρούριον μὲν
ἐπὶ τῷδε ἐς δίκην γάιος κανουλήιος δήμαρχος ὑπῆγε· ὁ δῆμος οὐδὲ τὰς ἀπολογίας
ὑπομείνας, διέσπασε τὸν φρούριον· οὕτως ἀεί τι μύσος ἑκάστου ἐπὶ τῆς ἀγορᾶς ἐγί-
γνετο· μετέλλῳ δὴ κάθοδος ἐδόθη· καὶ φασὶν αὐτῷ τὴν ἡμέραν οὐκ ἀρκέσαι περὶ
τὰς πύλας δεξιουμένῳ τοὺς ἀπαντῶντας· τρίτον μὲν δὴ τόδε ἔργον ἐμφύλιον ἦν τὸ
ἀπουληίου μετὰ δύο τὰ γράκχου· καὶ τοσάδε εἰργάσατο ῥωμαίους· οὕτω δὲ χρονίζουσιν αὐτοῖς,
ὁ συμμαχικὸς καλούμενος πόλεμος ἐπιγίνεται· ἐθνῶν ἀνὰ τὴν ἰταλίαν πολλῶν·
ἀρξάμενός τε παραδόξως καὶ ἀθρόως ἐπὶ μέγα προελθών· καὶ τὰς στάσεις ἐν ῥώμῃ
σβέσας ὑπὸ δέους, ἐπὶ πολύ· λήγων δὲ καὶ ὅδε στάσεις τε ἄλλας καὶ στασιάρχας δυνα-
τωτέρους ἀνέθρεψεν· οὐ νόμων εἰσηγήσεσιν ἔτι, οὐδὲ δημοκοπίαις· ἀλλ' ἀθρόοις
στρατεύμασι κατ' ἀλλήλων χρωμένοις· καὶ αὐτὸν διὰ τάδε συνήγαγον ἐς τήνδε τὴν
συγγραφήν· ἔκ τε τῆς ἐν ῥώμῃ στάσεως ἀρξάμενον καὶ ἐς πολὺ χεῖρον στάσιν
ἑτέραν ἐκπεσόντα· ἤρξατο δὲ ὧδε· φούλβιος φλάκκος ὑπατεύων, μάλιστα
δὴ πρῶτος ὅδε ἐς τὸ φανερώτατον ἠρέθιζε τοὺς ἰταλιώτας ἐπιθυμεῖν τῆς ῥωμαί-
ων πολιτείας, ὡς κοινωνοὺς τῆς ἡγεμονίας ἀντὶ ὑπηκόων ἐσομένους· εἰσηγούμενος
δὲ τὴν γνώμην καὶ ἐπιμένων αὐτῇ καρτερῶς, ὑπὸ τῆς βουλῆς ἐπί τινα στρατείαν
ἐξεπέμφθη διὰ τόδε· ἐν ᾗ τῆς ὑπατείας αὐτῷ διαπανηκμένης, ὅδε καὶ δημαρχεῖν
ᾑρέθη μετ' αὐτήν· καὶ ἔπραξε γενέσθαι σὺν γράκχῳ τῷ νεωτέρῳ· τοιάδε ἄλλα ὑπὲρ
τῆς ἰταλίας ἐσφέροντι κἀκείνῳ· ἀναιρεθέντοιν δὲ ἀμφοῖν ὥς μοι προείρηται, πολὺ
μᾶλλον ἠρέθιστο ἡ ἰταλία· οὔτε γὰρ ἠξιοῦσαν ὑπηκόων ἀντὶ κοινωνῶν εἶναι μοῖρα,
οὔτε φλάκκον καὶ γράκχον ὑπὲρ αὐτῶν πολιτευομένους, τοιάδε παθεῖν· ἐπὶ δὲ
ἐκείνοις καὶ λίβιος δροῦσος δημαρχῶν, ἀνὴρ ἐπιφανέστατος ἐκ γένους, δεη-
θεῖσι τοῖς ἰταλιώταις, νόμον αὖθις ἐσενεγκεῖν περὶ πολιτείας ὑπέσχετο· τοῦτο
γὰρ δὴ μάλιστα ἐπεθύμουν· ὡς ἐνὶ τῷδε αὐτίκα ἡγεμόνες ἀντὶ ὑπηκόων
ἐσόμενοι· ὁ δέ, τὸν δῆμον ἐς τοῦτο προθεραπεύων, ὑπηγεῖτο ἀποικίας πολλὰς
ἔς τε τὴν ἰταλίαν καὶ σικελίαν· ἐψηφισμένας μὲν ἐκ πολλοῦ γεγονυίας δὲ οὔπω·
τήν τε βουλὴν καὶ τοὺς ἱππέας, οἳ μάλιστα δὴ τότε ἀλλήλοις διὰ τὰ δικαστήρια διέφε-
ρον, ἐπὶ κοινῷ νόμῳ συνάγειν ἐπειρᾶτο· σαφῶς μὲν οὐ δυνάμενος ἀμφοτέροις τὴν
βουλὴν ἐπανενεγκεῖν τὰ δικαστήρια· τεχνάζων δὲ ἐς ἑκατέρους ὧδε· τὴν

βουλευτῶν διὰ τὰς στάσεις τότε ὄντων μόλις ἀμφὶ τῶν τριακοσίων, τοσούσδε
ἑτέροις αὐτοῖς ἀπὸ τῶν ἱππέων ἐσηγεῖτο ἀριστίνδην προσκαταλεγῆναι· καὶ ἐκ τῶνδε
πάντων ἐς τὸ μέλλον εἶναι τὰ δικαστήρια· εὐθύνας τε ἐπ' αὐτῶν γίνεσθαι δωροδοκίας
προσέγραφεν ἐγκλήματος, ἤδη σχεδὸν ἀγνοουμένου διὰ τὸ ἔθος τῆς δωροδοκίας
ἀνέδην ἐπιπολαζούσης. ὁ μὲν δὴ τάδε πρὸς ἑκατέρους ἐπενόει· περιῆλθε
δὲ ἐς τοὐναντίον αὐτῷ. ἥ τε γὰρ βουλὴ χαλεπῶς ἔφερεν, ἀθρόως αὐτῇ τοσούσδε
προσκαταλεγῆναι, καὶ ἐξ ἱππέων ἐς τὸ μέγιστον ἀξίωμα μεταβῆναι· οὐκ ἀδόκητον
ἡγουμένη καὶ βουλευτὰς γενομένους κατὰ σφᾶς ἔτι δυνατώτερον τοῖς προτέροις
βουλευταῖς στασιάσειν· οἵ τε ἱππῆς ὑπώπτευον, ὅτι τῆσδε τῆς θεραπείας προσγενομένης
ἐς τὴν βουλὴν μόνοις τὰ δικαστήρια ἀπὸ τῶν ἱππέων περιφέροιτο. γευσάμενοί τε
κερδῶν μεγάλων ἐξουσίᾳ, οὐκ ἀλύπως τὴν ὑπόνοιαν ἔφερον. τό τε πλῆθος αὐτῶν ἐν
ἀπορίᾳ σφᾶς ἐποίει καὶ ὑπονοίᾳ πρὸς ἀλλήλους, τίνες ἀξιώτεροι δοκοῦσιν ἐς τοὺς
τριακοσίους καταλεγῆναι· καὶ τοῖς λοιποῖς φθόνος ἐς τοὺς κρείττονας ἐσῄει. ὑπὲρ ἅπαντα
δὲ ἠγανάκτουν ἀναφυομένου τοῦ τῆς δωροδοκίας ἐγκλήματος, ὃ τέως ἡγοῦντο καρτερῶς
ὑπὲρ αὐτῶν πρόρριζον ἐσβέσθαι. οὕτω μὲν δὴ καὶ οἱ ἱππῆς καὶ ἡ βουλή, καίπερ ἔ-
χοντες ἀλλήλοις διαφόρως, ἐς τὸ Δρούσου μῖσος συνεφώνουν· καὶ μόνος ὁ δῆμος ἔχαιρε
ταῖς ἀποικίαις. οἱ Ἰταλιῶται δ', ὑπὲρ ὧν δὴ καὶ μάλιστα ὁ Δροῦσος ταῦτα ἐτέχναζε, καὶ
οἵδε περὶ τῷ νόμῳ τῆς ἀποικίας ἐδεδίεσαν, ὡς τῆς δημοσίας Ῥωμαίων γῆς, ἣν ἀνέμητον
οὖσαν ἔτι, οἱ μὲν ἐκ βίας, οἱ δὲ λανθάνοντες ἐγεώργουν, αὐτίκα σφῶν ἀφαιρεθησομένης,
καὶ πολλὰ περὶ ταῖς ἰδίαις ἐνοχλησόμενοι. Τυρρηνοί τε καὶ Ὀμβρικοὶ ταὐτὰ δεδιότες
τοῖς Ἰταλιώταις, καὶ ὡς ἐδόκει πρὸς τῶν ὑπάτων ἐς τὴν πόλιν ἐπαχθέντες, ἔργῳ
μὲν ἐς ἀναίρεσιν Δρούσου, λόγῳ δὲ ἐς κατηγορίαν τοῦ νόμου φανερῶς κατεβόων· καὶ τὴν
τῆς δοκιμασίας ἡμέραν ἀνέμενον. ὧν ὁ Δροῦσος αἰσθόμενός τε καὶ οὐ θαμὰ προϊών,
ἀλλ' ἔνδον ἐν περιπάτῳ βραχύφωτος ἔχοντι χρηματίζων ἀεί, καὶ περὶ ἑσπέραν τὸ
πλῆθος ἀποπέμπων, ἐξεβόησεν ἄφνω πεπλῆχθαι· καὶ λέγων ἔτι κατέπεσεν. εὑρέθη
δὲ ἐν τῷ μηρῷ αὐτῷ σκυτοτόμου μαχαίριον ἐμπεπηγμένον. οὕτω μὲν δὴ καὶ
Δροῦσος ἀνῃρέθη δημαρχῶν. καὶ οἱ ἱππῆς ἐπὶ βάσιν ἐς συκοφαντίαν τῶν ἐχθρῶν
τὸ πολίτευμα αὐτοῦ τιθέμενοι, Κόιντον Οὐαλέριον δήμαρχον ἔπεισαν εἰσηγή-
σασθαι, κρίσεις εἶναι κατὰ τῶν τοῖς Ἰταλιώταις ἐπὶ τὰ κοινὰ φανερῶς ἢ κρύφα βοη-
θούντων· ἐλπίζοντες τοὺς δυνατοὺς ἅπαντας αὐτίκα ἐς ἔγκλημα ἐπίφθονον ὑπά-
ξεσθαι· καὶ δικάσειν μὲν αὐτοί, γενομένων δ' ἐκείνων ἐκποδών, δυνατώτεροι ἔτι
τῆς πολιτείας ἐπάρξειν. τὸν μὲν δὴ νόμον ἀπαγορευόντων τῶν ἑτέρων δημάρχων μὴ τί-

θεσθαι, περιστάντες οἱ ἱππῆς σὺν ξιφιδίοις γυμνοῖς, ἐκύρωσαν· ὡς δὲ ἐκεκύρωτο,
αὐτίκα τοῖς ἐπιφανεστάτοις τῶν βουλευτῶν ἐπεγράφοντο κατήγοροι· καὶ Βηστίας μὲν
οὐχ ὑπακούσας, ἑκὼν ἔφευγεν, ὡς οὐκ ἐκδώσων ἑαυτὸν ἐς χεῖρας ἐχθρῶν· καὶ Κόττας
ἐπὶ τὸ δικαστήριον παρῆλθε μὲν· σεμνολογήσας δὲ ὑπὲρ ὧν ἐπεπολί-
τευτο καὶ λοιδορησάμενος τοῖς ἱππεῦσι, φανερῶς ἐξῄει τῆς πόλεως καὶ πρὸ τῆς ψήφου.
Μούμμιος ὁ τὴν Ἑλλάδα ἑλὼν αἰσχρῶς ἐνεδρευθεὶς ὑπὸ τῶν ἱππέων, ὑποσχομένων
αὐτὸν ἀπολύσειν, κατεκρίθη φεύγειν· καὶ ἐν τῇ Δήλῳ διεβίωσεν. ἐπιπολάζοντος
δὲ ἐς πολὺ τοῦ κακοῦ κατὰ τῶν ἀρίστων, ὅ τε δῆμος ἤχθετο τοιῶνδε καὶ τοσῶνδε
εἰργασμένων ἀνδρῶν ἀθρόα ἀφαιρούμενος· καὶ οἱ Ἰταλιῶται τοῦ τε Δρούσου πάθος πυν-
θανόμενοι καὶ τῆς ἐς τὴν φυγὴν τούτων προφάσεως, οὐκ ἀνασχετὸν σφίσιν ἔτι ἡγού-
μενοι, τοὺς ὑπὲρ σφῶν πολιτευομένους τοιάδε πάσχειν, οὐδ' ἄλλην τινὰ μηχανὴν ἔτι τῆς ἐλπίδος
ἐς τὴν πολιτείαν ἔτι ὁρῶντες, ἔγνωσαν ἀποστῆναι Ῥωμαίων ἄντικρυς καὶ πολεμεῖν
αὐτοῖς κατὰ κράτος. κρύφα τε διεπρεσβεύοντο συντιθέμενοι περὶ τῶνδε· καὶ
ὅμηρα διέπεμπον ἐς πίστιν ἀλλήλοις. ὧν ἐς πολὺ μὲν οὐκ ἐπῄσθοντο Ῥωμαῖοι
διὰ τὰς ἐν ἄστει κρίσεις καὶ στάσεις· ὡς δὲ ἐπύθοντο, περιέπεμπον ἐς τὰς πόλεις ἀπὸ
σφῶν τοὺς ἑκάστοις μάλιστα ἐπιτηδείους, ἀφανῶς τὰ γιγνόμενα ἐξετάζειν. καί τις
ἐκ τούτων μειράκιον ὅμηρον ἰδὼν ἐξ Ἄσκλου πόλεως ἐς ἑτέραν ἀγόμενον, ἐμήνυσε τῷ
περὶ τὴν χώραν ἀνθυπάτῳ Σερουιλίῳ· ἦσαν γάρ, ὡς ἔοικε, τότε καὶ τῆς Ἰταλίας ἄρχοντες
ἀνθύπατοι κατὰ μέρη· ὃ καὶ Ἀδριανὸς ἀναμιμούμενος ὕστερον χρόνῳ πολλῷ,
τὴν αὐτοκράτορα Ῥωμαίοις ἡγούμενος ἀνεκαίνισε· καὶ μετ' αὐτὸν ἐπέμεινεν ἐς βραχύ.
ὁ δὲ Σερουίλιος ὁρμηθεὶς ἐνδραμὼν ἐς τὸ Ἄσκλον, καὶ πανηγυρίζουσι τοῖς Ἀσκλαίοις
χαλεπῶς ἀπειλῶν, ἀνῃρέθη, ὡς ὑπὸ ἤδη πεφωραμένων· ἐπανῃρέθη δὲ αὐτῷ καὶ
Φοντήιος, ὃς ἐπρέσβευεν αὐτῷ· καλοῦσι δ' οὕτως τοὺς τοῖς ἡγεμόσι τῶν ἐθνῶν, ἐκ τῆς
βουλῆς ἑπομένους ἐς βοήθειαν. πεσόντων δὲ τῶνδε, οὐδὲ τῶν ἄλλων Ῥωμαίων τις
ἦν φειδώ· ἀλλὰ τοὺς παρὰ σφίσι πάντας οἱ Ἀσκλαῖοι συνεκέντουν ἐπιτρέχοντες·
καὶ τὰ ὄντα αὐτοῖς διήρπαζον. ἐκραγείσης δὲ τῆς ἀποστάσεως, ἅπαντες ὅσοι τοῖς Ἀσκλαίοις
ἐγειτόνευον, συνεξέφαινον τὴν παρασκευήν· Μάρσοι τε καὶ Παιλιγνοί· καὶ Οὐηστῖνοι·
καὶ Μαρρουκῖνοι· καὶ ἐπὶ τούτοις Πικεντῖνοι· καὶ Φρεντανοί· καὶ Ἱρπῖνοι· καὶ
Πομπηιανοί· καὶ Οὐενούσιοι· καὶ Ἰάπυγες· Λευκανοί τε καὶ Σαυνῖται· χαλεπὰ
Ῥωμαίοις καὶ πρὶν ἔθνη γενόμενα· ὅσα τε ἄλλα ἀπὸ Λίριος ποταμοῦ, ὃν νῦν μοι δο-
κοῦσι Λίτερνον ἡγεῖσθαι, ὃς ἐπὶ τὸν μυχὸν ἐπὶ τοῦ Ἰονίου κόλπου πεζεύοντι ἐπι-
πλέοντι. πέμψαντες δὲ ἐς Ῥώμην πρέσβεις, ᾐτιῶντο μὲν ὅτι τὴν Ῥωμαίοις

ἐς τὴν ἀρχὴν συνεργασάμενοι, οὐκ ἀξιοῦσι τῆς τῶν βεβοηθημένων πολιτείας, ἡ βουλὴ μάλα καρτερῶς ἀπεκρίνατο, εἰ μεταγιγνώσκουσι τῶν γεγονότων, πρεσβεύειν ἐς αὐτήν, ἄλλως δὲ μή. οἱ μὲν δὴ πάντα ἀπογνόντες, ἐς παρασκευὴν καθίσταντο· καὶ αὐτοῖς ἐπὶ τῶν κατὰ πόλιν στρατῶν κοινὸς ἦν ἱππέων τε καὶ πεζῶν ἕτερος ἐς δέκα μυριάδας. καὶ Ῥωμαῖοι τὸν ἴσον αὖθις ἀντεξέπεμπον, ἀπό τε σφῶν αὐτῶν καὶ τῶν ἔτι σφίσι συμμαχούντων ἐθνῶν τῆς Ἰταλίας. ἡγοῦντο δὲ Ῥωμαίων μὲν ὕπατοι Σέξτος τε Ἰούλιος Καῖσαρ, καὶ Πόπλιος Ῥουτίλιος Λοῦπος. ἀμφοτέρων γὰρ ὡς ἐς μέγαν δὴ καὶ ἐγχώριον πόλεμον ἐξῄεσαν· ἐπί τε τὰς πύλας οἱ ὑπόλοιποι καὶ τὰ τείχη διὰ χρόνου εἶχον ὡς ἐπὶ οἰκείῳ καὶ γείτονι μάλιστα ἔργῳ. τό, τε ποικίλον περὶ τοῦ νόμου καὶ πολύμορφον ἐνθυμούμενοι, ὑποστρατήγοις τοῖς ὑπάτοις συνέπεμψαν τοὺς τότε ἀρίστους· ὑπὸ μὲν Ῥουτιλίῳ, Γναῖόν τε Πομπήιον τὸν πατέρα Πομπηίου τοῦ μεγάλου προσονομασθέντος· καὶ Κόιντον Καιπίωνα· καὶ Γάιον Περπένναν· καὶ Γάιον Μάριον· καὶ Οὐαλέριον Μεσσάλαν· ὑπὸ δὲ Σέξτῳ Καίσαρι Πόπλιον Λέντλον, ἀδελφὸν αὐτοῦ Καίσαρος· καὶ Τίτον Δίδιον· καὶ Λικίνιον Κράσσον· καὶ Κορνήλιον Σύλλαν· καὶ Μάρκελλον ἐπὶ τοῖσδε. τοσοῖσδε μὲν δὴ τοῖς ὑπάτοις διῃρημένοι τὴν χώραν, ὑπεστρατήγουν· καὶ πάντα ἐπεφοίτων οἱ ὕπατοι· καὶ αὐτοῖς οἱ Ῥωμαῖοι καὶ ἑτέρους ὡς ἐς μέγαν ἀγῶνα ἐπέμπον ἑκάστοτε. Ἰταλιώταις δ' ἦσαν μὲν στρατηγοὶ κατὰ πόλεις ἕτεροι· κοινοὶ δὲ ἐπὶ τῷ κοινῷ στρατῷ καὶ τοῦ παντὸς αὐτοκράτορες, Τίτος Λαφράνιος· καὶ Γάιος Ποντίλιος· καὶ Μάριος Ἰγνάτιος· καὶ Κόιντος Ποπαίδιος· καὶ Γάιος Πάπιος· καὶ Μάρκος Λαμπώνιος· καὶ Γάιος Ἰουδακίλιος· καὶ Ἕριος Ἀσίνιος· καὶ Οὐέττιος Κάτων· οἳ τὸν στρατὸν ὁμοίως μεριζόμενοι, τοῖς Ῥωμαίων στρατηγοῖς ἀντεκαθέζοντο· καὶ πολλὰ μὲν ἔδρασαν· πολλὰ δὲ ἔπαθον· ὧν ἑκατέρων ἐν κεφαλαίῳ φράσαι τὰ ἀξιολογώτατα, ἦν τοιάδε· Οὐέττιος μὲν Κάτων Σέξτου Ἰουλίου τρεψάμενός τε καὶ δισχιλίους κτείνας, ἐπὶ Αἰσερνίαν ἤλασε Ῥωμαΐζουσαν καὶ αὐτήν. οἱ μὲν συντελοῦντες, Λεύκιός τε Σκηπίων καὶ Λεύκιος Ἀκίλιος, θεραπόντων ἐσθῆτας ὑποδύντες, ἀπέδρασαν· χρόνῳ δὲ καὶ λιμῷ παρεστήσαντο οἱ πολέμιοι. Μάριος δὲ Ἰγνάτιος Οὐενάφρον ἑλὼν ἐκ προδοσίας, ἔκτεινε δύο Ῥωμαίων σπείρας ἐν αὐτῇ. Πρησένταιος δὲ Πόπλιος, Περπένναν μυρίων ἀνδρῶν ἡγούμενον ἐτρέψατο· καὶ ἔκτεινεν ἐς τετρακισχιλίους· καὶ τῶν λοιπῶν τοῦ πλέονος μέρους τὰ ὅπλα ἔλαβε, ἐφ' ὅτῳ Περπένναν Ῥουτίλιος ὕπατος παρέλυσε τῆς στρατηγίας· καὶ τὸ μέρος τοῦ στρατοῦ Γαΐῳ Μαρίῳ προσέθηκε. Μάρκος δὲ Λαμπώνιος τῶν ἀμφὶ Λικίνιον Κράσσον ἀνεῖλεν ἐς ὀκτακοσίους· καὶ τοὺς λοιποὺς ἐς Γρουμέντον πόλιν ἐξεδίωξε. Γάιος δὲ Πάπιος,

Νῶλάν τε εἷλεν ἐκ προδοσίας· καὶ τοῖς ἐν αὐτῇ Ῥωμαίοις δισχιλίοις οὖσιν, ἐκήρυξεν, εἰ μεταβαῖεν, στρατεύεσθαι σὺν αὐτῷ· καὶ τούς δὲ μὲν ὁ Πάπιος μεταβαλομένους, ἐστράτευσεν· οἱ δὲ ἡγεμόνες αὐτῶν οὐχ ὑπακούσαντες τῷ κηρύγματι, ἐφ' ᾗ ἐλήφθησαν αἰχμάλωτοι, καὶ λιμῷ πρὸς τοῦ Παπίου διεφθάρησαν. Πάπιος δὲ καὶ Σταβίας εἷλε· καὶ Μινέρουιον· καὶ Σάλερνον· ἣ Ῥωμαίων ἄποικος ἦν· καὶ τοὺς ἐξ αὐτῶν αἰχμαλώτους τε καὶ δούλους ἐστράτευεν. ὡς δὲ καὶ Νουκερίας τὰ ἐγκύκλῳ πάντα κατέπρησεν, αἱ πλησίον αὐτῶν πόλεις καταπλαγεῖσαι, προσετίθεντο· στρατιάν τε αἰτοῦντι, παρέσχον ἐς μυρίους πεζούς· καὶ ἱππέας χιλίους. μεθ' ὧν ὁ Πάπιος, Ἀχέρραις περιεκάθητο. Σέξτου δὲ Καίσαρος Γαλατῶν πεζοὺς μυρίους, καὶ Νομάδας Μαυρουσίους ἱππέας τε καὶ πεζούς, προσλαβόντος τε καὶ χωροῦντος ἐπὶ τὰς Ἀχέρρας, ὁ Πάπιος Ὀξύνταν υἱὸν Ἰογόρθου τοῦ Νομάδων ποτὲ βασιλέως, ὑπὸ Ῥωμαίων ἐν Οὐενουσίᾳ φυλαττόμενον, ἤγαγεν ἐκ τῆς Οὐενουσίας· καὶ περιθεὶς αὐτῷ πορφύραν βασιλικήν, ἐπεδείκνυ θαμινὰ τοῖς Νομάσι τοῖς σὺν Καίσαρι. πολλῶν δὲ ὡς πρὸς ἴδιον βασιλέα αὐτομολούντων ἀθρόως, τοὺς μὲν λοιποὺς τῶν Νομάδων ὡς ὑπόπτους ὁ Καῖσαρ ἐς Λιβύην ἀπέπεμψε· Παπίου δὲ ἐπιχειρήσαντος αὐτῷ σὺν καταφρονήσει, καὶ μέρος ἤδη τοῦ χάρακος διασπῶντος, τοὺς ἱππέας ἐκπέμψας κατ' ἄλλας πύλας, ἔκτεινε τῶν περὶ Πάπιον ἀμφὶ ἑξακισχιλίους. καὶ ἐπὶ τῷδε Καῖσαρ μὲν ἐξ Ἀχερρῶν ἀνεζεύγνυεν· Ἰουδακιλίῳ δὲ ἐν Ἰαπυγίᾳ προσετίθεντο Κανύσιοι· καὶ Οὐενούσιοι· καὶ ἕτεραι πόλεις πολλαί· τινὰς δὲ καὶ ἀπειθούσας ἐξεπολιόρκει· καὶ τῶν ἐν αὐταῖς Ῥωμαίων, τοὺς μὲν ἐπιφανεῖς ἔκτεινε· τοὺς δὲ δημότας καὶ δούλους ἐστράτευε. Ῥουτίλιος δὲ ὁ ὕπατος καὶ Γάιος Μάριος ἐπὶ τοῦ Λίριος ποταμοῦ γεφύρας ἐς διάβασιν ἐξ οὐ πολλοῦ διαστήματος ἀπ' ἀλλήλων ἐπήγνυντο· καὶ Οὐέττιος Κάτων αὐτοῖς ἀντεστρατοπέδευε πρὸς τῇ Μαρίου μάλιστα γεφύρᾳ· ἔλαθέ τε νυκτὸς περὶ τὴν Ῥουτιλίου γέφυραν λόχους ἐν φάραγξιν ἐνεδρεύσας· ἅμα δὲ ἕῳ τὸν Ῥουτίλιον διελθεῖν ὑπεριδών, ἀνέστησε τὰς ἐνέδρας· καὶ πολλοὺς μὲν ἔκτεινεν ἐπὶ τοῦ ξηροῦ, πολλοὺς δὲ ἐς τὸν ποταμὸν κατώσεν· ὅ, τε Ῥουτίλιος αὐτὸς ἐν τῷδε τῷ πόνῳ βληθεὶς τρωθεὶς τὴν κεφαλήν, μετ' ὀλίγον ἀπέθανε· καὶ Μάριος ἐπὶ τῆς ἑτέρας ὢν γεφύρας, τὸ συμβὰν ἐκ τῶν φερομένων κατὰ τὸ ῥεῦμα σωμάτων εἰκάσας, τοὺς ἐν ποσὶν ὤσατο· καὶ τὸ ῥεῦμα περάσας, τὸν χάρακα τοῦ Κάτωνος ὑπ' ὀλίγων φυλαττόμενον, εἷλεν· ὥστε τὸν Κάτωνα νυκτερεῦσαί τε ἐν ᾧ ἐνίκησε· καὶ ἀπορίᾳ τῆς ἀγορᾶς, ἀναζεῦξαι περὶ τὴν ἕω. Ῥουτιλίου δὲ τοῦ σώματος καὶ πολλῶν ἄλλων ἐπιφανῶν ἐπὶ ταφὴν ἐς

ρωμαίων συνηνέχθη, ἥ τε ὄψις ἀηδὴς ἦν ὑπάτου σώματος δὲ ἄλλων ἀνῃρημένων.
καὶ πολὺ μὲν ἐπὶ τῷδε πένθος ἐγένετο· καὶ ἀπὸ τοῦδε ἡ βουλὴ τοὺς ἀποθνῄ-
σκοντας ἐν τοῖς πολέμοις ἔκρινεν ἔνθα περ ἂν θάνωσι θάπτεσθαι, τοῦ μὴ τοὺς λοιποὺς
ἐκ τῆς ὄψεως ἀποτρέπεσθαι τῶν στρατιωτῶν. τὸ δ' αὐτὸ καὶ οἱ πολέμιοι πυθόμενοι,
περὶ σφῶν ἐψηφίσαντο. ῥουτιλίῳ μὲν δὴ διάδοχος ἐπὶ τὸ λοιπὸν τοῦ ἔτους οὐκ
ἐγένετο· σέξτου καίσαρος οὐκ ἀγαγόντος σχολὴν, διαδραμεῖν ἐπὶ ἀρχαιρέσια ἐς
ῥώμην· τῆς δ' αὐτῶν στρατιᾶς ἡ βουλὴ προσέταξεν ἄρχειν, γάιόν τε μάριον καὶ
κόιντον καιπίωνα. τούτῳ τῷ καιπίωνι, κόιντος πομπαίδιος ὁ ἀντιστράτηγος, οἷα
τις αὐτόμολος προσέφυγεν· ἄγων καὶ διδοὺς ἐνέχυρον δύο βρέφη δοῦλα καθάπερ
υἱοὺς ἐσκεπασμένα ἐσθῆσι περιπορφύροις· ἐς δὲ πίστιν, ἔφερε μάζας ἐκ
μολίβδου χρυσῷ καὶ ἀργύρῳ περιβεβλημένας· καὶ ἐδεῖτο κατὰ σπουδὴν αὐτῷ τὸν
καιπίωνα ἕπεσθαι μετὰ τῆς στρατιᾶς· ὡς καταληψόμενον αὐτοῦ τὸ στρατόπεδον, ἔρημον
ἐπ' ἄρχοντος. καιπίων μὲν δὴ πυθόμενος εἵπετο· πομπαίδιος δὲ πλησίον τῆς ἐσκλασ-
μένης ἐνέδρας γενόμενος, ἀνέδραμεν ἔς τινα λόφον ὡς κατοψόμενος τοὺς πολεμίους
σημεῖον αὐτοῖς ἐπῆρε· οἱ δὲ, ἐκφανέντες, αὐτόν τε καιπίωνα καὶ πολλοὺς σὺν αὐτῷ κατέ-
κοψαν. καὶ τὸ λοιπὸν τῆς στρατιᾶς καιπίωνος ἡ σύγκλητος μαρίῳ προσέζευξε. σέξτος δὲ
καῖσαρ μετὰ τρισμυρίων πεζῶν καὶ πεντακισχιλίων ἱππέων διὰ τινὰ φάραγγα
καὶ κρημνοὺς, ἄφνω προσπεσόντος αὐτῷ μαριγνάτιν ἐς τὴν φάραγγα περιωθεὶς,
ἔφυγεν ἐπὶ κλίνικα, διὰ γὰρ τὸ ἐπὶ τὴν ποταμὸν οὗ μία γέφυρα ἦν. καὶ ἀπώλεσε
τὸ πλέον τῆς στρατιᾶς ἀπολέσας τῶν ὑπολοίπων τὰ ὅπλα, μόλις ἐς τεανὸν κατα-
φυγὼν, ὥπλιζεν οὓς ἔτι εἶχεν, ὡς ἐδύνατο· ἑτέρου δὲ πλήθους αὐτῷ κατὰ σπουδὴν
ἐπελθόντος, ἐπὶ ἀχέρρας ἔτι πολιορκουμένας ὑπὸ τοῦ παπίου μετῆει· καὶ οἱ δὲ
μὲν ἀλλήλοις ἀντιστρατοπεδεύοντες, οὐκ ἐπεχείρουν οὐδέτεροι δι' ἀλλήλων
διὰ φόβον. μάρσοις δὲ κορνήλιος σύλλας καὶ γάιος μάριος ἐπιθεμένοι σφίσιν, εἵπετο
ἐδίωκον, μέχρι θριγκοῖς ἀμπέλων ἐμπεσεῖν αὐτοῖς. καὶ μάρσοι μὲν τοὺς θριγκοὺς
κακοπαθῶς ὑπερέβησαν· μαρίῳ δὲ καὶ σύλλᾳ διώκειν ὑπὲρ τοῦτο οὐκ ἔδοξε. κορνή-
λιος δὲ σύλλας ἐπὶ θάτερα τῶνδε τῶν ἀμπέλων στρατοπεδεύων αἰσθόμενος τοῦ
γεγονότος, ὑπήντα τοῖς ἐκφεύγουσι τῶν μάρσων· καὶ πολλοὺς καὶ ὅδε ἀπέκτεινεν· ὡς
τὸν φόνον κατ' ἐκείνης τῆς ἡμέρας γενέσθαι πλείονας ἑξακισχιλίων· ὅπλα δ' ὑπὸ ῥωμαίων
ληφθῆναι πολὺ πλείονα· μάρσοι μὲν δὴ διὰ τὸ πταίσμα τι πρόβατα ἀγαν-
ακτοῦντες, αὖθις ὥπλιζοντο· καὶ παρεσκευάζοντο αὐτοῖς ἐπιέναι, πρὸ τῇ χρείᾳ
μὴ θαρρῆσαι μὴ δὲ ἄρχειν μάχης· ἔστι γὰρ τὸ ἔθνος πολεμικώτατον· καὶ φασὶ κατ' αὐ-

θρίαμβον ἐπὶ τῷδε τῷ πταίσματι γενέσθαι μόνῳ· λεγόμενον πρότερον οὔτε
κατὰ μάρσων, οὔτε ἄνευ μάρσων γενέσθαι θρίαμβον. περὶ δὲ τὸ φάλερνον ὄρος,
γναῖον πομπήιον, ἰουδακίλιος καὶ τίτος λαφρήνιος καὶ πούπλιος οὐεντίδιος ἐς
ταὐτὸν συνελθόντες ἀλλήλοις, τρεψάμενοι κατεδίωκον ἐς πόλιν φίρμον. καὶ
οἱ μὲν, αὐτῶν ἐφ' ἕτερα ᾤχοντο· λαφρήνιος δὲ περιεκάθητο πομπηίῳ ἐν τῷ φίρμῳ
κατακεκλεισμένῳ· ὁ δ' αὐτίκα μὲν ὥπλιζε τοὺς ὑπολοίπους, ἐς χεῖρας οὐκ ᾔει·
προσιόντος δὲ ἑτέρου στρατοῦ, σουλπίκιον περιέπεμψεν ὄπισθεν τοῦ λαφρηνίου
γενέσθαι· αὐτὸς κατὰ μέτωπον ἐπῄει· γενομένης δὲ ἐν χερσὶ τῆς μάχης καὶ πο-
νουμένοιν ἀμφοῖν, ὁ σουλπίκιος ἐνεπίμπρη τὸ τῶν πολεμίων στρατόπεδον. καὶ
τοῦθ' οἱ πολέμιοι κατιδόντες, ἐς ἄσκλον ἔφυγον ἀκόσμως ἅμα καὶ ἀστρατηγήτως·
λαφρήνιος δὲ ἔπεσε μαχόμενος· πομπήιος δὲ καὶ τὸ ἄσκλον ἐπελθὼν ἐπολι-
όρκει. πατρὶς δ' ἦν ἰουδακιλίου τὸ ἄσκλον· καὶ δεδιὼς ὑπὲρ αὐτῆς ὑπεξήγαγε σπεί-
ρας ὀκτώ· προπέμψας δὲ τοῖς ἀσκλαίοις ἐκέλευεν, ὅταν αὐτὸν ἴδωσι πόρρωθεν
ἐπιόντα, ἐκδραμεῖν ἐπὶ τοὺς περικαθημένους, ὥστε τὸν ἀγῶνα τοῖς ἐχθροῖς ἑκατέ-
ρωθεν γενέσθαι. ἀλλ' ἀσκλαῖοι μὲν ἀπώκνησαν· ὁ δὲ ἰουδακίλιος καὶ ὡς ἐς τὴν πό-
λιν διὰ μέσων τῶν πολεμίων ἐσδραμὼν μεθ' ὅσων ἐδυνήθη, ὀνειδίσας μὲν αὐ-
τοῖς ἀτολμίαν καὶ ἀπείθειαν· οὐκ ἐλπίζων δ' ἔτι τὴν πόλιν περιέσεσθαι, τοὺς μὲν
ἐχθροὺς οἳ ἐκ πολλοῦ αὐτῷ διεφέροντο, καὶ τότε διὰ   μονοῦντο τὸ πλῆθος, ἐς ἀπορίαν
τελείαν περιστήσας, ἔκτεινε πάντας· αὐτὸς δὲ ἱερῷ πυρὰν νήσας καὶ κλίνην ἐπιθεὶς ἐπὶ τῇ
πυρᾷ, παρ' εὐωχίᾳ σὺν τοῖς φίλοις· καὶ πίνων τοῦ πότου, φάρμακόν τε προ-
σηνέγκατο· καὶ κατακλίνας αὐτὸν ἐπὶ τῆς πυρᾶς, ἐκέλευσε τοῖς φίλοις ἅψαι τὸ
πῦρ. καὶ ἰουδακίλιος μὲν, ὧδε φιλοτιμηθεὶς πρὸ τῆς πατρίδος ἀποθανεῖν, κατέ-
λυσε· σέξτος δὲ καῖσαρ ὑπερεξήκοντος αὐτῷ τοῦ χρόνου τῆς ἀρχῆς, ἀνθύπατος ὑπὸ
τῆς βουλῆς αἱρεθεὶς, ἐπιδραμὼν ἀνδράσι δισμυρίοις μεταστρατοπεδεύουσί ποι
καὶ ἔκτεινεν αὐτῶν ἐς ὀκτακισχιλίους· ὅπλα τε πολὺ πλειόνων ἔλαβε. χρόνῳ δ' αὐτῷ
τῆς περὶ τὸ ἄσκλον πολιορκίας χρονίου, ἀποθνήσκων ἐκ νόσου, ἀντιστράτηγον ἀπέφηνε
γάιον βέβιον. καὶ τάδε μὲν ἀμφὶ τὴν ἰταλίαν τὴν περὶ τὸν ἰόνιον. αἰσθόμενοι δὲ αὐτῶν
οἱ ἐπὶ θάτερα τῆς ῥώμης, τυρρηνοὶ καὶ ὀμβρικοὶ καὶ ἄλλα τινὰ αὐτοῖς ἔθνη γειτονοῦντα,
πάντες ἐς ἀπόστασιν ἠρεθίζοντο· δείσασα οὖν ἡ βουλὴ μὴ ἐγκυκλωθῶσι ὁ πόλεμος αὐτοῖς
ὁ πολέμιος ἀφύλακτος ᾖ, τὴν μὲν θάλασσαν ἐφρούρει τὴν ἀπὸ κύμης ἐπὶ τὸ ἄστυ
διὰ ἀπελευθέρων· τότε πρῶτον ἐς στρατιὰν διὰ ἀπορίαν ἀνδρῶν καταλεγέντων· ἰταλιωτῶν
δὲ τοὺς ἔτι ἐν τῇ συμμαχίᾳ παραμένοντας, ἐψηφίσατο εἶναι πολίτας· οὗ δὴ μάλιστα

μόνον πάντες ἐπεθύμουν· καὶ τάδε ἐς τυρρηνοὺς περιέπεμπον· οἱ δὲ, ἀσμένως οἱ
τῆς πολιτείας μετελάμβανον· ἡ τῇδε τῇ χάριτι ἡ βουλὴ τοὺς μὲν εὔνους εὐνουστέρους
ἐποίησε· τοὺς δὲ ἐνδοιάζοντας ἐβεβαιώσατο· τοὺς δὲ πολεμοῦντας ἐπ' ἐλπίδι τινὶ τῶν
ὁμοίων πραοτέρους ἐποίησε· ῥωμαῖοι μὲν δὴ τούσδε τοὺς νεοπολίτας οὐκ ἐς τὰς πέντε
καὶ τριάκοντα φυλὰς αἳ τότε ἦσαν αὐτοῖς, κατέλεξαν· ἵνα μὴ τῶν ἀρχαίων πλέονες
ὄντες ἐν ταῖς χειροτονίαις ἐπικρατοῖεν· ἀλλὰ δεκατεύοντες, ἀπέφηναν ἑτέρας
ἐν αἷς ἐχειροτόνουν ἔσχατοι· καὶ πολλάκις αὐτῶν ἡ ψῆφος ἀχρεῖος ἦν, ἅτε τῶν
πέντε καὶ τριάκοντα προτέρων τε καλουμένων καὶ οὐσῶν ὑπὲρ ἥμισυ· ὃ δὴ καὶ λαθὸν
αὐτίκα, ἢ καὶ αὐτὸ τοῦτο ἀποδεξαμένων τῶν ἰταλιωτῶν, ὕστερον ἐπιγνωσθὲν, ἑτέρας
στάσεως ἦρξεν· οἱ δὲ ἐπὶ τὸν ἰόνιον, οὔπω τὸ τυρρηνῶν μεταγνόντων,
μυρίοις πεντακισχιλίοις ὁδὸν ἀτριβῆ καὶ μακρὰν ἐς τὴν τυρρηνίαν ἐπὶ
συμμαχίᾳ περιέπεμπον· καὶ αὐτοῖς ἐπιπεσὼν γναῖος πομπήιος ὕπατος
ὢν ἤδη, διέφθειρεν ἐς πεντακισχιλίους· οἱ λοιποὶ δὲ ἐς τὰ σφέτερα διὰ
ἀπόρου χώρας καὶ χειμῶνος ἐπιπόνου διατρέχοντες, οἱ ἡμίσεις βαλανη-
φαγοῦντες, διεφθάρησαν· τοῦ δὲ αὐτοῦ χειμῶνος κορνήλιος μὲν κάτων ὁ σύν-
αρχος τοῦ πομπηίου, μάρσοις πολεμῶν, ἀνῃρέθη· λούκιος δὲ κλοέντιος,
σύλλᾳ περὶ τὰ πομπαῖα ὄρη στρατοπεδεύοντι, μάλα καταφρονητικῶς,
ἀπὸ σταδίων τριῶν ἐπεστρατοπέδευε· ὁ δὲ σύλλας τὴν αὐθάδειαν οὐκ ἐνεγκὼν,
οὐδὲ τοὺς ἰδίους τοὺς χορτολογοῦντας ἀναμείνας, ἐπέδραμε τῷ κλοεντίῳ· ὁ
τότε μὲν ἡσσώμενος, ἔφυγε· προσλαβὼν δὲ τοὺς χορτολογοῦντας, τρέπεται
τὸν κλοέντιον· ὁ δὲ αὐτίκα μὲν πορρωτέρω μετεστρατοπέδευε· ἀφικομένων
δὲ αὐτῷ γαλατῶν, αὖθις ἐπλησίαζε τῷ σύλλᾳ· ζευγνύντων τῶν στρατῶν, γαλά-
της ἀνὴρ μεγέθει μέγας προδραμὼν, προὐκαλεῖτό τινα ῥωμαίων ἐς μάχην· ὡς
δὲ αὐτὸν ὑποστὰς μαυρούσιος ἀνὴρ βραχὺς, ἔκτεινεν, ἐκπλαγέντες οἱ γαλάται,
αὐτίκα ἔφευγον· παραλυθείσης δὲ τῆς τάξεως, οὐδ' ὁ ἄλλος ὅμιλος ἔτι
τῷ κλοεντίῳ παρέμενεν, ἀλλ' ἔφευγεν ἐς νώλαν ἀκόσμως· ὁ δὲ σύλλας
αὐτοῖς ἑπόμενος, ἔκτεινεν ἐν τῷ δρόμῳ τρισμυρίους· καὶ τῶν νωλαίων
αὐτοὺς μιᾷ πύλῃ δεχομένων ἵνα μὴ οἱ πολέμιοι σφίσιν ἐνεσπέσοιεν, ἑτέρους ἔκτεινεν
ἀμφὶ τοῖς τείχεσιν ἐς δισμυρίους· καὶ κλοέντιος ἀγωνιζόμενος
ἔπεσε· σύλλας δὲ ἐς ἔθνος ἕτερον ἱρπίνους μετεστρατοπέδευε· καὶ προσέ-
βαλεν αἰκουλάνῳ· οἱ δὲ, λευκανοὺς προσδοκῶντες αὐτῆς ἡμέρας σφίσιν ἐπὶ συμμα-
χίαν ἀφίξεσθαι, τὸν σύλλαν καιρὸν ἐς σκέψιν ᾔτουν· ὁ δὲ αἰσθανόμενος τοῦ

τεχνάσματος, ὥραν αὐτοῖς ἔδωκε· καὶ ἐν τῇδε ξυλίνῳ ὄντι τῷ τείχει,
κληματίδας περιτιθεὶς, μετὰ τὴν ὥραν ὑφῆπτεν· οἱ δὲ, δείσαντες, τὴν
πόλιν παρεδίδουν· καὶ τήνδε μὲν ὁ σύλλας διήρπαξεν, ὡς οὐκ αὐτοὶ προσθοῖεν,
ἀλλ' ὑπ' ἀνάγκης· τῶν δὲ ἄλλων ἐφείδετο προστιθεμένων· μέχρι τὸ ἱρπίνων ἔθνος
ἅπαν προσεχώρει· καὶ μετῆλθεν ἐπὶ σαυνίτας, οὐχ ᾗ μοτίλος ὁ τῶν σαυνιτῶν
στρατηγὸς τὰς προσόδους ἐφύλαττεν, ἀλλ' ἑτέραν ἀδόκητον ἐκ περιόδου· προσ-
πεσὼν δὲ ἄφνω, πολλούς τε ἔκτεινε· καὶ οἱ λοιποὶ σποράδην διέφυγον·
ὁ μὲν μοτίλος τραυματίας ἐς αἰσερνίαν σὺν ὀλίγοις κατέφυγεν· ὁ δὲ σύλλας
αὐτοῦ τὸ στρατόπεδον ἐξελὼν, ἐς βοιανὸν περιῆλθεν· ᾗ κοινοβούλιον ἦν
τῶν ἀποστάντων· τρεῖς δὲ ἄκρας τῆς πόλεως ἐχούσης, καὶ τῶν βοιανῶν ἐς τὸν
σύλλαν ἐπεστραμμένων, περιπέμψας τινὰς ὁ σύλλας, ἐκέλευε καταλαβεῖν
ἥν τινα τῶν ἄλλων δυνηθεῖεν ἄκρων, καὶ καπνῷ τοῦτο σημῆναι· γενομένου
δὲ τοῦ καπνοῦ, συμβαλὼν τοῖς ἐκ μετώπου, καὶ μαχόμενος ὥραις τρισὶ καρ-
τερῶς, εἷλε τὴν πόλιν· καὶ τάδε μὲν ἦν τοῦδε τοῦ θέρους σύλλᾳ πεπραγμένα·
χειμῶνος δὲ ἐπιόντος, ὁ μὲν ἐς ῥώμην ἐπανῆλθεν, ἐς ὑπατείαν παραγγελῶν·
γναῖος δὲ πομπήιος ὑπέταξε μάρσους καὶ μαρρουκίνους καὶ οὐηστίνους·
καὶ γάιος κοσκώνιος ἕτερος ῥωμαίων στρατηγὸς ἐπελθὼν, σαλαπίαν τε ἐνέ-
πρησε· καὶ κάννας παρέλαβε· καὶ κανύσιον περικαθήμενος, σαυνίταις
ἐπελθοῦσιν, ἀντεμάχετο καρτερῶς· μέχρι φόνος πολὺς ἑκατέρων ἐγένε-
το, καὶ ὁ κοσκώνιος ἡττώμενος, ἐς κάννας ὑπεχώρει· τρεβάτιος δὲ αὐτὸν
ὁ τῶν σαυνιτῶν στρατηγὸς ποταμοῦ διείργοντος, ἐκέλευεν ἢ περᾶν
ἐπ' αὐτὸν ἐς μάχην, ἢ ἀναχωρεῖν, ἵνα περάσειεν· ὁ δὲ ἀνεχώρει· καὶ δια-
βάντι τῷ τρεβατίῳ προσπεσὼν, μάχῃ τε κρατῶν ἐγένετο· καὶ φεύγοντος
ἐπὶ τὸ ῥεῦμα αὐτοῦ, μυρίους καὶ πεντακισχιλίους διέφθειρε· οἱ δὲ λοιποὶ σὺν
μετὰ τοῦ τρεβατίου διέφυγον ἐς κανύσιον· καὶ ὁ κοσκώνιος τὴν λαρίνων καὶ
καὶ οὐενουσίων καὶ ἀσκλαίων γῆν ἐπιδραμὼν, ἐς ποδίκλους ἐσέβαλε· καὶ
δυσὶν ἡμέραις τὸ ἔθνος παρέλαβε· καικίλιος δὲ αὐτῷ μέτελλος ἐπελθὼν
ἐπὶ τὴν στρατηγίαν διάδοχος, ἐς ἰάπυγας ἐμβαλὼν, ἐκράτει καὶ ὅδε μάχῃ
τῶν ἰαπύγων· καὶ πομπαίδιος ἄλλος τῶν ἀφεστώτων στρατηγὸς ἐνταῦθα
ἔπεσεν· οἱ δὲ λοιποὶ σποράδην κατὰ τὸν καικίλιον διέφυγον· καὶ τάδε δὲ
μὲν ἦν περὶ τὴν ἰταλίαν ἀμφὶ τὸν συμμαχικὸν πόλεμον ἐκ μάχης ἐπὶ
μάλιστα μέχρι τῶνδε· ὡς ἰταλία πᾶσα προσεχώρησεν ἐς τὴν ῥωμαίων

πολίταις· χωρὶς γὰρ ἐλαχίστων ὄντων τῶν τότε, ἐδόκουν γάρ μοι οἱ δέκα,
τὴν ἀρχὴν ἐχειροτόνουν ὕστερον. ἐς δὲ τὰς φυλάς, ὅμοια τοῖς προτέροις οἷς
ἕκαστοι κατελέγοντο, τοῦ μὴ τοῖς ἀρχαίοις ἀναμεμιγμένοι ἐπικρατεῖν ἐν
ταῖς χειροτονίαις πλέονες ὄντες. τοῦ δ᾽ αὐτοῦ χρόνου κατὰ τὸ ἄστυ οἱ χρῆσται πρὸς
ἀλλήλους ἐστασίασαν. οἱ μέν, πράττοντες τὰ χρέα σὺν τόκοις, νόμου τινὸς παλαιοῦ
προαγορεύοντος μὴ δανείζειν ἐπὶ τόκοις, ἢ ζημίαν τὸν οὕτω δανείσαντα
προσοφλεῖν. ἀποστραφῆναι γάρ μοι δοκοῦσιν οἱ πάλαι Ῥωμαῖοι, καθάπερ Ἕλληνες,
τὸ δανείζειν, ὡς καπηλικόν, καὶ βαρὺ τοῖς πένησι, καὶ δύσερι καὶ ἐχθροποιόν. ᾧ
καὶ Πέρσαι τὸ κίχρασθαι, ὡς ἀπατηλόν τε καὶ φιλοψευδές. ἔθους δὲ χρονίου
τοὺς τόκους βεβαιοῦντος, οἱ μὲν κατὰ τὸ ἔθος ᾔτουν, οἱ δέ, οἷον ἐκ πολέμων τε καὶ
στάσεων ἀνεβάλλοντο τὰς ἀποδόσεις. εἰσὶ δ᾽ οἳ καὶ τὴν ζημίαν τοὺς δανείσαντας
ἐκτίσειν ἐπήλαυνον. ὅ τε στρατηγὸς Ἀσελλίων, ᾧ ταῦτα προσέκειτο, ἐπεὶ διαλύων
αὐτοὺς οὐκ ἔπειθεν, ἐδίδου κατ᾽ ἀλλήλων αὐτοῖς δικαστήρια, τὴν ἐκ τοῦ νόμου καὶ
ἔθους ἀπορίαν ἐς τοὺς δικαστὰς περιφέρων. οἱ δανεισταὶ δὲ χαλεπήναντες ὅτι τὸν
νόμον παλαιὸν ὄντα ἀνενέου, κτείνουσιν αὐτὸν ὧδε. ὁ μὲν ἔθυε τοῖς Διοσκού-
ροις ἐν ἀγορᾷ, τοῦ πλήθους ὡς ἐπὶ θυσίᾳ περιστάντος· ἑνὸς δὲ λίθου κατ᾽ αὐτοῦ πρῶτον
ἐπαφεθέντος, ἔρριψε τὴν φιάλην, καὶ ἐς τὸ τῆς Ἑστίας ἱερὸν ἵετο δρόμῳ. οἱ δέ,
αὐτὸν προλαβόντες, ἀπέκλεισαν ἀπὸ τοῦ ἱεροῦ, καὶ καταφυγόντα ἔς τι πανδο-
χεῖον, ἔσφαξαν. πολλοί τε τῶν διωκόντων ἐς τὰς παρθένους αὐτὸν ἡγούμενοι καταφυγεῖν,
ἐσέδραμον ἔνθα μὴ θέμις ἦν ἀνδράσιν. οὕτω μὲν Ἀσελλίων στρατηγῶν τε
καὶ σπένδων, καὶ ἱερὰν ἐπινίκιον ἐσθῆτα περικείμενος, ἀμφὶ τὴν τρίτην
ὥραν ἐσφάζετο ἐν ἀγορᾷ μέσῃ παρὰ ἱεροῖς. καὶ ἡ σύγκλητος ἐκήρυξεν, εἴ τις
περὶ τὸν Ἀσελλίωνος φόνον ἐλέγξειεν, ἐλευθέρῳ μὲν ἀργύριον, δούλῳ δὲ ἐλευθερίαν,
συνεγνωκότι ἄδειαν. οὐ μὴν ἐμήνυσεν οὐδείς, τῶν δανειστῶν περικαλυψάντων.
τάδε μὲν δὴ φόνοι καὶ στάσεις ἔτι ἦσαν ἐμφύλιοι κατὰ μέρη· μετὰ δὲ τοῦτο στρα-
τοῖς μεγάλοις οἱ στασίαρχοι πολέμου νόμῳ συνέβαλλον ἀλλήλοις, καὶ ἡ πατρίς
ἆθλον ἔκειτο ἐν μέσῳ. ἀρχὴ δὲ ταῦτα καὶ πρόφασις ἐπὶ τὸν ἐμφύλιον
πόλεμον ἥδε ἐγίγνετο. ἐπεὶ Μιθριδάτης ὁ Πόντου καὶ ἄλλων ἐθνῶν βασι-
λεύς, ἐς Βιθυνίαν καὶ Φρυγίαν, καὶ τὸ πρόσορον αὐτῇ τῆς Ἀσίας ἐνέβαλεν, ὥς μοι κατὰ
τὴν πρὸ τῆσδε βίβλον εἴρηται, Σύλλας μὲν ὑπατεύων ἔλαχε στρατηγεῖν τῆς Ἀσίας
καὶ τοῦ πρὸς Μιθριδάτην πολέμου, καὶ ἔτι ἦν ἐν Ῥώμῃ· Μάριος δὲ τὸν πόλεμον
εὐχερῆ τε καὶ πολύχρυσον ἡγούμενος εἶναι, καὶ ἐπιθυμῶν τῆς στρατηγίας, προσηγάγετο οἱ

συμπράξειν ἐς τοῦτο Πούπλιον Σουλπίκιον δήμαρχον, ὑποσχόμενος τοὺς νεοπολί-
τας τοὺς ἐκ τῆς Ἰταλίας, μειονεκτοῦντας ἐν ταῖς χειροτονίαις, ἐπὶ πά-
σας τὰς φυλὰς διαιρήσειν. οὐ προλέγων μέν τι περὶ τῆς ἑαυτοῦ
χρείας, ὡς δὲ ὑπουργοῖς ἐς πάντα χρησόμενος εὐνοοῦσι. νόμον τε εὐθὺς ὁ Σουλπίκιος
ἐσέφερε περὶ τοῦδε· οὗ κυρωθέντος ἔμελλε πάντα, ὅσα βούλοιτο Μάριος ἢ Σουλ-
πίκιος, ἔσεσθαι, τῶν νεοπολιτῶν πολὺ παρὰ τοὺς ἀρχαίους πλειόνων ὄντων. οἱ δ᾽ ἀρ-
χαιότεροι συνορῶντες τάδε, ἐκ κράτους τοῖς νεοπολίταις διεφέροντο. ξύλοις δὲ
καὶ λίθοις χρωμένων αὐτῶν ἐς ἀλλήλους, καὶ τοῦ κακοῦ μείζονος ἀεὶ γιγνομένου τοῦ κακοῦ,
δείσαντες οἱ ὕπατοι περὶ τῇ δοκιμασίᾳ τοῦ νόμου πλησιαζούσῃ, πρού-
γραψαν ἡμερῶν ἀργίας πολλῶν, ὁποῖον ἐν ταῖς ἑορταῖς ἔθος ἦν γίγνεσθαι,
ἵνα τις ἀναβολὴ γένοιτο τῆς χειροτονίας καὶ τοῦ κακοῦ. Σουλπίκιος δὲ τὴν ἀργίαν
οὐκ ἀναμείνας, ἐκέλευε τοῖς στασιώταις ἐς τὴν ἀγορὰν ἥκειν μετὰ κεκρυμμένων
ξιφιδίων, καὶ δρᾶν ὅ τι ἐπείγοι, μηδὲ τῶν ὑπάτων, εἰ δέοι, φειδομένους.
ὡς δὲ αὐτῷ πάντα ἕτοιμα ἦν, κατηγόρει τῶν ἀργιῶν ὡς παρανόμων. καὶ
τοὺς ὑπάτους Κορνήλιον Σύλλαν καὶ Κόιντον Πομπήιον ἐκέλευεν αὐτὰς αὐτίκα
ἀναιρεῖν, ἵνα προθεῖεν τὴν δοκιμασίαν τῶν νόμων. θορύβου δὲ ἀναστάντος, οἱ
παρεσκευασμένοι τὰ ξίφη γυμνώσαντο. καὶ τοῖς ὑπάτοις ἀντιλέγουσιν
ἠπείλουν κτενεῖν. μέχρι Πομπήιος μὲν λαθὼν διέφυγε, Σύλλας δὲ ὡς βου-
λευσόμενος ὑπεχώρει. καὶ τὸν δὲ Πομπηίου υἱὸν κηδεστὴν ὄντα τοῦ Σύλλα,
παρρησιαζόμενόν τι λέγοντα, κτείνουσιν οἱ τοῦ Σουλπικίου στασιῶται. ὁ δὲ
Σύλλας ἐπανελθὼν ἔλυσε τὴν ἀργίαν. ἔς τε Καπύην ἐπὶ τὸν ἐκεῖ στρατόν, ὡς ἐκ-
εῖθεν ἐς τὴν Ἀσίαν ἐπὶ τὸν Μιθριδάτου πόλεμον διαβαλῶν, ἠπείγετο· οὐ
γάρ πω τῶν γιγνομένων τῶν πραττομένων ᾔσθετο. ὁ δὲ Σουλπίκιος ἀναιρεθείσης
τῆς ἀργίας, καὶ Σύλλα τῆς πόλεως ἀποστάντος, ἐκύρου τὸν νόμον. καὶ οὗ χάριν ταῦ-
τ᾽ ἐγίγνετο, Μάριος εὐθὺς ἐχειροτονεῖτο τοῦ πρὸς Μιθριδάτην πολέμου στρατηγεῖν
ἀντὶ Σύλλα. πυθόμενος δὲ Σύλλας, πολέμῳ κρῖναι διέγνω. καὶ συνήγαγε
τὸν στρατὸν ἐς ἐκκλησίαν. καὶ ὅδε τῆς ἐπὶ τὸν Μιθριδάτην στρατείας ὀρεγό-
μενον, ὡς ἐπικερδοῦς, καὶ νομίζοντα Μάριον ἑτέρους ἀντ᾽ αὐτῶν καταλέξειν,
αὐθέκαστον. τὴν δὲ ὕβριν ὁ Σύλλας τὴν ἐς αὐτὸν ὑπὸ Σουλπικίου τε καὶ Μαρίου
γενομένην, οὐδὲν ἄλλο ἐπενεγκών, οὐ γάρ πω τολμᾷ, ὡς λέγειν περὶ τοιοῦδε πο-
λέμου, παρῄνεσε ἑτοίμοις ἐς τὸ παραγγελλόμενον εἶναι. οἱ δέ, συνιέντες
ὧν ἐπενόει, καὶ περὶ σφῶν δεδιότες μὴ τῆς στρατείας ἀποτύχοιεν, ἀσεβήματα

αὐτοῖς τὸ ἐνθύμημα τοῦ Σύλλα. καὶ ἐς Ῥώμην σφᾶς ἄγειν θαρροῦντα ἐκέλευον.
ὁ δὲ, ἡσθεὶς, ἦγεν ἓξ τέλη στρατιωτῶν αὐτίκα. καὶ αὐτὸν, οἱ μὲν ἄρχοντες τοῦ στρατοῦ
χωρὶς ἑνὸς ταμίου, διέδρασαν ἐς Ῥώμην· οὐχ ὑφιστάμενοι στρατὸν ἄγειν ἐπὶ τὴν
πατρίδα. πρέσβεις δ' ἐν ὁδῷ καταλαβόντες, ἠρώτων τί μεθ' ὅπλων ἐπὶ τὴν πατρίδα
ἐλαύνοι. ὁ δ' εἶπεν· ἐλευθερώσων αὐτὴν ἀπὸ τῶν τυραννούντων. καὶ τοῦτο
δὶς καὶ τρὶς ἑτέροις καὶ ἑτέροις πρέσβεσιν εἰπὼν, ἐπήγγελεν ὅμως, εἰ θέ-
λοιεν τήν τε σύγκλητον αὐτῷ, καὶ Μάριον καὶ Σουλπίκιον ἐς τὸ ἄρειον πεδίον
συναγαγεῖν· καὶ πράξειν ὅ,τι ἂν βουλευομένοις δοκῇ. πλησιάζοντι
δὲ, Πομπήιος μὲν ὁ σύναρχος ἐπαινῶν καὶ ἀρεσκόμενος τοῖς γιγνομένοις
ἀφίκετο συμπράξων ἐς ἅπαντα. Μάριος δὲ καὶ Σουλπίκιος ἀπαράσκευ-
οι ὀλίγου διαστήματος δεόμενοι, πρέσβεις ἑτέρους ἔπεμψαν, ὡς δὴ καὶ τούσδε
ὑπὸ τῆς βουλῆς ἀπεσταλμένους· δεόμενοι μὴ ἀγχοτέρω τεσσαράκοντα
σταδίων τῆς Ῥώμης παραστρατοπεδεύειν· μέχρις ἐπισκέψαιντο περὶ τῶν
παρόντων. Σύλλας δὲ καὶ Πομπήιος τὸ ἐνθύμημα σαφῶς εἰδότες, ὑπέσχοντο μὲν
ὧδε πράξειν· εὐθὺς δὲ τοῖς πρέσβεσιν ἀπιοῦσιν εἵποντο. καὶ Σύλλας μὲν τὰς
κοιλλίας καὶ τὸ παρ' αὐτὰς τεῖχος ἑνὶ τέλει στρατιωτῶν κατελάμβανε· Πομπή-
ιος δὲ τὰς Κολλίνας ἑτέρῳ τέλει. καὶ τρίτον, ἐπὶ τὴν ξυλίνην γέφυραν ἐχώρει.
καὶ τέταρτον, πρὸ τῶν τειχῶν ἐν διαδοχῇ ὑπέμενε. τοῖς δ' ὑπολοίποις, ὁ
Σύλλας ἐς τὴν πόλιν ἐχώρει· δόξῃ καὶ ἔργῳ πολεμίου. ὅθεν αὐτὸν οἱ περίοι-
κοι, ἄνωθεν ἠμύνοντο βάλλοντες, μέχρι τὰς οἰκίας ἠπείλησεν ἐμ-
πρήσειν. τότε δ' οἱ μὲν ἀνέσχον. Μάριος δὲ καὶ Σουλπίκιος ἀπήντων περὶ
τὴν Αἰσκυλίνου ἀγορὰν μεθ' ὅσων ἐφθάκεσαν ὁπλίσαι. καὶ γίγνεται τότε ἐκ τῶν
ἐχθρῶν, ὅδε πρῶτος ἐν Ῥώμῃ. οὐχ ὑπὸ εἰκόνι στάσεως ἔτι, ἀλλ' ἀπρο-
φασίστως ὑπὸ σάλπιγγι καὶ σημείοις πολέμου νόμῳ. ἐς τοσοῦτον αὐτοῖς
κακοῦ τὰ τῶν στάσεων ἀμεληθέντα προέκοψε. τρεπομένων δὲ τῶν Σύλλα
στρατιωτῶν, ὁ Σύλλας σημεῖον ἁρπάσας, προεκινδύνευεν, ὡς αἰδοῖ τε τοῦ
στρατηγοῦ. καὶ δέει τῆς ἐπὶ τῷ σημείῳ ἀτιμίας, εὐθὺς ἐκ τῆς
τροπῆς αὐτοὺς μετατίθεσθαι. καὶ ὁ Σύλλας ἐκάλει τε τοὺς νεαλεῖς ἐκ τοῦ στρα-
τοπέδου, καὶ ἑτέρους κατὰ τὴν καλουμένην Σιβούραν ὁδὸν περιέπεμπεν.
οἳ κατὰ νώτου τῶν πολεμίων ἔμελλον ἔσεσθαι περιδραμόντες. οἱ δ' ἀμφὶ τὸν
Μάριον, πρός τε τοὺς ἐπιθέοντας ἀκμῆτας ἀσθενῶς μαχόμενοι καὶ ἐπὶ τοῖς
περιοδεύουσι δείσαντες περικύκλωσιν, τούς τε ἄλλους πολίτας ἐκ τῶν

οἰκιῶν ἔτι μαχομένους συνεκάλουν. καὶ τοῖς δούλοις ἐκήρυττον ἐλευθερίαν ἢ
μετάσχοιεν τοῦ πόνου· οὐδενὸς δὲ προσιόντος, ἀπογνόντες ἅπαντα, ἔφυγον
αὐτίκα ἐκ τῆς πόλεως. καὶ σὺν αὐτοῖς ὅσοι τῶν ἐπιφανῶν συνεπεπράχεσαν. ὁ δὲ
Σύλλας, τότε μὲν ἐς τὴν λεγομένην ἱερὰν ὁδὸν προῆλθε. καὶ τοὺς διαρπάζοντάς
τι τῶν ἀπαντώντων αὐτίκα ἐν μέσῳ πάντων φωράσας, ἐκόλαζε. φρουρὰν δὲ κατὰ
μέρος ἐπιστήσας τῇ πόλει, διενυκτέρευεν αὐτός τε καὶ Πομπήιος περιθέοντες
ἑκάστοις. ἵνα μή τι δεινὸν ἢ παρὰ τῶν δεδιότων ἢ παρὰ τῶν νενικηκότων ἐπι-
γένοιτο. ἅμα δ' ἡμέρᾳ τὸν δῆμον ἐς ἐκκλησίαν συναγαγόντες, ὠδύροντο περὶ τῆς
πολιτείας, ὡς ἐκ πολλοῦ τοῖς δημοκοποῦσιν ἐκδεδομένης, καὶ αὐτοὶ ὅσον δὲ
πράξαντες ὑπ' ἀνάγκης, εἰσηγοῦντο τότε μηδὲν ἔτι ἀπροβούλευτον ἐς τὸν δῆμον
ἀναφέρεσθαι· νενομισμένον μὲν οὕτω καὶ πάλαι, παρηλλαγμένον δὲ ἐκ πολλοῦ.
καὶ τὰς χειροτονίας μὴ κατὰ φυλὰς, ἀλλὰ κατὰ λόχους ὡς Τύλλιος βασιλεὺς ἔταξε
γίγνεσθαι. νομίσαντες διὰ δυοῖν τοῖνδε· οὔτε νόμου οὐδενὸς πρὸ τῆς βουλῆς
ἐς τὸ πλῆθος ἀναφερομένου, οὔτε τὰς χειροτονίας ἐν τοῖς πένησι καὶ θρασυτάτοις
ἀντὶ τῶν ἐν περιουσίᾳ καὶ εὐβουλίᾳ γιγνομένων, δώσειν ἔτι στάσεων ἀφορμάς. πολ-
λά τε ἄλλα τῆς τῶν δημάρχων ἀρχῆς τυραννικῆς μάλιστα γεγενημένης περι-
ελόντες, κατέλεξαν ἐς τὸ βουλευτήριον ὀλιγανθρωπότατον δὴ τότε μάλιστα
ὂν καὶ παρὰ τοῦτο καταφρόνητον, ἀθρόους ἐκ τῶν ἀρίστων ἀνδρῶν τριακοσίους.
ὅσα τε ὑπὸ Σουλπικίου κεκύρωτο, μετὰ τὴν κεκρυμμένην ὑπὸ τῶν ὑπάτων
ἀργίαν, ἅπαντα διελύετο ὡς ἄκυρα. ὧδε μὲν αἱ στάσεις ἐξ ἔριδος καὶ φιλο-
νεικίας ἐπὶ φόνους καὶ ἐκ φόνων ἐς πολέμους ἐντελεῖς προέκοπτον. καὶ στρατὸς
πολιτῶν ὅδε πρῶτος ἐς τὴν πατρίδα ὡς πολεμίαν ἐσέβαλε. οὐδὲ λήξαντα ἀπὸ
τοῦδε αἱ στάσεις ἔτι κρινόμεναι στρατοπέδοις· ἀλλ' ἐσβολαὶ συνεχεῖς ἐς Ῥώ-
μην ἐγίγνοντο καὶ τειχομαχίαι, καὶ ὅσα ἄλλα πολέμων ἔργα, οὐδενὸς ἔτι ἐς
αἰδῶ τοῖς βιαζομένοις ἐμποδὼν ὄντος, ἢ νόμων ἢ πολιτείας ἢ πατρίδος. τότε
δὲ Σουλπίκιον δημαρχοῦντα ἔτι καὶ σὺν αὐτῷ Μάριον ἑξάκις ὑπατευκότα,
καὶ τὸν Μαρίου παῖδα, καὶ Πούπλιον Κέθηγον, καὶ Ἰούνιον Βροῦτον, καὶ Γναῖον, καὶ
Κόιντον Γράνιον, καὶ Πούπλιον Ἀλβιδιανὸν, καὶ Μάρκον Λαιτώριον, ἑτέρους τε
ὅσοι μετ' αὐτῶν ἐς δώδεκα μάλιστα, ἐκ Ῥώμης δὲ πεφεύγεσαν, ὡς στασιά-
σαντας καὶ πολεμήσαντας ὑπάτοις καὶ δούλοις κηρύξαντας ἐλευθερίαν, ἐς
ἀπόστασιν, πολεμίους Ῥωμαίων ἐψηφίσαντο εἶναι. καὶ τὸν ἐντυχόντα νηποινεὶ
κτείνειν, ἢ ἀνάγειν ἐπὶ τοὺς ὑπάτους. τά τε ὄντα αὐτοῖς δεδήμευτο. καὶ

ζητηταὶ διέθεον ἐπὶ τοὺς ἄνδρας· οἱ δὲ Σουλπίκιον μὲν καταλαβόντες ἔκτειναν·
ὁ δὲ Μάριος αὐτοὺς ἐς Μιντούρνας διέφυγεν ἔρημος ὑπηρετῶν τε καὶ θεραπόντων.
καὶ αὐτὸν οἱ τῆς πόλεως ἄρχοντες ἀναπαυόμενον ἐν οἰκίᾳ ζοφώδει, δεδιότες
μὲν τὸ κήρυγμα τοῦ δήμου, φυλαττόμενοι δὲ ἀνδρὸς ἑξάκις ὑπατεύσαντος,
καὶ πολλὰ καὶ λαμπρὰ εἰργασμένου αὐθένται γενέσθαι, Γαλάτην ἄνδρα ἐπι-
δημοῦντα, μετὰ ξίφους ἐσέπεμψαν ἀνελεῖν. τὸν δὲ Γαλάτην φασὶν ἐν τῷ
σκότῳ προσιόντα τῷ στιβαδίῳ δεῖσαι, δόξαντα τῶν ὀφθαλμῶν τοῦ Μαρίου πυρὸς
αὐγὴν καὶ φλόγα ἀφιέναι· ὡς δὲ καὶ Μάριος αὐτὸς ὑπανιστάμενος ἐκ τῆς εὐνῆς
ἀνεβόησε πάμμεγεθες αὐτῷ· σὺ τολμᾷς κτεῖναι Γάιον Μάριον; προτροπάδην
ὁ Γαλάτης ἔφυγεν ἔξω διὰ θυρῶν, μεμηνότι ἐοικὼς καὶ βοῶν, οὐ δύναμαι
κτεῖναι Γάιον Μάριον· ὅθεν καὶ τοῖς ἄρχουσιν ἅτε καὶ τέως ταῦτα ὀκνηρῶς κεκρι-
κόσι, ἀνεπεισῆλθέ τι δαιμόνιον δέος· καὶ μνήμη τῆς ἐκ παιδὸς ἐπιφημισθεί-
σης αὐτῷ ἀεὶ ἑβδόμης ὑπατείας· παιδὶ γὰρ ὄντι φασὶν, ἀετοῦ νεοττοὺς ἑπτὰ
καταρρυῆναι ἐς τὸν κόλπον· καὶ τοὺς μάντεις εἰπεῖν· ὅτι ἑπτάκις
ἐπὶ τῆς μεγίστης ἀρχῆς ἔσοιτο· ταῦτ' οὖν οἱ τῆς Μιντούρνης ἄρχοντες
ἐνθυμούμενοι, καὶ τὸν Γαλάτην ἔνθεον κατὰ δαίμονα καὶ περιδεᾶ νομί-
ζοντες γεγονέναι, τὸν Μάριον αὐτίκα τῆς πόλεως ἐξέπεμπον ὅποι δύναιτο
σώζεσθαι. ὁ δέ, γιγνώσκων ἑαυτὸν ζητούμενόν τε ἐκ Σύλλα καὶ περι-
διωκόμενον, ὁδοὺς ἀτρίβεις ἐπὶ θάλασσαν ἤλατο· καὶ καλύβης ἐπι-
τυχὼν ἀνεπαύετο· φυλλάδα ἐπιβαλλόμενος τῷ σώματι. ψόφου δ' αἰσθό-
μενος, ἐν τῇ φυλλάδι ὑπεκρύφθη· καὶ μᾶλλον ἔτι αἰσθόμενος, ἐς σκά-
φος ἁλιέως πρεσβύτου προσορμοῦν, βιασάμενος τὸν πρεσβύτην, ἐσή-
λατο, χειμῶνος ὄντος· καὶ τὸ πεῖσμα κόψας καὶ τὸ ἱστίον πετάσας, ἐπέτρεψε
τῇ τύχῃ φέρειν· κατήχθη δὲ ἔς τινα νῆσον· ὅθεν νεὼς οἰκείων ἀνδρῶν
παραπλεούσης ἐπιτυχών, ἐς Λιβύην ἐπέρα. εἰργόμενος δὲ καὶ Λιβύης
ὡς πολέμιος, ὑπὸ Σεξτιλίου ἡγουμένου, διεχείμαζεν ἐν τῇ θαλάσσῃ,
μικρὸν ὑπὲρ Λιβύην ἀνέχων, ἐν τοῖς Νομάδων ὅροις· καὶ αὐτῷ θαλασσεύοντι
δεῦρο, κατὰ πύστιν ἐπέπλεον τῶν συγκατεγνωσμένων· Κέθηγός τε καὶ
Γράνιος· καὶ Ἀλβινιανὸς· καὶ Λαιτώριος καὶ ἕτεροι· καὶ ὁ υἱὸς αὐτοῦ Μαρίου, οἱ
ὡς μὲν ἄνδρες ἐθελοί, τὸν Νομάδων δυνάστην, ἀπὸ Ῥώμης δὲ ἔφυγον· ὑπο-
ψίᾳ δ' ἐκδόσεως, ἐκεῖθεν ἀπέδρασαν. οἱ μὲν, δὴ καθὰ καὶ Σύλλας βιάσασθαι
τὴν πατρίδα διανοούμενοι· στρατιὰν δὲ οὐκ ἔχοντες, περιέβλεπον ἅ τι συμβαίη.

ἐν δὲ Ῥώμῃ Σύλλας μὲν ὅπλοις τὴν πόλιν ὁ δὲ πρῶτος καταλαβών τε καὶ
δυνηθεὶς ἂν ἴσως ἤδη μοναρχεῖν, ἐπεὶ τοὺς ἐχθροὺς ἠμύνατο, τὴν βίαν
ἑκὼν ἀπέθετο· καὶ τὸν στρατὸν ἐς Καπύην προπέμψας, αὖθις ἦρχεν ὡς ὕπατος.
οἱ δὲ τῶν ἐξεληλαθότων στασιῶται, ὅσοι τῶν πλουσίων, καὶ γύναια πολλὰ πολυχρήματα,
τοῦ δέους τῶν ὅπλων ἀναπνεύσαντες, ἠρέθιζον τοῦ ὑπὲρ καθόδου τῶνδε τῶν ἀν-
δρῶν· καὶ οὐδὲν σπουδῆς ἢ δαπάνης ἐς τοῦτο ἀπέλιπον, ἐπιβουλεύοντες καὶ
τοῖς τῶν ὑπάτων σώμασιν, ὡς οὐκ ἐνὸν τῶνδε περιόντων, ἐκείνοις κατελθεῖν· Σύλλᾳ
μὲν δὴ καὶ παυσαμένῳ τῆς ἀρχῆς, στρατὸς ἦν ὁ ἐψηφισμένος ἐπὶ Μιθριδάτην,
ὥσπερ ἂν αὐτῷ φύλαξ· Κόιντον δὲ Πομπήιον τὸν ἕτερον ὕπατον, ὁ δῆμος οἰκτείρων
τοῦ δέους, ἐψηφίσατο ἄρχειν Ἰταλίας καὶ ἑτέρου τοῦ περὶ ταῦτα στρατοῦ, τότε
ὄντος ὑπὸ Γναίῳ Πομπηίῳ· τοῦθ' ὁ Γναῖος πυθόμενός τε καὶ δυσχεράνας, ἥκοντα
μὲν τὸν Κόιντον ἐς τὸ στρατόπεδον ἐσεδέξατο· καὶ τῆς ἐπιούσης τι χρηματίζοντος,
ὑπεχώρησε μικρὸν οἷα ἰδιώτης· μέχρι τὸν ὕπατον πολλοὶ καθ' ὑπόκρισιν ἀ-
κροάσεως περιστάντες, ἔκτειναν· καὶ φυγῆς τῶν λοιπῶν γενομένης, ὁ Γναῖος
αὐτοῖς ἀπήντησε χαλεπαίνων, ὡς ὑπάτου παρανόμως ἀνῃρημένου· δυσχε-
ράνας δ' ὅμως, εὐθὺς ἦρχεν αὐτῶν· ἐξαγγελθέντος δὲ ἐς τὴν πόλιν τοῦ Πομπηίου
φόνου, αὐτίκα μὲν ὁ Σύλλας περιδεὴς ἐφ' ἑαυτῷ γενόμενος, τοὺς φίλους περιή-
γετο πανταχοῦ· καὶ νυκτὸς ἀμφ' αὑτὸν εἶχεν· οὐ πολὺ δὲ ἐπιμείνας, ἐς Καπύην
ἐπὶ τὸν στρατόν, κἀκεῖθεν ἐπὶ τὴν Ἀσίαν ἐξήλασεν· οἱ δὲ τῶν φυγάδων φίλοι,
Κίννα τῷ μετὰ Σύλλαν ὑπατεύοντι θαρροῦντες, τοὺς νεοπολίτας ἠρέθιζον
ἐς τὸ ἀνθύπομνημα τοῦ Μαρίου· ταῖς φυλαῖς ἀξιοῦντες ἀναμεμῖχθαι· ἵνα μὴ
ἔσχατοι ψηφιζόμενοι, πάντων ὦσιν ἄκυροι· τοῦτο δ' ἦν προοίμιον τῆς
αὐτοῦ τε Μαρίου, καὶ τῶν ἀμφὶ τὸν ἄνδρα καθόδου· ἀνθισταμένων δὲ τῶν ἀρχαίων
κατὰ κράτος, Κίννας μὲν τοῖς νεοπολίταις συνεπράττε· νομιζόμενος ἐπὶ
τῷδε τριακόσια δωροδοκῆσαι τάλαντα· τοῖς δ' ἀρχαίοις ὁ ἕτερος ὕπατος Ὀκτά-
ουιος· καὶ οἱ μὲν ἀμφὶ τὸν Κίνναν προλαβόντες τὴν ἀγορὰν μετὰ κηρυγμάτων
ξιφιδίων, ἐβόων ἐς τὰς φυλὰς πάσας ἀναμεμῖχθαι· τὸ δὲ καθαρώτερον πλῆθος,
ἐς τὸν Ὀκταουίου ἐχώρει· καὶ οἵδε μετὰ ξιφιδίων· ἔτι δ' αὐτῷ κατὰ τὴν οἰκίαν
τὸ μέλλον περιορωμένῳ, ἐξαγγέλλεται τοὺς πλέονας δημάρχους κωλύοντα ἤδη
γιγνόμενα· θόρυβον δὲ τῶν νεοπολιτῶν εἶναι· καὶ ἐπὶ γυμνώσει ἤδη τῶν ξι-
φιδίων περὶ ὁδόν, ἐν τῷ ἀντιλέγοντας δημάρχους· ἀναπηδῶντας ἐπὶ τὰ ἔμ-
βολα· ὡς ὁ Ὀκτάουιος πυθόμενος, κατέβαινε διὰ τῆς ἱερᾶς ὁδοῦ, μετὰ πυκνοῦ

πανὺ πλήθους· καὶ οἷα χειμάρρους ἐς τὴν ἀγορὰν ἐμπεσὼν, ὤσατο μὲν διὰ μέσων τῶν συνεστώτων· καὶ διέστησεν αὐτούς· ὡς δὲ κατέπληξεν, ἐς τὸ τῶν Διοσκούρων ἱερὸν ἀνῆλθε, τὸν Κίνναν ἐκτρεπόμενος· οἱ δὲ σὺν αὐτῷ ὥσπερ ἀπὸ παραγγέλματος ἐμπεσόντες τοῖς νεοπολίταις, ἔκτεινάν τε πολλούς, καὶ τοὺς λοιποὺς φεύγοντας ἐπὶ τὰς πύλας ἐδίωκον. Κίννας δὲ θαρρήσας μὲν τῷ πλήθει τῶν νεοπολιτῶν καὶ βιάσασθαι προσδοκήσας, παράδοξον δὲ ὁρῶν τὸ τόλμημα τῶν ὀλίγων ἐπικρατοῦν, ἀνὰ τὴν πόλιν ἔθει, τοὺς θεράποντας ἐπ' ἐλευθερίᾳ συγκαλῶν· οὐδενὸς δὲ αὐτῷ προσιόντος, ἐξέδραμεν ἐς τὰς ἀγχοῦ πόλεις, τὰς οὐ πρὸ πολλοῦ πολίτιδας Ῥωμαίων γενομένας· Τίβυρτόν τε καὶ Πραίνεστον, καὶ ὅσαι μέχρι Νώλης, ἐρεθίζων ἅπαντας ἐς ἀπόστασιν, καὶ χρήματα ἐς τὸν πόλεμον συλλέγων. ταῦτα δ' ἐργαζομένῳ τε καὶ ἐπινοοῦντι τῷ Κίννᾳ, προσέφυγον ἀπὸ τῆς βουλῆς οἱ τὰ αὐτὰ ἐφρόνουν· Γάιός τε Μέλωνιος καὶ Κόιντος Σερτώριος καὶ Γάιος Μάριος ἕτερος. ἡ μὲν δὴ βουλὴ τὸν Κίνναν, ὡς ἐν κινδύνῳ τε τὴν πόλιν καταλιπόντα ὕπατον, καὶ δούλοις ἐλευθερίαν κηρύξαντα, ἐψηφίσατο μήτε ὕπατον μήτε πολίτην ἔτι εἶναι· καὶ Λεύκιον Μερόλαν ἐχειροτόνησαν ἀντ' αὐτοῦ, τὸν ἱερέα τοῦ Διός. λέγεται δ' οὗτος ὁ ἱερεὺς φλαμὴν τας καὶ πιλοφορεῖ μόνος ἀεί· τῶν δ' ἄλλων ἱερέων ἐν μόναις πιλοφορούντων ταῖς ἱερουργίαις. Κίννας δ' ἐς Καπύην τραπόμενος, ἔνθα Ῥωμαίων στρατὸς ἄλλος ἦν, τούς τε ἄρχοντας αὐτοῦ, καὶ ὅσοι ἀπὸ τῆς βουλῆς ἐπεδήμουν, ἐθεράπευε· καὶ παρελθὼν ὡς ὕπατος ἐς μέσους, τάς τε ῥάβδους καθῆκεν οἷα ἰδιώτης· καὶ δακρύσας ἔφη· παρὰ μὲν ὑμῶν, ὦ πολῖται, τὴν ἀρχὴν τήνδε ἔλαβον· ὁ γὰρ δῆμος ἐχειροτόνησε· ἡ βουλὴ δὲ ἀφείλετό με χωρὶς ὑμῶν. καὶ τάδε παθὼν, ἐν οἰκείοις κακοῖς ὑπὲρ ὑμῶν ὅμως ἀγανακτῶ. τί γὰρ ἔτι τὰς φυλὰς ἐν ταῖς χειροτονίαις θεραπεύομεν; τί δὲ ὑμῶν δεόμεθα; ποῦ δὲ ἔσεσθε τῶν ἐκκλησιῶν ἢ χειροτονιῶν καὶ τῶν ὑπατειῶν ἔτι κύριοι, ἂν μὴ βεβαιώσητε μὲν ἃ δίδοτε, ἀφαιρεθῆτε δὲ ὅταν αὐτοὶ δοκιμάσητε. ταῦτα εἰπὼν ἐς ἐρεθισμὸν, καὶ πολλὰ περὶ αὐτοῦ κατοικτισάμενος, τήν τε ἐσθῆτα κατέρρηξε, καὶ ἀπὸ τοῦ βήματος καταθορὼν, ἔρριψεν αὐτὸν ἐς μέσους, καὶ ἔκειτο ἐπὶ πλεῖστον· ἕως ἐπικλασθέντες ἀνέστησάν τε αὐτὸν, καὶ καθίσαντες αὖθις ἐπὶ τὸν θρόνον, τάς τε ῥάβδους ἀνέσχον, καὶ θαρρεῖν οἷα ὕπατον ἐκέλευον, καὶ σφᾶς ἄγειν ἐφ' ὅ τι χρῄζοι. τῆς δ' ἀφορμῆς αὖθις οἱ ἄρχοντες ἐπέβαινον· καὶ ὤμνυον τῷ Κίννᾳ τὸν ὅρκον τὸν στρατιωτικόν· καὶ τοὺς ὑφ' αὑτὸν ἕκαστος ἐξώρκου. ὁ δὲ ἐπεὶ τάδε εἶχεν, ἀσφαλῶς ἐπὶ τὰς συμμαχί-

πόλεις δ' ἔθει· καὶ ἠρέθιζε καὶ ταύτας, ὡς διὰ τούσδε μάλιστα τὴν συμφορὰν αὐτῷ γενομένην· οἱ δὲ χρήματά τε αὐτῷ συνέφερον· καὶ πολλοὶ καὶ τῶν ἐν Ῥώμῃ δυνατῶν ἕτεροι πρὸς αὐτὸν ἀφικνοῦντο, οἷς ἀπήρεσκεν ἡ τῆς πολιτείας ἀταξία. καὶ Κίννας μὲν ἀμφὶ ταῦτ' ἐγίγνετο· Ὀκτάουιος δὲ καὶ Μερόλας οἱ ὕπατοι, τότε μὲν ἄστυ τάφροις καὶ τειχῶν ἐπισκευαῖς ὠχύρουν, καὶ μηχανήματα ἐφίστασαν· ἐπὶ δὲ στρατιὰν ἔς τε τὰς ἑτέρας πόλεις τὰς ἔτι σφῶν κατηκόους καὶ ἐς τὴν ἀγχοῦ Γαλατίαν περιέπεμπον, Γναῖόν τε Πομπήιον, ἀνθύπατον ὄντα, καὶ στράτευμα περὶ τὸν Ἰόνιον ἡγούμενον, ἐκάλουν κατὰ σπουδὴν ἐπικουρεῖν τῇ πατρίδι. ὁ δ' ἦλθε μὲν καὶ ταῖς Κολλίναις πύλαις ἐστρατοπέδευσε· καὶ ὁ Κίννας ἐπελθὼν αὐτῷ, ἀντεστρατοπέδευε. Γάιος δὲ Μάριος τούτων πυθόμενος, ἐς Τυρρηνίαν κατέπλευσεν, ἅμα τοῖς συνεξελαθεῖσι καὶ θεράπουσιν αὐτῶν ἐπελθοῦσιν ἀπὸ Ῥώμης ἐς πεντακοσίους μάλιστα οὖσι γεγονόσι· ῥυπῶν δ' ἔτι καὶ κομῶν ἀθλίως ἐπῄει τὰς πόλεις οἰκτρὸς ὀφθῆναι. μάχας τε καὶ τρόπαια αὐτοῦ Κιμβρικὰ, καὶ ἓξ ὑπατείας ὑπερεπαίρων· καὶ περὶ τῆς χειροτονίας σφόδρα αὐτοῖς ἐπιθυμοῦσιν, ἐπαγγελλόμενός τε καὶ πιστὸς εἶναι δοκῶν, συνήγαγε Τυρρηνῶν ἑξακισχιλίους· καὶ ἐς Κίνναν διῆλθεν, ἀσμένως αὐτὸν ἐπὶ κοινωνίᾳ τῶν παρόντων δεχόμενον. ὡς δὲ ἀνεμέχθησαν, ἐστρατοπέδευον ἐπὶ τοῦ ποταμοῦ τοῦ Τιβέρεως· ἐς τέσσαρα διαιρεθέντες· Κίννας μὲν καὶ Κάρβων σὺν αὐτῷ τῆς πόλεως ἀντικρύ· Σερτώριος δὲ ὑπὲρ τὴν πόλιν ἄνω· καὶ Μάριος πρὸς τὴν θάλασσαν. ζευγνύουσιν οἱ δὲ τὸν ποταμὸν καὶ γεφυροῦντες, ἵνα τὴν πόλιν ἀφέλοιεν τῆς σιταγωγίας. Μάριος δὲ καὶ Ὀστίαν εἷλε καὶ διήρπασε· καὶ Κίννας ἐπιπέμψας, Ἀρίμηνον κατέλαβε, τοῦ μή τινα στρατιὰν τῇ πόλει ἐπελθεῖν ἐκ τῆς ὑπηκόου Γαλατίας. οἱ δὲ ὕπατοι δεδιότες, καὶ στρατιᾶς ἄλλης δεόμενοι, Σύλλαν μὲν οὐκ εἶχον καλεῖν ἐς τὴν Ἀσίαν ἤδη διαπεπερακότα· Καικίλιον δὲ Μέτελλον τὰ λείψανα τοῦ συμμαχικοῦ πολέμου πρὸς Σαυνίτας διατιθέμενον, ἐκέλευον ὅπῃ δύναιτο διαλυσάμενον, ἐπικουρεῖν τῇ πατρίδι πολιορκουμένῃ. οὐ συμβαινόντων δὲ Σαυνίταις ἐς ἃ ᾔτουν τοῦ Μετέλλου, ὁ Μάριος αἰσθόμενος, συνέθετο τοῖς Σαυνίταις ἐπὶ πᾶσιν οἷς ᾔτουν παρὰ τοῦ Μετέλλου. ὧδε μὲν δὴ καὶ Σαυνῖται Μαρίῳ συνεμάχουν· Κλαύδιον δὲ Ἄππιον χιλίαρχον, τηροφυλακοῦντα τῆς Ῥώμης τὸν λόφον τὸν καλούμενον Ἰάνουκλον, ὧν ποτε πάθοι ὑφ' ἑαυτοῦ τῆς δ' εὐεργεσίας ἀναμιμνήσκων ὁ Μάριος, ἐς τὴν πόλιν ἐσῆλθε, ὑπανοιχθείσης αὐτῷ πύλης περὶ ἕω· καὶ τὸν Κίνναν ἐσεδέξατο. ἀλλ' οὗτοι μὲν αὐτίκα ἐξεώσθησαν, Ὀκταουίου καὶ Πομπηίου σφίσιν ἐπιδραμόντων· κεραυνῶν δὲ πολλῶν ἐς τὸ τοῦ

πομπηίου στρατόπεδον καταφρονησάντων, ἄλλοι τε σὺν ἐπιφανῶν καὶ ὁ πομπήϊος
ἀπώλετο. μάριος δὲ ἐπεὶ τῆς ἀγορᾶς τῆς ἔκ τε θαλάσσης καὶ ἄνωθεν ἀπὸ τοῦ ποταμοῦ
φερομένης κατέσχεν, ἐπὶ τὰς ἀγχοῦ τῆς ῥώμης πόλεις ἐπετρόχαζεν, ἔνθα σῖτος
ἦν τοῖς ῥωμαίοις προσεσωρευμένος· ἄφνω δὲ τοῖς φρουροῖς ἐπιπίπτων,
εἷλε μὲν ἄντιον καὶ ἀρικίαν καὶ λανούβιον καὶ ἄλλας πόλεις· ἔστιν ἃς καὶ προδιδόντων
τινῶν· ὡς δὲ καὶ τῆς κατὰ γῆν ἐκράτησεν ἀγορᾶς, ἀθρόως ἐβάδιζεν ἐπὶ τὴν ῥώ-
μην αὐτίκα, διὰ τῆς ὁδοῦ τῆς καλουμένης ἀππίας, πρίν τινα αὐτοῖς ἀγορὰν ἄλλην
ἐπεισαχθῆναι. τοῦ δ᾽ ἄστεος κατὰ σταδίους αὐτός τε καὶ κίννας καὶ οἱ στρατηγοῦντες
αὐτοῖς κάρβων τε καὶ σερτώριος ἀποσχόντες, ἐστρατοπέδευον. ὀκταουΐου καὶ
κράσσου καὶ μετέλλου περὶ τὸ ὄρος τὸ ἀλβανὸν αὐτοῖς ἀντικαθημένων καὶ τὰ μέλλοντα
ἐφορᾶσθαι περιβλεπομένων. ἀρετῇ μὲν ἔτι καὶ πλήθει νομιζομένων εἶναι κρατίστων·
ὀκνούντων δ᾽ ὑπὲρ ὅλης ὀξέως κινδυνεῦσαι τῆς πατρίδος, διὰ μάχης μιᾶς. ὡς δὲ
περιπέμψας ὁ κίννας περὶ τὸ ἄστυ κήρυκας, ἐδίδου τοῖς ἐς αὐτὸν αὐτομολοῦσι
θεράπουσιν ἐλευθερίαν, κατὰ πλῆθος ηὐτομόλουν αὐτίκα. καὶ ἡ βουλὴ τεταραγ-
μένη, καὶ πολλὰ δεινὰ ἀπὸ βραδυτῆτος ἐπὶ πολὺ παρὰ τοῦ δήμου προσδοκῶσα, μετέ-
πεσε τῇ γνώμῃ. καὶ πρέσβεις ὑπὲρ διαλύσεων ἐς τὸν κίνναν ἔπεμπον. ὁ δὲ,
αὐτοὺς πρότερον ἤρετο, ὡς πρὸς ὕπατον ἥκοιεν ἢ πρὸς ἰδιώτην. ἀπορηθέντων
δ᾽ ἐκείνων, ἐς τὸ ἄστυ ἐπανῆλθον, πολλοὶ καὶ τῶν ἐλευθέρων ἤδη κατὰ πλῆθος
πρὸς τὸν κίνναν ἐξεπήδων· οἱ μὲν, περὶ τῷ λιμῷ δεδιότες· οἱ δὲ πρὸ πολλοῦ τὰ
ἐκείνου ᾑρημένοι, καὶ τὴν ῥοπὴν τῶν γιγνομένων περιμένοντες. κίννας δ᾽ ἤδη καὶ κατα-
φρονητικῶς τῶν τειχῶν ἐπλησίαζε. καὶ ἀποσχὼν ὅσον βέλους ὁρμήν, ἐστρατοπέδευ-
εν, ἀπορούντων ἔτι καὶ δεδιότων καὶ ὀκνούντων ἐπιχειρεῖν αὐτῷ τῶν ἀμφὶ τὸν
ὀκταούϊον διὰ τὰς αὐτομολίας τε καὶ περιπρεσβείας. ἡ δὲ βουλὴ πάνυ μὲν ἀπο-
ρουμένη καὶ δεινὸν ἡγουμένη λεύκιον μερόλαν τὸν ἱερέα τοῦ διὸς ὑπατεύοντα ἀντὶ
τοῦ κίννα καὶ οὐδὲν ἐν τῇ ἀρχῇ ἁμαρτόντα ἀφαιρεθῆναι, ἄκουσα δ᾽ ὅμως ἐπὶ τῶν
συμφορῶν, αὖθις ἐς τὸν κίνναν τοὺς πρέσβεις ἔπεμπεν ὡς πρὸς ὕπατον. οὐδὲν δ᾽ ἔτι
χρηστὸν ἔτι προσδοκῶντες, τοῦτο μόνον ἠξίουν, ἐπομόσαι σφίσι τὸν κίνναν φόνον
οὐκ ἐργάσασθαι. ὁ δὲ, ὀμόσαι μὲν οὐκ ἠξίωσεν· ὑπέσχετο δὲ ὧδε, ἑκὼν οὐδενὶ
σφαγῆς αἴτιος ἔσεσθαι. ὀκταούϊον δ᾽ ἤδη περιόδοντα καὶ κατ᾽ ἄλλας πύλας
ἐς τὴν πόλιν ἐσελθόντα, ἐκέλευεν ἐκστῆναι τῇ ὁδῷ μή τι ἄκοντος αὐτοῦ
πάθοι. ὁ μὲν δὴ ταῦτ᾽ ἐπὶ βήματος ὑψηλοῦ καθάπερ ὕπατος τοῖς πρέσβεσ-
ιν ὧδε ἀπεκρίνατο. μάριος δ᾽ αὐτῷ παρεστὼς παρὰ τὸν θρόνον, ἡσύχαζε μὲν,

ἐδήλου δὲ τῇ δριμύτητι τοῦ προσώπου ὅσον ἐργάσεται φόνον. δεξαμένης δὲ
ταῦτα τῆς βουλῆς καὶ καλούσης ἐσελθεῖν κίνναν τε καὶ μάριον, ᾔσθοντο γὰρ δὴ
μάριον μὲν ἦν καὶ τὰ ἔργα τὰ δεινά· κίνναν δ᾽ αὐτοῖς ἐπιγράφεσθαι, σκυθρωπὸν
σφόδρα ὁ μάριος ἐπιμειδιῶν, εἶπεν· οὐκ εἶναι φυγάσιν εἴσοδον. καὶ εὐθὺς οἱ δή-
μαρχοι τὴν φυγὴν αὐτῷ τε καὶ ὅσοι ἄλλοι κατὰ σύλλαν ὑπατεύοντα ἐξελήλαντο, ἐψη-
φίσαντο λελύσθαι. οἱ μὲν δὴ δεχομένων αὐτοὺς σὺν δέει πάντων, ἐσῄεσαν ἐς τὴν πόλιν.
καὶ τὰ τῶν ἀντιπρᾶξαι σφίσι δοκούντων, ἀκωλύτως πάντα διηρπάζετο. ὀκταουΐῳ
δὲ κίννας μὲν καὶ μάριος ὅρκους ἐπεπόμφεισαν, καὶ θύται καὶ μάντεις οὐδὲν πείσεσθαι
προὔλεγον. οἱ δὲ φίλοι φυγεῖν παρῄνουν. ὁ δ᾽ εἰπὼν οὔποτε προλείψειν τὴν
πόλιν ὕπατος ὤν, ἐς τὸ ἰάνουκλον ἐκστὰς τοῦ μέσου, διῆλθε μετὰ τῶν ἐπι-
φανεστάτων, καὶ τινος ἔτι καὶ στρατοῦ. ἐπί τε τοῦ θρόνου προυκάθητο τὴν τῆς ἀρχῆς
ἐσθῆτα ἐπικείμενος, ῥάβδων καὶ πελέκεων ὡς ὑπάτῳ περικειμένων. ἐπιθέοντος
δ᾽ αὐτῷ μετά τινων ἱππέων κηνσωρίνου, καὶ πάλιν τῶν φίλων αὐτὸν καὶ τῆς παρε-
στώσης στρατιᾶς φυγεῖν παρακαλούντων καὶ τὸν ἵππον αὐτῷ προσαγόντων, οὐκ
ἀπαξιωσάμενος οὐδὲ ὑπαναστῆναι, τὴν σφαγὴν περιέμενεν. ὁ δὲ κηνσωρῖνος αὐτοῦ
τὴν κεφαλὴν ἀποτεμὼν, ἐκόμισεν ἐς κίνναν. καὶ ἐκρεμάσθη πρὸ τῶν ἐμβόλων
ἐν ἀγορᾷ. πρώτου τοῦδε ὑπάτου. μετὰ δ᾽ αὐτὸν καὶ τῶν ἄλλων ἀναιρουμένων,
ἐκρήμαντο αἱ κεφαλαί. καὶ οὐδὲ λήξει ἔτι καὶ τόδε τὸ μύσος. ἀρξάμενόν τε ἀπὸ
ὀκταουΐου καὶ ἐς τοὺς ἔπειτα ὑπὸ τῶν ἐχθρῶν ἀναιρουμένους περιῄει. ζητηταὶ
δ᾽ ἐπὶ τοὺς ἐχθροὺς αὐτίκα διέθεον. τοῖς τε ἀπὸ τῆς βουλῆς καὶ τῶν καλουμένων ἱππέ-
ων οὐδεμία ἔτι μετὰ τὴν ἀναίρεσιν ἐγίγνετο. αἱ δὲ τῶν βουλευτῶν κεφαλαὶ πᾶσαι
προυτίθεντο πρὸ τῶν ἐμβόλων. αἰδώς τε θεῶν καὶ νεμέσεις ἀνδρῶν καὶ φθόνου φόβος
οὐδεὶς ἔτι τοῖς γιγνομένοις ἐπῆν. ἀλλὰ ἐς ἔργα ἀνήμερα καὶ ἐπὶ τοῖς ἔργοις ἐς
ὄψεις ἐτρέποντο ἀθεμίστους. κτείνοντες ἀνηλεῶς καὶ περιτέμνοντες αὐχένας
ἀνδρῶν ἤδη τεθνεώτων, καὶ προτιθέντες τὰς συμφορὰς ἐς φόβον ἢ κατάπληξιν ἢ θέαν
ἀθέμιστον. γάιος μὲν δὴ ἰούλιος καὶ λεύκιος ἰούλιος καὶ ἀτίλιος σερρανὸς, δύο
ἀλλήλοιν ἀδελφώ, καὶ πούπλιος λέντλος καὶ γάιος νεμετώριος, καὶ μάρκος βέβιος
ἐν ὁδῷ καταληφθέντες, ἀνῃρέθησαν. κράσσος δὲ μετὰ τοῦ παιδὸς διωκόμενος, τὸν
μὲν υἱὸν ἔφθασε προανελεῖν. αὐτὸς δ᾽ ὑπὸ τῶν διωκόντων ἀνῃρέθη. τὸν δὲ ῥήτορα μάρκον
ἀντώνιον ἔς τι χωρίον ἐκφυγόντα, ὁ γεωργὸς ἐπικρύπτων καὶ ξενίζων, ἐς πανδο-
χεῖον ἔπεμψε τὸν θεράποντα σπουδαιότερον τοῦ συνήθους οἶνον πρίασθαι. καὶ τοῦ
καπήλου δὴ ἀσπουδαιότερον αἰτοῦντος πυθομένου, ὁ μὲν θεράπων εἶπέ τι ψιθυρίσας

τὸ αἴτιον· ὁ πειθόμενος, ἐπανῆλθεν· ὁ δὲ κάπηλος, αὐτίκα ἔθει Μαρίῳ τοῦτο δη-
λώσων· καὶ ὁ Μάριος ἐπί τε τῷ καιρῷ, ὑφ' ἡδονῆς ἀνέδραμεν ὡς αὐτὸς ὁρμήσων
ἐπὶ τὸ ἔργον· ἐπισχόντων δ' αὐτὸν τῶν φίλων, χιλίαρχος ἀποσταλεὶς στρατιώτας
ἐς τὸ οἴκημα ἀνέπεμψεν· οὓς ὁ Ἀντώνιος ἡδὺς ὢν εἰπεῖν, κατεκήλει λόγοις μα-
κροῖς· οἰκτιζόμενός τε καὶ πολλὰ καὶ ποικίλα διεξιών· ἕως ὁ χιλίαρχος, ἀπορῶν ἐπὶ
τῷ γιγνομένῳ, αὐτὸς ἀνέδραμεν ἐς τὸ οἴκημα· καὶ τοὺς στρατιώτας εὑρὼν ἀκρο-
ωμένους, ἔκτεινε τὸν Ἀντώνιον ῥητορεύοντα ἔτι· καὶ τὴν κεφαλὴν ἔπεμψε τῷ Μαρίῳ.
Κορνοῦτον δὲ ἐν καλύβαις κρυπτόμενον, οἱ θεράποντες αὐτοῦ μηχανικῶς περιέσωσαν·
νεκρῷ γὰρ περιτυχόντες σώματι, πυράν τε νήσαντες· καὶ τῶν ζητητῶν ἐπιόντων, ἅψαντες
τὴν πυρὰν, ἔφασαν τὸν δεσπότην καίειν ἀπαγξάμενον· ὁ μὲν δὴ πρὸς τῶν θεραπόντων
περιέσωστο· Κόιντος δὲ Ἀγχάριος Μάριον ἐν Καπιτωλίῳ μέλλοντα θύσειν, ἐφύ-
λαττεν· ἐλπίζων οἱ τὸ ἱερὸν διαλλακτήριον ἔσεσθαι· ὁ δὲ ἀρχόμενος τῆς θυσίας, προ-
σιόντα τὸν Ἀγχάριον καὶ προσαγορεύοντα, αὐτίκα ἐν τῷ Καπιτωλίῳ τοῖς περιεστῶσι προσέ-
ταξεν ἀνελεῖν· καὶ ἡ κεφαλὴ καὶ τοῦδε, καὶ Ἀντωνίου τοῦ ῥήτορος· καὶ τῶν ἄλλων ὑπατευ-
κότων καὶ στρατηγῶν γεγονότων, ἐν ἀγορᾷ προυτέθησαν· ταφήν τε οὐδενὶ ἐξῆν ἐπενεγκεῖν
ἐς οὐδένα τῶν ἀναιρουμένων· ἀλλ' οἰωνοί τε καὶ κύνες, ἄνδρας τοιούσδε διεσπάσαντο·
πολὺς δὲ καὶ ἄλλος ἦν τῶν στασιωτῶν φόνος ἐς ἀλλήλους ἀνεύθυνος· καὶ ἐξελάσεις τε
καὶ δημεύσεις περιουσιῶν· καὶ ἀρχῆς ἀφαιρέσεις· καὶ ἀνατροπαὶ τῶν ἐπὶ Σύλλα τεθέν-
των νόμων· αὐτοῦ τε Σύλλα φίλοι, πάντες ἀνῃροῦντο· καὶ ἡ οἰκία κατεσκάπτετο· καὶ ἡ
περιουσία δὲ δεδήμευτο· καὶ πολέμιος ἐψηφίζετο· τὸ δὲ γύναιον, καὶ τὰ τέκνα ζητού-
μενοι, ἔφυγον· ὅλως τε οὐδὲν ἀπῆν ἀθρόων τε καὶ ποικίλων κακῶν· ἐπὶ δὲ τούτοις,
ἐς ὑπόκρισιν ἀρχῆς ἐννόμου μετὰ τοσούσδε φόνους ἀκρίτους, ὑπεβλήθησαν κατή-
γοροι τῷ τε ἱερεῖ τοῦ Διὸς Μερόλᾳ· καὶ τὴν ὀργὴν ἄρα τῆς ἀρχῆς, ἣν Κίννᾳ οὐδὲν ἀδικῶν
διεδέδεκτο· καὶ Λουτατίῳ Κάτλῳ τῷ Μαρίῳ περὶ τὰ Κίμβρια συνάρχῳ· περισω-
θέντι μὲν ἐκ Μαρίου πάλαι· ἀχαριστοῦντι δὲ ἐς αὐτὸν καὶ πικροτάτῳ περὶ τὴν ἐξέλασιν γενο-
μένῳ· οὗτοι μὲν δὴ, φυλασσόμενοί τε ἀφανῶς· καὶ τῆς κυρίας ἡμέρας ἐπελθούσης,
ἐς τὴν δίκην ἀνακαλούμενοι· τετράκι δὲ ἐχρῆν κηρυττομένοις ἐν ὡρισμένοις
ἡμερῶν διαστήμασιν ἁλῶναι, Μερόλας μὲν, τὰς φλέβας ἀνέτεμεν ἑαυτοῦ· καὶ ἐπιγρα-
κίου αὐτῷ ἐπικειμένου ἐδήλου, ὅτι κόπτων τὰς φλέβας τὸν πῖλον ἀποθοῖτο·
οὐ γὰρ ἦν θεμιτὸν, ἱερέα περικείμενον τελευτᾶν· Κάτλος δὲ ἐν οἰκήματι νεοχρίστῳ
τε καὶ ἔτι ὑγρῷ, καίων ἄνθρακας, ἑκὼν ἀπεπνίγη· καὶ οὗτοι μὲν οὕτως ἀπέ-
θανον· θεράποντες δ' ὅσοι κατὰ τὸ κήρυγμα πρὸς Κίνναν ἐκδραμόντες, ἐλεύθεροι

γεγένηντο· καὶ αὐτῷ Κίννᾳ ὅτε ἐστρατολόγει, ταῖς οἰκίαις ἐπέτρεχον· καὶ διήρ-
παζον, ἀναιροῦντες ἅμα οἷς περιτύχοιεν· οἱ δὲ αὐτῶν, καὶ τοῖς σφετέροις δεσπόταις
μάλιστα ἐπεχείρουν· Κίννας δὲ ἐπεὶ πολλάκις αὐτοῖς ἀπαγορεύων οὐκ ἔπειθε, Γαλα-
τῶν στρατιὰν αὐτοῖς ἔτι νυκτὸς ἀναπαυομένοις περιστήσας, διέφθειρε πάντας.
οἱ μὲν δὴ θεράποντες, δίκην ἀξίαν ἔδοσαν τῆς ἐς δεσπότας πολλάκις ἀπιστίας·
τοῦ δὲ ἐπιόντος ἔτους, ὕπατοι μὲν ᾑρηντο, Κίννας τε αὖθις, καὶ Μάριος ἕβδομον· ᾧ
μετὰ φυγὴν καὶ ἐπικήρυξιν, ὅτι τις ὡς πολέμιον ἀνέλοι, τὸ μὲν τολμᾷ ὅμως
ἀπήντα τῶν ἑπτὰ νεοττῶν αἰετῶν· ἀλλ' οὗτος μὲν, πολλὰ καὶ δεινὰ ἐς Σύλλαν
ἐπινοῶν, τοῦ πρώτου μηνὸς τῆς ἀρχῆς ἀπέθανε· καὶ Οὐαλέριον Φλάκκον ὁ Κίννας
ἑλόμενος ἀντ' αὐτοῦ, ἐς τὴν Ἀσίαν ἐξέπεμψεν· ἀποθανόντος δὲ καὶ Φλάκκου,
Κάρβωνα εἵλετο συνάρχειν ἑαυτῷ· Σύλλας δὲ ἐπῆγε τὴν ἐπὶ τοὺς ἐχθροὺς ἐπά-
νοδον, τὰ ἐς Μιθριδάτην πάντα ἐπιταχύνας ὥς μοι προείρηται· καὶ ἔτεσιν
οὐδ' ὅλοις τρισίν· ἑκκαίδεκα μὲν ἀνδρῶν μυριάδας κατακανών· τήν τε Ἑλλάδα
καὶ Μακεδονίαν, καὶ Ἰωνίαν, καὶ Ἀσίαν· καὶ ἄλλα ἔθνη πολλά, ὅσα Μιθριδάτης
προειλήφει, Ῥωμαίοις ἀναλαβών· αὐτόν τε τὸν βασιλέα τὰς ναῦς ἀφελόμενος.
καὶ ἐς μόνην τὴν πατρῴαν ἀρχὴν ἐκ τοσῶνδε κατακλείσας, ἐπανῄει στρατὸν ἄγων
εὔνουν οἱ καὶ γεγυμνασμένον καὶ πολύν· καὶ τοῖς γεγονόσιν ἐπηρμένον· ἦγε
δὲ καὶ νεῶν πλῆθος· καὶ χρήματα καὶ παρασκευὴν ἐς ἅπαντα ἀξιόλογον· καὶ
τοῖς ἐχθροῖς ἦν ἐπὶ φόβος· ὥστε δειμαίνοντες αὐτὸν, ὅ τε Κάρβων καὶ ὁ
Κίννας, ἐς ὅλην τὴν Ἰταλίαν τινὰς περιέπεμπον· χρήματα καὶ στρατιὰν
καὶ σῖτον αὐτοῖς ἀθροίζειν· τούς τε δυνατοὺς, συνουσίαις ἀνελάμβανον· καὶ τὰς πό-
λεων ἠρέθιζον μάλιστα τὰς νεοπολίτιδας· ὡς δι' αὐτὰς ὄντες ἐν τοσῷδε κινδύνῳ·
ναῦς τε πάσας ἐπεσκεύαζον ἀθρόως· καὶ τὰς ἐν Σικελίᾳ μετεκάλουν· καὶ τὴν παράλιον
ἐφύλασσον· καὶ οὐδὲν ὀξείας οὐδὲ οἱ δὲ παρασκευῆς μετὰ δέους ἅμα καὶ σπουδῆς ἐξέ-
λιπον· Σύλλας δὲ ἐπὶ φρονήματος, ἐπέστελλε τῇ βουλῇ περί τε αὑτοῦ, καταλέγων
ὅσα περὶ Λιβύην ἐς Ἰουγούρθαν τὸν Νομάδα ἔτι ταμιεύων· καὶ ἐπὶ τοῖς Κιμβρικοῖς
πρεσβεύων· καὶ Κιλικίας ἡγούμενος· καὶ ἐν τοῖς συμμαχικοῖς, καὶ ὑπατεύων ἔπραξε·
τὰ δὲ ἔναγχος ἐν Μιθριδάτῃ, ὑπεραίρων τε μάλιστα· καὶ καταλογιζόμενος αὐτοῖς
ἔθνη ὅσα πολλά, ὅσα Μιθριδάτου γενόμενα Ῥωμαίοις ἀναλάβοι· καὶ οὐδενὸς
ἧττον, ὅτι τοὺς ἐξελαθέντας ἐκ Ῥώμης ὑπὸ Κίννα καταφυγόντας ἐς αὐτὸν, ὑπο-
δέξαιτο ἀπορουμένους, καὶ ἐπικουφίζοι τὰς συμφορὰς αὐτοῖς· ἀνθ' ὧν ἔφη, τοὺς
ἐχθροὺς πολέμιον αὐτὸν ἀναγράψαι· καὶ τὴν οἰκίαν ἀνασκάψαι· καὶ τοὺς φίλους

ἀνῃρῆσθαι· τὴν δὲ γυναῖκα καὶ τὰ τέκνα μόλις πρὸς ἑαυτὸν διαφυγεῖν. ἀλλ' αὐτίκα
καὶ τούτοις δὲ καὶ τῇ πόλει πάσῃ τιμωρὸς ἥξειν ἐπὶ τοὺς εἰργασμένους· τοῖς δ' ἄλλοις
πολίταις τε καὶ νεοπολίταις προύλεγεν οὐδενὶ μέμψεσθαι οὐδ' ὁτιουνδήτινος. ἀναγι-
νωσκομένων, δέος ἅπαντας ἐπεῖχε. καὶ πρέσβεις ἔπεμπον, οἳ συναλλάξειν αὐτὸν
τοῖς ἐχθροῖς ἔμελλον· καὶ προερεῖν, εἴ τινος ἀσφαλείας δέοιτο, τῇ βουλῇ τάχιστα ἐπι-
στέλλειν. τοῖς δ' ἀμφὶ τὸν Κίνναν εἴρητο μὴ στρατολογεῖν, ἔστε ἐκεῖνον ἀποκρίνασθαι.
οἱ δὲ ὑπέσχοντο μέν, ὧδε πράξειν· οἰχομένων δὲ τῶν πρέσβεων, ἐς τὸ μέλλον ἑαυτοὺς
ἀνεῖπον ὑπάτους αὐτίκα· τοῦ μὴ διὰ τὰ ἀρχαιρέσια θᾶττον ἐπανήκειν. καὶ τὴν
Ἰταλίαν περιιόντες, στρατιὰν συνῆγον· ἣν ἐς Λιβυρνίαν, ὡς ἐκεῖθεν ἀπαντήσοντες
τῷ Σύλλᾳ, κατὰ μέρος ἐπὶ νεῶν διεβίβαζον. τὸ μὲν δὴ πρῶτον μέρος, ἀσφαλῶς
διέπλευσε· τὸ δ' ἑξῆς, χειμῶνι περιέπεσε. καὶ ὅσοι τῆς γῆς ἐπελαμβάνοντο, αὐτίκα ἐς τὰς
πατρίδας διεδίδρασκον· ὡς οὐ στρατευσόμενοι ἑκόντες κατὰ πολιτῶν. οἱ δὲ λοιποὶ
πυνθανόμενοι ταῦτα, οὐδ' αὐτοὶ περαιοῦσθαι ἔτι ἤθελον ἐς τὴν Λιβυρνίαν. Κίννας δ'
ἀγανακτῶν, ἐς ἐκκλησίαν αὐτοὺς ὡς ἐπιπλήξων συνεκάλει. καὶ οἳ συνῄεσαν ὀργῇ πάν-
τες ὡς ἀμυνούμενοι. τῶν δὲ ῥαβδοφόρων τινὸς ὁδοποιοῦντος τῷ Κίννᾳ, καί τινα
τῶν ἐν ποσὶ πατάξαντος, ἕτερος ἐκ τοῦ στρατοῦ τὸν ῥαβδοῦχον ἐπάταξε. καὶ Κίννα
κελεύσαντος αὐτὸν συλλαβεῖν, βοὴ πάντοθεν ἀνέστη, καὶ λίθων ἦσαν ἐπ' αὐτὸν
ἀφέσεις. οἱ δὲ ἐγγύς, καὶ τὰ ξίφη διὰ ἐπισπάσαντες, συνεκέντησαν αὐτόν. οὕτω
μὲν δὴ καὶ Κίννας ὑπατεύων ἀπέθανε. Κάρβων δ' ἔκ τε Λιβυρνίας τοὺς διαπεπλευκό-
τας αὐτὴν μετεκάλει· καὶ τὰ γιγνόμενα δεδιώς, ἐς τὴν πόλιν οὐ κατῄει. καὶ πάνυ
τῶν δημάρχων αὐτὸν καλούντων ἐπὶ συνάρχου χειροτονίαν, ἀπειλησάντων δὲ
ἰδιώτην ἀποφανεῖν, ἐπανῆλθε μέν, καὶ χειροτονίαν προύθηκεν ὑπάτου. ἀπαισί-
ου δὲ τῆς ἡμέρας γενομένης, ἑτέραν προύγραφε. κἀν ταύτῃ κεραυνοῦ πεσόντος
ἐς τὸ τῆς Σελήνης καὶ τὸ τῆς Δήμητρος ἱερόν, οἱ μάντεις ὑπὲρ τὰς θερινὰς τροπὰς
ἀνετίθεντο τὰς χειροτονίας. καὶ μόνος ἦρχεν ὁ Κάρβων. Σύλλας δέ, τοῖς πρὸς αὐτὸν ἐκ
κοινοῦ ἀπὸ τῆς βουλῆς ἀπεκρίνατο· αὐτὸς μέν, οὔποτε ἀνδράσι τοιάδε εἰρ-
γασμένοις ἔσεσθαι φίλος· τῇ πόλει δ' οὐ φθονήσειν χαριζομένῃ τὴν σωτηρίαν
αὐτοῖς· ἀσφάλειαν δέ, αὐτὸς μᾶλλον αὐτοῖς ἔφη καὶ τοῖς ἐς αὐτὸν καταφυγοῦσιν
ἐς ἀεὶ παρέξειν, στρατὸν ἔχων εὔνουν. ᾧ δὴ μάλιστα καὶ δῆλος ἐγένετο ἑνὶ ἔπει
καὶ τῷδε, οὐ διαλύσων τὸν στρατόν, ἀλλὰ τὴν τυραννίδα ἤδη διανοούμενος.
ᾔτει δ' αὐτοῖς, τήν τε ἀξίωσιν καὶ περιουσίαν καὶ ἱερωσύνην, καὶ εἴ τι ἄλλο γέρας
εἶχεν, ἐντελῶς ἀποδοθῆναι. καὶ τοὺς περὶ τούτων ἐρχομένους, συνέπεμπε

τοῖς πρέσβεσιν. οἱ δ' αὖθις ἀπὸ τοῦ Βρεντεσίου, Κίνναν τε πυθόμενοι τεθνάναι,
καὶ τὴν πόλιν ἀδιοίκητον εἶναι, πρὸς τὸν Σύλλαν ἀνέστρεφον ἄπρακτοι. ὁ δὲ Σύλλας, πέντε
Ἰταλοῦ στρατοῦ τέλη, καὶ ἱππέας ἑξακισχιλίους, ἄλλους τέ τινας ἐκ Πελοποννήσου
καὶ Μακεδονίας προσλαβών, ἅπαντας ἄγων ἐς μυριάδας ἀνδρῶν τέσσαρας, ἐπί τε
Πάτρας ἀπὸ τοῦ Πειραιῶς, καὶ ἐκ Πατρῶν ἐς Βρεντέσιον, χιλίαις καὶ ἑξακοσίαις
ναυσὶ διέπλει. δεξαμένων δ' αὐτὸν ἀμαχὶ τῶν Βρεντεσίων, τοῖς δὲ μὲν ὕστερον
ἔδωκεν ἀτέλειαν, ἣν καὶ νῦν ἔχουσιν. αὐτὸς δ' ἀναστήσας τὸν στρατόν, ἤει ἐς τὸ πρόσω.
καὶ αὐτῷ Μέτελλος Καικίλιος ὁ Εὐσεβής, ἐκ πολλοῦ τε ᾑρημένος ἐς τὰ λοιπὰ τοῦ συμμαχι-
κοῦ πολέμου, καὶ διὰ Κίνναν καὶ Μάριον ἐς τὴν πόλιν οὐκ ἐπανελθών, ἀλλ' ἐν τῇ Λιγυστίδι
τὸ μέλλον περιορῶν, αὐτόκλητος σύμμαχος ἀπήντα, μεθ' ἧς εἶχε συμμαχίας, ἀνθύπατος
ἔτι ὤν. ἔστι γὰρ εἶναι τοῖς αἱρεθεῖσιν, ἔστε ἐπανέλθοιεν ἐς Ῥώμην. ἐπὶ δὲ τῷ Μετέλλῳ,
καὶ Γναῖος Πομπήιος, ὁ μετ' οὐ πολὺ Μέγας προσονομασθείς· Πομπηίου μὲν ὢν παῖς,
τοῦ διεφθαρμένου τῷ κεραυνῷ, οὐκ εὔνου τῷ Σύλλᾳ νομισθέντος· τὴν δ' ὑποψίαν
διαλυόμενος, ἦλθε. καὶ τέλος ἤγαγεν, ἐκ τῆς Πικηνίτιδος, κατὰ κλέος τοῦ πατρὸς
ἰσχύσαντος ἐν αὐτῇ μάλιστα, ἀγείρας. μετὰ δ' οὐ πολύ, καὶ δύο ἄλλα συνέλεξε. καὶ
χρησιμώτατος ἐν τοῖς μάλιστα ὅδε ὢν ἐγένετο τῷ Σύλλᾳ. ὅθεν αὐτὸν ὁ Σύλλας
ἔτι νεώτατον ὄντα, ἦγεν ἐν τιμῇ. καὶ ἐπιόντος φασίν, ὑπανίστατο μόνῳ. λήγοντος
δὲ τοῦ πολέμου, καὶ ἐς Λιβύην ἔπεμψεν, ἐξελάσαι τε τοὺς Κάρβωνος φίλους, καὶ Ἱέμψαλαν
ἐκπεσόντα ὑπὸ Νομάδων, ἐς τὴν βασιλείαν καταγαγεῖν. ἐφ' ᾧ δὴ καὶ θριαμβεῦσαι κατὰ τῶν
Νομάδων αὐτῷ παρέσχεν ὁ Σύλλας, ἔτι ὄντι νέῳ, καὶ ἔτι ὄντι τῶν ἱππέων. κἀπὸ τοῦδε
ἐπαρθεὶς ἐς μέγα ὁ Πομπήιος, ἐπὶ Σερτώριον ἐς Ἰβηρίαν ἐπέμφθη· καὶ ἐς τὸν Πόντον
ἐπὶ Μιθριδάτην ὕστερον. ἀφίκετο δὲ καὶ Κέθηγος ἐς τὸν Σύλλαν, χαλεπώτατος ἀντι-
στασιώτης αὐτῷ μετὰ Κίννα καὶ Μαρίου γενόμενος, καὶ σὺν ἐκείνοις τῆς πόλεως ἐκπεσών,
ἱκέτης τε γενόμενος, καὶ ἑαυτὸν ὑπουργεῖν ἐς ὅ,τι βούλοιτο παρέχων. ὁ δέ, καὶ
στρατιᾶς πολὺ πλῆθος ἔχων ἤδη, καὶ φίλους πολλοὺς τῶν ἐπιφανῶν, τοῖς δὲ μὲν ὑπο-
στρατήγοις ἐχρῆτο. αὐτὸς δὲ καὶ Μέτελλος ἀνθυπάτω ὄντε, ἐς τὸ πρόσθεν ἐχώρουν.
ἐδόκει γὰρ δὴ καὶ ὁ Σύλλας ἀνθύπατος ἐπὶ Μιθριδάτην γενόμενος, οὐκ ἀποθέσθαι πω
τὴν ἀρχήν, εἰ καὶ πολέμιον αὐτὸν ἐψηφίσατο Κίννας. ὁ μὲν δὴ ᾔει κατὰ τῶν ἐχθρῶν
βαρυτάτῃ καὶ ἀφανεῖ ἔχθρᾳ. οἱ δ' ἐν ἄστει, τῆς τε φύσεως αὐτοῦ καλῶς τεκμαιρόμενοι,
καὶ τὴν προτέραν ἐς τὴν πόλιν ἐμβολὴν αὐτοῦ καὶ κατάληψιν ἔτι ἔχοντες ἐν ὄψει, τά τε
ψηφίσματα ἃ ἐπεκήρυξαν αὐτῷ λογιζόμενοι, καὶ τὴν οἰκίαν ὁρῶντες ἀνεσκαμμένην,
καὶ περὶ τῶν δεδημευμένων, καὶ φίλων ἀνῃρημένων. καὶ γένους μόλις ἐκφυγόντων,

ἐδήμευον· καὶ οὐδὲν σφίσι νίκης ἢ ἀπωλείας μέσον ἐφαίνετο μείζονος· συνί-
σταντο τοῖς ὑπάτοις ἐπὶ τὸν Σύλλαν μετὰ δέους· ἔν τε τῇ Ἰταλίᾳ περιπέμποντες
στρατιὰν καὶ τροφὰς καὶ χρήματα συνῆγον· οὐδὲν ὡς περὶ ἐσχάτων σφίσιν ἀπολείποντες
οὔτε σπουδῆς οὔτε προθυμίας· Γάιος τε Νωρβανὸς καὶ Λεύκιος Σκιπίων, τὼ τότε
ὄντε ὑπάτω, καὶ μετ' αὐτῶν Κάρβων ὃς πέρυσιν ἦρχεν, ἔχθρα μὲν ἐς τὸν Σύλλαν
ὁμοίᾳ χρώμενοι, δέει δὲ καὶ συνειδότι ὧν ἔπραξαν, πολὺ τῶν ἄλλων χείρονι,
ἔκ τε τῆς πόλεως, στρατὸν ὅσον ἀπόρου κατέλεγον· καὶ τὸν ἐκ τῆς Ἰταλίας προσ-
λαβόντες, ἐπὶ τὸν Σύλλαν κατὰ μέρος ἐχώρουν· σπείρας ἐκ πεντακοσίων
ἀνδρῶν, διακοσίας τότε πρῶτον· ὕστερον δὲ, καὶ πλέονας τούτων. ἡ γὰρ εὔνοια
τῶν ἀνδρῶν ἐς τοὺς ὑπάτους, παρὰ πολὺ ἐποίει· ὡς τὸ μὲν ἔργον τὸ Σύλλα, χω-
ροῦντος ἐπὶ τὴν πατρίδα, δόξαν εἶχε πολεμίου· τὸ δὲ τῶν ὑπάτων, εἰ καὶ περὶ σφῶν
ἔπραττον, πρόσχημα τῆς πατρίδος· τῶν τε ἁμαρτηθέντων αὐτοῖς οἱ πολλοὶ συνε-
γνωκότες, καὶ τοῦ φόβου μετέχειν ἡγούμενοι, συνέπραττον· οὐ τὸν Σύλλαν
εἰδότες, οὐ κόλασιν καὶ διόρθωσιν καὶ φόβον ἐπὶ σφίσιν, ἀλλὰ λύμας καὶ
θανάτους καὶ δημεύσεις καὶ ἀναίρεσιν ὅλως ἀθρόαν ἐπινοοῦντα· ὧν οὐκ
ἐψεύσθησαν τῆς δόξης· ὅ τε γὰρ πόλεμος ἔφθειρε πάντας· ὧν γε καὶ μύριοι
καὶ δισμύριοι πολλάκις ἐν μάχῃ μιᾷ· καὶ ἀμφὶ τὸ ἄστυ, πεντεμυριάδες
ἀμφοῖν ἀπέθανον· καὶ ἐς τοὺς ὑπολοίπους ὁ Σύλλας, οὐδὲν δεινὸν καθ' ἕνα
καὶ κατὰ πόλεις ἐξέλιπε δρῶν· μέχρι μόναρχον ἑαυτὸν ἀπέφηνε τῆς Ῥω-
μαίων ἀρχῆς ὅλης· φθόνον ἔχειν ἔτε καὶ ἐβούλετο· καὶ τάδε αὐτοῖς ἐδόκει
καὶ τὸ δαιμόνιον, ἐν τῷδε τῷ πολέμῳ σημῆναι· δημόσιά τε γὰρ ἄλογα
πολλοῖς καὶ ἰδίᾳ καὶ κατὰ πλῆθος ἀνέπιπτε περὶ ὅλην τὴν Ἰταλίαν· καὶ μαντευ-
μάτων παλαιῶν ἐπιφοβώτερα ἐμνημόνευον· τέρατά τε πολλὰ ἐγίνοντο·
καὶ ἡμίονος ἔτεκε· καὶ γυνὴ κύουσα, ἔχιν ἀντὶ βρέφους ἐξέδωκε· τῆς τε γῆς
ὁ θεὸς ἐπὶ μέγα ἔσεισε· καὶ νεώς τινας ἐν Ῥώμῃ καθήρει· καὶ πάνυ Ῥωμαί-
ων οὕτω τὰ τοιαῦτα βαρυνόντων· τό τε Καπιτώλιον ὑπὸ τῶν βασιλέων τετρα-
κοσίοις που πρόσθεν ἔτεσι γενόμενον, ἐνεπρήσθη· καὶ τὴν αἰτίαν, οὐδεὶς ἐπενό-
ει. πάντα δὲ ἐδόκει, ἐς τὸ πλῆθος τῶν ἀπολλυμένων, καὶ τὴν ἅλωσιν τῆς Ἰταλίας, καὶ Ῥω-
μαίων αὐτῶν, τῆς τε πόλεως κατάληψιν, καὶ πολιτείας μεταβολὴν, προσημαίνειν·
ἤρξατο μὲν οὖν ὅδε ὁ πόλεμος, ἐξ οὗ Σύλλας ἐς Βρεντέσιον προσῆλθεν· ὀ-
λυμπιάδων οὐσῶν ἑκατὸν ἑβδομήκοντα καὶ τεσσάρων· μῆκος δὲ αὐτοῦ, διά τε τὸ
μέγεθος τῶν ἔργων, συνεπείγει, ὡς ἐπ' ἐχθροῖς ἰδίοις ταχυνόντων, οὐ πολύ,

ὡς ἐπὶ τοῖς δὲ ἔργοις ἐγένετο· ὅθεν καὶ μάλιστα αὐτοῖς τὰ παθήματα ἐπι-
γινομένοις, ἐν βραχεῖ μείζω καὶ ὀξύτερα συνέβη γενέσθαι· ἐς δὲ τρία ἔτη ὅμως προ-
ῆλθε κατά γε τὴν Ἰταλίαν, μέχρι τὴν ἀρχὴν ἀνεδήσατο Σύλλας· ἐν γὰρ Ἰβηρίᾳ, καὶ μετὰ Σύλλαν
ἐξέτεινεν ἐπὶ πλεῖον· μάχαι δὲ καὶ ἀκροβολίαι καὶ πολιορκίαι, καὶ πολέμων ἰδέαι πᾶσαι
κατὰ τὴν Ἰταλίαν, ἀθρόαι τε καὶ κατὰ μέρη τοῖς στρατηγοῖς ἐγίνοντο πολλαί· καὶ πᾶσαι
διαφανεῖς· ὧν τὰ μέγιστα καὶ ἀξιολογώτατα, ἐν κεφαλαίῳ φράσω, τοιάδε ἦν· πρῶτον
μὲν, ἀμφὶ Κανύσιον τοῖς αὐτοῦ ὑπάτοις πρὸς Νωρβανὸν ἐγίγνετο μάχη· καὶ θνήσκουσι
Νωρβανοῦ μὲν, ἑξακισχίλιοι· τῶν δὲ ἀμφὶ τὸν Σύλλαν, ἑβδομήκοντα· τραυμα-
τίαι δὲ γίνονται πολλοί· καὶ Νωρβανὸς ἐς Καπύην ἀνέζευξε· Σύλλᾳ δὲ καὶ Μετέλλῳ,
περὶ Τεανὸν οὖσι, Λεύκιος Σκιπίων ἐπῄει μεθ' ἑτέρου στρατοῦ, πάνυ ἀθύμως
ἔχοντος καὶ ποθοῦντος εἰρήνην γενέσθαι· αἰσθόμενοι δὲ οἱ περὶ τὸν Σύλλαν, πρὸς
τὸν Σκιπίωνα περὶ συμβάσεων ἐπρέσβευον· οὐχ οὕτως ἐλπίζοντες ἢ χρῄ-
ζοντες, ὡς στασιάσειν προσδοκῶντες αὐτοῦ τὸν στρατὸν ἀθύμως ἔχοντα· ὃ
καὶ συνηνέχθη γενέσθαι· Σκιπίων μὲν γὰρ, ὅμηρα τῆς συνόδου λαβὼν, ἐς
τὸ πεδίον κατῄει· καὶ συνῄεσαν τρεῖς ἑκατέρωθεν· ὅθεν οὐδὲ γνῶναι τὰ
λεχθέντα συνέβη· ἐδόκει δ' ἀναθέμενος ὁ Σκιπίων, ἐς Νωρβανὸν τὸν συνάρχον-
τα περὶ τῶν λεγομένων, πέμψαι Σερτώριον ἀπαγγελοῦντα· καὶ ὁ στρατὸς ἑκατέρω-
θεν ἡσύχαζε, τὰς ἀποκρίσεις ἀναμένοντες· Σερτωρίου δὲ ἐν παρόδῳ Σύεσσαν, ἣ
τὰ Σύλλα ᾕρητο, καταλαβόντος, ὁ μὲν Σύλλας ᾐτιᾶτο, πέμπων ἐς τὸν Σκιπίωνα·
ὁ δὲ, ἤ τε τῶν γινομένων συνεγνωκὼς, ἤ τε ἀποκρίσεως ἀπορῶν, ὡς ἐπὶ ἀλόγῳ τῷ
δὴ τῷ Σερτωρίου ἔργῳ, τὰ ὅμηρα ἀπέπεμψε τῷ Σύλλᾳ· καὶ αὐτίκα ὁ στρατὸς αὐτοῦ,
τῇ τε τῆς συνόδου ἐν σπονδαῖς ἀλόγῳ καταλύσει· καὶ τῇ τῶν ὁμήρων οὐκ ἀπαι-
τηθέντων ἀποπέμψει, τοῖς ὑπάτοις ἔχοντες ἐν αἰτίαις, κρύφα τῷ Σύλλᾳ συνε-
τίθεντο, μεταθήσεσθαι πρὸς ἑαυτὸν εἰ πελάσειε· καὶ προσιόντος, αὐτίκα πάντες
ἀθρόως μετέστησαν· ὥστε τὸν ὕπατον Σκιπίωνα, καὶ τὸν υἱὸν αὐτοῦ Λεύκιον, μόνους
ἐκ τοῦ στρατοῦ παντὸς, ἐν τῇ σκηνῇ διαπορουμένους Σύλλαν καταλαβεῖν· καί μοι
δοκεῖ τόδε, οὐ στρατηγοῦ παθεῖν ὁ Σκιπίων, ἀγνοήσας ὅλου στρατοῦ, τοσήνδε
συνθήκην· Σκιπίωνα μὲν δὴ μετὰ τοῦ παιδὸς, οὐ μεταπείθων ὁ Σύλλας,
ἀπέπεμψεν ἀπαθῆ· καὶ πρὸς Νωρβανὸν ἐς Καπύην περὶ συμβάσεων ἔπεμπεν
ἑτέρους· ἤτοι δείσας τῆς πλέονος Ἰταλίας ἐπὶ τοῖς ὑπάτοις συνισταμένης, ἤ τε
καὶ ἐς τόνδε καθάπερ ἐς τὸν Σκιπίωνα τεχνάζων· οὐδενὸς δὲ αὐτῷ προϊ-
όντος οὐδὲ ἐς ἀπόκρισιν· ὁ γάρ τοι Νωρβανὸς ὡς ἔοικε, μὴ διαβληθείη

τὰ ὅμοια ἐν τοῖς στρατοῖς ἔδρασεν, ἀνὰ δὲ Σύλλας ἐς χώραν προϊὼν τὰ πολεμί-
ων πάντα δηῶν· τὸ δ' αὐτὸ καὶ Νωρβανὸς ἔπραττε κατ' ἄλλας ὁδούς· Κάρβων δὲ ἐν τῷ
ἄστει προδραμὼν, Μέτελλόν τε καὶ τοὺς ἄλλους, ὅσοι οὖν τῶν ἀπὸ τῆς βουλῆς τῷ Σύλλᾳ
συνῆσαν, ἐψηφίζετο εἶναι πολεμίους· αἷς ἡμέραις καὶ τὸ Καπιτώλιον ἐνε-
πίμπρατο· καὶ τὸ ἔργον τινὲς ἐλογοποίουν, Κάρβωνος, ἢ τῶν ὑπάτων, ἢ Σύλλα
πεμψάντων εἶναι· τὸ δ' ἀκριβὲς ἄδηλον ἦν· καὶ οὐκ ἔχω τὴν αἰτίαν ἐς ὃ συμβαλεῖν,
δι' ἣν ἂν οὕτως ἐγένετο· Σερτώριος δὲ ἐκ πολλοῦ στρατηγεῖν ᾑρημένος Ἰβηρίας, μετὰ τὴν
Σουέσσης κατάληψιν, ἔφυγεν ἐς τὴν Ἰβηρίαν· καὶ αὐτὸν τῶν προτέρων στρατηγῶν οὐ δεχο-
μένων, πολλὰ κἀνταῦθα Ῥωμαίοις ἀνεκαίνισε πόνον· πλέονος δ' αἰεὶ τοῖς ὑπάτοις γι-
γνομένου στρατοῦ, ἀπό τε τῆς πλέονος Ἰταλίας ἔτι σφίσι συνεστώσης, καὶ ἀπὸ τῆς ὁ-
μόρου περὶ τὸν Ἠριδανὸν Γαλατίας, οὐδ' ὁ Σύλλας ἠμέλει, περιπέμπων ἐς ὅσα δύναιτο
τῆς Ἰταλίας· φιλίᾳ τε καὶ φόβῳ καὶ χρήμασι καὶ ἐλπίσιν ἀγείρων· μέχρι τε τὸ λοιπὸν τοῦ
θέρους ἑκατέροις ἐς ταῦτα ἀνηλώθη· τοῦ δ' ἐπιόντος ἔτους, ὕπατοι μὲν ἐγένοντο,
Παπίριός τε Κάρβων αὖθις καὶ Μάριος ὁ ἀδελφιδοῦς Μαρίου τοῦ περιφανοῦς· ἑπτακαὶ-
εικοσιν ἔτη γεγονώς· χειμὼν δὲ καὶ κρύος πολὺ γενόμενον, ἀπ' ἀλλήλων διέστησε·
ἀρχομένου δ' ἦρος, περὶ τὸν Αἶσινον ποταμὸν, ἐξ ἠοῦς ἐπὶ μεσημβρίαν, ἀγὼν καρτερὸς
ἐγένετο, Μετέλλῳ τε καὶ Καρρίνᾳ Κάρβωνος στρατηγῷ, πρὸς ἀλλήλους· καὶ φεύγει μὲν ὁ Καρρίνας,
πολλοὺς ἀποβαλών· τὰ δὲ περίοικα πάντα, ἐς τὸν Μέτελλον ἀπὸ τῶν ὑπάτων μετετίθετο·
Μέτελλον δὲ Κάρβων καταλαβὼν, φρουρᾷ περικαθήμενος, ἔστε Μάριον τὸν ἕτερον
ὕπατον· μεγάλην μάχην περὶ Πραινεστὸν ἡττῆσθαι πυθόμενος, ἀνεστρατοπέδευσεν
ἐς Ἀρίμινον· καὶ τοῦδε μὲν Πομπήιος τῇ οὐραγίᾳ ἑπόμενος, ἠνώχλει· ἡ δὲ περὶ
Πραινεστὸν ἧσσα, ὧδε ἐγένετο· Σύλλα Σητίον καταλαβόντος, ὁ Μάριος ἀγχοῦ στρατο-
πεδεύων, ὑπεχώρει κατ' ὀλίγον· ὡς δ' ἦλθεν ἐπὶ τὸν καλούμενον Ἱερὸν Λιμένα, ἐξέτασσεν
ἐς μάχην· καὶ ἠγωνίζετο προθύμως· ἀρχομένου δὲ ἐνδιδόναι τοῦ λαιοῦ μέρους,
σπεῖραι πέντε πεζῶν καὶ δύο ἱππέων, οὐκ ἀναμείνασαι τὴν τροπὴν ἐκφανῆναι, τά τε
σημεῖα ἔρριψαν ὁμοῦ. καὶ πρὸς τὸν Σύλλαν μετετίθεντο· καὶ τόδ' εὐθὺς ἦρχε τῷ
Μαρίῳ δυσχεροῦς ἥττης· κοπτόμενοι γοῦν, ἐς Πραινεστὸν ἔφευγον ἅπαντες, ἑπομένου
τοῦ Σύλλα σὺν δρόμῳ· καὶ οἱ Πραινέστιοι, τοὺς μὲν πρώτους αὐτῶν ὑπεδέξαντο· Σύλλα
δ' ἐπικειμένου, τὰς πύλας ἀπέκλεισαν· καὶ Μάριον καλῳδίοις ἀνιμήσαντο· πολὺς
δ' ἄλλος ἐκ τοῦδε περὶ τοῖς τείχεσιν ἐγίγνετο φόνος· καὶ πλῆθος αἰχμαλώτων ὁ
Σύλλας ἔλαβε· ὧν τοὺς Σαυνίτας ἔκτεινε πάντας, ὡς αἰεὶ χαλεποὺς Ῥωμαίοις γενομένους·
ταῖς δ' αὐταῖς ἡμέραις, καὶ Μέτελλος ἐνίκα ἕτερον Κάρβωνος στρατόν· πέντε κἀνταῦ-

σπειρῶν, ἐν τῷ ἀγῶνι μεθισταμένων ἐς Μέτελλον· Πομπήιός τε Μάρκιον ἐνίκα περὶ τὴν
λινοσήμας· καὶ τὴν πόλιν διήρπαζεν· ὁ δὲ Σύλλας τὸν Μάριον ἐν Πραινεστῷ κατα-
κλείσας, τὴν πόλιν ἀποταφρεύσας περιετείχιζεν, ἐκ μακροῦ διαστήματος· καὶ Λουκρήτιον
Ὀφέλλαν ἐπέστησε τῷ ἔργῳ· ὡς οὐκέτι μάχῃ περασόμενος Μάριον, ἀλλὰ λιμῷ· Μάριος
δὲ οὐδὲν χρηστὸν ἔτι προσδοκῶν, τοὺς ἰδίους ἐχθροὺς ἔσπευδε προανελεῖν· καὶ Βρούτῳ
στρατηγοῦντι τῆς πόλεως ἐπέστελλε, σύγκλητον ὡς ἐπί τι ἄλλο συναγαγεῖν· καὶ κτεῖναι
Πόπλιον Ἀντίστιον· καὶ Παπίριον Κάρβωνα ἕτερον· καὶ Λεύκιον Δομέτιον· καὶ Μούκιον
Σκαιόλαν, τὸν τὴν μεγίστην Ῥωμαίοις ἱερωσύνην ἱερωμένον· οἱ μὲν δὴ δύο τῶνδε, ἀνῃ-
ρέθησαν ἐν τῷ βουλευτηρίῳ, καθὰ Μάριος προσέταξε, τῶν σφαγέων ἐς τὸ βουλευτήριον ἐπεσ-
ελθόντων· Δομέτιος δὲ ἐκτρέχων, παρὰ τὴν ἔξοδον ἀνῃρέθη· καὶ μικρὸν πρὸ τοῦ βουλευ-
τηρίου Σκαιόλας· τά τε σώματα αὐτῶν ἐς τὸν ποταμὸν ἐρρίφη· ἐπεπόλαζε γὰρ ἤδη
μὴ θάπτεσθαι τοὺς ἀναιρουμένους· Σύλλας δὲ, στρατὸν ἐς Ῥώμην κατὰ μέρη δι' ἑτέρων
καὶ ἑτέρων ὁδῶν περιέπεμπε, ἐντελλόμενος τὰς πύλας καταλαβεῖν· εἰ δὲ ἀποκρουσθεῖεν,
ἐπὶ Ὄστια χωρεῖν· τῶν δὲ, αἵ τε πόλεις παρόδιοι, ξὺν φόβῳ προσεδέχοντο· καὶ τὸ ἄστυ
προσιοῦσι τὰς πύλας ἀνέῳξαν· ὑπό τε λιμοῦ πιεζόμενοι, καὶ τῶν παρόντων κακῶν
ἄρα, τὰ ἐπικρατοῦντα φέρειν ἐθιζόμενοι· Σύλλας δ' ὡς ἔμαθεν, αὐτίκα ἐπελθὼν,
τὸν μὲν στρατὸν ἵδρυσε πρὸ τῶν πυλῶν, ἐν τῷ Ἀρείῳ πεδίῳ· αὐτὸς δ' ἔσω παρῆλθε· καὶ
φυγόντων τῶν ἀντιστασιωτῶν ἁπάντων· καὶ τὰ μὲν τούτων, αὐτίκα ἐδημεύετο καὶ διεπιπράσκετο·
τὸν δὲ δῆμον ἐς ἐκκλησίαν συναγαγὼν, τήν τε ἀνάγκην τῶν παρόντων ὠλοφύρετο· καὶ
θαρρεῖν προσέταξεν, ὡς αὐτίκα τῶνδε παυσομένων· καὶ τῇ πόλει τὰ ἐς τὸ δέον ἁρμοσάμενος·
διοικησάμενος δ' ὡς ἤπειγε, καὶ τῇ πόλει τινὰς ἐπιστήσας τῶν ἑαυτοῦ, ἐξώρμησεν ἐς
Κλούσιον· ἔνθα τοῦ πολέμου τὰ λοιπὰ ἤκμαζεν· ἐν δὲ τούτῳ, τοῖς ὑπάτοις προσεγένοντο
ἱππεῖς Κελτίβηρες, ὑπὸ τῶν ἐν Ἰβηρίᾳ στρατηγῶν ἀπεσταλμένοι· καὶ γενομένης παρὰ
τὸν Γλάνιν ποταμὸν ἱππομαχίας, ὁ μὲν Σύλλας, ἔκτεινεν ἐς πεντήκοντα τῶν πολεμίων·
διακόσιοι δὲ καὶ ἑβδομήκοντα τῶν δὲ τῶν Κελτιβήρων ηὐτομόλησαν ἐς Σύλλαν· καὶ τοὺς
λοιποὺς ὁ Κάρβων ἀνεῖλεν· εἴτε χαλεπήνας τῆς τῶν ὁμοεθνῶν αὐτομολίας, εἴτε δείσας
περὶ ὁμοίῳ· τοῦ δ' αὐτοῦ χρόνου, περὶ Σατουρνίαν ἑτέρῳ μέρει τῶν ἐχθρῶν ὁ Σύλλας ἐνίκα· καὶ
Μέτελλος ἐπὶ Ῥάβενναν πλέων, τὴν Οὐρετανὴν χώραν πεδιάδα καὶ πυροφόρον οὖσαν,
προκατελάμβανεν· ἐς τε Νεάπολιν ἐκ προδοσίας νυκτὸς ἕτεροι τῶν Σύλλα ἐσελθόντες,
ἔκτειναν ἅπαντας· χωρὶς ὀλίγων διαφυγόντων· καὶ τὰς τριήρεις τῆς πόλεως ἔλαβον· αὐτῷ
δὲ Σύλλᾳ καὶ Κάρβωνι περὶ Κλούσιον ἐξ ἠοῦς ἐπὶ ἑσπέραν, γίγνεται μάχη καρτερά·
καὶ φανέντες ἀλλήλοις ἰσόμαχοι, μετὰ σκότους διεκρίθησαν· ἐν δὲ τῷ Σπωλητίῳ

πεδίῳ, Πομπήιος καὶ Κράσσος ἄμφω Σύλλα στρατηγοί, κτείνουσι τῶν Κάρβωνος ἐς τρισ-
χιλίους· καὶ Καρρίναν τὸν ἀντιστρατηγοῦντα σφίσιν, ἐπολιόρκουν· ἕως Κάρβων μὲν
ἑτέραν τῷ Καρρίνᾳ στρατιὰν ἔπεμψεν· ὁ δὲ Σύλλας αἰσθόμενος καὶ ἐφεδρεύσας, ἔκτειν
αὐτῶν προσιόντων, ἐν λόχῳ· καὶ Καρρίνας δέ, νυκτὸς ὕδατός τε ὄντος ἐξ οὐρανοῦ
πολλοῦ καὶ σκότους, αἰσθομένων μέν τι τῶν περικαθημένων· διὰ δὲ τὸν ὄμβρον ἀμελησάντων,
διέφυγε· καὶ Κάρβων ἐς Πραινεστὸν Μαρίῳ τῷ συνάρχῳ Μάρκιον ἔπεμπεν· ὀκτὼ τέλη
στρατιᾶς ἄγοντα, πυνθανόμενος αὐτὸν ὑπὸ λιμοῦ κακοπαθεῖν· οἷς ὁ Πομπήιος
ἐξ ἐνέδρας ἐν στενῷ προσπεσών, τρέπεταί τε· καὶ πολλοὺς διαφθείρας, ἐς λόφον συνέ-
κλεισε τοὺς λοιπούς· ἐξ οὗ Μάρκιος μὲν οὐ σβέσας τὸ πῦρ, ἀπέδρα νυκτός· ὁ δὲ στρατὸς
αὐτῷ τὴν αἰτίαν τῆς ἐνέδρας προστιθείς, ἐστασίασε χαλεπῶς· καὶ τέλος μὲν ὑπὸ
τοῖς σημείοις ὅλον ἄνευ παραγγέλματος ἐπανῆλθεν ἀράμενον· οἱ λοιποὶ δὲ ἐς τὰς
πατρίδας κατὰ μέρη διελύθησαν· ὡς ἑπτὰ σπείρας τῷ στρατηγῷ μόνας παραμεῖναι.
καὶ Μάρκιος μὲν ὧδε πράξας καὶ αὖθις ἐς Κάρβωνα ἐπανῄει· Μάρκον δὲ Λαμπώνιον
ἐκ Λευκανίας καὶ Πόντιον Τελεσῖνον ἐκ τῆς Σαυνίτιδος· καὶ τὸν Καπύειον Γούτταν
μεθ' ἑπτὰ μυριάδων ἐπειγομένων Μάριον ἐξελέσθαι τῆς πολιορκίας, ὁ Σύλλας ἐν τοῖς
στενοῖς ᾗ μόνη διάβασις ἦν, ἀπέκλειε τὴν πρόοδον· καὶ ὁ Μάριος ἀπογινώσκων ἤδη
τὰς ἔξωθεν ἐπικουρίας, φρούριον αὐτῷ μεταιχμίῳ μεγάλῳ ὄντι τινί· ἐς ὃ καὶ
μηχανὰς καὶ στρατιὰν συναγαγών, ἐπεχείρει βιάσασθαι τὸν Λουκρήτιον· πολυή-
μερον δ' αὐτῷ καὶ ποικίλης τῆς πείρας γενομένης, οὐδὲν ἀνύων, ἐς Πραινεστὸν
αὖθις συνεκλείετο· καὶ περὶ τὰς αὐτὰς ἡμέρας ἐν Φαυεντίᾳ Κάρβων καὶ
Νωρβανὸς ἐξ ὁδοῦ βραχὺ πρὸ ἑσπέρας ἐπὶ τὸ Μετέλλου στρατόπεδον ἐλθόντες,
λοιπῆς οὔσης ὥρας μιᾶς, καὶ ἀμπέλων περικειμένων, ἀνοήτως μάλα
ὑπὸ ὀργῆς ἐν μάχῃ ἐξέτασσον, ἐλπίσαντες Μέτελλον τῷ παραλόγῳ κατα-
πλήξειν· ἡττώμενοι δέ, ὡς ἂν ἀφυεῖ χωρίῳ τε καὶ ὥρᾳ, καὶ ἐς τὰ φυτὰ ἐμπί-
πτοντες, ἐφθείροντο κατὰ πλῆθος· ὡς ἀπολέσθαι μὲν ἀμφὶ τοὺς μυρίους,
αὐτομολῆσαι δὲ ἐς ἑξακισχιλίους, καὶ τοὺς λοιποὺς διαρριφῆναι· μόνων δ' ἐν
τάξει χιλίων ἐπανελθόντων ἐς Ἀρρήτιον· τέλος δ' ἄλλο Λευκανῶν ἀγόμενον ὑπὸ
Ἀλβινουάνου, τῆς ἥττης πυθόμενον, μετεχώρει πρὸς Μέτελλον, δυσχεραίνοντος
Ἀλβινουάνου· ὁ δέ, τότε μὲν οὐ κατασχὼν τῆς ὁρμῆς αὐτούς, ἐς Νωρβανὸν ἐπανῆλθ-
εν· οὐ πολλαῖς δὲ ἡμέραις ὕστερον κρύφα τῷ Σύλλᾳ προσέπεμπε· καὶ λαβὼν ἄδειαν
εἴ τι δράσειεν ἀξιόλογον, ἐπὶ ἑστίασιν ἐκάλει Νωρβανόν τε καὶ τοὺς σὺν αὐτῷ
στρατηγούς· Γάιον Ἀντίπεστρον, καὶ Φλάουιον Φίμβριαν, ἀδελφὸν δὲ

τοῦ περὶ τὴν Ἀσίαν ἑαυτὸν ἀνελόντος· ὅσοι τε ἄλλοι τῶν Κάρβωνι στρατηγοὶ τότε παρῆσαν.
ὡς δ' ἀφίκοντο χωρίς γε Νωρβανοῦ· μόνος γὰρ οὐκ ἀφίκετο· πάντας αὐτοὺς ὁ Ἀλβινου-
ανὸς ἔκτεινεν ἐπὶ τῆς ἑστιάσεως· καὶ ἐς τὸν Σύλλαν διέφυγε· Νωρβανὸς δὲ καὶ Ἀρίμινον
ἐπὶ τῇδε τῇ συμφορᾷ, καὶ ἄλλα πολλὰ τῶν πλησίον στρατοπέδων ἐς τὸν Σύλλαν μεταχω-
ροῦν πυνθανόμενος, τῶν τε παρόντων οἱ φίλων οὐδένα ἔτι πιστὸν οὐδὲ βέβαιον
ὡς ἐν συμφοραῖς τιθέμενος, ἰδιωτικοῦ σκάφους ἐπιβάς, ἐς Ῥόδον διέπλευσεν· ὅθεν
ὕστερον ἐξαιτούμενος ὑπὸ τοῦ Σύλλα, Ῥοδίων ἔτι ἀμφιγνοούντων, ἑαυτὸν ἐν ἀγορᾷ
μέσῃ διέφθειρε· Κάρβων δὲ ἑτέρα τέλη δύο στρατιωτῶν ἐς Πραινεστὸν ἄγειν
ἔπεμψε Δαμασίππῳ, ὑπερεπειγόμενος Μάριον ἐκλῦσαι τῆς πολιορκίας· ἀλλ' οὐδ'
οὗτοι τὰ στενὰ διελθεῖν ἐδύναντο φυλασσόμενα ὑπὸ τοῦ Σύλλα· Γαλάται τε ὅσοι ὑπὸ
Ῥαβέννῃ ἐπὶ τὰ Ἄλπεια παρήκουσιν, ἀθρόοι ἐς Μέτελλον μετετίθεντο· καὶ Λεύκολλος
ἑτέρα τῶν Κάρβωνος ἐνίκα περὶ Πλακεντίαν· ὧν ὁ Κάρβων πυνθανόμενος, τρεῖς
μυριάδας ὁμῶς ἔτι ἔχων περὶ τὸ Κλούσιον, καὶ δύο τέλη τὰ Δαμασίππου· καὶ ἑτέρα
περὶ Καρρίναν καὶ Μάρκιον, Σαυνιτῶν τε αὐτῷ χρωμένων προθύμως ἐπὶ τὰ
δεινὰ κακοπαθοῦσιν, ἀπογνοὺς ἁπάντων, ἀθύμως ἔφυγε σὺν τοῖς φίλοις ἐς Λιβύην
ἐξ Ἰταλίας· ὕπατος ἔτι ὢν ὡς Λιβύην παρασκευάσων ἀντὶ τῆς Ἰταλίας· τῶν δ' ὑπολειφθέντων
οἱ μὲν ἀμφὶ τὸ Κλούσιον Πομπηίῳ συνενεχθέντες ἐν μάχῃ, ἀπέβαλον ἐς δισμυρίους·
καὶ ὡς ἐπὶ συμφορᾷ μεγίστῃ καὶ τὸ λοιπὸν τοῦδε τοῦ στρατοῦ ἐς τὰς πατρίδας κατὰ μέρη
διελύθη· Καρρίνας δὲ καὶ Μάρκιος καὶ Δαμάσιππος, οἷς σὺν ἅπασιν ἐπὶ τὰ στενὰ
ἐχώρουν· ὡς ὁμοῦ τοῖς Σαυνίταις βιασόμενοι τὰ στενὰ παρελθεῖν· οὐ δυνηθέντες
δὲ οὐδ' ὧς, ἐχώρουν ἐς Ῥώμην· ὡς ἐρήμην ἀνδρῶν καὶ τροφῶν ἅμα καταληψόμενοι
ταχύ· καὶ προσελθόντες ἐστρατοπέδευον ἀμφὶ τὴν Ἀλβανῶν γῆν· δείσας ὁ Σύλλας
περὶ τῇ πόλει, τοὺς μὲν ἱππέας προύπεμπε κατὰ σπουδὴν κωλύειν αὐτοὺς ὁδοιπορεῖν·
αὐτὸς δὲ ἐπειχθεὶς ἀθρόῳ τῷ στρατῷ παρὰ ταῖς Κολλίναις πύλαις περὶ μεσημβρίαν
ἐστρατοπέδευσεν ἀμφὶ τὸ τῆς Ἀφροδίτης ἱερόν· ἤδη δὲ τῶν πολεμίων περὶ τὴν πόλιν στρατο-
πεδευόντων, μάχης δείλης αὐτοῖς περὶ δείλην ἑσπέραν γενομένης, τῷ μὲν δεξιῷ ὁ
Σύλλας ἐκράτει· τὸ δὲ λαιὸν ἡττώμενον ἐπὶ τὰς πύλας κατέφυγεν· οἱ δὲ γέροντες
ὄντες ὡς εἶδον αὐτοῖς συντρέχοντας τοὺς πολεμίους, τὰς πύλας καθῆκαν ἀπὸ μηχανῆς,
αἳ δὲ ἐμπίπτουσαι, πολλοὺς μὲν ἀπὸ τοῦ στρατοῦ διέφθειραν, πολλοὺς δ' ἀπὸ τῆς βουλῆς·
οἱ πολλοὶ δ' ὑπὸ δέους καὶ ἀνάγκης ἀνέστρεφον ἐς τοὺς πολεμίους· καὶ νυκτὸς ὅλης ἀγω-
νισάμενοι, πολὺ πλῆθος ἔκτειναν· ἔκτειναν δὲ καὶ τῶν στρατηγῶν Τελεσῖνόν τε
καὶ Ἀλβῖνον· καὶ τὰ στρατόπεδα αὐτῶν ἔλαβον· Λαμπώνιός τε ὁ Λευκανὸς καὶ Μάρκιος

καὶ Καρρίνας. οἵ τε ἄλλοι στρατηγοὶ τῆς Κάρβωνος στάσεως αὐτοῖς συνῄεσαν, διέ-
φυγον· καὶ θάνατος ἐκ τοῦδε τοῦ ἔργου, περί τε μυριάδων ἐδόκει γενέσθαι περὶ ἀμφο-
τέρων· τά τε αἰχμαλώτων ὀκτακισχιλίων πλήθει γενόμενα, Σύλλας ὅτι Σαυνῖται τὸ
πλεῖστον ἦσαν κατηκόντισε. μετὰ δὲ μικρὸν αὐτῶν καὶ Μάρκιος καὶ Καρρίνας
ἁλόντες προσήγοντο. καὶ οὐδὲ τῶνδε φεισάμενος ὡς Ῥωμαίων, ἔκτεινεν ἄμφω· καὶ τὰς
κεφαλὰς ἐς Πραινεστὸν Λουκρητίῳ περὶ τὰ τείχη περιενεγκεῖν ἔπεμψε. Πραινέστιοι
δὲ καὶ τάδε θεώμενοι καὶ τὸν Κάρβωνος στρατὸν ἀπολωλότα πάντα πυνθανόμενοι, αὐτόν τε
Νωρβανὸν ἤδη φυγεῖν ἐξ Ἰταλίας καὶ τὴν ἄλλην Ἰταλίαν καὶ Ῥώμην ἐπ' αὐτῆς Σύλλᾳ ἐκτενῶς
κεχειρῶσθαι, τὴν πόλιν Λουκρητίῳ παρέδοσαν· Μαρίου καταδύντος ἐς τάφρους
ὑπονόμους· καὶ μετὰ βραχὺ καὶ ἀνελόντος ἑαυτόν. Λουκρήτιος μὲν δὴ Μαρίου τὴν
κεφαλὴν ἐκτεμὼν ἔπεμψεν ἐς Σύλλαν· καὶ αὐτὴν ὁ Σύλλας ἐν ἀγορᾷ μέσῃ πρὸ τῶν
ἐμβόλων θέμενος, ἐπιγελάσαι λέγεται τῇ νεότητι τοῦ ὑπάτου· καὶ εἰπεῖν, ἐρέτην
δεῖ πρῶτα γενέσθαι πρὶν πηδαλίοις ἐπιχειρεῖν. Λουκρήτιος δὲ τὴν Πραινεστὸν ἑλὼν
τῶν ἀπὸ τῆς βουλῆς ἐνταῦθα Μαρίῳ στρατηγούντων, τοὺς μὲν αὐτίκα ἀνῄρει· τοὺς δὲ ἐς φυ-
λακὴν ἐσέβαλλεν· οὓς ὁ Σύλλας ἐπελθὼν ἀνῄρει. καὶ τοὺς ἐν Πραινεστῷ προσέταξε χωρὶς
ὅπλων προελθεῖν ἅπαντας ἐς τὸ πεδίον· καὶ προελθόντων, τοὺς μὲν ἑαυτῷ τι χρησίμους γε-
γενημένους, ὀλίγους πάνυ ἐξείλετο· τοὺς δὲ λοιποὺς ἐκέλευσε τριχῇ ἀπ' ἀλλήλων δια-
στῆναι, Ῥωμαίους τε καὶ Σαυνίτας καὶ Πραινεστίους. ἐπεὶ δὲ διέστησαν, τοῖς μὲν Ῥωμαίοις ἐπε-
κήρυξεν ὅτι καὶ οἵδε ἄξια θανάτου δεδρακόσι· καὶ συγγνώμην δὲ δώσει ὅμως· τοὺς δὲ
ἑτέρους κατηκόντισεν ἅπαντας· γυναῖκας δὲ αὐτῶν καὶ παιδία μεθῆκεν ἀπαθῆ ἀπιέναι.
καὶ τὴν πόλιν διήρπαζε πολυχρήματον ἐν τοῖς μάλιστα τότε οὖσαν. ὧδε μὲν δὴ καὶ
Πραινεστὸς ἑάλω. Νώρβα δὲ ἑτέρα πόλις, ἀντεῖχεν ἔτι ἐγκρατῶς· ἕως Αἰμίλιον
Λέπιδον νυκτὸς ἐς αὐτὴν ἐκ προδοσίας ἐσελθόντος. ἀγανακτήσαντες οἱ ἔνδον ἐπὶ
τῇ προδοσίᾳ, οἱ μὲν ἑαυτοὺς ἀνῄρουν, οἱ δ' ἀλλήλους ἑκόντες· οἱ δὲ καὶ βρόχοις συνεπλέ-
κοντο· καὶ τὰς θύρας ἐνέφραττον ἕτεροι καὶ ἐνεπίμπρασαν. ἄνεμός τε πολὺς ἐμπεσὼν,
ἐς τοσοῦτον αὐτὴν ἐδαπάνησεν, ὡς μηδὲν ἐκ τῆς πόλεως λάφυρον γενέσθαι· καὶ οἵδε μὲν
οὕτως ἐγκρατῶς ἀπέθανον. ἠνυσμένων δὲ τῶν ἀμφὶ τὴν Ἰταλίαν, πολέμοις καὶ πυρὶ καὶ
φόνῳ πολλῷ· οἱ μὲν τοῦ Σύλλα στρατηγοὶ τὰς πόλεις ἐπιόντες, τὰς ὕποπτα ἐφρούρουν·
καὶ Πομπήιος ἐς Λιβύην ἐπὶ Κάρβωνα καὶ ἐς Σικελίαν ἐπὶ τοὺς ἐκεῖ Κάρβωνος φίλους,
ἐστέλλετο. αὐτὸς δὲ ὁ Σύλλας Ῥωμαίους ἐς ἐκκλησίαν συναγαγών, πολλὰ ἐμεγαληγόρησε
περὶ ἑαυτοῦ· καὶ φοβερὰ ἐς κατάπληξιν ἕτερα. καὶ ἐπήνεγκεν, ὅτι τὸν μὲν δῆμον
ἐς χρηστὴν ἄξει μεταβολήν, εἰ πείθοιντό οἱ· τῶν δὲ ἐχθρῶν οὐδενὸς ἐς ἔσχατον κακοῦ

φείσεται· ἀλλὰ καὶ στρατηγοῖς καὶ ταμίαις καὶ χιλιάρχοις, καὶ ὅσοι τι συνέπραξαν ἄλλο
τοῖς πολεμίοις, μετὰ τὴν ἡμέραν ᾗ Σκιπίων ὁ ὕπατος οὐκ ἐνέμεινε τοῖς πρὸς αὐτὸν
ὡμολογημένοις, μετελεύσεσθαι κατὰ κράτος. ταῦτα δ' εἰπών, αὐτίκα βουλευτὰς ἐς
τεσσαράκοντα καὶ τῶν καλουμένων ἱππέων ἀμφὶ χιλίους καὶ ἑξακοσίους ἐπὶ θανάτῳ προὔ-
γραφεν. πρῶτος γὰρ δοκεῖ πρώτους οὓς ἐκόλασε θανάτῳ, προγράψαι καὶ γέρα τοῖς ἀναι-
ροῦσι καὶ μήνυτρα τοῖς ἐλέγχουσι καὶ κολάσεις τοῖς κρύπτουσιν ἐπιγράψαι. μετ' οὐ πολὺ
δὲ βουλευτὰς ἄλλους αὐτοῖς προσετίθει. καὶ τῶνδε οἱ μὲν, ἀδοκήτως καταλαμβανόμενοι,
διεφθείροντο ἔνθα συνελαμβάνοντο, ἐν οἰκίαις καὶ στενωποῖς καὶ ἱεροῖς· οἱ δὲ, μετέωροι
πρὸς τὸν Σύλλαν φερόμενοί τε καὶ πρὸ ποδῶν αὐτοῦ ῥιπτούμενοι· οἱ δὲ καὶ ἐσύροντο
καὶ κατεπατοῦντο, οὐδὲ φωνὴν ἔτι τῶν θεωμένων οὐδενὸς ἐπὶ τοῖς δεινοῖς ἔχοντος
ὑπὸ καταπλήξεως· ἐξελάσεις τε ἑτέρων ἦν καὶ δημεύσεις τῶν ἑτέροις ὄντων. ἐπὶ δὲ τῆς
πόλεως ἐκφυγόντας, ζητηταὶ πάντα μαστεύοντες διέθεον· καὶ ὅσους αὐτῶν λάβοιεν, ἀνῄρουν.
πολλὴ δὲ καὶ τῶν Ἰταλιωτῶν ἀναίρεσίς τε καὶ ἐξέλασις καὶ δήμευσις ἦν, ὅσοι τι
Κάρβωνος ἢ Νωρβανοῦ ἢ Μαρίου ἢ τῶν ὑπ' ἐκείνοις στρατηγούντων ὑπακηκόεσαν. κρίσεις
τε ἦσαν ἐπὶ τούτοις ἀνὰ τὴν Ἰταλίαν ὅλην πικραί, καὶ ἐγκλήματα ποικίλα στρατηγίας
ἢ στρατείας ἢ ἐσφορᾶς χρημάτων ἢ ἄλλης ὑπουργίας ἢ βουλεύσεως ὅλως κατὰ Σύλλα·
ἐγκλήματα δὲ ἦν καὶ ξενία καὶ φιλία· καὶ δάνεισμα λαβόντος ἢ δόντος. ἢ δὴ δέ τις καὶ
προθυμηθεὶς μόνης συνουσίας ἢ ξυνοδίας ἑαλίσκετο· καὶ ταῦτα ἤκμαζε μάλιστα κατὰ τῶν πλουσίων.
ὡς δὲ ἐξέλιπε τὰ καθ' ἕνα ἄνδρα ἐγκλήματα, ἐπὶ τὰς πόλεις ὁ Σύλλας μετῄει· καὶ
ἐκόλαζε καὶ τάσδε· τῶν μὲν, ἀκροπόλεις κατασκάπτων ἢ τείχη καθαιρῶν ἢ κοινὰς ζημί-
ας ἐπιτιθεὶς ἢ ἐσφοραῖς ἐκτρύχων βαρυτάταις· ταῖς δὲ πλείοσι τοὺς ἑαυτῷ στρατευσαμένους
ἐπῴκιζεν, ὡς ἕξων φρούρια κατὰ τὴν Ἰταλίαν· τήν τε γῆν αὐτῶν καὶ τὰ οἰκήματα ἐς τούσδε
μεταφέρων ἐμέριζεν· ὃ καὶ μάλιστα αὐτοὺς εὔνους αὐτῷ καὶ τεθνεῶτι ἐποίησεν.
ὡς γὰρ οὐχ ἕξοντες αὐτὰ βεβαίως μὴ πάντων τῶν Σύλλα βεβαίων ὄντων, ὑπερηγωνίζοντο
αὐτοῦ καὶ μεταστάντος. καὶ τάδε μὲν ἦν ἀμφὶ τὴν Ἰταλίαν. Κάρβωνα δὲ ἐκ Λιβύης ἐς Σι-
κελίαν, μετὰ πολλῶν ἐπιφανῶν. καὶ ἀπ' αὐτῆς ἐς Κοσσύραν νῆσον ὑποφεύγοντα, πέμψας
τινὰς ὁ Πομπήιος συνέλαβε· καὶ τοὺς μὲν ἄλλους, τοῖς ἄγουσιν ἐκέλευσε, οὐδὲ ἐς ὄψιν οἱ προ-
αχθέντας ἀνελεῖν. Κάρβωνα δὲ παραστησάμενος αὐτοῦ τοῖς ποσί, δεσμώτην τε ὕπατον
ἐπονειδίσας καὶ κατέκτανε· καὶ τὴν κεφαλὴν ἐς Σύλλαν ἔπεμψεν. ὁ δὲ Σύλλας πάντα,
ὡς ἐβούλετο, ἐπὶ τοῖς ἐχθροῖς διῴκητο, πολεμίου οὐδενὸς ἔτι ὄντος πλὴν Σερτωρίου μακρὰν
ὄντος, Μέτελλον μὲν ἐπὶ τοῦτον ἐξέπεμπεν ἐς Ἰβηρίαν· τὰ δὲ ἐν τῇ πόλει καθίστατο ἅ-
παντα ἐφ' ἑαυτοῦ, καθ' ὃν ἐβούλετο τρόπον. νόμου γὰρ ἢ χειροτονίας ἢ κλήρου λόγος οὐκ ἦν

ἐπὶ Ἀφρικῆς ὑπὸ δέους τῶν ἐγκρυπτομένων ἢ σιωπώντων. οἱ δὲ πάντα ὅσα
διῴκησεν ὁ Σύλλας ὑπατεύων τε καὶ ἀνθυπατεύων βέβαια καὶ ἀθῷα ἐψηφί-
ζοντο εἶναι· εἰκόνα τε αὐτοῦ ἐπίχρυσον ἐφ' ἵππου πρὸ τῶν ἐμβόλων ἀνέθεσαν
ἐπιγράψαντες· Κορνηλίου Σύλλα ἡγεμόνος εὐτυχοῦς. ὧδε γὰρ αὐτὸν οἱ κόλακες
διευτυχοῦντα ἐπὶ τοῖς ἐχθροῖς ὠνόμαζον· καὶ προῆλθεν ἐς βέβαιον ὄνομα
ἡ κολακεία. ἤδη δέ που γραφῇ περιέτυχον, ἐγγεγραμμένην τὸν Σύλλαν ἐπαφρό-
διτον ἐν τῷδε τῷ ψηφίσματι ἀναγραφῆναι. καὶ οὐκ ἀπεικὸς ἐφαίνετό μοι καὶ
τόδε· ἐπεὶ καὶ Φαῦστος ἐπωνομάζετο. δύναται δὲ τοῦ αἰσίου καὶ ἐπαφροδίτου ἀγχο-
τάτω μάλιστα εἶναι τὸ ὄνομα. ἐστὶ δ' ὅπου καὶ χρησμὸς αὐτῷ δοθεὶς ἐβεβαίου τάδε,
σκηπτομένῳ τὰ μέλλοντα· πείθεό μοι Ῥωμαῖε· κράτος μέγα Κύπρις ἔδωκεν Αἰνεί-
ου γενεῇ μεμελημένη· ἀλλὰ σὺ πᾶσιν ἀθανάτοις ἐπέτεια τίθει· μὴ λήθου τῶνδε·
Δελφοῖς δῶρα κόμιζε· καὶ ἔστι τις ἀμβαίνουσι Ταῦρον ὑπὸ νιφόεντος, ὅπου πανυ-
μήκιστον ἄστυ Καρῶν· οἳ ναίουσιν ἐπώνυμον ἐξ Ἀφροδίτης· ᾗ πέλεκυν θέμενος,
λήψῃ κράτος ἀμφιλαφές σοι. ὁπότερα δ' ἂν τῶν ἐψηφίσαντο Ῥωμαῖοι τὴν εἰκόνα
τιθέντες, δοκοῦσί μοι παρασκώπτοντες ἢ ἐκμειλισσόμενοι τὸν ἄνδρα ἐπιγράψαι.
ἔπεμψε δὲ στέφανον χρυσοῦν καὶ πέλεκυν ἐπιγράψας τάδε· τόνδε σοι αὐτοκράτωρ
Σύλλας ἀνέθηκ' Ἀφροδίτη, ὡς εἶδον κατ' ὄνειρον ἀνὰ στρατιὴν διέπουσαν τεύχεσι
τοῖς Ἄρεος μαρναμένην ἔνοπλον. ὁ δὲ ἔργῳ βασιλεὺς ὢν ἢ τύραννος οὐχ αἱρετὸς
ἀλλὰ δυνάμει καὶ βίᾳ, δεόμενος δ' ἄρα καὶ τοῦ προσποιήματος αἱρετὸς εἶναι δοκεῖν,
ὧδε καὶ τόδε ἐμηχανήσατο. Ῥωμαίοις πάλαι κατ' ἀρετὴν ἦσαν οἱ βασιλέες. καὶ
ὁπότε τις αὐτῶν ἀποθάνοι, βασιλεὺς ἕτερος ἐφ' ἑτέρῳ ἐπὶ πέντε ἡμέρας
ἦρχεν, ἕως τινὰ ἄλλον ὁ δῆμος δοκιμάσειε βασιλεύειν. καὶ τὸν πενθήμερον
ἄρχοντα, οὓς ἰντερρῆγας ἐκάλουν· ἦν δ' ἐν τῷδε βασιλεύς. ἀρχαιρεσίας δὲ ἀεὶ
ὑπάτων οἱ λήγοντες τῆς ἀρχῆς ἀεὶ προυτίθεσαν. καὶ εἴ ποτε κατὰ συντυχίαν ὕπατος
οὐκ ἦν, ὁ δ' ἐν τῷδε βασιλεύς, ὅτε ἐγίγνετο ἐς τὴν τῶν ὑπάτων χειροτονίαν. τοῦτο
δὴ τοῦ ἔθους ἐπιβαίνων ὁ Σύλλας, ὑπάτων οὐκ ὄντων, ἐπεὶ καὶ Κάρβων ἐν Σικελίᾳ
καὶ Μάριος κατὰ Πραινεστὸν ἐτεθνήκεσαν, αὐτὸς μέν που τῆς πόλεως ὑπεξῆλθε· τῇ
δὲ βουλῇ προσέταξεν ἑλέσθαι τὸν καλούμενον μεσοβασιλέα. ἡ μὲν δὴ εἵλετο
Οὐαλλέριον Φλάκκον, ἐλπίσασα ὑπάτων προτεθήσεσθαι χειροτονίαν· ὁ δὲ
Σύλλας ἐπέστελλε τῷ Φλάκκῳ γνώμην ἐς τὸν δῆμον εἰσενεγκεῖν, ὅτι χρήσιμον
ἡγοῖτο Σύλλας ἐν τῷ παρόντι ἔσεσθαι τῇ πόλει τὴν ἀρχὴν οὓς ἐκάλουν δικτάτορας,
παυσαμένην ἔθος ἐκ τετρακοσίων ἐτῶν· ὃν δὲ ἡγοῖντο, ἐκέλευε γὰρ ἄρχειν οὐκ ἐς

χρόνον ῥητόν, ἀλλὰ μέχρι τὴν πόλιν καὶ τὴν Ἰταλίαν καὶ τὴν ἀρχὴν ὅλην στάσεσι καὶ πολέμοις
σεσαλευμένην στηρίσειεν. ὁ μὲν δὴ νοῦς τῆς γνώμης ἐς αὐτὸν ἔφερε τὸν Σύλλαν. καὶ
οὐδ' ἀμφίβολον ἦν· ὁ δὲ Σύλλας οὐ κατασχὼν αὑτόν, καὶ τοῦτ' ἐν τῷ τέλει τῆς ἐπιστολῆς
ἀνεκάλυψεν, ὅτι δοκοίη μάλιστ' ἂν αὐτὸς τῇ πόλει καὶ ἐν τῷδε γενέσθαι χρήσιμος.
ὁ μὲν δὴ τάδε ἐπέστελλε. Ῥωμαῖοι δ' οὐχ ἑκόντες μὲν οὐδὲ κατὰ νόμον ἔτι χειρο-
τονοῦντες οὐδὲν οὐδ' ἐπὶ σφίσιν ἡγούμενοι τὸ ἔργον ὅλως, ἐν δὲ τῇ πάντων ἀπορίᾳ
τὴν ὑπόκρισιν τῆς χειροτονίας ὡς ἐλευθερίας εἰκόνα καὶ πρόσχημα ἀσπαζόμενοι, χει-
ροτονοῦσι τὸν Σύλλαν ἐς ὅσον ἐθέλοι τύραννον αὐτοκράτορα. τυραννὶς μὲν γὰρ καὶ ἡ τῶν
δικτατόρων ἀρχὴ καὶ πάλαι, ὀλίγῳ χρόνῳ ὁριζομένη· τότε δὲ πρῶτον ἐς ἀόριστον ἐλθοῦσα,
τυραννὶς ἐγίγνετο ἐντελής. τοσόνδε μέντοι προσέθεσαν ἐς εὐπρέπειαν τοῦ ῥή-
ματος· ὅτι αὐτὸν αἱροῖντο δικτάτορα ἐπὶ θέσει νόμων, ὧν αὐτὸς ἐφ' ἑαυτοῦ δοκι-
μάσειε, καὶ καταστάσει τῆς πολιτείας. οὕτω μὲν δὴ Ῥωμαῖοι βασιλεῦσιν ὑπὲρ τὰς
ἑκατὸν ὀλυμπιάδας χρησάμενοι, ἐπὶ ἄλλαις δημοκρατίᾳ τε καὶ ὑπάτοις ἐτησίοις
προστάταις, ἐς ἄλλας ἑκατὸν ὀλυμπιάδας αὖθις ἐπειρῶντο βασιλείας. ὀλυμπιὰς
μὲν ἦν ἐν Ἕλλησιν ἑκατὸν ἑβδομηκοντα πέντε. οὐδενὸς δὲ ὀλυμπίασι τότε ἀγωνίσ-
ματος πλὴν σταδίου δρόμου γιγνομένου· τοὺς γὰρ ἀθλητὰς καὶ τὰ ἄλλα θεάματα πάντα
ὁ Σύλλας ἐς Ῥώμην μετεκεκλήκει, ἐπινίκια τῶν Μιθριδατείων ἔργων καὶ τῶν Ἰταλι-
κῶν. πρόφασις δ' ἦν, ἀναπνεῦσαι ψυχαγωγηθῆναι τὸ πλῆθος ἐκ καμάτων. ὁ δ' ἐς μὲν
πρόσχημα τῆς πατρίου πολιτείας ὑπάτους αὐτοῖς ἐπέτρεψεν ἀποφῆναι· καὶ ἐγένοντο
Μάρκος Τύλλιος καὶ Κορνήλιος Δολοβέλλας. αὐτὸς δ' οἷα δὴ βασιλεύων, δικτάτωρ
ἐπὶ τοῖς ὑπάτοις ἦν· πελέκεις τε γὰρ ἐφέροντο πρὸ αὐτοῦ οἷα δικτάτωρος εἴκοσι
καὶ τέσσαρες, ὅσοι καὶ τῶν πάλαι βασιλέων ἡγοῦντο· καὶ φυλακὴν τοῦ σώματος
περιέθετο πολλήν. νόμους τε ἔλυεν καὶ ἑτέρους ἐτίθετο· καὶ στρατηγεῖν ἀπεῖπε
πρὶν ταμιεῦσαι, καὶ ὑπατεύειν, πρὶν στρατηγῆσαι· καὶ τὴν αὐτὴν ἀρχὴν αὖθις
ἄρχειν ἐκώλυσε, πρὶν ἔτη δέκα διαγενέσθαι. τὴν δὲ τῶν δημάρχων ἀρχήν, ἴσα καὶ
ἀνεῖλεν, ἀσθενεστάτην ἀποφήνας καὶ νόμῳ κωλύσας μηδεμίαν ἄλλην τὸν δή-
μαρχον ἀρχὴν ἔτι ἄρχειν· διὸ καὶ πάντες οἱ δόξης ἢ γένους ἀντιποιούμενοι, τὴν
ἀρχὴν ἐς τὸ μέλλον ἐξετρέποντο. καὶ οὐκ ἔχω σαφῶς εἰπεῖν, εἰ Σύλλας αὐτὴν καθά-
περ νῦν ἐστιν, ἐς τὴν βουλὴν ἀπὸ τοῦ δήμου μετήνεγκεν. αὐτῇ δὲ τῇ βουλῇ διὰ τὰς στά-
σεις καὶ τοὺς πολέμους πάμπαν ὀλιγανδρούσῃ προσκατέλεξεν ἀμφὶ τοὺς τριακο-
σίους ἐκ τῶν ἀρίστων ἱππέων, ταῖς φυλαῖς ἀναδοὺς ψῆφον περὶ ἑκάστου. τῷ δὲ
δήμῳ τοὺς δούλους τῶν ἀνῃρημένων τοὺς νεωτάτους τε καὶ εὐρωστοτάτους μυρίους πλείους

ἠλευθέρωσεν, ἐγκατέλεξε· καὶ πολίτας ἀπεφήνατο· καὶ Κορνηλίους ἐφ' ἑαυτοῦ προ-
σεῖπεν, ὅπως ἑτοίμοις ἐκ τῶν δημοτῶν πρὸς τὰ παραγγελλόμενα μυρίοις χρῷτο.
τὸ δ' αὐτὸ καὶ περὶ τὴν Ἰταλίαν ἐπινοῶν, τῇ γε τοῖς ὑπ' αὐτοῦ στρατευσαμένοις τε καὶ ἐπι-
καὶ εἴκοσιν, ἐπηγγελμένως ὥσπερ μοῖρα προσφορὰν πολλῶν ταῖς πόλεσι γῆν. τὴν μέν, ἐπὶ τῶν
ἀνέμητο· τὴν δέ, τὰς πόλεις ἀφαιρούμενος ἐπιζήμια. ἐν ἅπασι δ' ἦν οὕτω φο-
βερὸς καὶ ἄκρος ὀργήν, ὡς καὶ Κοΐντον Λουκρήτιον Ὀφέλλαν τὸν στρατηγὸν αὐτοῦ λαβόντα
καὶ Μάριον τὸν ὕπατον ἐκ πολιορκίας καὶ τὸ πλῆθος αὐτῷ τῆς νίκης συμπράξαντα
ὑπατείαν ἔτι ἱππέα ὄντα, πρὶν ταμιεῦσαι καὶ στρατηγῆσαι, διὰ τὸ μέγεθος ὧν εἰργάσατο
μὲν κατὰ τὸ παλαιὸν ἔθος ἀξιοῦντα καὶ τῶν πολιτῶν δεόμενον· ἐπεὶ κωλύων καὶ ἀνατι-
θέμενος οὐ μετέπεισεν, ἐν ἀγορᾷ μέσῃ κτεῖναι. καὶ συνδραμόντος τοῦ πλήθους ἐν ἐκ-
κλησίᾳ, εἶπεν· ἴστε μέν, ὦ ἄνδρες, καὶ παρ' ἐμοῦ δὲ ἀκούσατε, ὅτι Λουκρήτιον ἐγὼ
» κατέκτονα ἀπειθοῦντά μοι. καὶ λόγον τινὰ εἶπε· φθεῖρες γεωργὸν ἀροτριῶντα ὑπέδακνον.
» ὁ δέ, δὶς μὲν ἀφεὶς τὸ ἄροτρον μεθεὶς τὸν χιτωνίσκον ἐκάθηρεν. ὡς δ' αὖθις ἐδάκνετο,
» ἵνα μὴ πολλάκις ἀργοίη, τὸν χιτωνίσκον ἔκαυσε. κἀγὼ τοῖς δὶς ἡττημένοις παραινῶ
τρίτου πυρὸς μὴ δεηθῆναι. Σύλλας μὲν δὴ καὶ τοῖς δὲ κατὰ πλῆθος ἐμμένων αὐτῇ, καθὰ
ἐβούλετο ἦρχε. καὶ ἐθριάμβευσεν ἐπὶ τῷ Μιθριδατικῷ πολέμῳ. καί τινες αὐτοῦ τὴν ἀρχὴν
ἀρνουμένην βασιλείαν ἐπισκώπτοντες ἐκάλουν· ὅτι τὸ μὲν τοῦ βασιλέως ὄνομα μόνον ἀπέκρυπτον·
οἱ δὲ ἐπὶ τοὐναντίον ἀπὸ τῶν ἔργων μετέφερον· καὶ τυραννίδα ὁμολογουμένως ἔλεγον. ἐς
τοσοῦτον αὐτοῖς τε Ῥωμαίοις καὶ τελέως ἅπασιν ὁ πόλεμος ὁ δὲ προύβη κακῶν· προύβη
δὲ καὶ τοῖς ὑπὸ τὴν Ἰταλίαν ἔθνεσιν ἅπασιν. ἄρτι μὲν ὑπὸ λυπηρῶν καὶ Μιθριδάτου καὶ
Σύλλα πεπολεμημένοις, ἄρτι δὲ ἀπορουμένου τοῦ ταμιείου, διὰ τὰς στάσεις, ἐκ τῶν χρημάτων
εἰσφοραῖς πολλαῖς. ἔθηκέ τε πάντας καὶ βασιλεῖς ὅσοι σύμμαχοι καὶ πόλεις, οὐχ ὅσαι μόνον
ὑποτελεῖς, ἀλλὰ καὶ ὅσαι ἑαυτὰς ἐγκεχειρίκεσαν ἐπὶ συνθήκαις ἔνορκοι· καὶ ὅσαι δι' ἀ-
συμμαχίαν ἤ τινα ἀρετὴν ἄλλην αὐτόνομοί τε καὶ φόρων ἦσαν ἀτελεῖς, τότε πᾶσαι συν-
τελεῖν ἐκελεύοντο καὶ ὑπακούειν. χώρας τε ἔνιαι καὶ λιμένας κατὰ συνθήκας σφίσι δεδο-
μένα, ἀφῃροῦντο. Σύλλας δὲ καὶ Ἀλέξανδρον τὸν Ἀλεξάνδρου τοῦ ἐν Αἰγύπτῳ βασι-
λεύσαντος υἱόν, ἀνατραφέντα μὲν ἐν Κῷ καὶ ὑπὸ Κῴων ἐκδοθέντα Μιθριδάτῃ, διαφυ-
γόντα δὲ πρὸς Σύλλαν ἐκ Μιθριδάτου καὶ συνήθη γενόμενον, ἐψηφίσατο βασιλέα
Ἀλεξανδρέων· ἐρήμου τῆς Ἀλεξανδρέων ἀρχῆς ἀνδρὸς οὔσης, καὶ τῶν γυναικῶν ὅσαι
βασιλικοῦ γένους ἦσαν, ἀνδρὸς συγγενοῦς δεομένων. ἐπὶ δὲ χρήμασι πεισθεὶς πολλὰ ἐκ βασι-
λείας πολυχρύσου· ἀλλὰ τοῦτον μὲν οἱ Ἀλεξανδρεῖς ἐννεακαιδεκάτην ἡμέραν ἔχοντα
τῆς ἀρχῆς, καὶ τὸ πιστότερον φθόνου, οἷα Σύλλᾳ πεποιθότα ἐξηγούμενον, ἐν τῷ γυμνασίῳ

ἐκ τοῦ βασιλείου προαγαγόντες ἔκτειναν. οὕτως ἔτι καὶ τότε διὰ τὸ μέγεθος τῆς ἀρχῆς καὶ διὰ
καὶ τῶν ἔξωθεν κακῶν ἐπὶ τοῦ ἀπαθεῖς, ἀφόβως εἶχον αὐτῶν. τοῦ δὲ ἐπιόντος ἔτους Σύλλας
καὶ πρὸ δικτάτωρ, ἐν ὑποκρίσει ὅμως τοῦ σχήματος δημοκρατικῆς ἀρχῆς ὑπέστη καὶ
ὕπατος αὖθις γενέσθαι σὺν Μετέλλῳ τῷ Εὐσεβεῖ. καὶ ἀπὸ τοῦδε εἰσέτι νῦν οἱ Ῥωμαῖοι βασι-
λέων ὑπάτους ἀποφαίνοντες τῶν δέ, ἐπινοοῦσί τε καὶ αὐτοῖς ἀποδημοῦσιν. ἐν
καλῷ τιθέμενοι μετὰ τῆς μεγίστης ἀρχῆς καὶ ὑπατεῦσαι. τῷ δ' ἑξῆς ἔτει, ὁ μὲν δῆμος καὶ
τότε τὸν Σύλλαν θεραπεύων, ᾑρεῖτο ὑπατεύειν. ὁ δὲ ἀπαναινόμενος, ὑπάτους μὲν αὐτοῖς
ἀπέφηνε, Σερουίλιον Ἰσαυρικὸν καὶ Κλαύδιον Πούλχερον. αὐτὸς δὲ τὴν μεγάλην ἀρχὴν οὐδενὸς
ἐνοχλοῦντος, ἑκὼν ἀπέθετο. καὶ μοι θαῦμα μὲν καὶ τὸ δὲ αὐτοῦ καταφαίνεται τὸ τοσαύτην
ἀρχὴν πρῶτον ἀνδρῶν καὶ μόνον ἐν τότε, Σύλλαν, οὐδενὸς ἐπάγοντος ἀποθέσθαι. οὐ πᾶσιν,
ὡς Πολέμων λέγεται καὶ Ἀριοβαρζάνης ἐν Καππαδοκίᾳ καὶ Σέλευκος ἐν Συρίᾳ, ἀλλ' αὐ-
τοῖς τυραννουμένοις· ἄλογον δὴ καὶ τὸ βιασάμενον ἐν τῇ ἀρχῇ ἐπικινδύνως, ἑαυ-
τὸν ἐγκρατῆ σε ἐπιτρέψαι ἑκόντα ἀποθέσθαι. καὶ παράδοξον ὅπως τι ἕτερον τὸ μὴ δὲ ἐν αὐτῇ ὡς
αὐτῷ δὲ τῷ πολέμῳ πλεῖν μυριάδων δέκα ἀνῃρημένης. καὶ τῶν ἐχθρῶν αὐτῷ ἀνελόν-
βουλευτὰς μὲν ἐνενήκοντα· ὑπάτους δὲ πεντεκαίδεκα. ἀπὸ δὲ τῶν καλουμένων ἱπ-
πέων, δισχιλίους καὶ ἑξακοσίους. σὺν τοῖς ἐξεληλαμένοις. ὧν τῆς τε οὐσίας δεδημευ-
μένης καὶ πολλῶν ἀτάφων ἐκριφέντων, οὔτε τοὺς οἴκους ὁ Σύλλας οὔτε τῶν φονευθέντων καὶ ἐκ-
πλαγείς, οὐδὲ τὰς πόλεις ὧν ἀκροπόλεις τε καὶ τείχη καὶ γῆν καὶ χρήματα καὶ ἀτελείας
ἀφήρητο, ἑαυτὸν ἀπέφηνεν ἰδιώτην. τοσοῦτον δ' ἦν τῷ δὲ τῷ ἀνδρὶ τόλμης καὶ τύχης·
ὥστε φασὶν ἐπεὶ ἐν ἀγορᾷ τὴν ἀρχὴν ἀποτιθέμενος, ὅτι καὶ λόγον ἀπαιτήσαι τοῖς
τῶν γεγονότων, ὑφέξει· καὶ τὰς ῥάβδους καθελόντα καὶ τοὺς πελέκεας, τὴν φρουρὰν ἀπὸ
τοῦ σώματος ἀπώσασθαι. καὶ μόνον μετὰ τῶν φίλων ἐν πολὺ ἐν μέσῳ βαδίσαι θεω-
μένου τοῦ πλήθους. καὶ κατὰ πεπληγότος αὐτόν. καὶ τότε ἀναχωροῦντα δὲ ἐπὶ τὴν οἰκί-
αν ὀψέ ποτε, μειράκιον ἐπεμέμφετο. καὶ οὐδενὸς αὐτῷ ἀπερύκοντος· θαρρῆσαι
καὶ λοιδορούμενον αὐτῷ μέχρι τῆς οἰκίας ἐπελθεῖν. ὁ δέ, κατὰ τῶν μειζόνων ἀνδρῶν τε καὶ
πόλεων ἄκρος ὀργὴν γενόμενος, ἀπαθῶς τὸ μειράκιον ἤνεγκε. καὶ τοσοῦτον ἐπὶ ὧν
ἐν τῇ οἰκίᾳ, ἥ τε ἀπὸ ξένης ἐπῆς ἥ τε καὶ τύχη καταμαντευόμενος τῶν ἐσομένων,
ἀπεκρίνατο, ὅτι κωλύσει τὸ μειράκιον τόδε ἕτερον ἄνδρα ἀρχὴν τοιαύτην ἔχοντα
ἀποθέσθαι. καὶ Ῥωμαίοις μὲν οὕτω γενέσθαι συνηνέχθη μετ' ὀλίγον. Γαΐου Καίσαρος,
τὴν ἀρχὴν οὐκέτι μεθέντος. ὁ δὲ Σύλλας ἐν πᾶσι ταμοι δοκῶν σφοδρὸς ὁμοῦ καὶ
δεινὸς γενόμενος, ἐπιθυμήσαι τύραννος δ' ἐξ ἰδιώτου γενέσθαι. καὶ ἰδιώτης
ἐκ τυράννου. καὶ μετὰ τοῦτο εἰς ἐπαρχίαν ἀγροικὸν διαγενέσθαι. δίηλθε γὰρ

ἐν χωρίοις ἰδίοις ἐς Κύμην τῆς Ἰταλίας, ἔνθα ἐν ταῖς ἐρημίαις θαλάσσῃ τε καὶ κυνηγεσίοις ἐχρῆτο· οὐ φυλασσόμενος τὸν κατὰ τὴν πόλιν ἰδιώτην βίον· οὐδ᾽ ἀσθενὴς ὢν αὖθις, ἐς ὅ τι ὁρμήσειε· ὡς δυνάμει καὶ ἡλικίᾳ καὶ τῷ σώματι ἔρρωστο· ἀμφὶ δὲ τὴν Ἰταλίαν δυοκαίδεκα μυριάδες ἀνδρῶν ἦσαν, ἔναγχος ὑπεστρατευμένοι, καὶ δωρεὰς μεγάλας καὶ γῆν πολλὴν παρ᾽ αὐτοῦ λαβόντες· ἕτοιμοι δ᾽ ἦσαν καὶ κατὰ τὸ ἄστυ μύριοι Κορνήλιοι, καὶ ὁ ἄλλος αὐτοῦ στασιώτης ὄχλος, ὀλίγοις αὐτῷ καὶ φοβερὸς ὢν ἔτι τοῖς ἑτέροις· καὶ τὸ ἐφ᾽ ἑτέρου ἀδεὲς ὢν τῷ Σύλλᾳ συνεπεπραχόσιν, ἐν τῷ Σύλλαν περιεῖναι τιθέμενοι· ἀλλά μοι δοκεῖ κόρον τε πολέμων καὶ κόρον ἀρχῆς καὶ κόρον ἄστεος λαβών, ἐπὶ τέλει καὶ ἀγροικίας ἐρασθῆναι. ἄρτι δ᾽ ἀποστάντος αὐτοῦ, Ῥωμαῖοι φόνου καὶ τυραννίδος ἀπαλλαγέντες, κατ᾽ ὀλίγον ἑτέρας στάσεως ὑπερριπίζοντο. καὶ ὕπατοι αὐτοῖς καθίσταντο Κόιντός τε Κάτλος ἀπὸ τῶν Συλλείων, καὶ Λέπιδος Αἰμίλιος ἀπὸ τῶν ἐναντίων· ἐχθίστω τε ἀλλήλοιν, καὶ εὐθὺς ἀρξαμένω διαφέρεσθαι. δῆλόν τε ἦν τι κακὸν ἕτερον ἐκ τοῦδε γενησόμενον. Σύλλας δὲ ἐν τοῖς ἀγροῖς ἐνύπνιον ἔδοξεν ἰδεῖν, ὅτι αὐτὸν ὁ δαίμων ἤδη καλοίη· ὁ δὲ καὶ αὐτίκα μεθ᾽ ἡμέραν τοῖς φίλοις τὸ ὄναρ ἐξηγησάμενος, διαθήκας συνέγραφεν ἐπειγόμενος, καὶ αὐτῆς ἡμέρας συνετέλει· σφραγισάμενος δὲ αὐτάς, περὶ ἑσπέραν πυρετοῦ ἐμπεσόντος, νυκτὸς ἐτελεύτησεν· ἑξήκοντα μὲν ἔτη βιώσας, εὐτυχέστατος δὲ ἀνδρῶν ἔς τε τὸ τέλος αὐτό, καὶ ἐν τοῖς ἄλλοις πᾶσιν· ὥσπερ ὀνομάζετο γενέσθαι δοκῶν· εἰ δή τις εὐτυχίαν ἡγεῖται τὸ τυχεῖν ὅσων ἂν ἐθέλοι· γίνεται δ᾽ εὐθὺς ἐν ἀστασιάστοις στάσις ἐπ᾽ αὐτῷ· τῶν μὲν, ἀγαγεῖν ἀξιούντων τὸ σῶμα διὰ τῆς Ἰταλίας ἐπὶ πομπῇ, καὶ ἐν τῇ Ῥωμαίων ἀγορᾷ προτιθέναι καὶ ταφῆς δημοσίας ἀξιοῦν· Λεπίδου δὲ καὶ τῶν ἀμφὶ Λέπιδον, ἀνισταμένων· ἐξενίκα δὲ Κάτλος καὶ οἱ Σύλλειοι. καὶ ἐφέρετο ὁ νέκυς ὁ τοῦ Σύλλα διὰ τῆς Ἰταλίας ἐς τὸ ἄστυ· ἐπὶ κλίνης χρυσηλάτου καὶ κόσμου βασιλικοῦ· σαλπικταί τε πολλοὶ καὶ ἱππεῖς, καὶ ἄλλος ὅμιλος ἐκ πεζὸς ὡπλισμένος εἵπετο· οἵ τε ὑπεστρατευμένοι αὐτῷ πανταχόθεν ἐπὶ τὴν παραπομπὴν ὡπλισμένοι συνέθεον· καὶ ὡς ἕκαστος ἀφικνοῖτο, εὐθὺς ἐν κόσμῳ καθίσταντο· ἄλλο τε πλῆθος ὅσον ἐπ᾽ οὐδενὶ ἔργῳ συνέτρεχεν· ἡγεῖτο δὲ αὐτοῦ σημαῖα καὶ πελέκεις, ὅσοις περιὼν ἔτι καὶ ἄρχων, ἐκοσμεῖτο. ὡς δὲ ἐπὶ τὸ ἄστυ κατήχθη, ἐσεφέρετο μετὰ πομπῆς ἐνταῦθα δὴ μάλιστα ὑπερόγκου· στέφανοί τε γὰρ δισχιλίων πλείους ἀπὸ χρυσοῦ κατὰ σπουδὴν γενόμενοι περιεφέροντο, δῶρα τῶν πόλεων, καὶ τῶν ὑπ᾽ αὐτῷ στρατευσαμένων τελῶν, καὶ καθ᾽ ἕνα τῶν φίλων· ἄλλα τε τῶν ἐς τὴν ταφὴν πεμφθέντων, οὐ δυνατὰ ἐκφράσαι πολυτελῆ· καὶ τὸ σῶμα δὲ δεῖ τοῦ συνδραμόντος στρατοῦ

παρέπεμπον ἱερεῖς τε ἅμα πάντες καὶ ἱέρειαι, κατὰ σφᾶς αὐτῶν ἑκάτεροι· καὶ ἡ βουλὴ πᾶσα, καὶ αἱ ἀρχαὶ τὰ σφέτερα σημεῖα ἐπικείμενοι· κόσμῳ δ᾽ ἄλλῳ τῶν τε καλουμένων ἱππέων πλῆθος εἵπετο· καὶ ὁ στρατὸς ἀνὰ μέρη πᾶς ὅσος ὑπεστράτευτο αὐτῷ· συνέδραμον γὰρ σπουδῇ τὸ ἔργον ἅπαντες ἐπειγόμενοι καταλαβεῖν· σημεῖά τε φέροντες ἐπίχρυσα καὶ ὅπλα ἐπὶ σφίσι περιάργυρα, οἷς ἔτι νῦν ἐς τὰς πομπὰς εἰώθασι χρῆσθαι· σαλπικτῶν τε ἄπειρον ἦν πλῆθος, παρὰ μέρος ἐναγωνιώτατα καὶ πένθιμα μελῳδούντων· βοὴ δὲ παρ᾽ εὐφήμοις ὑπό τε βουλῆς πρώτης, καὶ ἱππέων ἐν μέρει, εἶθ᾽ ὁ στρατός, εἶθ᾽ ὁ δῆμος· οἱ μὲν, τῷ ὄντι Σύλλαν ἐπιποθοῦντες· οἱ δὲ, δειμαίνοντες αὐτοῦ καὶ τότε τὸν στρατὸν καὶ τὸν νέκυν οὐχ ἧττον ἢ περιόντος. ἔς τε γὰρ τὴν ὄψιν τῶν γιγνομένων ἀποβλέποντες, καὶ ἐς τὴν μνήμην ὧν ἔδρασεν ὁ ἀνήρ, ἐξεπλήττοντο· καὶ ὡμολόγουν τοῖς ἐναντίοις εὐτυχέστατον αὐτὸν ἐκείνοις γενέσθαι· καὶ σφίσι καὶ τεθνεῶτα φοβερώτατον. ὡς δὲ ἐπὶ τοῦ βήματος ἔνθα δημηγορεῖν ἐν ἀγορᾷ προυτέθη, τὸ μὲν ἐπιτάφιον εἶπεν ὁ ῥητόρων κράτιστος τῶν τότε, ἐπεὶ Φαῦστος ὁ παῖς ὁ τοῦ Σύλλα νεώτατος ἦν ἔτι· τὸ δὲ λέχος ὑποδύντες ἀπὸ τῆς βουλῆς ἄνδρες εὔρωστοι, διεκόμιζον ἐς τὸ πεδίον τὸ Ἄρειον· ἔνθα βασιλεῖς θάπτονται μόνοι· καὶ τὸ πῦρ οἵ τε ἱππεῖς καὶ ἡ στρατιὰ περιέδραμον. καὶ Σύλλᾳ μὲν τοῦτο τέλος ἦν· ἀπὸ δὲ τῆς πυρᾶς χωροῦντες εὐθὺς οἱ ὕπατοι, λόγοις βλασφήμοις ἐς ἀλλήλους διεφέροντο· καὶ τὸ ἀστασίαστον ἐν αὐτοῖς διήρητο. Λέπιδος δὲ τοὺς Ἰταλικοὺς προσποιούμενος ἔλεγεν· ὅτι τὴν γῆν αὐτοῖς ἣν ὁ Σύλλας ἀφῄρητο ἀποδώσει· ἀμφοτέρων δ᾽ ἡ βουλὴ δείσασα, ὥρκωσε μὴ πολέμῳ διακριθῆναι· κληρωσάμενος δὲ Λέπιδος τὴν ὑπὲρ Ἄλπεις Γαλατίαν, ἐπὶ τὰ ἀρχαιρέσια οὐ κατῄει, ὡς πολεμήσων τοῖς Συλλείοις τοῦ ἐπιόντος ἔτους ὑπὲρ τὸν ὅρκον ἀδεῶς· ἐδόκει γὰρ ἐν τῷ τῆς ἀρχῆς ἔτει ὁρκωθῆναι· οὐ λανθάνων δὲ ἐφ᾽ οἷς ἐβούλευεν, ἐκαλεῖτο ὑπὸ τῆς βουλῆς· καὶ οὐδὲ αὐτὸς ἀγνοῶν ἐφ᾽ οἷς ἐκαλεῖτο, ᾔει μετὰ τοῦ στρατοῦ παντός, ὡς ἐς τὴν πόλιν ἐσελευσόμενος σὺν αὐτῷ· κωλυόμενος δέ, ἐκήρυξεν ἐς τὰ ὅπλα χωρεῖν· καὶ ἀντεκήρυττε Κάτλος, μικρόν τε πρὸ τοῦ Ἀρείου πεδίου μάχης αὐτοῖς γενομένης, ἡττώμενος ὁ Λέπιδος καὶ οὐκ ἐς πολὺ ἔτι ἀντισχών, ἐς Σαρδὼ διέπλευσεν· ἔνθα νόσῳ τηκεδόνι χρώμενος, ἀπέθανεν· καὶ ὁ στρατὸς αὐτοῦ μικρὰ κατὰ μέρος ἐνοχληθεὶς διελύθη· τὸ δὲ κράτιστον Περπέρνας ἐς Ἰβηρίαν ἤγαγε Σερτωρίῳ. λοιπὸν δ᾽ ἐστὶ τῶν Συλλείων ἔργων τὸ Σερτώριον, γενόμενον μὲν ὀκταετές, οὐκ εὐμαρὲς δέ, οὐδ᾽ ἅμα Ῥωμαίοις ἅτε μὴ πρὸς Ἴβηρας αὐτοῦ, ἀλλὰ καὶ τόδε ἐπ᾽ ἀλλήλοις καὶ πρὸς Σερτώριον· ὃς ᾑρημένος Ἰβηρίας ἄρχειν, Κάρβωνι δὲ ἐπὶ Σύλλα

συμμαχῶν, σὺν αὐτῷ πόλιν ἣν σπουδαῖς κατέλαβε· ἀφ' ὧν, ἐπὶ τὴν στρατηγίαν ᾤχετο· στρατὸν ἔχων ἔκ τε Ἰταλίας αὐτῆς, καί τινα ἄλλην ἐκ Κελτιβήρων ἀγείρας· τούς τε πρὸ ἑαυτοῦ στρατηγούς, οὐ παραδιδόντας οἱ τὴν ἀρχὴν ἐς χάριν Σύλλα, τῆς Ἰβηρίας ἐξέβαλλε· καὶ πρὸς Μέτελλον ἐπιπεμφθέντα ὑπὸ Σύλλα, ἀπεμάχετο γενναίως· περιώνυμος δὲ ὢν ἐπὶ τόλμῃ, βουλὴν κατέλεξεν ἐκ τῶν συνόντων οἱ φίλων τριακοσίους· καὶ τήνδε ἔλεγεν εἶναι τὴν Ῥωμαίων βουλὴν, ἐς ὕβριν ἐκείνης, σύγκλητον ἐκάλει· Σύλλα δ' ἀποθανόντος καὶ Λεπίδου μετὰ Σύλλαν, στρατὸν ἔχων ἄλλον Ἰταλῶν, ὃν αὐτῷ Περπέννας ὁ τοῦ Λεπίδου στρατηγὸς ἤγαγεν. ἐπίδοξος ἦν στρατεύσειν ἐπὶ τὴν Ἰταλίαν, εἰ μὴ δείσασα ἡ βουλὴ, στρατόν τε ἄλλον καὶ στρατηγὸν ἕτερον ἐπὶ τῷ προτέρῳ, Πομπήιον ἔπεμψεν ἐς Ἰβηρίαν, νέον μὲν ἔτι ὄντα, διαφανῆ δὲ ἐξ ὧν ἐπὶ Σύλλα περί τε Λιβύην καὶ ἐν αὐτῇ Ἰταλίᾳ κατείργαστο. ὁ δὲ, ἐς τὰ Ἄλπεια ὄρη μετὰ φρονήματος ἀνῄει, οὐ κατὰ τὴν Ἀννίβου μεγαλουργίαν· ἑτέραν δὲ χαράξας ἀμφὶ τὰς πηγὰς τοῦ τε Ῥοδανοῦ καὶ Ἠριδανοῦ. οἳ ἀνίσχουσι μὲν ἐκ τῶν Ἀλπείων ὀρῶν οὐ μακρὰν ἀπ' ἀλλήλων. ῥέουσι δὲ, ὁ μὲν διὰ Κελτῶν τῶν ὑπὲρ Ἄλπεις ἐς τὴν Τυρρηνικὴν θάλασσαν· ὁ δὲ, ἐντὸς τῶν Ἄλπεων ἐπὶ τὸν Ἰόνιον, Πάδος ἀντὶ Ἠριδανοῦ μετονομασθείς· ἀφικομένου δ' ἐς Ἰβηρίαν, αὐτίκα ὁ Σερτώριος τέλος ὅλον ἐπὶ χορτολογίαν ἐξιὸν, αὐτοῖς ὑποζυγίοις καὶ θεράπουσι συνέκοψε· καὶ Λαύρωνα πόλιν ἐφορῶντος αὐτοῦ Πομπηίου διήρπασε καὶ κατέσκαψεν. ἐν δὲ τῇ πολιορκίᾳ γυνή τις ἐνυβρίζοντος αὐτῇ τοῦ λαβόντος παρὰ φύσιν, τοῖς δακτύλοις ἐξέτεμε τὰς ὄψεις· καὶ ὁ Σερτώριος τοῦ πάθους πυθόμενος, τὴν σπεῖραν ὅλην ἥπερ ἦν χρόνον ἐς τὰ τοιαῦτα γιγνομένην νομιζομένην, καίπερ οὖσαν Ῥωμαίων, κατέκανε· καὶ τότε μὲν χειμῶνος ἐπιόντος, διέστησαν· ἀρχομένου δ' ἦρος, ἐπῄεσαν ἀλλήλοις· Μέτελλος μὲν ἀπὸ τῶν Πυρηναίων ὀρῶν, ἔνθα ἐχείμαζον· Σερτώριος δὲ καὶ Περπέννας ἐκ Λυσιτανίας, καὶ συμβάλλουσιν ἀλλήλοις περὶ πόλιν, ᾗ ὄνομα Σούρων· κτύπου δὲ ἐν αἰθρίᾳ φοβεροῦ καὶ ἀστραπῶν παραλόγων γενομένων, τὰ δὲ μὲν ὡς ἔμπειροι πολέμου διέφερον ἀκαταπλήκτως· πολὺν δ' ἀλλήλων φόνον ἐξειργάζοντο· μέχρι Μέτελλος μὲν Περπένναν ἐτρέψατο, καὶ τὸ στρατόπεδον αὐτοῦ διήρπασεν· ὁ δὲ Σερτώριος ἐνίκα Πομπήιον. καὶ ἐτρώθη δόρατι ἐς τὸν μηρὸν ἐπικινδύνως ὁ Πομπήιος· καὶ τοῦτο τέλος ἐγένετο τῆς τότε μάχης· ἔλαφος δ' ἦν λευκὴ χειροήθης τῷ Σερτωρίῳ ἀνετός· ἧς ἀφανοῦς γενομένης, ὁ Σερτώριος οὐκ αἴσιον ἑαυτῷ τιθέμενος, ἐβαρυθύμει τε καὶ ἐν ἀργίᾳ ἦν· καὶ ταῦτ' ἐπιτωθαζόμενος ἐς τὴν ἔλαφον ὑπὸ τῶν πολεμίων· ὡς δ' ὤφθη διὰ δρυμῶν δρόμῳ φερομένη, ἀνά τε ἔδραμεν ὁ Σερτώριος, καὶ εὐθὺς ὥσπερ αὐτῇ προκαταρχόμενος, ἠκροβολίσατο ἐς τοὺς πολεμίους· οὐ πολὺ δὲ ὕστερον, ἀγῶνα

μέγαν ἠγωνίζετο περὶ Σεγουντίαν ἐκ μεσημβρίας ἐπὶ νύκτα· καὶ αὐτὸς μὲν ἱππομαχῶν ἐκράτει Πομπηίου, καὶ ἔκτεινεν ἐς ἑξακισχιλίους, ἀποβαλὼν ἐς ἡμίσεας. Μέτελλος δὲ καὶ τότε Περπένναν περὶ πεντακισχιλίους διέφθειρε· καὶ ὁ Σερτώριος μετὰ τὴν μάχην τῆς ἐπιούσης ἡμέρας πολλοὺς βαρβάρους προσλαβὼν, ἐπέδραμεν ἀδοκήτως τῷ Μετέλλου στρατοπέδῳ περὶ δείλην ἑσπέραν, ὡς ἀποταφρεύσων αὐτῷ σὺν τόλμῃ· Πομπηίου δ' ἐπιδραμόντος, ἐπαύσατο τῆς καταφρονήσεως. καὶ τάδε μὲν ἦν αὐτοῖς τοῦ θέρους ἔργα· καὶ πάλιν ἐς χειμάσια διεκρίθησαν· τοῦ δὲ ἐπιόντος ἔτους, ἑβδομηκοστῆς ἕκτης καὶ ἑκατοστῆς ὀλυμπιάδος οὔσης, δύο μὲν ἐκ διαθηκῶν ἔθνη Ῥωμαίοις προσεγίγνετο· Βιθυνία τε, Νικομήδους ἀπολιπόντος, καὶ Κυρήνη Πτολεμαίου τοῦ Λαγίδου βασιλέως, ὃς ἐπίκλησιν ἦν Ἀπίων, πόλεμοι δ' ἤκμαζον· οὗτός τε ὁ Σερτωρίου περὶ Ἰβηρίαν· καὶ ὁ Μιθριδάτου περὶ τὴν ἀνατολὴν, καὶ ὁ τῶν λῃστῶν ἐν ὅλῃ τῇ θαλάσσῃ, καὶ περὶ Κρήτην πρὸς αὐτοὺς Κρῆτας ἕτερος, καὶ ὁ τῶν μονομάχων ἀνὰ τὴν Ἰταλίαν, αἰφνίδιος αὐτοῖς καὶ ὅδε καὶ σφοδρὸς ὁμοῦ γενόμενος· διαιρούμενοι δ' ἐς τοσαῦτα, ὅμως καὶ ἐς Ἰβηρίαν ἔπεμψαν ἄλλα στρατοῦ δύο τέλη· μεθ' ὧν ἅμα τῷ ἄλλῳ παντὶ Μέτελλός τε καὶ Πομπήιος αὖθις ἀπὸ τῶν Πυρηναίων ὀρῶν ἐπὶ τὸν Ἴβηρα κατέβαινον· Σερτώριος δὲ καὶ Περπέννας αὐτοῖς ἀπήντων ἀπὸ Λυσιτανίας. καὶ τότε μάλιστα πολλοὶ Σερτωρίου πρὸς τὸν Μέτελλον ηὐτομόλουν· ἐφ' ᾧ χαλεπαίνων ὁ Σερτώριος, ἀγρίως καὶ βαρβαρικῶς ἐλυμαίνετο πολλοῖς· καὶ διὰ μίσους ἐγίγνετο· μάλιστα δ' αὐτὸν ὁ στρατὸς ἐν αἰτίᾳ εἶχεν, ἐπὶ δορυφορίᾳ ἀντ' αὐτῶν ἐπήγετο ἀντὶ τοῦ Ἰταλοῦ, Κελτίβηρας· καὶ τὴν φυλακὴν τοῦ σώματος Ῥωμαίους ἀφελὼν, τοῖς δὲ Κελτιβήρων ἐπέτρεπεν· οὐ γὰρ ἔφερον ἐς ἀπιστίαν ὀνειδιζόμενοι, ᾗ καὶ πολεμίῳ Ῥωμαίων ἐστρατεύοντο· ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ μάλιστα ὑπερέλυπει αὐτούς, τὸ ἀπίστοις ἐν τῇ περὶ διὰ τοὺς Σερτωρίου γενομένους ἀπιστεῖσθαι πρὸς αὐτοῦ· οὐδ' ἦν εἰκὸς διὰ τοὺς αὐτομολήσαντας, οἳ παραμένοντες κατεγνῶσθαι· πολλὰ δ' οἱ Κελτίβηρες αὐτοῖς ἀφορμῆς λαβόμενοι ἐνύβριζον ὡς ἀπιστουμένοις· οὐ μὴν τέως ὅμως τὸν Σερτώριον ἀπεστρέφοντο διὰ τὰς χρείας· οὐ γὰρ ἦν τότε τοῦ ἀνδρὸς οὔτε πολεμικώτερος ἄλλος οὔτ' ἐπιτυχέστερος· ὅθεν αὐτὸν οἱ Κελτίβηρες διὰ τὴν ταχυεργίαν ἐκάλουν Ἀννίβαν· ὃν θρασύτατόν τε καὶ ἀπατηλότατον στρατηγὸν παρὰ σφίσιν ἐδόκουν γενέσθαι· ὁ μὲν δὴ στρατὸς ὧδε εἶχε Σερτωρίου· πόλεις δ' αὐτοῦ πολλὰς ἐπέτρεχον οἱ περὶ τὸν Μέτελλον, καὶ τοὺς ἄνδρας ἐς τὰ ὑπήκοα σφίσι μετῆγον· Παλλαντίαν δὲ Πομπήιον περικαθήμενον, καὶ τὰ τείχη ξύλων κορμοῖς ὑποκρεμάσαντος, ἐπιφανεὶς ὁ Σερτώριος, τὴν μὲν πολιορκίαν ἐξέλυσε· τὰ τείχη δ' ἔφθασεν

ὑπὸ καὶ [illegible] ὁ Πομπήιος ἐν Μετέλλου δὲ χώρᾳ. Σερτώριος δὲ ἐπιπεσὼν ἤγειρε· καὶ τοῖς περὶ τὴν Καλλαγύρου στρατοπεδεύουσιν ἐπιδραμών, ἔκτεινε τρισχιλίους. καὶ τάδε μὲν ἦν καὶ τοῦδε τοῦ ἔτους ἐν Ἰβηρίᾳ. τοῦ δ᾽ ἐπιόντος, οἱ στρατηγοὶ Ῥωμαίων μᾶλλον ἤδη θαρροῦντες, ἐπῄεσαν ταῖς πόλεσι ταῖς ὑπὸ Σερτωρίῳ σὺν καταφρονήσει· καὶ πολλὰ αὐτοῦ περιέσπων· καὶ ἑτέροις ἐπέβαινον, ἐπαιρόμενοι τοῖς ἀπατωμένοις. οὐ μέντοι μεγάλη γε μάχη συνηνέχθη σφίσιν, ἀλλ᾽ αὖθις μέχρι τοῦ ἐξῆς ἔτους αὐτοὶ μὲν αὖθις ἐπῄεσαν σὺν πλείονι μᾶλλον καταφρονήσει. ὁ δὲ Σερτώριος βλάπτοντος ἤδη θεοῦ, τὸν μὲν ἐπὶ τοῖς πράγμασι πόνον, ἑκὼν μεθίει· τὰ πολλὰ δ᾽ ἦν ἐπὶ τρυφῆς, γυναιξὶ καὶ κώμοις καὶ πότοις σχολάζων· ὅθεν ἡττᾶτο συνεχῶς. καὶ γεγένητο ὀργήν τε ἄκρος διὰ ὑπονοίας ποικίλας καὶ ὠμότατος ἐν κολάσεσι· καὶ ὕποπτος ἐς ἅπαντας· ὥστε καὶ Περπένναν τὸν ἐκ τῆς Αἰμιλίου στάσεως ἑκόντα πρὸς αὐτὸν ἐλθόντα μετὰ πολλοῦ στρατοῦ, δεῖσαι περὶ ἑαυτοῦ· καὶ προσεπιβουλεῦσαι μετὰ ἀνδρῶν δέκα. ὡς δὲ καὶ τῶν δέ τινες τῶν ἀνδρῶν προδοθέντες, οἱ μὲν ἐκολάσθησαν· οἱ δὲ διέφυγον, ὁ Περπέννας παρὰ δόξαν λαθών, ἔτι μᾶλλον ἐπὶ τὸ ἔργον ἠπείγετο· καὶ οὐδαμοῦ τὸν Σερτώριον μεθιέντα τῆς δορυφορίας, ἐπὶ ἑστίασιν ἐκάλει· μεθύσας δ᾽ αὐτόν τε καὶ τοὺς περὶ [illegible] τῶν ἀνδρῶν φυλακήν, ἔκτεινεν ἀπὸ τῆς διαίτης. καὶ ὁ στρατὸς εὐθὺς ἐπὶ τὸν Περπένναν ἀνίστατο σὺν θορύβῳ πολλῷ καὶ μετ᾽ ὀργῆς. ἐν ὀλίγῳ δ᾽ αὖ τὰ κατὰ τοῦ Σερτωρίου μεταβάλλοντες ἀπὸ τοῦ μίσους, ὡς παρελθόντες ἐπὶ τοῖς ἀποθανοῦσι τὴν μὲν ὀργὴν μεθιᾶσιν, ὡς οὐκ ἐμποδὼν ἔτι τοῦ λυποῦντος ὄντος. ἐν δὲ τῇ ἀρετῇ αὐτοῦ, μετ᾽ ἐλέου ἡ μνήμη ἐπανίασι· τότε δὲ καὶ τὰ πρὸς σφίσιν ἐκλογιζόμενοι, Περπένναν μὲν ὡς ἰδιώτου κατεφρόνουν· ἐν δὲ ἀρετῇ Σερτωρίου μόνῃ τὴν σφίσιν ἐντιθέμενοι γενέσθαι σωτήριον, χαλεπῶς δὲ τὸν Περπένναν διετίθεντο, αὐτοί τε καὶ οἱ βάρβαροι σὺν αὐτοῖς. μάλιστα δὲ τοῦ Λουσιτανοί· οἷς καὶ μάλιστα αὐτοῖς ὁ Σερτώριος ἐχρῆτο. ὡς δὲ καὶ τῶν διαθηκῶν ἀνοιχθεισῶν τῶν Σερτωρίου, ὁ Περπέννας αὐταῖς ἐνεγέγραπτο ἐπὶ τῷ κλήρῳ, μᾶλλόν τε πάντων ὀργὴ καὶ μῖσος ἐς τὸν Περπένναν ἐσῄει· ὡς οὐκ ἐς ἄρχοντα μόνον ἢ στρατηγόν, ἀλλὰ καὶ ἐς φίλον καὶ εὐεργέτην τοιόνδε μύσος ἐργασάμενον. καὶ οὐκ ἂν οὐδὲ χειρῶν ἀπέσχοντο, εἰ μὴ περιθέων αὐτοῖς ὁ Περπέννας, τοὺς μὲν δώροις ὑπηγάγετο· τοὺς δ᾽ ὑποσχέσεσι· τοὺς δὲ ἀπειλαῖς ἐξεφόβησε· τοὺς δέ, καὶ διεχειρίσατο, ἐν καταπλήξει ἑτέρων. ἐπί τε τὰ πλήθη περιερχόμενος, ἐδημαγώγει· καὶ τοὺς δεσμώτας αὐτῶν ἐξέλυεν, οὓς ὁ Σερτώριος κατέδησε· καὶ τοῖς Ἴβηρσι τὰ ὅμηρα ἀπέλυεν. οἱ δ᾽ ὑπαχθέντες, ὑπή-

κουον μὲν ὡς στρατηγῷ· τὸ γὰρ δὴ μετὰ Σερτώριον ἀξίωμα εἶχεν· οὐ μέντοι χωρὶς δυσμενείας οὐδὲ τότε ἐγίγνοντο. καὶ γὰρ ὠμότατος αὐτίκα ἐν κολάσεσι θρασὺς ἐφαίνετο. καὶ τῶν ἐκ Ῥώμης αὐτῷ συμφυγόντων ἐπιφανῶν ἔκτεινε τρεῖς· καὶ τὸν ἀδελφιδοῦν ἑαυτοῦ. ὡς δὲ ταῦτα ἐπράττετο ἐν Ἰβηρίᾳ, ὁ Μέτελλος ᾤχετο, οὐ γὰρ ἔτι δεῖν ἐδόκει Περπένναν ἐπιτρέψαι μόνῳ Πομπηίῳ· ἐπὶ μέν τινας ἡμέρας ἐγίγνοντο ἀψιμαχίαι καὶ πεῖραι Πομπηίου καὶ Περπέννου, μὴ συμβαλλόντων ἀθρόως τὸν στρατόν. τῇ δεκάτῃ δὲ ἀγὼν αὐτοῖς μέγιστος ἐξερράγη. ὡς γὰρ ἔργῳ κρίναντες διακριθῆναι, Πομπήιος μὲν τῆς Περπέννου στρατηγίας κατεφρόνει· Περπέννας δ᾽ ὡς οὐκ ἐπὶ πολὺ χρησόμενος τῷ στρατῷ, ἀπάσῃ σχεδὸν τῇ δυνάμει συνεπλέκετο. ταχὺ δ᾽ ὁ Πομπήιος περιῆν, ὡς οὔτε στρατηγοῦ διαφέροντος, οὔτε προθύμου στρατοῦ. καὶ τροπῆς πάντων ὁμαλοῦς γενομένης, ὁ μὲν Περπέννας ὑπὸ θάμνῳ πόας ἐκρύφθη· δεδιὼς τοὺς οἰκείους μᾶλλον τῶν πολεμίων. λαβόντες δ᾽ αὐτὸν ἱππεῖς τινές, εἷλκον ἐς τὸν Πομπήιον, ἐπιβλασφημούμενον ὑπὸ τῶν ἰδίων. ὡς αὐθέντην Σερτωρίου καὶ βοῶντα πολλὰ μηνύσειν τῷ Πομπηίῳ περὶ τῆς ἐν Ῥώμῃ στάσεως. ἔλεγε δὲ ἤτε ἀληθῶς, εἴθ᾽ ἵνα σῶος ἀχθείη πρὸς αὐτόν. ὁ δὲ, προπέμψας ἀπέκτεινεν αὐτόν, πρὶν ἐς ὄψιν ἐλθεῖν· δείσας ἄρα μή τι μηνύσειεν ἀδόκητον, καὶ ἑτέρων ἀρχὴ κακῶν ἐν Ῥώμῃ γένοιτο· καὶ ἔδοξεν ἀσφαλῶς πάνυ τοῦτο ὁ Πομπήιος πρᾶξαι· καὶ συντελεσθὲν αὐτῷ, τόδε ἐν δόξῃ ἀγαθῇ. τέλος δ᾽ ἦν τοῦτο τῷ περὶ Ἰβηρίαν πολέμῳ τὸ κατὰ Σερτώριον τοῦ βίου γενόμενον· δοκεῖ γὰρ οὐκ ἂν οὔτε ὀξέως οὔτε ῥᾳδίως, οὕτως ἔτι Σερτωρίου περιόντος συντελεσθῆναι. τοῦ δ᾽ αὐτοῦ χρόνου περὶ τὴν Ἰταλίαν μονομάχων ἐς θέας ἐν Καπύῃ τρεφομένων, Σπάρτακος Θρᾷξ ἀνήρ, ἐστρατευμένος ποτὲ Ῥωμαίοις, ἐκ δὲ αἰχμαλωσίας καὶ πράσεως ἐν τοῖς μονομάχοις ὤν, ἔπεισεν αὐτῶν ἑβδομήκοντα ἄνδρας μάλιστα κινδυνεῦσαι περὶ ἐλευθερίας μᾶλλον, ἢ θέας ἐπιδείξεως· καὶ βιασάμενος σὺν αὐτοῖς τοὺς φυλάσσοντας, ἐξέδραμε· καί τινων ὁδοιπόρων ξύλοις καὶ ξιφιδίοις ὁπλισάμενος, ἐς τὸ Βέσβιον ὄρος ἀνέφυγεν· ἔνθα πολλοὺς ἀποδιδράσκοντας οἰκέτας καί τινας ἐλευθέρους ἐκ τῶν ἀγρῶν ὑποδεχόμενος ἐλῄστευε τὰ ἐγγύς· ὑποστρατήγους ἔχων Οἰνόμαόν τε καὶ Κρίξον, μονομάχους. μερίζων δ᾽ αὐτῷ τὰ κέρδη κατ᾽ ἰσομοιρίαν ταχὺ πλῆθος ἦν ἀνδρῶν· καὶ πρῶτος ἐπ᾽ αὐτὸν ἐκπεμφθεὶς Οὐαρίνιος Γλάβρος, ἐπὶ δ᾽ ἐκείνῳ Πόπλιος Οὐαλέριος, οὐ πολιτικὴν στρατιὰν ἄγοντες, ἀλλ᾽ ὅσους ἐν σπουδῇ καὶ παρόδῳ συνέλεξαν· οὐ γάρ πω Ῥωμαῖοι πόλεμον ἀλλ᾽ ἐπιδρομήν τινα καὶ λῃστείᾳ τὸ ἔργον ὅμοιον ἡγοῦντο εἶναι, συμβαλόντες ἡττῶντο. Οὐαρινίου δὲ καὶ τὸν ἵππον αὐτὸς Σπάρτακος περιέσπασε· παρὰ τοσοῦτον ἦλθε κινδύνου Ῥωμαίων ὁ στρατηγὸς αὐτὸς αἰχμάλωτος ὑπὸ μονομάχου γενέσθαι. μετὰ δὲ τοῦτο Σπαρτάκῳ μὲν ἔτι μᾶλλον πολλοὶ συνέθεον· καὶ ἑπτὰ μυριάδες ἦσαν

ἢ διὰ στρατοῦ. καὶ ὅπλα ἐχάλκευε· καὶ παρασκευὴν συνέλεγεν. οἱ δ' ἐν ἄστει τοὺς ὑπάτους
ἐξέπεμπον μετὰ δύο τελῶν. καὶ τούτων ὑπὸ μὲν θατέρου Κρίξος ἡγούμενος τρισ-
μυρίων ἀνδρῶν περὶ τὸ Γάργανον ὄρος ἡττᾶτο· καὶ δύο μέρη τοῦ στρατοῦ καὶ αὐτὸς συναπώ-
λετο αὐτοῖς. Σπάρτακον δὲ διὰ τῶν Ἀπεννίνων ὀρῶν ἐπὶ τὰ Ἄλπεια, καὶ ἐς Κελτοὺς ἀπὸ
τῶν Ἀλπείων ἐπειγόμενον, ὁ ἕτερος ὕπατος προλαβὼν, ἐκώλυε τῆς φυγῆς· καὶ ὁ ἕτερος ἐδί-
ωκε. ὁ δὲ, ἐφ' ἑκάτερον αὐτῶν ἐπιστρεφόμενος, παρὰ μέρος ἐνίκα. καὶ οἱ μὲν σὺν θορύβῳ
τοσοῦτον δὲ ὑπεχώρουν· ὁ δὲ Σπάρτακος τριακοσίους Ῥωμαίων αἰχμαλώτους ἐνήγισε τῷ Κρίξῳ,
δυώδεκα μυριάσι πεζῶν ἐς Ῥώμην ἠπείγετο· τὰ ἄχρηστα τῶν σκευῶν κατακαύσας
καὶ τοὺς αἰχμαλώτους πάντας ἀνελὼν· καὶ ἐπισφάξας τὰ ὑποζύγια ἵνα κοῦφος εἴη. αὐτο-
μόλων τε πολλῶν αὐτῷ προσιόντων, οὐδένα προσίετο. καὶ τῶν ὑπάτων αὐτὸν αὖθις περὶ τὴν
Πικηνίτιδα γῆν ὑποστάντων, μέγας ἀγὼν ἕτερος ὅδε γίγνεται. καὶ μεγάλη καὶ τότε ἧσσα
Ῥωμαίων. ὁ δὲ, τῆς μὲν ἐς Ῥώμην ὁδοῦ μετέγνω, ὡς οὔπω γεγονὼς ἀξιόμαχος· οὐδὲ
τὸν στρατὸν ὅλον ἔχων στρατιωτικῶς ὡπλισμένον. οὐ γάρ τις αὐτοῖς συνεπολέμει
πόλις· ἀλλὰ θεράποντες ἦσαν καὶ αὐτόμολοι καὶ σύγκλυδες. τὰ δὲ ὄρη τὰ περὶ Θουρίους
καὶ τὴν πόλιν αὐτὴν κατέλαβε. καὶ χρυσὸν μὲν ἢ ἄργυρον τοὺς ἐμπόρους ἐσφέρειν
ἐκώλυε καὶ κεκτῆσθαι τοὺς ἑαυτοῦ· μόνον δὲ σίδηρον καὶ χαλκὸν ὠνοῦντο πολλοῦ. καὶ
τοὺς ἐσφέροντας οὐκ ἠδίκουν. ὅθεν ἀθρόας ὕλης εὐπορήσαντες, εὖ παρεσκευάσαντο.
καὶ θαμινὰ ἐπὶ λεηλασίας ἐξῄεσαν. Ῥωμαίοις τε πάλιν συνενεχθέντες ἐς χεῖρας ἐκράτουν
καὶ τότε· καὶ λείας πολλῆς γέμοντες, ἐπανῄεσαν. τρίτον ἔτος ἤδη ἦν καὶ φοβερὸς αὐτοῖς
ὁ πόλεμος· γελώμενος ἐν ἀρχῇ καὶ καταφρονούμενος ὡς μονομάχων. προτεθείσης
τε στρατηγῶν ἄλλων χειροτονίας, ὄκνος ἐπεῖχεν ἅπαντας· καὶ παρήγγελλεν οὐδείς. μέχρι
Λικίννιος Κράσσος, γένει καὶ πλούτῳ Ῥωμαίων διαφανὴς, ἀνεδέξατο στρατηγήσειν·
καὶ τέλεσιν ἓξ ἄλλοις ἤλαυνεν ἐπὶ τὸν Σπάρτακον. ἀφικόμενος δὲ, καὶ τὰ τῶν ὑπάτων
δύο προσέλαβε. καὶ τῶνδε μὲν αὐτίκα διακληρώσας ὡς πολλάκις ἡττημένων
ἐπὶ θανάτῳ μέρος δέκατον διέφθειρεν. οἱ δ' οὐχ οὕτω νομίζουσιν, ἀλλὰ πάντα τὸν
στρατηγῶν συμβαλόντα καὶ τόνδε ἡττημένον, πάντα διακληρῶσαι τὸ δέκατον· καὶ
ἀνελεῖν ἐς τετρακισχιλίους· οὐδὲν διὰ τὸ πλῆθος ἐνδοιάσαντα. ὁποτέρως δ' ἔ-
πραξε, φοβερώτερος αὐτοῖς τῆς τῶν πολεμίων ἥττης φανεὶς, αὐτίκα μυρίων Σπαρ-
τακείων ἐφ' ἑαυτῶν που στρατοπεδευόντων ἐκράτει· καὶ δύο αὐτῶν μέρη κατακτανὼν,
ἐπ' αὐτὸν ᾔλαυνε τὸν Σπάρτακον σὺν καταφρονήσει. νικήσας δὲ καὶ τόνδε λαμπρῶς,
ἐδίωκε φεύγοντα ἐπὶ τὴν θάλασσαν ὡς διαπλευσόμενον ἐς Σικελίαν. καὶ καταλαβὼν,
ἀπετάφρευε καὶ ἀπετείχιζε καὶ ἀπεσταύρου. βιαζομένου δὲ ἐς τὴν Σαυνῖτιν διὰ τοῦ

Σπαρτάκου διαδραμεῖν, ἔκτεινεν ὁ Κράσσος ἐς ἑξακισχιλίους ἄλλους ὑπὸ τὴν ἕω. καὶ
περὶ δείλην ἐς τοσούσδε ἑτέρους. τριῶν ἐκ τοῦ Ῥωμαίων στρατοῦ μόνων ἀποθανόντων καὶ ἑπτὰ τρω-
θέντων. τοσήδε ἦν αὐτίκα διὰ τὴν κόλασιν ἐς τὸ τῆς νίκης θάρσος μεταβολή. Σπάρτακος
δὲ ἱππέας ποθὲν αὐτῷ προσιόντας περιμένων, οὐκέτι μὲν ἐς μάχην ᾔει τῷ στρατῷ παντί· πολλὰ
δ' ἠνώχλει τοῖς περικαθημένοις ἀνὰ μέρος, ἄφνω τε καὶ συνεχῶς αὐτοῖς ἐπιπίπτων· φα-
κέλλους τε ξύλων ἐς τὴν τάφρον ἐμβάλλων κατέκαιε. καὶ τὸν πόνον αὐτοῖς δύσεργον ἐποίει.
αἰχμάλωτόν τε Ῥωμαῖον ἐκρέμασεν ἐν τῷ μεταιχμίῳ, δεικνὺς τοῖς ἰδίοις τὴν ὄψιν ὧν πεί-
σονται μὴ κρατοῦντες. οἱ δ' ἐν ἄστει Ῥωμαῖοι τῆς πολιορκίας πυνθανόμενοι καὶ ἀδοξοῦντες
εἰ χρόνιος αὐτοῖς ἔσται πόλεμος μονομάχων, προσκατέλεγον ἐπὶ τὴν στρατιὰν Πομπήιον,
ἄρτι ἀφικόμενον ἐξ Ἰβηρίας. ἐπιστεύοντές τε ἤδη δυσχερὲς εἶναι καὶ μέγα τὸ Σπαρτάκου ἔργον.
διὰ δὲ τὴν χειροτονίαν τήνδε καὶ ὁ Κράσσος, ἵνα μὴ τὸ κλέος τοῦ πολέμου γένοιτο Πομπηΐου,
πάντα τρόπον ἐπειγόμενος, ἐπεχείρει τῷ Σπαρτάκῳ. καὶ ὁ Σπάρτακος τὸν Πομπήιον προσ-
λαβεῖν ἀξιῶν, ἐς συνθήκας τὸν Κράσσον προυκαλεῖτο. ὑπεροφθεὶς δὲ ὑπ' αὐτοῦ,
διακινδυνεύειν τε ἔγνω· καὶ τῶν ἱππέων οἱ παρόντων ἤδη, ὤσατο σὺν παντὶ τῷ στρατῷ διὰ τοῦ
περιτειχίσματος. καὶ ἔφυγεν ἐπὶ Βρεντέσιον Κράσσου διώκοντος. ὡς δὲ καὶ Λεύκολλον
ἔμαθεν ὁ Σπάρτακος ἐς τὸ Βρεντέσιον ἀπὸ τῆς ἐπὶ Μιθριδάτῃ νίκης ἐπανιόντα παρ-
εἶναι, πάντα ἀπογνοὺς, ἐς χεῖρας ᾔει τῷ Κράσσῳ μετὰ πολλοῦ καὶ τότε πλήθους. γενομένης
δὲ τῆς μάχης μακρᾶς τε καὶ καρτερᾶς ὡς ἐν ἀπογνώσει τοσῶνδε μυριάδων, τιτρώ-
σκεται τὸν μηρὸν ὁ Σπάρτακος δόρατι. καὶ συγκάμψας ἐς τὸ γόνυ καὶ προβαλὼν τὴν ἀ-
σπίδα πρὸς τοὺς ἐπιόντας ἀπεμάχετο· μέχρι καὶ αὐτὸς καὶ πολὺ πλῆθος ἀμφ' αὐτὸν,
κυκλωθέντες ἔπεσον. ὅ τε λοιπὸς αὐτοῦ στρατὸς ἀκόσμως ἤδη κατεκόπτετο
κατὰ πλῆθος· ὡς φόνον γενέσθαι τῶν μὲν οὐδ' εὐαρίθμητον, Ῥωμαίων δὲ ἐς χιλίους ἄνδρας.
καὶ τὸν Σπαρτάκου νέκυν οὐχ εὑρεθῆναι. πολὺ δ' ἔτι πλῆθος ἦν ἐν τοῖς ὄρεσιν ἐκ τῆς
μάχης διαφυγὸν, ἐφ' οὓς ὁ Κράσσος ἀνέβαινεν. οἱ δὲ, διελόντες ἑαυτοὺς ἐς τεσσαρά-
κοντα μέρη ἀπεμάχοντο, μέχρι πάντες ἀπώλοντο πλὴν ἑξακισχιλίων. οἳ
ληφθέντες ἐκρεμάσθησαν ἀνὰ ὅλην τὴν ἐς Ῥώμην ἀπὸ Καπύης ὁδόν. καὶ ταῦτα δὲ
Κράσσος ἓξ μησὶν ἐργασάμενος, ἀμφήριστος ἐκ τοῦδε αὐτίκα καὶ μάλιστα τῇ δόξῃ
τῇ Πομπηίου γίγνεται. καὶ τὸν στρατὸν οὐ μεθίει, διότι μηδὲ Πομπήιος. ἐς δὲ
ὑπατείαν ἄμφω παρήγγελλον. ὁ μὲν ἐστρατηγηκὼς κατὰ τὸν νόμον Σύλλα· ὁ δὲ
Πομπήιος, οὔτε στρατηγήσας, οὔτε ταμιεύσας· ἔτος τε ἔχων τέταρτον ἐπὶ τοῖς τριά-
κοντα. τοῖς δὲ δημάρχοις ὑπέσχετο πολλὰ τῆς ἀρχῆς ἐς τὸ ἀρχαῖον ἐπανάξειν.
αἱρεθέντες δὲ ὕπατοι, οὐδ' ὡς μεθίεσαν τὸν στρατὸν, ἔχοντες ἀγχοῦ τῆς πόλεως.

ἑκάτερος πρόφασιν τήνδε ποιούμενος· Πομπήιος μὲν ἐς τὸν Ἰβηρικὸν θρίαμβον
περιμένειν ἐπανιόντα Μέτελλον· ὁ δὲ Κράσσος, ὡς Πομπήιον δέον προδιαλῦσαι.
καὶ ὁ δῆμος ἀρχὴν στάσεως ὁρῶν, καὶ φοβούμενος δύο στρατοὺς περικαθημένους, ἐδέοντο τῶν
ὑπάτων ἐν ἀγορᾷ προκαθημένων συναλλαγῆναι πρὸς ἀλλήλους. καὶ τὰ μὲν πρῶτα ἑκάτερος
ἀπεκρούετο· ὡς δὲ καὶ θεόληπτοί τινες προύλεγον πολλὰ καὶ δεινά, εἰ μὴ συναλλαγεῖεν
οἱ ὕπατοι, ὁ δῆμος αὖθις αὐτοὺς μετ' οἰμωγῆς παρεκάλει, πάνυ ταπεινῶς· ἔτι τῶν
Σύλλα καὶ Μαρίου κακῶν ἀναφέροντες. καὶ ὁ Κράσσος πρότερος ἐνδούς, ἀπὸ τοῦ θρόνου
κατέβαινε, καὶ ἐς τὸν Πομπήιον ἐχώρει τὴν χεῖρα προτείνων ἐπὶ διαλλαγαῖς. ὁ δὲ ὑπανί-
στατο καὶ προσέτρεχε. καὶ δεξιουμένων ἀλλήλους, εὐφημίαι τε ἦσαν ἐς αὐτοὺς
ποικίλαι· καὶ οὐ πρὶν ὁ δῆμος ἀπέστη τῆς ἐκκλησίας, ἢ προγράψαι τοὺς ὑπάτους
τὰς ἀφέσεις τῶν στρατοπέδων. οὕτω μὲν δὴ ἔδοξε καὶ ἥδε μεγάλη στάσις ἔσεσθαι,
κατελύετο εὐσταθῶς. καὶ τέλος ἦν τῷδε τῷ μέρει τῶν ἐμφυλίων, ἀμφὶ τὰ ἑξήκοντα,
μάλιστα ἀπὸ τῆς ἀναιρέσεως Τιβερίου Γράκχου: + +

+ Ἀππιανοῦ Ῥωμαϊκῶν ἐμφυλίων β' : + +

Τὰ δὲ ἐπὶ Σύλλα μοναρχίαν, ὅσα ἐπὶ Σερτωρίου τε καὶ Περπέννα περὶ Ἰβηρίαν
ἐδράσθη, ἕτερα ἐμφύλια Ῥωμαίοις τοιάδε ἐγίγνετο· μέχρι Γάιος Καῖσαρ καὶ
Πομπήιος Μάγνος ἀλλήλοις ἐπολέμησαν. καὶ Πομπήιον μὲν καθεῖλεν ὁ Καῖσαρ·
Καῖσαρα δὲ ἐν τῷ βουλευτηρίῳ, τινὲς ὡς βασιλιζόμενον κατέκανον. ταῦτα δὲ ὅπως
ἐγένετο, καὶ ὅπως ἀνῃρέθησαν, ὅ τε Πομπήιος καὶ ὁ Γάιος, ἥδε ἡ δευτέρα τῶν ἐμφυλίων
ἥδε δηλοῖ. ὁ μὲν δὴ Πομπήιος ἄρτι τὴν θάλασσαν καθήρας ἀπὸ τῶν λῃστειῶν,
τότε μάλιστα πανταχοῦ πλεονασασῶν, καὶ Μιθριδάτην ἐπὶ τοῖς λῃσταῖς καθῃρηκὼς τὸν
βασιλέα, τήν τε ἀρχὴν αὐτοῦ καὶ ὅσα ἄλλα ἔθνη προσέλαβεν ἀμφὶ τὴν ἕω, διετάσσετο.
ὁ δὲ Καῖσαρ ἦν ἔτι νέος, δυνατὸς εἰπεῖν τε καὶ πρᾶξαι, τολμητής τε ἐς πάντα καὶ
εὐέλπις περὶ ἁπάντων· ἐς δὲ δὴ φιλοτιμίαν ἀφειδὴς ὑπὲρ δύναμιν· ὡς ἀγορανο-
μῶν ἔτι καὶ στρατηγῶν εἶναι κατάχρεως, καὶ τῷ πλήθει δαιμονίως ὑπαρέσκειν, οἳ τοὺς
δὴ μόνους αἰεὶ τοὺς δαψιλεῖς ἐπαινοῦσι. Γάιος δὲ Κατιλίνας, μεγέθει τε δόξης καὶ γένους
λαμπρότητι περιώνυμος, ἐμμανὴς δὲ ἀνήρ, δόξας ποτὲ καὶ υἱὸν ἀνῃρηκέναι δι' Αὐρηλίας
Ὀρεστίλλης ἔρωτα, οὐχ ὑφισταμένης τῆς Ὀρεστίλλης παῖδα ἔχοντι γήμασθαι·
Σύλλα φίλος τε καὶ στασιώτης καὶ ζηλωτὴς μάλιστα γεγονώς· ἐκ δὲ φιλοτιμίας ὁ δὲ ἐς
πενίαν ὑπενηνεγμένος, καὶ θεραπευόμενος ἔτι πρὸς δυνατῶν ἀνδρῶν τε καὶ γυναι-
κῶν, ἐς ὑπατείαν παρήγγελλεν, ὡς τῇδε προσβησόμενος ἐς τυραννίδα. πάγχυ δ' ἤδη αἱ-
ρεθήσεσθαι, διὰ τὴν ὑποψίαν τήνδε ἀπεκρούσθη. καὶ Κικέρων μὲν ἦρχεν ἀντ' αὐτοῦ,

ἀνὴρ ἥδιστος εἰπεῖν τε καὶ ῥητόρων ἄριστος. Κατιλίνας δ' αὐτὸν ἐς ὕβριν τῶν ἑλομένων ἐπέ-
σκωπτεν, ἐς μὲν ἀγνωσίαν γένους καινὸν ὀνομάζων· καλοῦσι δ' οὕτω τοὺς ἀφ' ἑαυτῶν,
ἀλλ' οὐ τῶν προγόνων γνωρίμους· ἐς δὲ ξενίαν τῆς πόλεως, ἰγκουιλῖνον· ᾧ ῥήματι καλοῦσι τοὺς
ἐνοικοῦντας ἐν ἀλλοτρίαις οἰκίαις. αὐτὸς δὲ πολιτείας μὲν ὅλως ἔτι ἀπεστρέφετο ἐκ τοῦδε·
ὡς οὐδὲν ἐς μοναρχίαν ταχὺ καὶ μέγα φερούσης· ἀλλ' εἶδος καὶ φθόνου μεστήν. χρήματα δὲ
ἀγείρων πολλὰ παρὰ πολλῶν γυναικῶν, αἳ τοὺς ἄνδρας ἤλπιζον ἐν τῇ ἐπαναστάσει διαφθερεῖν,
συνώμνυε τισὶν ἀπὸ τῆς βουλῆς καὶ τῶν καλουμένων ἱππέων· συνῆγε δὲ καὶ δημοτῶν καὶ ξένων
καὶ θεραπόντων. καὶ τῶνδε ἡγεμόνες ἦσαν αὐτῷ, Κορνήλιος Λέντλος καὶ Κέθηγος· οἳ τότε τῆς
πόλεως ἐστρατήγουν. ἀνά τε τὴν Ἰταλίαν περιέπεμπεν ἐς τοὺς ἐκ τῶν Σύλλα τοὺς τὰ κέρδη τῆς
τότε βίας ἀναλωκότας, καὶ ὀρεγομένους ἔργων ὁμοίων· ἐς Φαισύλας τῆς Τυρρηνίας Γάιον Μάλλιον·
ἐς δὲ τὴν Πικηνῖτιν καὶ τὴν Ἀπουλίαν ἑτέρους. οἳ στρατὸν αὐτῷ συνέλεγον ἀφανῶς. καὶ
τάδε πάντα ἔτι ἀγνοούμενα, Φουλβία οὐκ ἀφανὴς ἐμήνυε τῷ Κικέρωνι. ἧς ἐρῶν
Κόιντος Κούριος, ἀνὴρ δι' ὀνείδη πολλὰ τῆς βουλῆς ἀπεωσμένος, καὶ τῆσδε τῆς
Κατιλίνα συνθήκης ἠξιωμένος, κούφως μάλα καὶ φιλοτίμως ἐξέφερεν οἷα πρὸς
ἐρωμένην, ὡς αὐτίκα δυναστεύσων. ἤδη δὲ καὶ περὶ τῶν ἐν τῇ Ἰταλίᾳ γιγνομένων
λόγος ἐφοίτα. καὶ ὁ Κικέρων τήν τε πόλιν ἐκ διαστημάτων φρουραῖς διελάμβανε καὶ τῶν
ἐπιφανῶν ἐξέπεμπε πολλοὺς ἐς πάντα τὰ ὕποπτα τοῖς γιγνομένοις ἐφεδρεύειν. Κατιλίνας
δ' οὐδενὸς μέν πω θαρροῦντος αὐτοῦ λαβέσθαι, διὰ τὸ ἔτι τοῦ ἀκριβοῦς ἀγνοεῖσθαι, δεδιὼς
δὲ ὅμως, καὶ τὸ χρόνιον ἡγούμενος ὕποπτον, ἐν δὲ τῷ τάχει τὴν ἐλπίδα τιθέμενος, τά τε χρή-
ματα προύπεμπεν ἐς Φαισύλας· καὶ τοῖς συνωμόταις ἐντειλάμενος κτεῖναι Κικέρωνα
καὶ τὴν πόλιν ἐκ διαστημάτων πολλῶν νυκτὸς ἐμπρῆσαι μιᾶς, ἐξῄει πρὸς Γάιον Μάλλιον, ὡς
αὐτίκα στρατὸν ἄλλον ἀθροίσων καὶ ἐς τὸν ἐμπρησμὸν τῆς πόλεως ἐπιδραμούμενος.
ὁ μὲν δὴ ῥάβδους τε καὶ πελέκεας ὥς τις ἀνθύπατος κούφως μάλα ἀνέσχε πρὸ αὐτοῦ,
καὶ ἐς τὸν Μάλλιον ἐχώρει στρατολογῶν. Λέντλῳ δὲ καὶ τοῖς συνωμόταις ἔδοξεν, ὅτε
Κατιλίναν ἐν Φαισύλαις πύθοιντο γεγενῆσθαι, Λέντλον μὲν αὐτὸν καὶ Κέθηγον
ἐφεδρεῦσαι ταῖς Κικέρωνος θύραις περὶ ἕω, μετὰ κεκρυμμένων ξιφιδίων· ἐσδεχθέν-
τας δὲ διὰ τὴν ἀξίωσιν, καὶ λαλοῦντας ὅ τι δή, μηκῦναι τὸ ὁμίλιον ἐν περιπάτῳ καὶ κτεῖναι
ἀποσπάσαντας ἀπὸ τῶν ἄλλων. Λεύκιον δὲ Βηστίαν τὸν δήμαρχον, ἐκκλησίαν διὰ κη-
ρύκων συνάγειν καὶ κατηγορεῖν τοῦ Κικέρωνος, ὡς ἀεὶ δειλοῦ καὶ πολεμοποιοῦ, καὶ τὴν πόλιν
ἐν οὐδενὶ δεινῷ διαταράττοντος· ἐπὶ δὲ τῇ Βηστίου δημηγορίᾳ, νυκτὸς αὐτίκα τῆς
ἐπιούσης, ἑτέρους ἐν δώδεκα τόποις ἐμπιπρᾶναι τὴν πόλιν καὶ διαρπάζειν καὶ
κατακτείνειν τοὺς ἀρίστους. ὧδε μὲν Λέντλῳ καὶ Κεθήγῳ καὶ Στατιλίῳ καὶ Καπίτωνι τοῖς

ἄρχουσι τῆς ἐπαναστάσεως δέδοκτο· καὶ τὸν καιρὸν ἐπετήρουν. Ἀλλοβρίγων δὲ πρέσβεις αἰτιώμενοι τοὺς ἡγεμόνας αὐτῶν, ἐς τὴν Λέντλου συνωμοσίαν ἐπελήφθησαν, ὡς ἐπαναστήσοντες ἐπὶ Ῥωμαίους τὴν Γαλατίαν· καὶ Λέντλος μὲν αὐτοῖς συνέπεμψεν ἐς Κατιλίναν Βουρτούκιον, ἄνδρα Κροτωνιάτην, γράμματα χωρὶς ὀνομάτων γεγραμμένα φέροντα. οἱ δ' Ἀλλόβριγες ἐνδοιάσαντες, ἐκοινώσαντο Φαβίῳ Σάγγᾳ, ὃς ἦν τῶν Ἀλλοβρίγων προστάτης· ὡς παρὰ πάσαις πόλεσιν ἐστί τις Ῥωμαίων προστάτης. παρὰ δὲ τοῦ Σάγγα μαθὼν ὁ Κικέρων, συνέλαβεν ἀπιόντας τοὺς Ἀλλόβριγάς τε καὶ Βουρτούκιον· καὶ ἐς τὴν βουλὴν εὐθὺς ἐσήγαγεν. οἱ δ' ὡμολόγουν ὅσα τοῖς ἀμφὶ τὸν Λέντλον συνῄδεσαν· ἀχθέντα τε ἤλεγχον, ὡς ὁ Κορνήλιος Λέντλος εἴποι πολλάκις εἱμάρθαι τρεῖς Κορνηλίους γενέσθαι Ῥωμαίων μονάρχους· ὧν ἤδη Κίνναν καὶ Σύλλαν γεγονέναι. λεχθέντων δὲ τούτων, ἡ μὲν βουλὴ Λέντλον ἀπεψήφισε τῆς ἀρχῆς· ὁ δὲ Κικέρων ἕκαστον ἐς τὰς οἰκίας τῶν στρατηγῶν διαθείς, ἐπανῆλθεν αὐτίκα, ψῆφον περὶ αὐτῶν ἐδίδου. θόρυβος δ' ἦν ἀμφὶ τὸ βουλευτήριον, ἀγνοουμένων ἔτι τοῦ ἀκριβοῦς· καὶ δέος τῶν συνεγνωκότων. αὐτοῦ δὲ Λέντλου καὶ Κεθήγου θεράποντές τε καὶ ἐξελεύθεροι, χειροτέχνας πολλοὺς προσλαβόντες, κατὰ τὰς ὁδοὺς περιῄεσαν ἐπὶ τὰς τῶν στρατηγῶν οἰκίας ὡς τοὺς δεσπότας ἐξαρπασόμενοι. ὧν ὁ Κικέρων πυθόμενος, ἐξέδραμεν ἐκ τοῦ βουλευτηρίου· καὶ διαθεὶς ἐς τὰ ἐπίκαιρα φύλακας, ἐπανῆλθε καὶ τὴν γνώμην ἐπετάχυνε. Σιλανὸς μὲν δὴ πρῶτος ᾑρέθη, ὃς ἐς τὸ μέλλον ἥρητο ὑπατεύειν· ὧδε γὰρ Ῥωμαίοις ὁ μέλλων ὑπατεύσειν πρῶτος ἀποφθέγγεται μέν, ὡς αὐτὸς οἶμαι πολλὰ τῶν κυρουμένων ἐργασόμενος, καὶ ἐκ τοῦδε εὐβουλότερόν τε καὶ εὐλαβέστερον ἂν ἐνθυμησόμενος περὶ ἑκάστου. ἀξιοῦντι δὲ τῷ Σιλανῷ τοὺς ἄνδρας ἐσχάτῃ κολάσει μετελθεῖν, πολλοὶ συνετίθεντο· ἕως ἐπὶ Νέρωνα τῆς γνώμης περιιούσης, ὁ Νέρων ἐδικαίου φυλάττειν αὐτούς, μέχρι Κατιλίναν ἐξέλωσι πολέμῳ, καὶ τὰ ἀκριβέστατα μάθωσι. Γάιός τε Καῖσαρ, οὐ καθαρεύων μὲν ὑπονοίας μὴ συνεγνωκέναι τοῖς ἀνδράσι, Κικέρωνος δ' οὐ θαρροῦντος καὶ τόνδε ὑπαρέσκοντα τῷ δήμῳ ἐς τὸν ἀγῶνα προβαλέσθαι, προσετίθει λαβέσθαι τοὺς ἄνδρας Κικέρωνα τῆς Ἰταλίας ἐν πόλεσιν αἷς ἂν αὐτὸς δοκιμάσῃ, μέχρι Κατιλίνα καταπολεμηθέντος, ἐς δικαστήριον ὑπαχθῶσι· καὶ μηδὲν ἀνήκεστον ἐς ἄνδρας ἐπιφανεῖς ἦ πρὸ λόγου καὶ δίκης ἐξειργασμένος. δικαίας δὲ τῆς γνώμης φανείσης καὶ δεχθείσης, ἀκρατῶς οἱ πολλοὶ μετετίθεντο· μέχρι Κάτων ἤδη σαφῶς ἀνακαλύπτων τὴν ἐς τὸν Καίσαρα ὑποψίαν, καὶ Κικέρων δεδιὼς ἀμφὶ τῇ νυκτὶ περιστάσει μὴ τὸ συνεγνωκὸς τοῖς ἀνδράσι πλῆθος αἰωρούμενον ἔτι κατ' ἀγοράν, καὶ δεδιὼς περί τε σφῶν αὐτῶν καὶ περὶ ἐκείνων, ἐργάσηταί τι ἄτοπον, ἔπεισεν ὡς

αὐτοφώρων ἀνδρῶν κρίσεως καταγνῶναι. καὶ εὐθὺς ἐκ τῶν οἰκιῶν ἔτι τῆς βουλῆς συνεστώσης ἕκαστον αὐτῶν ὁ Κικέρων ἐς τὸ δεσμωτήριον μεταγαγών, τοῦ πλήθους ἀγνοοῦντος, ἐπεῖδεν ἀποθνήσκοντας· καὶ τοῖς ἐν ἀγορᾷ παροδεύων, ἐσήμηνεν ὅτι τεθνᾶσιν. οἱ δὲ διελύοντο πεφρικότες τε καὶ περὶ σφῶν ἀγαπῶντες ὡς διαλαθόντες. οὕτω μὲν ἡ πόλις ἀνέπνευσεν ἀπὸ τοῦ δέους, πολλοῦ σφίσιν ἐκείνης τῆς ἡμέρας ἐπιστάντος. Κατιλίναν δὲ ἐς δισμυρίους τε ἀγείραντα, καὶ τούτων τέταρτον μέρος ὁπλίσαντα ἤδη, καὶ ἐς Γαλατίαν ἐπὶ ἄλλην παρασκευὴν ἀπιόντα, Ἀντώνιος ὁ ἕτερος ὕπατος ὑπὸ τὰς Ἄλπεις κατέλαβεν, οὐ δυσχερῶς ἐκράτησεν ἀνδρός, ἐμπλήκτως ἀλλόκοτον ἔργον ἐπὶ νοῦν λαβόντος τε καὶ ἐς πεῖραν ἔτι ἐμπληκτότερον ἀπαρασκεύως προάγοντος. οὐ μὴν ὅ γε Κατιλίνας, οὐδ' ἄλλος οὐδεὶς τῶν συνόντων ἐπὶ φαύλου φυγὴν ἠξίωσεν, ἀλλ' ἐσδραμόντες ἐς τοὺς πολεμίους, ἀπώλοντο. ὧδε μὲν ἡ Κατιλίνου ἐπανάστασις παρ' ὀλίγον ἐς ἔσχατον ἀγαγοῦσα κινδύνου τὴν πόλιν, διελύετο. καὶ ὁ Κικέρων ἅπασιν ἐπὶ λόγου δυνάμει μόνον γνώριμος ὤν, τότε καὶ ἐπὶ ἔργῳ διὰ στόματος ἦν· καὶ σωτὴρ ἐδόκει περιφανῶς ἀπολλυμένης τῆς πατρίδος γενέσθαι. χάριτές τε ἦσαν αὐτῷ παρὰ τῇ ἐκκλησίᾳ, καὶ εὐφημίαι ποικίλαι. Κάτωνος δ' αὐτὸν καὶ πατέρα τῆς πατρίδος προσαγορεύσαντος, ἐπεβόησεν ὁ δῆμος. καὶ δοκεῖ τισιν ἥδε ἡ εὐφημία ἀπὸ Κικέρωνος ἀρξαμένη περιελθεῖν ἐς τῶν νῦν αὐτοκρατόρων τοὺς φαινομένους ἀξίους. οὐδὲ γὰρ τοῖσδε καίπερ οὖσι βασιλεῦσιν, εὐθὺς ἀπ' ἀρχῆς ἅμα ταῖς ἄλλαις ἐπωνυμίαις, ἀλλὰ σὺν χρόνῳ μόλις ἥδε ὡς ἐντελὴς ἐπὶ μεγίστοις δὴ μαρτυρίοις ψηφίζεται. ὁ δὲ Καῖσαρ ἐς Ἰβηρίαν στρατηγὸς αἱρεθείς, ὑπὸ μὲν τῶν χρηστῶν διεκρατεῖτο ἐν Ῥώμῃ, πολὺ πλείονα τῆς περιουσίας ὀφλὼν διὰ τὰς φιλοτιμίας· ὅ τε φασὶν αὐτὸν εἰπεῖν, ὅτι δέοιτο δισχιλίων καὶ πεντακοσίων μυριάδων, ἵνα ἔχοι μηδέν. διαθέμενος δὲ τοὺς ἐνοχλοῦντας ὡς ἐδύνατο, καὶ τῆς Ἰβηρίας ἐπιβάς, χρηματίζειν μὲν ταῖς πόλεσιν ἢ διαιτᾶν δίκας, ἢ ὅσα ὅμοια τούτοις, ἅπαντα ὑπερεῖδεν, ὡς οὐδὲν οἷς ἐπενόει χρήσιμα. στρατιὰν δὲ ἀγείρας, ἐπετίθετο τοῖς ἔτι λοιποῖς Ἰβήρων ἀνὰ μέρος· μέχρι τὴν Ἰβηρίαν ἐς τὸ ὁλόκληρον ἀπέφηνε Ῥωμαίοις ὑποτελῆ. καὶ χρήματα πολλὰ ἐς Ῥώμην ἀπέπεμψεν ἐς τὸ κοινὸν ταμεῖον. ἐφ' οἷς ἡ μὲν βουλὴ θριαμβεῦσαι παρέσχεν αὐτῷ. ὁ δὲ τῆς πομπῆς τὴν παρασκευὴν ἐς τὸ λαμπρότατον ἐν τοῖς τῆς Ῥώμης προαστείοις διεκόσμει, ἐν αἷς ἡμέραις ὑπατείας ἦσαν παραγγελίαι. καὶ ἔδει τὸν παραγγέλλοντα παρεῖναι. ἐσελθόντι δέ, οὐκ ἦν ἔτι ἐπὶ τὸν θρίαμβον ἐπανελθεῖν. ὁ δὲ καὶ τῆς ἀρχῆς ἐς πολλὰ τυχεῖν ἐπειγόμενος, καὶ τὴν πομπὴν οὐδέπω ἑτοίμην ἔχων, ἔπεμπε τὴν βουλὴν δεόμενος ἐπιτραπῆναί οἱ τὴν παραγγελίαν ἀπόντι ποιήσασθαι διά τινων φίλ-

ἡδὺς μὲν προσάμομον. γεγονὸς δὲ ἐν δικαστηρίοις· Κάτωνος δ' ἀντιλέγοντος αὐτῷ
ἐν τῇ ἡμέρᾳ [illegible] τῶν παραγγελιῶν ἀναλοῦντος ἐπὶ τοῖς λόγοις, ἐσ-
δραμὼν ὁ Καῖσαρ ὑπεριδὼν τοῦ θριάμβου· παραγγείλας ἐν τῇ ἀρχῇ, ἀνέμενε τὴν
χειροτονίαν· ἐν δὲ τούτῳ Πομπήιος ἐκ τῶν Μιθριδατικῶν ἔργων ἐπὶ μέγα δόξης ἐληλα-
μένος πλήθων(?), ἠξίου πολλὰ ὅσα βασιλεῦσι καὶ δυνάσταις καὶ πόλεσιν ἐδεδώκει, τῇ βουλῇ
βεβαιωθῆναι· φθόνῳ δ' αὐτὸν οἱ πολλοί. καὶ μάλιστα Λούκουλλος ὁ πρὸ τοῦ Πομπηίου στρατηγήσας
ἐπὶ τὸν Μιθριδάτην, ὡς αὐτὸν ἔσχατον αὐτὸν ἀπολιπὼν τῷ Πομπηίῳ, διεκώλυεν
ἴδιον ἔργον ἀποφαίνοντα τὸν Μιθριδάτην· καὶ Λουκούλλῳ συνελάμβανε Κράσσος· ἀγανακτῶν
οὖν ὁ Πομπήιος, προσεταιρίζεται Καίσαρα συμπράξειν ἐν τῇ ὑπατείᾳ ἐπομόσας·
ὃ δὴ θεὶς αὐτῷ Κράσσον διήλλαξε· καὶ τρεῖς οἱ δὲ τὸ μέγιστον ἐπὶ πᾶσι κράτος ἔχοντες,
τὰς χρείας ἀλλήλοις συνεράνιζον· καί τις αὐτῶν τήνδε τὴν συμφροσύνην συγγραφεὺς
Βάρρων, ἐν ἑνὶ βιβλίῳ περιλαβών, ἐπέγραψε τρικάρανον. ὑφορώμενοι δ' αὐτοὺς οἱ
ἐν τῇ βουλῇ, Λούκιον Βύβλον ἐν ὑπατείᾳ τοῦ Καίσαρος ἐχειροτόνησαν αὐτῷ συνάρχειν.
καὶ εὐθὺς αὐτῶν ἡ σύνερις ἐδείχθη τε, τῶν ἐπ' ἀλλήλοις ἰδίᾳ παρασκευαί· γνοὺς δ' οὖν
ὁ Καῖσαρ ὑποκρίνεσθαι, λόγους ἐν τῇ βουλῇ περὶ ὁμονοίας διετίθετο πρὸς Βύβλον· ὡς
τὰ κοινὰ λυμήσονται εἰ διαφέροιντο. ἐπεὶ δὲ αὐτὸς σωφρονεῖν ἀπείρηκε τὸν δῆμον
καὶ παρασκευὴν, καὶ οὐδὲν ἔτι τῶν γινομένων ὑπονοοῦντα τὸν Βύβλον ἔχων, χρᾶ-
ται πολλῇ ἀφανῶς ἑτοιμάζετο· καὶ νόμους ὑπὲρ τῶν ἀπόρων ἐς τὸ βουλευτήριον
εἰσέφερε· καὶ κοινῇ αὐτοῖς ἀνέγνω· καὶ τὴν ἀριστοκρατίαν αὐτῆς μάλιστα περικαθήκει,
ἐν τὰ κοινὰ διεμέθου τοῖς ἐν τοῖς πατράσι σπεύδοντες· ἐμμέσον ἑαυτῷ τῆς δὲ
τῆς χάριτος πλῆθος τοῦ δὲ προσγενόμενος· δισμύριοι γὰρ ἀθρόως ἐφάνησαν οἱ τὰ
τρία τρέφοντες μόνοι· ἐνισταμένων δὲ τῇ γνώμῃ πολλῶν, ὑποκρινάμενος λοχεραῖ(?),
ὡς οὐ δίκαια ποιοῦσι, ἐξέδραμε· καὶ βουλὴν μὲν οὐκέτι συνῆγεν ἐπὶ τὸ ἔτος ὅλον·
ἐπὶ δὲ τῶν ἐμβόλων ἐδημηγόρει· Πομπήιόν τε ἐν μέσῳ καὶ Κράσσον ἠρώτα περὶ
τῶν νόμων. οἱ δὲ αὐτοῖς ἐπῄνουν· καὶ δῆμος ἐπὶ τὴν χειροτονίαν ἧκε συγκεκρυμμένοις
ξιφιδίοις. Βύβλος δὲ, οὐ γάρ τις αὐτῷ συνῆγεν, οὐδὲ ἐξῆν τῶν ἑταίρων τὸν ὕπατον
συναγαγεῖν αὐτῷ, ἐν τῇ οἰκίᾳ τοῦ Βύβλου συνελθόντες, οὐδὲν μὲν ἀντάξιον
τῆς Καίσαρος ἰσχύος τε καὶ παρασκευῆς ἐποίουν· ἔγνωσαν δ' ὅμως Βύβλον
ἀνθίστασθαι τοῖς νόμοις· καὶ μὴ δόξαν ἀμελήσας ἀλλὰ ἥττης ἀνέγκασθαι· ἐπεὶ δὲ
οὗτος ὁ Βύβλος, ἐνέβαλεν ἐν τῇ ἀγορᾷ, δημηγοροῦντος ἔτι τοῦ Καίσαρος· [illegible]
δὲ καὶ τάξει γενομένης, πληγαί τε ἠνέχθησαν· καὶ μετὰ τῶν ξιφιδίων τὰς
ῥάβδους κατέαξαν καὶ τὰ σχήματα τοῦ Βύβλου περιέκλων· καὶ τῶν δημάρχων ἐνίοις τι-

αὐτὸν ὄντας ἐτρώθησαν· Βύβλος δ' οὖν καταπλαγείς, ἀπεγύμνου τὴν σφαγήν· καὶ
μετὰ βοῆς ἐκάλει τοὺς Καίσαρος φίλους ἐπὶ τὸ ἔργον· ἀγαθοῦ δ' οὖν ἀμαχεὶ ἀπειλαί
τὰ δίκαια ποιῆσαι(?) καὶ Καίσαρα, τοῦ δέοντος αὐτοῦ καὶ μυθεύσας ἀποθανεῖν ἐπιβάλλων·
ἀλλὰ τὸν μὲν, ἄκοντα ὑπεξήγαγον οἱ φίλοι ἐς τὸ πλησίον ἱερὸν τοῦ Κλητορίου Διός· Κά-
των δὲ ἐπιπεμφθείς, ὥσπερ μὲν ὡς νέος ἐν μέσοις, ἐδημηγόρει ἄρχων· μετέωρος δὲ ὑπὸ
τῶν Καίσαρος ἀρθείς, ἐξεφέρετο· καὶ λαθὼν, κατ' ἄλλας ὁδοὺς αὖθις ἀνέδραμεν ἐς
τὸ βῆμα· καὶ λέγειν μὲν ἔτι οὐδενὸς ἀπεγίνωσκε· τοῦ δὲ Καίσαρος ἀγροίκως
κατεβόα, μέχρι καὶ τότε μετέωρος ἐξερρίφη· καὶ τοὺς νόμους ὁ Καῖσαρ ἐκύρωσε·
καὶ ἐπ' αὐτοῖς τόν τε δῆμον ὥρκωσεν ἔσεσθαι κυρίους νομιεῖν, καὶ τὴν βουλὴν ἐκέλευσεν
ὀμνύναι· ἐνισταμένων δὲ πολλῶν καὶ Κάτωνος, ἠπείλησε μὲν ὁ Καῖσαρ θάνατον τοῖς
μὴ ὀμόσασί τι· καὶ δῆμος ἐπεκύρου· ὤμνυον δ' οὖν τι καταπτήσαντες οἵ τε ἄλλοι καὶ
οἱ δήμαρχοι. οὐ γὰρ ἔτι χρήσιμον ἀντιλέγειν ᾤοντο, κυρωθέντος διὰ τοὺς ἄλλους τοῦ
νόμου. Οὐέττιος δ' ἀνὴρ δημότης ἐς τὸ μέσον ἐκδραμὼν μετὰ ξιφιδίου γυμνοῦ,
ἐπιπεμφθῆναι ἔφη πρός τε Βύβλου καὶ Κικέρωνος καὶ Κάτωνος, ἐπ' ἀναιρέσει Καί-
σαρός τε καὶ Πομπηίου· καὶ τὸ ξιφίδιον αὐτῷ Βύβλου ῥαβδοῦχον ἐπιδοῦναι προσποιού-
μενον· ὑποπτευθέντος δ' ἐκ τῆς ὥρας τοῦ πράγματος, ὁ μὲν Καῖσαρ ἐξετάραχε
τὸ πλῆθος· τὸ δὲ ἐπὶ τούτων ἐξετάσαι τὸν Οὐέττιον ἀνεβάλλοντο. καὶ ὃς οὕτως
φυλαττόμενος ἐν τῷ δεσμωτηρίῳ, νύκτωρ ἀνῃρέθη· εἰκαζομένου δ' ἐς ποικίλα
τοῦ συμβεβηκότος, ὁ Καῖσαρ ἐκείνοις τοῦτο δρᾶσαι, λέγων τοὺς δεδιότας, ἕως
ὁ δῆμος αὐτῷ συνεχώρησεν ἀμύνειν τοῖς ἐπιβεβουλευμένοις. καὶ Βύβλος μὲν
ἐκ χειρῶν ἅπαντα μεθείς, οἷά τις ἰδιώτης οὐ προκύπτει τῆς οἰκίας ἐπὶ τὸ λοιπὸν τῆς
ἀρχῆς ἅπαν· ὁ δὲ Καῖσαρ οὐδ' αὐτὸς ἔτι ἐζήτει περὶ τὸν Οὐέττιον, μόνος ἔχων
τὸ κράτος ἐπὶ τῆς πολιτείας. νόμους δὲ εἰσέφερεν ἐκθεραπεύων τὸ πλῆθος, ἕτερα δὲ
καὶ τὰ Πομπηίῳ πεπραγμένα ἅπαντα ἐκύρου, καθάπερ ὑπέσχετο αὐτῷ. οἱ δ' ἱππεῖς
λεγόμενοι, τὴν μὲν ἀξίωσιν τοῦ δήμου καὶ τῆς βουλῆς ὄντες ἐν μέσῳ· δυνατώτεροι
δὲ ἐν ἅπασι περιουσίας τε ἕνεκα καὶ μισθώσεως τῶν φόρων. οὓς ὑπὸ
τῶν ἐθνῶν τελουμένους ἐξεμισθοῦντο· καὶ πλήθους βεβαιοτάτων ἐς ταῦτα
δορυφόρων, ἐκ πολλοῦ τὴν βουλὴν ᾔτουν ἄφεσίν τινα μέρους τῶν φόρων γενέσθαι· καὶ
ἀπεῖπεν ἡ βουλή. ὁ δὲ Καῖσαρ οὐδὲν τότε τῆς βουλῆς δεόμενος, ἀλλὰ
μόνῳ τῷ δήμῳ χρώμενος, τὰ τρίτα τῶν μισθώσεων αὐτοῖς παρῆκεν. οἱ δὲ, ὑπὲρ
τὴν σφετέραν ἀξίωσιν ἀδοκήτου τῆς χάριτος αὐτοῖς γενομένης, ἐξεθείαζον
αὐτόν· καὶ ἐπὶ φόβῳ ἄλλο κρατερώτερον τοῦ δήμου τότε τῷ Καίσαρι προσεγένετο

δι' ἑνὸς πολιτεύματος. ὁ δὲ, καὶ θέας ἐπεδίδου καὶ κυνηγέσια θηρίων, ὑπὲρ δύναμιν δαπανώμενος ἐν ἅπασι· καὶ τὰ πρότερα πάνθ' ὑπερβάλλων παρασκευῇ καὶ χορηγίαις καὶ δόσεσι λαμπραῖς, ἐφ' οἷς αὐτὸν εἵλοντο Γαλατίας τε ἐντὸς Ἄλπεων καὶ ὑπὲρ Ἄλπεις, ἐπὶ πενταετὲς ἄρχειν· καὶ ἐς τὴν ἀρχὴν ἔδοσαν τέλη στρατοῦ τέσσαρα. ὁ δὲ, καὶ τὴν ἀποδημίαν χρόνιον ὁρῶν ἐσομένην καὶ τὸν φθόνον ὡς ἐπὶ μεγίστοις δὴ τοῖς δεδομένοις μείζονα, Πομπηΐῳ μὲν ἐξεγγύα τὴν θυγατέρα, καίπερ ὄντι τῷ Σκηπίωνι· δεδιὼς μὴ καὶ φίλος ὢν ἐπιφθονήσειε τῷ μεγέθει τῆς εὐδαιμονίας· τοὺς δὲ θρασυτάτους τῶν στασιωτῶν, ἐπὶ τὰς ἀρχὰς τοῦ μέλλοντος ἔτους. καὶ ὕπατον μὲν ἀπέφηνεν Αὖλον Γαβίνιον φίλον ἑαυτοῦ· Λευκίου δὲ Πίσωνος τοῦ σὺν ἑαυτῷ μέλλοντος ὑπατεύειν τὴν θυγατέρα Καλπουρνίαν, αὐτὸς ἠγάγετο· βοῶντος Κάτωνος, διαμαστροπεύεσθαι γάμοις τὴν ἡγεμονίαν. δημάρχους δὲ ᾑρεῖτο, Οὐατίνιόν τε καὶ Κλώδιον, τὸν καλὸν ἐπίκλην· ὅντινα καὶ σχῆμα ἐν ἱεροῖς γυναικῶν ποτε λαβόντα ὑπόνοιαν, ἐπὶ Ἰουλίᾳ τῇ Καίσαρος αὐτοῦ γυναικί, ὁ μὲν Καῖσαρ οὐκ ἔκρινεν, ὑπεραρέσκοντα τῷ δήμῳ, καίπερ ἀποπεμψάμενος τὴν γυναῖκα· ἕτεροι δὲ διὰ τὴν ἱερουργίαν ἀσεβείας ἐδίωκον· ῥήτωρ δὲ τοῖς διώκουσιν ἦν Κικέρων· καὶ κληθεὶς ἐς μαρτυρίαν ὁ Καῖσαρ οὐ κατεῖπεν· ἀλλ' ὅμως καὶ τότε δήμαρχον ἐς ἐπιβουλὴν τοῦ Κικέρωνος ἀπέφηνε· διαβάλλοντος ἤδη τὴν συμφροσύνην τῶν τριῶν ἀνδρῶν ἐς μοναρχίαν. οὕτω καὶ λύπης ἐκράτουν ὑπὸ χρείας, καὶ τὸν ἐχθρὸν ἀκριτοῦσιν ἐν ἀμείνονι ἐποίουν. δοκεῖ δὲ καὶ ὁ Κλώδιος ἀμείψασθαι πρότερος τὸν Καίσαρα καὶ συλλαβεῖν ἐς τὴν τῆς Γαλατίας ἀρχήν. τοσαῦτα μὲν δὴ Καῖσαρ ὑπατεύων ἔπραξε· καὶ τὴν ἀρχὴν ἀποθέμενος, ἐπὶ τὴν ἐπαρχίαν ἐξῄει. Κικέρωνα δὲ γράφεται Κλώδιος παρανόμων· ὅτι προδήλως ἀκρίτους τοὺς ἀμφὶ Λέντλον καὶ Κέθηγον ἀνῄρει. ὁ δὲ ἐς τὸ ἔργον ἐκ γενναιοτάτου λήματι ἀσθενέστατος ἐς τὴν δίκην ἐγίγνετο· καὶ ταπεινὴν ἐσθῆτα ἐπικεχρημένος, αὐχμοῦ τε καὶ ῥύπου, προσέπιπτεν οἷς ἐντύχοι κατὰ τοὺς στενωπούς· οὐδὲ τοῖς ἀγνῶσιν ἐνοχλεῖν αἰδούμενος· ὥστε αὐτῷ τὸ ἔργον διὰ τὴν ἀπρέπειαν ἀντ' οἴκτου μεταπεσεῖν ἐς γέλωτα. ἐς τοσόνδε ἠλίθιος περὶ μὲν οἰκείαν δίκην κατέπεσεν· ὃς τὸν ὅλον βίον ἐν ἀλλοτρίαις δίκαις τὸ λαμπρὸν ἦν· οἷόν τι καὶ Δημοσθένην φασὶ τὸν Ἀθηναῖον οὐδ' ὑποστῆναι τὴν ἑαυτοῦ δίκην, ἀλλὰ πρὸ τοῦ ἀγῶνος φυγεῖν. Κλωδίου δὲ καὶ τὰς παρακλήσεις αὐτοῦ σὺν ὕβρει διακόπτοντος ἐν τοῖς στενωποῖς, ἐπέγνω πάνθ' ὁ Κικέρων· καὶ ἔφευγεν ἑκούσιον καὶ ὁ δὲ φυγήν· καὶ φίλων αὐτῷ πλῆθος συνεξῄει. καὶ ἡ βουλὴ συνίστη τὸν ἄνδρα

πόλεσί τε καὶ βασιλεῦσι καὶ δυνάσταις. Κλώδιος δὲ αὐτοῦ τὴν οἰκίαν καὶ τὰς ἐπαύλεις ἐπικατέσκαπτεν. ἐπαιρόμενός τε ἐπὶ τῷδε, ἀντιπαρεμβάλλετο ἤδη καὶ Πομπηΐῳ, τὸ μέγιστον ἐν τῇ πόλει κράτος ἔχοντι. ὁ δὲ, Μίλωνα τὸν σὺν τῷ Κλωδίῳ τὴν ἀρχὴν παραδεδεγμένον, θρασύτερον ὄντα τοῦ Κλωδίου, ἐς ὑπατείαν ἐπήλπιζε· καὶ ἀλκὴν φέρειν ἐπὶ τὸν Κλώδιον· καὶ ψηφίσασθαι τῷ Κικέρωνι κάθοδον ἐκκαλεῖ· ἐπανελθόντα τὸν Κικέρωνα ἡγούμενος· περὶ μὲν τῆς πρὸ τοῦ πολιτείας, οὐκέτι φθέγξασθαι, μεμνημένον οἷα ἔπαθε· δίκας δὲ καὶ πράγματα ἐποίησε τῷ Κλωδίῳ. Κικέρων μὲν δὴ διὰ Πομπήιον ἐκπεσὼν, διὰ Πομπήιον κατῄει· ἑκκαιδεκάτῳ μάλιστα μηνὶ τῆς ἐξελάσεως· καὶ αὐτῷ καὶ τὴν οἰκίαν καὶ τὰς ἐπαύλεις ἀνίστη τέλεσι κοινοῖς. λαμπρῶς δὲ αὐτὸν περὶ τὰς πύλας ὑποδεχομένων πάντων, φασὶ περὶ τὰς δεξιώσεις τὴν ἡμέραν ὅλην· οἷόν τι καὶ Δημοσθένει συνέβη κατιόντι, ἀναλῶσαι. ὁ δὲ Καῖσαρ ἔν τε Κελτοῖς καὶ Βρεττανοῖς πολλὰ καὶ λαμπρὰ ἐργασάμενος, ὅσα μοι περὶ Κελτῶν λέγοντι εἴρηται, πλοῦτον ἄγων, ἐν τῇ ὁμόρῳ τῇ Ἰταλίᾳ Γαλατίᾳ, τῇ ἀμφὶ τὸν Ἠριδανὸν ποταμὸν ἧκεν, ἐκ συνεχοῦς πολέμου τὸν στρατὸν ἀναπαύσων ἐπ' ὀλίγον. ὅθεν αὐτὸς περιπέμποντι ἐς Ῥώμην πολλὰ πολλοῖς χρήματα, αἵ τε ἐτήσιοι ἀρχαὶ παρὰ μέρος ἀπήντων, καὶ οἱ ἄλλως ἐπιφανεῖς ἐν ἡγεμονίαις ἐθνῶν ἢ στρατοπέδων ἐξῄεσαν· ὡς καὶ τότε μὲν ποτὲ καὶ ἑκατὸν εἴκοσι ῥάβδοις ἀμφ' αὐτὸν γενέσθαι· βουλευτὰς δὲ πλείω διακοσίων· τῶν μὲν, ἀμειβομένων ὑπὲρ τῶν ἤδη γεγονότων, τοῖς δὲ, χρηματιουμένοις· τοῖς δ' ἄλλο τι τοιουτότροπον αὐτοῖς ἐξεργασομένων. πάντα γὰρ ἤδη δι' αὐτοῦ ἐπράσσετο· στρατιᾶς τε πλήθους ὢν καὶ δυνάμεως χρημάτων καὶ σπουδῆς ἐς ἅπαντας φιλανθρώπου. ἀφικόντο δὲ αὐτῷ καὶ Πομπήιος καὶ Κράσσος, οἱ κοινωνοὶ τῆς δυναστείας· καὶ αὐτοῖς βουλευομένοις, ἔδοξε Πομπήιον μὲν καὶ Κράσσον αὖθις ὑπατεῦσαι· Καίσαρι δὲ ἐς τὴν ἡγεμονίαν ὧν ἦρχεν ἐθνῶν, ἄλλην ἐπιψηφισθῆναι πενταετίαν. ὧδε μὲν ἀπ' ἀλλήλων διεκρίθησαν. Πομπηΐῳ δὲ ἐς τὴν ὑπατείαν ἀντιπαρήγγελλε Δομέτιος Ἀηνόβαρβος· καὶ τῆς κυρίας ἡμέρας ἀφεωρακότες, κατῆλθον ἔτι νυκτὸς, ἐς τὸ πεδίον ἐς τὴν χειροτονίαν. τῶν δ' ἀμφ' αὐτοὺς ἐρίδες ἦσαν καὶ συνεπλέκοντο, μέχρι τις τὸν Δομετίου δᾳδοῦχον ἐπάταξε ξίφει· καὶ φυγὴ μετὰ τοῦτο ἦν. Δομέτιός τε αὐτὸς ἐς τὴν οἰκίαν διεσώζετο μόλις. καὶ Πομπηΐου τὴν ἐσθῆτά τινες ᾑμαγμένην ἔφερον οἴκαδε. παρὰ τοσοῦτον ἑκάτερος ἦλθε κινδύνου. αἱρεθέντων δὲ ὕπατοι Κράσσος τε καὶ Πομπήιος, καὶ Καίσαρι μὲν ὡς συνέθεντο τὴν ἑτέραν πενταετίαν προσεψηφίσαντο. τὰ δὲ ἔθνη διακληρούμενοι στρατιὰν ἐπ' αὐτοῖς, ὁ μὲν Πομπήιος ᾑρεῖτο Ἰβηρίαν τε καὶ Λιβύην· καὶ ἐς τὰς δὲ τοὺς φίλους περιέπεμπεν, αὐτὸς ὑπομένων ἐν Ῥώμῃ. ὁ δὲ Κράσσος Συρί

τε τὰ Σύρων πλησίον ἐπιθυμεῖν πόλεμον πρὸς Πάρθους αἰεί. ὡς ἀλλοτρίοις καὶ καὶ ἐνδόξου ἐπὶ κέρδους, ἀλλὰ τῶν δὲ μὲν ἐξιόντι τῆς πόλεως, πολλά τε ἄλλα ἀπαισίων καὶ οἱ δήμαρχοι προκατόρθουν, μὴ πολεμεῖν Πάρθοις αὐτοῖς οὐδὲν ἀδικοῦσιν. οὐ πειθομένῳ δὲ δημοσίᾳ ἀρὰς ἐποιήσαντο. ὑπὸ Κράσσος οὐ φέροντι ἀπώλετο ἐν τῇ Παρθυηνῇ, σύν τε παιδὶ ὁμωνύμῳ αὐτῷ στρατῷ. μέσοι γὰρ οὐδὲν τελευτῆς ἐκ δέκα μυριάδων ἐν οὐσι διέφυγον. ἀλλὰ τὰ μὲν Κράσσου συμφορῶν, καὶ Πάρθους ἀκριβῶς ὁ συγγραφεύς· Ῥωμαῖοι δὲ λιμῷ πιεζόμενοι, Πομπήιον ᾐτοῦντο τῆς ἀγορᾶς αὐτοκράτορα εἶναι. καὶ οἱ καθάπερ ἐπὶ τῶν λῃστηρίων, εἴκοσιν ἀπὸ τῆς βουλῆς ὑπηρέτας ἔδωκαν. ὁ δὲ αὐτοῖς ὁμοίως ἐν τὰ ἔθνη διαθείς, ἐπέτρεχε. καὶ τὴν Ῥώμην αὐτίκα ἐνέπλησεν ἀγορᾶς δαψιλοῦς. ὅθεν ἔτι μᾶλλον ἐν μεγάλῃ δόξῃ ἐπῆρτο καὶ δήμου ἀμέσως. τοῦ δ᾽ αὐτοῦ χρόνου καὶ καίσαρος θυγάτηρ ἡ γυνὴ τοῦ Πομπηίου θνήσκει. καὶ δέος λέγουσιν ἐνέπεσεν, ἀνῃρημένης τῆς ἐπιγαμίας ὡς αὐτίκα μεγάλοις στρατοῖς καίσαρός τε καὶ Πομπηίου διοισομένων ἐς ἀλλήλους. ἀστασίακτον μάλιστα καὶ ἄλλη ἐπὶ τῆς ἐκ πολλοῦ γεγενημένης τῆς πολιτείας. αἵ τε γὰρ ἀρχαὶ κατὰ στάσιν καὶ δωροδοκίαν, σπουδῇ τε ἀδίκως καὶ λίθοις καὶ ξίφεσι καθίσταντο. καὶ τὸ δεκάζειν καὶ δωροδοκεῖν ἀναισχύντως, τότε μάλιστα ἐπλεόνασεν. ὅ τε δῆμος αὐτὸς ἔμμισθος ἐπὶ τὰς χειροτονίας ᾔει. ὤφθη δέ που καὶ μεσεγγύημα ταλάντων ὀκτακοσίων ὑπὲρ τῆς ἐπωνύμου γενομένων ἀρχῆς. οἵ τε ἀνὰ πᾶν ἔτος ἕκαστον ὕπατοι στρατιὰν μέν που καὶ πολεμεῖν ἀπεγίνωσκον. διακληρούμενοι τῇ δυνάμει τῶν δὲ τριῶν ἀνδρῶν. ὅσοι δὴ πάντων αὐτῶν ἀτοπώτεροι, κέρδος ἄν τι στρατηγῶν ἐτίθεντο τὰ κοινά. τῆς πολιτείας τῶν διὰ δωροδοκίας χειροτονιῶν· οἱ δ᾽ ἀγαθοί, διὰ ταῦτα καὶ ἀπόμπων ἐξέστησαν τῆς ἀρχῆς. ὥστε ποτὲ καὶ μῆνας ὀκτὼ τὴν πόλιν ἄνευ ἀρχόντων ἐκ τῆς τοιᾶσδε ἀσυνταξίας γενέσθαι· Πομπηίου πάνθ᾽ ὑφορῶντος ἐπὶ τῆς δὲ, ἵνα ἂν χειροτονηθείη δικτάτωρ. καὶ πολλοὶ τοῦτο ἐν ἀλλήλοις διελάλουν. ὅτι μόνον ἂν γένοιτο φάρμακον ἐπὶ τοῖς παροῦσι κακοῖς, καὶ μόναρχος δέξηται. χειροτονεῖσθαι δὲ λέγουσι δεῖν αὐτὸν ὁμοῦ καὶ ἐπιδήλως ἐσημαινόμενος τὸν Πομπήιον. στρατιᾶς τε ἄρχοντα ἱκανῆς καὶ φιλόδημον εἶναι δοκοῦντα καὶ τὴν βουλὴν ἄγοντα διὰ τιμῆς καὶ τὸν βίον ἐγκρατῆ καὶ σώφρονα, περί τε τὰς ἐντεύξεις προσιτόν, καὶ ὄντα καὶ νομιζόμενον εἶναι. ὁ δὲ τὴν προσδοκίαν, λόγῳ μὲν ἐδυσχέραινεν· ἔργῳ δὲ ἐς αὐτὴν πάντ᾽ ἔπραττον ἀφανῶς. καὶ τὴν ἀταξίαν ἐῶν τῆς πολιτείας καὶ ἀναρχίαν, ἐπὶ τῇ ἀσύντακτα καὶ ἑκὼν ὑπερεώρα. Μίλωνός τε τὰ ἐς Κλώδιον ὑπηρετοῦντος αὐτῷ. καὶ φερομένου τοῦ δήμου διὰ τῆς Κικέρωνος καθόδου. ὑπατείαν ὡς συγκαιρὸν πρὸ τῶν δὲ τὴν ἀρχὴν μετιοῦσ

ἀπεδιέτριβε τῆς χειροτονίας· μέχρι βαρυθυμῶν ὁ Μίλων ὡς καὶ περὶ αὐτὸν σπουδῆς γινομένου τοῦ Πομπηίου, ἐν τῇ περὶ Βοουίλλας ὁδῷ. Κλώδιον δή φασιν ἀπὸ μὲν ἐξ ἀγροῦ ἐπανιόντα πολίχνιον καὶ φασὶν ἀπὸ Ῥώμης ἐν αὐτῇ στάδιοι πεντήκοντα καὶ ἑκατόν. Κλωδίου δὲ ἐξ αὐτῶν χωρίων ἐπανιόντος ἐπὶ ἵππου, καὶ περὶ Βοΐλλας ἀπαντήσαντος αὐτῷ, οἱ μὲν κατὰ τὴν ἔχθραν ὑπεξαπτόμενοι ἀλλήλοις καὶ παροινοῦσιν. θεράπων δὲ τοῦ Μίλωνος ἐπιδραμὼν τῷ Κλωδίῳ, καὶ τρώσας κατέβαλεν ἐν θώρακι ἐχθροὺς δὲ ἐπεξῆγεν ἐς τὸ μετάφρενον ἐν φιλίῳ. καὶ τὸν μὲν αἵματι ῥαινόμενον ἐν τῷ πλησίον πανδοχείῳ ὁ ἱπποκόμος εἰσεφόρει. ὁ δὲ Μίλων μετὰ τῶν θεραπόντων ἐπιστὰς, ἔτι ἔμπνοον ὄντα καὶ γενόμενον ἀπέκτεινεν. ὑποκρινόμενος μὲν οὐ βουλεῦσαι τὸν φόνον οὐδὲ προστάξαι, ὡς δὲ κινδυνεύσων διαπράττοντος κἂν εἰ τὸ ἔργον ἀτελὲς καταλίποι. περιαγγελθέντος δὲ ἐς Ῥώμην τοῦ πάθους, ὁ μὲν δῆμος ἐν ταραχῇ συνδραμὼν ἀνεκτείνετο. καὶ τὸ σῶμα τι ἐν τοῦ Κλωδίου, μεθημέραν προύθεσαν ἐπὶ τῶν ἐμβόλων. ἀναστάντες δ᾽ αὐτὸ τῶν τε δημάρχων ἔνιοι καὶ οἱ φίλοι τοῦ Κλωδίου, καὶ πλῆθος ἄλλο σὺν ἐκείνοις ἐν τὸ βουλευτήριον ἐκόμισαν· ἤ τε ἐπὶ τιμῇ βουλευτικοῦ γένους ὄντα, ἤ τε ἐν ὀργῇ δὲ τῆς βουλῆς τοιάδε περιορώσης. καὶ τῶν πρὸ ὀλίγου οἱ προπετέστεροι τὰ βάθρα καὶ τοὺς θρόνους τῶν βουλευτῶν συμφορήσαντες, πῦρ αὐτῷ ἀνῆψαν, ὑφ᾽ οὗ τό τε βουλευτήριον καὶ πολλαὶ τῶν πλησίον οἰκίαι τῷ Κλωδίῳ συγκατεφλέγησαν. Μίλωνι δὲ θράσος τοσοῦτον δὲ περιῆν, ὡς οὐ δεδιέναι περὶ τοῦ φόνου μᾶλλον, καὶ ἀγανακτεῖν, ἐπὶ τῇ Κλωδίου περὶ τὴν ταφὴν τιμῇ. θεραπόντων οὖν καὶ ἀνδρῶν ἀγροίκων πλῆθος ἀθροίσας, καὶ ἐν τὸν δῆμον περιπέμψας χρήματα, τόν τε δήμαρχον Μάρκον Καικίλιον πεισάμενος, ἐν τῇ πόλει κατῄει θρασύτατα. καὶ αὐτὸν ὁ Καικίλιος εὐθὺς ἐσιόντα, ἧκεν ἐς τὴν ἀγορὰν ἐπὶ τῇ παρ᾽ αὐτοῦ δεδωροδοκηκότι. ὥσπερ ἐπεκλήθη, ὑποκρινόμενος μὲν ἀγανακτεῖν, καὶ οὐδ᾽ ἰδοὺ τῆς δίκης ἀναβολὴν. ὅτι προσδοκεῖν αὐτὸν οἱ πρὸ τοῦ μεθῆσαν, ἐκλύσειν τὴν δίκην τῆς ἀληθείας ἐσόμενον. καὶ Μίλων μὲν οὐ βουλεῦσαι τὸ ἔργον ἔφη, οὐ γὰρ ἂν μετὰ σκευῆς καὶ γυναικὸς ἐπὶ τοῦτο ὁρμῆσαι, τὸν λοιπὸν χρόνον κατὰ τοῦ Κλωδίου διετίθετο ὡς θρασυτάτου δὴ καὶ φίλων θρασυτάτων. οἳ καὶ τὸ βουλευτήριον ἐπικατέπρησαν αὐτῷ. ἔτι δ᾽ αὐτοῦ λέγοντος, οἵ τε λοιποὶ δήμαρχοι καὶ τοῦ δήμου τὸ ἀδιάφθορον ὁπλισάμενοι, ἐνέβαλλον ἐν τῇ ἀγορᾷ. Καικίλιος μὲν δὴ καὶ Μίλων δούλων ἐσθῆτας ὑποδύντες ἀπέδρασαν. πολλοὶ δὲ τῶν ἄλλων ἐγένοντο φόνοι. οὐ τοῖς Μίλωνος ἔτι φίλοις ἐρευνῶντες, ἀλλὰ τὸν ἐντυχόντα ἀναιροῦντες. ἀστυνόμου καὶ ξένου. καὶ μάλιστα οἱ ταῖς ἐσθῆσι καὶ σφραγῖσιν

χεῖρον διέφερον· ὡς γὰρ οὖν ἀσύντακτα τῇ πόλει τὴν σφῶν ὀργὴν τῇ προφάσει
τοῦ δὲ τοῦ θορύβου προσπεσόντος, θορυβοῦντες τε οὖν τότε οἱ πλείους καὶ ὡ-
πλισμένοι κατὰ ἀνὰ ὅπλων, ἐς ἁρπαγὰς ἐτράποντο· ἔργον τε οὐδὲν αὐτοῖς
ἀπῆν· ἀλλὰ καὶ ἐπῄεσαν καὶ ἐφόρουν· καὶ πλεῖον τὰ ἠρεμοῦσιν· ἔργω μὲν τὰ ἄλλα
σφίσιν ἅπαντα· ἔργω δὲ τοῖς φίλοις τοῦ Μίλωνος· πρόφασις τε ἦν αὐτοῖς τὰς
πολλὰς ἡμέρας· καὶ πυρὸς καὶ λίθων καὶ παντὸς ἔργου, μέλλων· καὶ βουλὴ δὲ
συνῆλθε μετὰ δέους καὶ ἐς τὸν Πομπήιον ἀφεώρων· ὡς αὐτίκα σφῶν ἐσόμενον
δικτάτωρα· χρῄζειν γὰρ αὐτοῖς ἔφαινετο τὰ παρόντα τοιαύτης θεραπείας. Κάτων
δὲ αὐτοὺς μεταδιδάξαντος, ὕπατον εἵλοντο χωρὶς συνάρχου· ὥστε ἀνέχειν τὴν μὲν
ἐξουσίαν δικτάτωρος, ἄρχοντα μόνον· τὴν δὲ ἐπωνυμίαν ὑπάτου· καὶ πρῶτος ὑπάτων ὅδε,
ἔθνη τε δύο μετά τε στρατιᾶς ἔχων καὶ χρήματα καὶ τὴν τῆς πόλεως μοναρχίαν, διὰ τὸ
μόνος ὕπατος εἶναι, Κάτων μὲν ἐψηφίσατο ἵνα μὴ πρὸ ὧν ἀποχλοίη, καίπερ
ἀφῃρέθη Πτολεμαίου βασιλέως· νενομοθετημένον ἤδη τοῦ ὑπὸ Κλωδίου· ὅτι
οἱ ποτε ἀλόντες ὑπ' ἀλλήλων, ὁ Πτολεμαῖος ἐς λύτρα ὑπὸ μὲν κεχρημένοι ἀποστεῖλαι γε ἔπεμψε·
Κάτων μὲν δὲ καθίστατο καίπερ Πτολεμαίου τὰ χρήματα εἰσάγοντος ἐς τὴν θάλασσαν
καὶ ἑαυτὸν ἐξαγαγόντος, ἐπὶ τῶν ἐψηφισμένων ἐπίθετο. ὁ δὲ Πομπήιος, δίκας
προυτίθει τῶν τε ἄλλων ἁμαρτημάτων, καὶ μάλιστα δωροδοκίας καὶ δεκασμοῦ· ἐδόκει
γὰρ ἐν τῷ πλήθει καὶ αὐτῶν ὄντων τὰ κοινὰ ἀρξάμενα, ἐν τούτῳ καὶ τὴν ἴασιν ἕξειν ταχέως·
νόμῳ τε ὥρισεν ἀπὸ τῆς ἑαυτοῦ τὸ πρῶτον ὑπατείας ἐς τὸ πρόσθεν, δ' ἐθέλειν τὸν θεσμόν·
καὶ ἦν ὁ χρόνος ὀλίγῳ μείων ἐτῶν εἴκοσιν· ἐν ᾧ καὶ Καῖσαρ ἐγεγόνει ὕπατος· ὥστε
φίλων τοῦ Καίσαρος ὑπονοοῦντων ἐς ὕβριν καὶ ἐς ἐπήρειαν αὐτὸν τοῦ Καίσαρος, ὃ δὲ
πολὺ τοῦ χρόνου περιλαβεῖν, καὶ παραινούντων τὸ πρὸ διορθοῦσθαι μᾶλλον, καὶ τὰ ἐπὶ πλῆθ-
ος ὀχλεῖν· ἐπανορθοῦσθαι τοιοῖσδε ἀξιολόγοις· ἐπονομάζοντες δὲ τοῖς ἄλλοις καὶ τὸν
Καίσαρα, ὁ Πομπήιος ἀμφὶ μὲν τοῦ Καίσαρος ἠγανάκτει· ὡς ἀμέμπτου ὄντος
ὑποψίας· ἔπειτα καὶ τὴν ἑαυτοῦ δευτέραν ὑπατείαν, τῷ χρόνῳ περιλαμβάνεσθαι· πολὺ
δὲ ἀναλαβεῖν ἔλεγεν, ἐς ἀκριβῆ διόρθωσιν ἐπιτετριμμένης ἐκ πολλοῦ τῆς πο-
λιτείας· τοιαῦτα δὴ πρῶν, ἐκύρου τὸν νόμον· καὶ πλῆθος ἦν αὐτίκα δικῶν ποικίλ-
ων ἵνα τε μὴ δείσαντες οἱ δικασταὶ αὐτοὺς αὐτοῖς ἐπὶ στρατιὰν περιϊστάμενος·
καὶ πρῶτοι μὲν ἀπόντες ἑάλωσαν· μέλλοντες ἐπὶ Κλωδίου φόνῳ καὶ Γαβρίνιος
παρανομεῖν ὅμως ἠσέβει· ὅτι χωρὶς ψηφίσματος ἐς Αἴγυπτον μετὰ στρατιᾶς
ἐσέβαλεν, ἀπεπορθὸν τῶν συλλήψεων· ὕπατος δὲ καὶ Μέμμιος καὶ Σέξτος καὶ ἕτεροι
πλείονες ἐπὶ δωροδοκίαις καὶ πλήθεσι δεκασμῷ· Σκαῦρον δὲ τοῦ πλήθους παραι-

τουμένου, ἐκήρυξεν ὁ Πομπήιος ὑπακούειν τῇ δίκῃ· καὶ πάλιν τοῦ δήμου τοῖς
κατηγόροις ἐνοχλοῦντος, σφαγή τις ἐκ τῶν Πομπηίου στρατιωτῶν ἐπιδραμόντων
ἐγένετο· καὶ οὕτω μὲν δῆμος κατεσιώπησεν· ὁ δὲ Σκαῦρος ἑάλω· καὶ ὑπὸ ψήφων φυγὴν
κατέγνωστο. Γαβινίου δὲ καὶ δημοσίᾳ ἦν ἐπὶ τῇ φυγῇ καὶ τοῦ δὲ ἡ βουλὴ λαμπρῶς
ἐπαινοῦντα, διότε ἄλλα τε ἦγε, καὶ χρόνον ἐς τὴν ἀρχὴν τῶν θεῶν ἕτερον τῷ Πομπηί-
ῳ προσεψηφίσαντο. Μέμμιος δὲ ἄλλοις ἐπὶ δεκασμῷ τοῦ νόμου τοῦ Πομπηίου διδόντος
αὐτῷ φήναντι ἕτερον ἀφίεσθαι τῆς καταδίκης, τὸν πενθερὸν τοῦ Πομπηίου, Λεύκιον
Σκηπίωνα προεκαλέσατο ἐς ὁμοίαν δεκασμοῦ δίκην· καὶ ἐπὶ τῷ δὲ τοῦ Πομπηί-
ου τὴν τῶν κρινομένων ἐσθῆτα μεταλαβόντος, πολλοὶ καὶ τῶν δικαστῶν μετελάμβανον.
ὀλοφυράμενος οὖν ὁ Μέμμιος τὴν πολιτείαν, ἀφῆκε τὴν δίκην· καὶ ὁ Πομπήιος ὡς
ἤδη τὰ χρῄζοντα τῆς μοναρχίας διωρθωμένος, τὸν Σκηπίωνα συνάρχοντα ἐς τὸ λοιπὸν
τοῦ ἔτους εἵλετο· καὶ μετὰ τοῦθ' ἑτέρων ἐς τὴν ἀρχὴν καθισταμένων, οὐδὲν ἧττον
φερόμενα διῴκησε· καὶ πάντα τὴν ἐν Ῥώμῃ καὶ τότε Πομπήιος· καὶ γὰρ δὴ καὶ ἡ βουλὴ
μάλιστα αὐτὸν ἐποίει, ζηλοτυποῦσα τοῦ Καίσαρος ἐς οὐδὲν αὐτῷ πρὸ τῆς δὶς ὑπατείας
κεχρημένου· καὶ ὅτι ἵνα οὕτως ὁ Πομπήιος τὴν πολιτείαν ὅξεως ἂν λάβοι· καὶ οὐδενὶ
σφῶν παρὰ τὴν ἀρχὴν φορτικὸς καὶ ἐπαχθὴς γένοιτο. τῶν δὲ φυγάδων ἐς τὸν Καί-
σαρα ἰόντων ἀθρόων καὶ παραινούντων φυλάττεσθαι τὸν Πομπήιον, ὥστε τὸν νόμον τοῦ δε-
κασμοῦ μάλιστα θέμενον ἐπ' ἐκείνῳ, τοὺς δὲ μὲν ὁ Καῖσαρ παρηγόρει· καὶ τὸν Πομπήιον
ἀφῄρει· τοῖς δὲ δημάρχοις ἐπαγγελίας παρασκευάσασθαι νόμον, ἐξεῖναι Καίσαρι δευτέραν
ὑπατείαν ἀπόντι μετιέναι· καὶ τοῦθ' ὑπατεύοντος ἔτι τοῦ Πομπηίου καὶ οὐδὲν
ἀντιπίπτοντος, ἐκεκύρωτο· ὁ δὲ Καῖσαρ ἀντιπράξειν τὴν βουλὴν ὑπονοῶν, ἔδε-
δοίκει μὲν ὑπὸ τοῖς ἐχθροῖς ἰδιώτης γενέσθαι· ἐτέχναζε δὲ τὴν δυνάμεως εἶναι,
μέχρις ὕπατος ἀποδειχθείη. καὶ τὴν βουλὴν ἠτεῖτο χρόνον ἄλλον ὀλίγον ἐς τὴν προσοῦσαν
οἱ τῆς Γαλατίας ἡγεμονίαν. καὶ ἐς μόρος αὐτῆς ἐπιλαβεῖν· διακωλύσαντος δὲ
Μαρκέλλου, ὃς ἐπὶ τῷ Πομπηίῳ ὕπατος ἦν, φασὶ τὸν Καίσαρα τῷ μηνύοντι
ἀποκρίνασθαι, κόπτοντα τὴν λαβὴν τοῦ ξίφους· ἥδε δώσει. πόλιν δὲ Νεό-
κωμον ὁ Καῖσαρ ἐς Λατίνων δίκαιον, ἐπὶ τῷ ἀποικῶν· ὧν ὅσοι κατ' ἔτος ἦρχον,
ἐγίγνοντο Ῥωμαίων πολῖται· τοῦτο γὰρ ἰσχύει τὸ Λάτιον· τῶν οὖν Νεοκωμιτῶν
τινά, ἄρχοντά τε αὐτοῖς γενόμενον καὶ παρὰ τοῦτο Ῥωμαῖον εἶναι νομιζόμενον,
ὁ Μάρκελλος, ἐφ' ὕβρει τοῦ Καίσαρος, ἐξῄνεσε ῥάβδοις ἐφ' ὅτῳ δήπου πάσχοι τοῦ τὸ
Ῥωμαίων· καὶ τοῦτο οὖν ὑπὸ ὀργῆς ἀνεκάλυψε· τὰς ξενίας καὶ ξενίας σύμβολον
καὶ φέρειν αὐτὰς ἐκέλευε καὶ δεικνύναι τῷ Καίσαρι· οὕτω μὲν ὑβρίσας ὁ Μάρ-

κέλλος· ᾐτεῖτο δὲ ἤδη καὶ διαδόχους αὐτῷ πέμπειν ἐπὶ τὰ ἔθνη· πρὸ
τοῦ χρόνου· ἀλλὰ διεκώλυσεν ὁ Πομπήιος, εὐπρεπεῖ τε λόγῳ, καὶ ὑποκρίσει·
μὴ δεῖν ἄνδρα λαμπρὸν καὶ πολλὰ χρήσιμον τῇ πατρίδι γενόμενον, ὑβρίζειν
βραχεῖ διαστήματι χρόνου· καὶ δῆλον ἐποίησεν ὅτι χρὴ μετὰ τὸν χρόνον παραλύειν
τῆς ἀρχῆς αὐτίκα τὸν Καίσαρα. καὶ ἐπὶ τῷδε οἱ μάλιστα ἐχθροὶ τοῦ Καίσαρος, ἐς
τοῦ ἐπιόντος ᾑρέθησαν ὕπατοι, Αἰμίλιός τε Παῦλος, καὶ Κλαύδιος Μάρκελλος, ἀνεψιὸς
τοῦ προτέρου Μαρκέλλου· δήμαρχός τε Κουρίων, ἐχθρὸς ὢν καὶ ὅδε τῷ Καίσαρι καρ
τερός, καὶ ἐς τὸν δῆμον ἀρεσκότατος καὶ εἰπεῖν ἱκανώτατος. τούτων ὁ Καῖσαρ
Κλαύδιον μὲν οὐκ ἴσχυσεν ὑπαγαγέσθαι χρήμασι· Παῦλον δὲ, χιλίων καὶ πεντακο
σίων ταλάντων ἐπρίατο, μηδὲν αὐτῷ μήτε συμπράττειν μήτε ἐνοχλεῖν· Κουρί
ωνα δὲ, καὶ συμπράττειν· ἔτι πλειόνων, εἰδὼς ἐνοχλούμενον ὑπὸ χρεῶν πολλῶν.
Παῦλος μὲν δὴ τὴν Παύλου λεγομένην βασιλικήν, ἀπὸ τῶνδε τῶν χρημάτων
ἀνέθηκε Ῥωμαίοις, οἰκοδόμημα περικαλλές· ὁ δὲ Κουρίων ἵνα μὴ κατάφωρος μετα
τιθέμενος γίγνοιτο καταφωρ, ἐσηγεῖτο βαρυτάτας ὁδῶν πολλῶν ἐπισκευάς τε
καὶ κατασκευάς· καὶ αὐτὸν ἐπιστάτην αὐτῶν ἐπὶ πενταετὲς εἶναι· εἰδὼς μὲν αὐτ
οὐδὲν τούτων ἐσόμενον, ἐλπίζων δὲ τοὺς Πομπηίου φίλους ἀντιλέξειν· καὶ αὐτὸς
ἐς τὸν Πομπήιον ἕξειν τι τοιόνδε πρόσκρουμα. καὶ γενομένων τῶνδε, ὡς προσεδόκησε,
ὁ μὲν εἶχε τὴν πρόφασιν τῆς διαφορᾶς· Κλαύδιος δὲ ἐσηγεῖτο πέμπειν Καίσαρι
διαδόχους ἐπὶ τὰ ἔθνη· καὶ γὰρ ἐλήγετο ὁ χρόνος· καὶ Παῦλος ἐσιώπα· Κουρίων δὲ
νομιζόμενος ἀμφοτέροις διαφέρεσθαι, ἐπῄνει τὴν Κλαυδίου γνώμην· ὡς
δέον, αὐτῇ δὲ προσετίθει καὶ Πομπήιον, ὁμοίως Καίσαρι ἀποθέσθαι τὰ ἔθνη
καὶ τὸν στρατόν· ὧδε γὰρ ἔσεσθαι τὴν πόλιν καθαρὰν καὶ πανταχόθεν ἀδεᾶ τὴν πολιτείαν·
ἀντιλεγόντων δὲ πολλῶν, ὡς οὐκ ἴσον τὸ μήπω τὸν χρόνον ἐξήκειν τῷ Πομπηίῳ, σαφέ
στερον ὁ Κουρίων ἤδη καὶ τραχύτερον ἀπεγύμνου· μὴ χρῆναι μὴ δὲ Καίσαρι πέμπ
διαδόχους, εἰ μὴ καὶ Πομπηίῳ δοῖεν· οὕτω γὰρ αὐτῶν ἐς ἀλλήλους ὑπόπτων,
οὔπω τῇ πόλει τὴν εἰρήνην ἔσεσθαι βεβαίαν, εἰ μὴ πάντες ἰδιωτεύσειαν. ἔλεγε
δὲ ταῦτα εἰδὼς οὐ μεθήσοντα τὴν ἀρχὴν Πομπήιον· καὶ τὸν δῆμον ὁρῶν ἤδη τι
προσκεκρουμένον αὐτῷ, διὰ τὰς τοῦ δεκασμοῦ δίκας. ἀρεσκούσης δὲ τῆς γνώ
μης ταύτης, ὁ δῆμος ἐπῄνει τὸν Κουρίωνα· ὡς μόνον ἀξίως τῆς πόλεως τὴν
πρὸς ἀμφοτέρους αἱρούμενον ἔχθραν· καί ποτε καὶ παρέπεμψαν αὐτὸν ἀνθο
βολοῦντες ὡς ἀθλητὴν μεγάλου καὶ δυσχεροῦς ἀγῶνος· οὐδὲν γὰρ ἐδόκει
τότε εἶναι φοβερώτερον τῆς Πομπηίου διαφορᾶς. ὁ δὲ Πομπήιος νόσῳ ὀχ

λούμενος περὶ τὴν Ἰταλίαν, ἐπέστειλε τῇ βουλῇ σὺν τέχνῃ, τά τε ἔργα
τοῦ Καίσαρος ἐπαινῶν, καὶ τὰ ἴδια ἐξ ἀρχῆς καταλέγων· ὅτι τε τῆς τρίτης ὑπατεί
ας καὶ ἐθνῶν τῶν ἐπ' αὐτῇ καὶ στρατοῦ δοθέντος, οὐ μετιών, ἀλλ' ἐς θεραπείαν τῆς πό
λεως ἐπικληθείς, ἀξιωθείη· ἃ δὲ ἄκων ὑπέλαβεν, ἑκὼν ἀποθήσεσθαι τοῖς ἀπο
λαβεῖν θέλουσιν, οὐκ ἀναμένων τοὺς χρόνους τοὺς ὡρισμένους. ἡ μὲν δὴ τέχνη
τῶν γεγραμμένων ἦν εὐπρεπείᾳ τε τῷ Πομπηίῳ καὶ ἐρεθισμῷ κατὰ τοῦ
Καίσαρος, οὐκ ἀποδιδόντος τὴν ἀρχὴν οὐδ' ἐν τῷ γενομένῳ χρόνῳ. ἀφι
κόμενος δ' ἄλλα τε τούτοις ὅμοια ἔλεγε, καὶ τὴν ἀρχὴν καὶ τότε ὑπισχνεῖτο ἀπο
θήσεσθαι. ὡς δὲ δὴ φίλος καὶ κηδεστὴς γενόμενος Καίσαρι, κἀκεῖνον ἔλεγε
μάλα χαίροντα ἀποθέσθαι· χρόνιόν τε γὰρ αὐτῷ τὴν στρατηγίαν καὶ ἐπίπονον
κατὰ ἐθνῶν μαχιμωτάτων γεγονέναι· καὶ πολλὰ τῇ πατρίδι προσλαβόντα, ἐπὶ
τιμὰς καὶ θυσίας ἥξειν καὶ ἀναπαύσεις. ἔλεγε μὲν ταῦθ' ὡς Καίσαρι μὲν
αὐτίκα δοθησομένων διαδόχων· αὐτὸς δὲ ἐσόμενος ἐν ὑποσχέσει μόνον.
Κουρίων δὲ αὐτοῦ τὸ σόφισμα διηλέγχων, οὐχ ὑπισχνεῖσθαι δεῖν ἔφη μᾶλλον,
ἀλλ' αὐτίκα ἀποθέσθαι· οὐδὲ ἐξοπλίζειν Καίσαρα τῆς στρατιᾶς, πρὶν καὶ αὐτὸν
ἰδιωτεῦσαι· οὔτε γὰρ ἐς ἰδίαν ἔχθραν ἐκείνῳ λυσιτελήσειν, οὔτε Ῥωμαίοις,
ὑφ' ἑνὶ τηλικαύτην ἀρχὴν γενέσθαι μᾶλλον, ἀλλὰ τὸν ἕτερον αὐτῶν ἔχειν ἐπὶ
τὸν ἕτερον· εἴ τι τὴν πόλιν καταβιάζοιτο. οὐδέν τε ἐπικρύπτων ἔτι, ἀφειδῶς
ἐς τὸν Πομπήιον ἐβλασφήμει, ὡς τυραννίδος ἐφιέμενον· καὶ εἰ μὴ νῦν σὺν
φόβῳ τῷ Καίσαρος ἀποθοῖτο τὴν ἀρχήν, οὔποτε μεθήσοντα. ἠξίου δ' ἄν, εἰ μὴ πει
θοῖεν, ἄμφω ψηφίζεσθαι πολεμίους· καὶ στρατὸν ἀγείρειν ἐπ' αὐτούς· ὅθεν δὴ
μάλιστα ἔλαθεν ὑπὸ Καίσαρος ἐωνημένος. Πομπήιος δ' αὐτῷ χαλεπαινό
μενός τε καὶ ἀπειλῶν, ἀπῆλθεν ἐς τὰ προάστεια ἀγανακτῶν ὑπόξενον· καὶ ἡ
βουλὴ ὕποπτος μὲν ἦν ἤδη πρὸς ἀμφοτέρους· δημοτικώτερον δ' ὅμως
ἐνόμιζον τὸν Πομπήιον· καὶ τῷ Καίσαρι ἐδυσχέραινον, τῆς παρὰ τὴν ὑπατείαν
ὑπεροψίας σφῶν. οἱ δὲ καὶ τῶν οὐκ ἀσφαλῶς ἡγοῦντο διαλύειν τὴν ὑπὸ
τῷ Πομπηίῳ δύναμιν, μέχρι πρότερον ἐκεῖνον ἀποθέσθαι· ἔξω τε τῆς
πόλεως ὄντα, καὶ μεγαλοπραγμονέστερον. τὸ δ' οὖν ἀκούειν ἀνέστρεφεν,
ὡς δέον ὑπάρχειν αὐτοῖς ἐπὶ τὸν Πομπήιον Καίσαρα ὁμοῦ πάντα καταλύειν·
οὐ πειθῶν δὲ διηνεκῶς τὴν βουλήν, ἐπιλήψεσι πᾶσι. διέλυσε δὲ τὰ τῶν
δήμαρχος, ὅτε δὴ καὶ μάλιστα τῷ Πομπηίῳ μετεμελήθη, τὴν δημαρχίαν
ἐς ἀσθενέστατον ὑπὸ Σύλλα καθῃρημένην, ἀναγαγόντι αὖθις ἐπὶ τὸ

ἀρχαῖον. διαλυόμενοι δὲ ὅμως, τοῦτο δὴ μόνον ἐψηφίσαντο, Καίσαρα καὶ
Πομπήιον, τέλος ἑκάτερον στρατιωτῶν ἐς Συρίαν ἑκάτερον πέμψαι, φυλακῆς οὕνεκα
διὰ τὴν Κράσσου συμφοράν. ἀντεχνάζων ὁ Πομπήιος, ἀπῄτει τὸ τέλος· ὃ ἔναγχος
ἐπὶ συμφορᾷ στρατηγῶν δύο, Καίσαρι τότε ἐκέχρητο, καὶ περιέπεμψεν·
ὁ δ' αὐτὸ τιμήσας ἕκαστον ἄνδρα δραχμαῖς πεντήκοντα καὶ διακοσίαις, ἀπέπεμψε
ἐς Ῥώμην καὶ ἕτερον ἄλλο παρ' ἑαυτοῦ. οὐδενὸς δὲ ἀμφὶ Συρίαν φανέντος,
τὰ τέλη ἐς Καπύην ἐχείμαζεν· οἱ δὲ ταῦτα πεμφθέντες ὑπὸ τοῦ Πομπηίου
πρὸς Καίσαρα, ἄλλα τε πολλὰ δυσχερῆ κατὰ Καίσαρος διεθρόουν, καὶ ἰσχυρί-
ζοντο τῷ Πομπηίῳ τὴν στρατιὰν Καίσαρος τετρυμμένην τε πόνῳ καὶ χρόνῳ καὶ
τὰ οἴκοι ποθοῦσαν, μεταθήσεσθαι πρὸς αὐτόν, ὅτε τὰ Ἄλπεα διέλθοιεν. καὶ
οἱ μὲν οὕτως ἔλεγον, ἢ ὑπ' ἀγνοίας, ἢ διεφθαρμένοι· Καίσαρι δ' ἔρρωτο πᾶς
ἀνὴρ ἐς προθυμίαν, ὑπό τε ἔθους τῶν στρατειῶν, ἢ ὑπὸ κερδῶν ὅσα ὁ πόλεμος
τοῖς νικῶσιν ἐργάζεται, ἢ ὅσα παρὰ Καίσαρος ἄλλα ἐλάμβανον· ἐδίδου γὰρ ἀφειδῶς
ἐς παρασκευὴν ἃ ἐβούλευεν· οἱ δέ, καὶ αὐτοὶ συνιέντες αὐτῷ, ὅμως ὑπέμενον.
ὁ δὲ Πομπήιος τοῖς λεγομένοις πιστεύσας, οὔτε στρατιὰν, οὔτε παρασκευὴν ἐς
τοσοῦτον ἔργον ἤγειρεν. ἡ βουλὴ δὲ γνώμην ἕκαστον ᾔτει· καὶ ὁ Κλαύδιος πανούργως
διῄρει· καὶ ἐπυνθάνετο αὐτῶν παρὰ μέρος, εἰ δοκεῖ Καίσαρι πέμπειν διαδόχους,
καὶ εἰ Πομπήιον τὴν ἀρχὴν ἀφαιρεῖσθαι. οἱ δέ, τοῦ μὲν ἀντέλεγον οἱ πλείους· Καίσαρι
δὲ ἐψήφιζον τοὺς διαδόχους. ἐπανερομένου δὲ τοῦ Κουρίωνος εἰ ἀμφοτέρους
δοκεῖ τὰ ἐν χερσὶν ἀποθέσθαι, δύο μὲν καὶ εἴκοσιν ἄνδρασιν οὐκ ἤρεσκε· τριακό-
σιοι δὲ καὶ ἑβδομήκοντα ἐς τὸ σύμφορον ἀπὸ τῆς ἔριδος, ἐπὶ τὴν τοῦ Κουρίωνος
γνώμην ἀπέκλινον. ὅτε δὴ καὶ ὁ Κλαύδιος τὴν βουλὴν διέλυσε βοῶν, νικᾶτε δεσπό-
την ἔχειν Καίσαρα. λόγου δὲ ἄφνω ψευδοῦς ἐμπεσόντος, ὅτι τὰς Ἄλπεις ὁ Καῖσαρ
ὑπερελθών, ἐπὶ τὴν πόλιν ἐλαύνει, θόρυβός τε πολὺς ἦν καὶ φόβος ἁπάντων. καὶ Κλαύ-
διος ἐσηγεῖτο τὴν ἐν Καπύῃ στρατιὰν ἀπαντᾶν ὡς πολεμίῳ Καίσαρι. ἐνισταμένου
δὲ ὡς ἐπὶ ψευδεῖ τοῦ Κουρίωνος, εἶπεν· εἰ κωλύομαι ψήφῳ κοινῇ τὰ σύμφορα
διοικεῖν, κατ' ἐμαυτὸν ὡς ὕπατος διοικήσω. καὶ τάδε εἰπὼν ἐξέδραμε τῆς
βουλῆς ἐς τὰ προάστεια μετὰ τοῦ συνάρχου. ξίφος τε ὀρέγων τῷ Πομπηίῳ,
κελεύω σε ἔφη, κἀγὼ καὶ ὅδε χωρεῖν ἐπὶ Καίσαρα ὑπὲρ τῆς πατρίδος. καὶ στρατιὰν ἐς
τοῦτο δίδομεν, ἥν τε νῦν ἀμφὶ Καπύην, ἢ τὴν ἄλλην ἐν Ἰταλίᾳ ἐστί, καὶ ὅσην αὐτὸς
ἐθέλοις ἄλλην καταλέγειν. ὁ δὲ ὑπήκουσε μὲν ὡς κελευόμενος πρὸς ὑπάτων.
ἐπεῖπε δ' ὅμως· εἰ μή τι κρεῖττον· ἀπατῶν ἢ τεχνάζων ἐς τὸ εὐπρεπές.

Κουρίωνι δ' οὐκ ἦν μὲν ὑπὲρ τὴν πόλιν ἐξουσία τις· οὐδὲ γὰρ προϊέναι τοῦ τεί-
χους τοῖς δημάρχοις ἐφίεται· ὀλοφυρόμενος δὲ τῷ δήμῳ τὰ γιγνόμενα, καὶ τοὺς ὑπάτους
ἐκέλευε κηρύσσειν μηδένα τῷ καταλέγοντι πείθεσθαι Πομπηίῳ· οὐδὲν δὲ ἀνύων,
ἐπεὶ οἱ ὁ τῆς δημαρχίας χρόνος ἔληγε, δείσας ὑπὲρ ἑαυτοῦ καὶ ἀπογνοὺς ἔτι δύνασθαι
βοηθεῖν τῷ Καίσαρι, κατὰ σπουδὴν ἀνεχώρει πρὸς αὐτόν. ὁ δ' ἄρτι τὸν ὠκεανὸν
ἐκ Βρεττανῶν διεπεπλεύκει. καὶ ἀπὸ Κελτῶν τῶν ἀμφὶ τὸν Ῥῆνον ὁρμηθεὶς τὰ
Ἄλπεια διῆλθον σὺν πεντακισχιλίοις πεζοῖς καὶ ἱππεῦσι τριακοσίοις, καὶ κατέ-
βαινεν ἐπὶ Ῥάβενναν, ἣ συνάπτεται τῇ Ἰταλίᾳ καὶ τῆς Καίσαρος ἀρχῆς
τελευταία. φιλοφρονησάμενος δὲ τὸν Κουρίωνα καὶ χάριν ὑπὲρ τῶν γεγονότων
ὁμολογήσας, ἐσκόπει περὶ τῶν παρόντων. Κουρίωνι μὲν δὴ συγκαλεῖν ἐδόκει
τὸν στρατὸν ἅπαντα ἤδη καὶ ἄγειν ἐπὶ Ῥώμης· Καίσαρι δὲ ἔτι πειρᾶσθαι διαλύ-
σεων· τοῖς οὖν φίλοις ἐκέλευσεν ὑπὲρ αὐτοῦ συμβῆναι· τὰ μὲν ἄλλα αὐτὸν ἔθνη
καὶ στρατόπεδα ἀποθήσεσθαι, μόνα δὲ ἕξειν δύο τέλη καὶ τὴν Ἰλλυρίδα μετὰ τῆς ἐντὸς
Ἄλπεων Γαλατίας, ἕως ὕπατος ἀποδειχθείη. καὶ Πομπήιος μὲν ἀρκεῖν ἐδόκει· κατα-
κωλυόντων δὲ τῶν ὑπάτων, ὁ Καῖσαρ ἐπέστελλε τῇ βουλῇ. καὶ τὴν ἐπιστολὴν ὁ
Κουρίων τρισὶν ἡμέραις τριακοσίους ἐπὶ τοῖς χιλίοις σταδίους δραμών, ἀπέ-
δωκε τοῖς νέοις ὑπάτοις. ἐσιοῦσιν ἐς τὸ βουλευτήριον τῇ νουμηνίᾳ τοῦ
ἔτους. περιεῖχε δὲ ἡ γραφή, κατάλογόν τε σεμνὸν ὧν ἐξ ἀρχῆς ὁ Καῖσαρ
ἐπεπράχει, καὶ πρόκλησιν ὅτι θέλοι Πομπηίῳ συναποθέσθαι· ἄρχοντος
δ' ἔτι ἐκείνου, οὔτε ἀποθήσεσθαι, καὶ τιμωρὸς αὐτίκα τῇ πατρίδι καὶ
ἑαυτῷ κατὰ τάχος ἀφίξεσθαι. ἐφ' ᾧ δὴ σφόδρα πάντες ἀνέκραγον ὡς ἐπὶ
πολέμου καταγγελίᾳ, διάδοχον εἶναι Λεύκιον Δομίτιον. καὶ Δομίτιος αὐτίκα ἐξῄει
μετὰ τετρακισχιλίων ἐκ καταλόγου. Ἀντωνίου δὲ καὶ Κασσίου δημαρχούντων μετὰ Κου-
ρίωνα, καὶ τὴν Κουρίωνος γνώμην ἐπαινούντων, ἡ βουλὴ φίλον ἡγεῖτο ἔτι τὴν Πομπη-
ίου στρατιὰν φύλακα σφῶν εἶναι· τὴν δὲ Καίσαρος πολεμίαν. καὶ οἱ ὕπατοι
Μάρκελλός τε καὶ Λέντλος ἐκέλευον τοὺς ἀμφὶ τὸν Ἀντώνιον ἐκστῆναι τοῦ συνεδρίου· μή τι
καὶ δημαρχοῦντες ὅμως πάθοιεν ἀτοπώτερον. ἔνθα δὴ μέγα βοήσας ὁ Ἀντώνιος,
ἀνά τε ἔδραμε τῆς ἕδρας σὺν ὀργῇ, καὶ περὶ τῆς ἀρχῆς ἐπεθείαζεν αὐτοῖς, ὡς ἱερὰ
καὶ ἄσυλος οὖσα ὑβρίζοιτο· καὶ περὶ σφῶν, ὅτι γνώμην εἰσφέροντες ἣν δοκοῦσι
συνοίσειν, ἐξελαύνοιντο σὺν ὕβρει, μήτε τινὰ σφάξαντες, μήτε μύσος ἐργασάμενοι.
ταῦτα δ' εἰπών, ἐξέτρεχεν ὥσπερ ἔνθους, πολέμους καὶ σφαγὰς καὶ προγραφὰς
καὶ φυγὰς καὶ δημεύσεις. καὶ ἄλλα αὐτοῖς ἐπιμηνύσεσθαι, προθεσπίζων· ἀράς τε

βραχὺ τοῖς τοῦ Ἀππίοις ἐπηρμένων· συνεξέθεον δ' αὐτῷ, Κουρίων τε καὶ Κάσσιος·
καὶ ἄρτι τις ὢν δήμαρχος ἑωρᾶτο κατὰ Πομπήιον περιϊστάμενος τὸ βουλευτήριον.
οἱ δὲ μετὰ δὴ ταχὺ πολλῷ πρὸς Καίσαρα νυκτὸς αὐτίκα λαθόντες, ἐχώρουν
ἐπὶ ὀχήματος μεμισθωμένου, θεραπόντων ἐσθῆτας ἐνδεδυκότες· καὶ αὐτοῖς ἔτι ὧδε
ἔχοντας, ὁ Καῖσαρ ἐπεδείκνυ τῷ στρατῷ, καὶ ἠρέθιζε λέγων ὅτι καὶ σφᾶς τοσάδε
εἰργασμένους, ἡγοῦνται πολεμίους· καὶ τοιούσδε ἄνδρας ὑπὲρ αὐτῶν τι φθεγξα-
μένους, οὕτως ἐξελαύνουσιν αἰσχρῶς. ὁ μὲν δὴ πόλεμος ἑκατέρωθεν ἀνέῳκτο· καὶ
κεκήρυκτο ἤδη σαφῶς· ἡ δὲ βουλὴ νομίζουσα Καίσαρι τὸν στρατὸν ἀπὸ Κελτῶν
σὺν χρόνῳ παρέσεσθαι· καὶ οὔποτε αὐτὸν ὁρμήσειν ἐπὶ τηλικοῦτον ἔργον σὺν
ὀλίγοις, προσέταξε Πομπηίῳ τρεῖς καὶ δέκα μυριάδας ἐξ Ἰταλῶν ἀγείρειν. καὶ
μάλιστα αὐτῶν τοὺς ἐστρατευμένους ὡς ἐμπειροπολέμους· ξενολογεῖν δὲ καὶ ἐκ τῶν
περιοίκων ἐθνῶν, ὅσα μάχιμα· χρήματα δὲ ἐς τὸν πόλεμον αὐτῷ τά τε κοινὰ πάντα
αὐτίκα ἐψηφίζοντο, καὶ τὰ ἰδιωτικὰ σφῶν ἐπὶ τοῖς κοινοῖς, εἰ δεήσειεν εἶναι
στρατιωτικά· ἔς τε τὰς πόλεις ἕτερα περιέπεμπον σὺν ὀργῇ καὶ φιλο-
νεικίᾳ, σπουδῆς οὐδὲν ἀπολείποντες ὀξυτάτης. ὁ δὲ Καῖσαρ ἐπὶ μὲν τὸν ἑαυτοῦ
στρατὸν περιέπεμπε· χαίρων δὲ ταχυεργίᾳ τε καὶ ἐκπλήξει καὶ φόβῳ τόλμης
μᾶλλον ἢ παρασκευῆς δυνάμει, μετὰ τῶν πεντακισχιλίων ἔγνω προεπιχειρεῖν
τοσῷδε πολέμῳ· καὶ φθάσαι τὰ ἐν καιρῷ τῆς Ἰταλίας. τοὺς μὲν λοχαγοὺς αὐτῶν
σὺν ὀλίγοις τοῖς μάλιστα εὐτολμοτάτοις, εἰρηνικῶς ἐσταλμένους, προύπεμπεν
ἐσελθεῖν ἐς Ἀρίμηνον καὶ τὴν πόλιν ἄφνω καταλαβεῖν. ἡ δ' ἐστὶν Ἰταλίας πρώτη
μετὰ τὴν Γαλατίαν. αὐτὸς δὲ περὶ ἑσπέραν ὡς δὴ τὸ σῶμα ἐνοχλούμενος, ὑπε-
χώρησε τοῦ συμποσίου· τοὺς φίλους ἀπολιπὼν ἔτι ἑστιᾶσθαι. καὶ ζεύγους ἐπιβάς,
ἤλαυνεν ἐς τὸ Ἀρίμηνον· ἑπομένων οἱ τῶν ἱππέων ἐκ διαστήματος. δρόμῳ
δ' ἐλθὼν ἐπὶ τὸν Ῥουβίκωνα ποταμὸν ὃς ὁρίζει τὴν Ἰταλίαν, ἔστη τοῦ δρόμου·
καὶ ἐς τὸ ῥεῦμα ἀφορῶν, περιεφέρετο τῇ γνώμῃ, λογιζόμενος ἕκαστα τῶν ἐσομένων
κακῶν, εἰ τόνδε τὸν ποταμὸν σὺν ὅπλοις περάσειε. καὶ πρὸς τοὺς παρόντας εἶπεν
ἀνενεγκών· ἡ μὲν ἐπίσχεσις ὦ φίλοι τῆσδε τῆς διαβάσεως, ἐμοὶ κακῶν
ἄρξει· ἡ δὲ διάβασις πᾶσιν ἀνθρώποις. καὶ εἰπὼν οἷά τις ἔνθους ἐπέρα σὺν ὁρμῇ·
τὸ κοινὸν τόδε ἐπειπών· ὁ κύβος ἀνερρίφθω. δρόμῳ δ' ἐντεῦθεν ἐπιών, Ἀρί-
μηνόν τε αἱρεῖ περὶ ἕω, καὶ ἐς τὸ πρόσω προῄει· φρουρὰς τοῖς ἐπικαίροις ἐφιστάς·
καὶ τὰ ἐν ποσὶν ἢ βίᾳ χειρούμενος, ἢ φιλανθρωπίᾳ. φυγαί τε καὶ μεταναστά-
σεις ἦσαν ἐκ πάντων τῶν χωρίων σὺν ἐκπλήξει· καὶ δρόμοις ἀσυντάκτοις

μετ' οἰμωγῆς· τό τε ἀκριβὲς οὐκ εἰδότες, καὶ τὸν Καίσαρα νομίζοντες μετὰ ἀπείρου
στρατοῦ κατὰ κράτος ἐλαύνειν. ὧν οἱ ὕπατοι συνθανόμενοι, τὸν Πομπήιον οὐκ
εἴων ἐπὶ τῆς ἑαυτοῦ γνώμης ἐμπειροπολέμως [illegible]· ἀλλ' ἐξώτρυνον ἐκ-
πηδᾶν ἐς τὴν Ἰταλίαν στρατολογεῖν, ὡς τῆς πόλεως καταληφθησομένης αὐτίκα. ἥ τε
ἄλλη βουλὴ παρὰ δόξαν αὐτοῖς ὀξείας τῆς εἰσβολῆς τοῦ Καίσαρος γενομένης,
ἐδεδοίκεσαν ἔτι ὄντες ἀπαράσκευοι· καὶ σφᾶς κατάπληξις μετενόει, οὐ δεξάμενοι
τὰς Καίσαρος προκλήσεις· τὸ γενόμενόν τε εἶναι δίκαιον, ὅτε σφᾶς ὁ φόβος ἐκ τοῦ
ἀβουλίου ἀπὸ τοῦ φιλονείκου μετέφερε. τέρατά τε αὐτοῖς ἐπὶ τέρατα πολλὰ ἐσήμαινε
ὅσια· αἷμά τε γὰρ ἔδοξεν ὁ θεὸς ὗσαι, καὶ ξόανα ἱδρῶσαι, καὶ κεραυνοὶ πεσεῖν ἐπὶ
νεὼς πολλούς· καὶ ἡμίονος τεκεῖν. ἄλλα τε πολλὰ δυσχερῆ προεσήμαινε τὴν ἐς ἀεὶ τοῦ
πολιτεύματος ἀναίρεσίν τε καὶ μεταβολήν· εὐχαί τε ὡς ἐπὶ φοβεροῖς περιηγγέλλοντο·
καὶ ὁ δῆμος ἀναμιμνησκόμενος τῶν Μαρίου καὶ Σύλλα κακῶν γιγνόμενος, ἐκεκράγει Καίσαρα
καὶ Πομπήιον ἀποθέσθαι τὰς δυναστείας· ὡς ἐν τῷδε μόνῳ τοῦ πολέμου λυθησο-
μένου. Κικέρων δὲ καὶ ἔπεμπεν ἐς Καίσαρα διαλλακτάς· ἀντικρὺ στρατηγοῦντος δὲ
ἀπαντήσαντος τῶν ὑπάτων, Φαώνιος μὲν Πομπήιον ἐπισκώπτων τοῦ ποτε λεχθέντος
ὑπ' αὐτοῦ, παρεκάλει τὴν γῆν πατάξαι τῷ ποδί, καὶ τὰ στρατόπεδα δεῦρ' αὐτῆς ἀνα-
γαγεῖν. ὁ δέ, ἕξετε εἶπε, ἂν ἐπακολουθῆτέ μοι, καὶ μὴ δεινὸν ἡγῆσθε τὴν Ῥώμην
καὶ πόλιν ἀπολιπεῖν· καὶ τὴν Ἰταλίαν ἐπὶ τῇ Ῥώμῃ δεήσειεν. οὐ γὰρ τὰ χωρία καὶ τὰ οἰκή-
ματα τὴν δύναμιν ἢ τὴν ἐλευθερίαν εἶναι τοῖς ἀνδράσιν, ἀλλὰ τοὺς ἄνδρας ὅπη ποτ' ἂν
ὦσιν, ἔχειν ταῦτα σὺν ἑαυτοῖς· ἀμυνομένοις δ' ἀναλήψεσθαι καὶ τὰ οἰκήματα·
ὁ μὲν δὴ τοσάδε εἰπὼν καὶ ἀπειλήσας τοῖς ἐπιμένουσιν, ἀφ' ὧν διὰ χωρίων καὶ κατα-
σκευῆς ἀπολείψοιντο τῶν ὑπὲρ τῆς πατρίδος ἀγώνων, ἐξῄει τῆς τε βουλῆς καὶ τῆς
πόλεως αὐτίκα, ἐς τὴν ἐν Καπύῃ στρατιάν· καὶ οἱ ὕπατοι συνείποντο αὐτῷ·
οἱ δὲ λοιποί τε ἐς πολὺ κατεῖχε· καὶ διενυκτέρευον ἐν τῷ βουλευτηρίῳ
μετ' ἀλλήλων. ἅμα δ' ἡμέρᾳ τὸ πλεῖον ὅμως ἐξῄει, καὶ ἐδίωκε τὸν Πομπήιον. ὁ δὲ
Καῖσαρ ἐν Κορφινίῳ Λεύκιον Δομίτιον ἐπιπεμφθέντα οἱ τῆς ἀρχῆς εἶναι
διάδοχον καταλαβών, οὐ πάνυ ἀμφ' αὐτὸν ἔχοντα τετρακισχιλίους ἐπο-
λιόρκει· καὶ οἱ Κορφίνιοι οἰκοῦντες φεύγοντα τὸν Δομίτιον ἀμφὶ τὰς πύλας
καταλαβόντες, τῷ Καίσαρι προσῆγον. ὁ δέ, τὴν μὲν στρατιὰν αὐτοῦ προσ-
εδέξατο προθύμως ἐς ἐρέθισμα τῶν ἄλλων· Δομίτιον
δὲ ἀπαθῆ μετὰ τῶν ἑαυτοῦ χρημάτων, μεθῆκεν ὅποι βούλοιτο ἀπι-
έναι· ἐλπίσας μὲν ἴσως διὰ τὴν ... παραμένειν· οὐ κωλύσας δὲ

πομπηίου ἰόντα. γιγνομένων δὲ τούτων ὧδε ἔξω, ὁ πομπήιος ἐς νουκερίαν
ἐκ καπύης. καὶ ἐκ νουκερίας ἐς βρεντέσιον ᾔει, ὡς τὸν ἰόνιον διαβαλῶν ἐς ἤ-
πειρον. καὶ τοῦ πολέμου τὴν παρασκευὴν συστησόμενος ἐν αὐτῇ, ἔθνεσί τε πᾶσι καὶ
στρατηγοῖς καὶ δυνάσταις καὶ βασιλεῦσι καὶ πόλεσιν, ἔγραφε κατὰ σπουδὴν ὅσα δύναιτο
ἕκαστος ἐς τὸν πόλεμον συμφέρειν. καὶ τάδε μὲν ἀθρόως ἐγίγνετο. ὁ δὲ ἴδιος αὐτοῦ
πομπηίου στρατὸς ἦν ἐν ἰβηρίᾳ. καὶ παρεσκεύαστο ὡς ὁρμήσων ὅποι ποτ' ἂν
αἱ χρεῖαι καλῶσιν. αὐτὸς δὲ ὁ πομπήιος τῶν ἀμφ' αὐτὸν ἤδη τελῶν, τὰ μὲν, ἔ-
δωκε τοῖς ὑπάτοις περαιοῦν ἐς ἤπειρον, ἐκ βρεντεσίου. καὶ διέπλευσαν. οἱ δὲ
αὐτίκα ἀσφαλῶς ἐς δυρράχιον. ἣν ἐπίδαμνόν τινες νομίζουσι, διὰ
τοιάνδε ἄγνοιαν. βασιλεὺς τῶν τῇδε βαρβάρων ἐπίδαμνος, πόλιν ᾤκισεν
ἐπὶ θαλάσσης. καὶ ἀφ' ἑαυτοῦ προσεῖπεν ἐπίδαμνον. τούτου θυγατριδοῦς δύρραχος,
νομιζόμενος εἶναι ποσειδῶνος, ἐπίνειον ᾤκισε τῇ πόλει καὶ δυρράχιον ὠνόμασε.
πολεμουμένῳ δ' ὑπὸ τῶν ἀδελφῶν τῶν δὲ τῷ δυρράχῳ, συνεμάχησεν ὁ ἡρακλῆς
ἐπὶ μέρει τῆς γῆς, ἐξ ἐρυθείας ἐπανιών. ὅθεν οἱ δυρράχιοι τὸν ἡρακλέα ὡς μέρει τ-
τῆς γῆς οἰκιστὴν σφῶν τίθενται. οὐκ ἀρνούμενοι μὲν οὐδὲ τὸν δύρραχον, φιλο-
τιμούμενοι δ' ὑπὲρ σφῶν ἐς τὸν ἡρακλέα μᾶλλον ὡς ἐς θεόν. φασὶ δὲ ἐν τῇ μάχῃ
τῆς δὲ δυρράχου παῖδα ἰόνιον ὑφ' ἡρακλέους ἐξ ἀγνοίας ἀποθανεῖν. καὶ τὸν ἡρακλέα
τὸ σῶμα θάψαντα, ἐμβαλεῖν ἐς τὸ πέλαγος, ἵνα ἐπώνυμον αὐτοῦ γένοιτο. χρόνῳ
δὲ τῆς τε χώρας καὶ πόλεως κατασχεῖν φρύγας ἐκ φρυγῶν ἐπανελθόντας. καὶ ταυλαντίους
ἐπ' ἐκείνοις, ἰλλυρικὸν ἔθνος. ἐπὶ δὲ τοῖς ταυλαντίοις, ἕτερον γένος ἰλλυριῶν,
λιβυρνούς. οἳ τὰ περίοικα ναυσὶ ταχείαις ἐληίζοντο. καὶ λιβυρνίδας ἐντεῦθεν ἔτι ῥω-
μαῖοι τὰς ναῦς τὰς ταχείας, ὧν ἄρα πρῶτον ἐς πεῖραν ἦλθον. οἱ δ' ἐκ τῶν λιβυρνῶν
ἐξελαθέντες ἀπὸ τοῦ δυρραχίου, κερκυραίους ἐπαγόμενοι θαλασσοκρατοῦντας,
ἐξέβαλον τοὺς λιβυρνούς. καὶ αὐτοῖς οἱ κερκυραῖοι σφετέροις ἐγκατέμιξαν οἰκή-
τορας. ὅθεν ἑλληνικὸν εἶναι δοκεῖ τὸ ἐπίνειον. τὸ δὲ ἐπίκλησιν ὡς οὐκ αἴσιον
ἐναλλάξαντες οἱ κερκυραῖοι. καὶ τὴν δὲ ἀπὸ τῆς ἄνω πόλεως ἐπίδαμνον ἐκάλουν.
καὶ θουκυδίδης οὕτως ὀνομάζει. ἐκνικᾷ δ' ὅμως τὸ ὄνομα καὶ δυρράχιον
καλεῖσθαι. οἱ μὲν δὴ μετὰ τῶν ὑπάτων διεπεπλεύκεσαν ἐς τὸ δυρράχιον.
ὁ δὲ πομπήιος τὸν ὑπόλοιπον στρατὸν ἐς τὸ βρεντέσιον ἀγαγών, τάς τε ναῦς ἀνε-
μένεν ἐπανελθεῖν αἳ τοῖς ὑπάτοις διέφερον. καὶ τὸν καίσαρα ἐπελθόντα, ἀπὸ
τῶν τειχῶν ἠμύνετο. τήν τε πόλιν διετάφρευε, μέχρι καταπλεύσαντος αὐτῷ
τοῦ στόλου, περὶ δείλην ἑσπέραν ἀπέπλευσε, τοὺς τολμηροτάτους ἐπὶ τῶν τειχῶν

ὑπολιπών. οἱ δὲ αὐτοὶ νυκτὸς ἀρχομένης, ἐξέπλευσαν οὐρίῳ πνεύματι. καὶ
πομπήιος μὲν ὧδε μετὰ τοῦ στρατοῦ παντός, ἐς ἤπειρον ἐκλιπὼν τὴν ἰταλίαν
διέπλει. ὁ δὲ καῖσαρ ἠπορημένος ὅπῃ τράπηται, ὅθεν ἄρξαιτο τοῦ πολέμου, τὴν ὁρμὴν
πανταχόθεν ὁρμώντων ἐς τὸν πομπήιον ὁρῶν. δείσας δὲ τοῦ πομπηίου τὸν ἐν ἰβηρίᾳ
στρατόν, πολύν τε ὄντα καὶ χρόνῳ γεγυμνασμένον, μὴ οἱ διώκοντι τὸν πομπήιον,
κατόπιν ἐπιγένοιτο. τὸν μὲν οὖν αὐτὸς ἔγνω προκαθελεῖν ἐς ἰβηρίαν ἐλάσας.
τὰ δὲ δυνάμει ἐς πέντε ἐπιδιήρει. καὶ τοὺς μὲν, ἐν τῷ βρεντεσίῳ. τοὺς δὲ ἐν ὑδροῦντι
κατέλιπε. τοὺς δὲ ἐν τάραντι, φύλακας εἶναι τῆς ἰταλίας. ἑτέρους δὲ ἔπεμπεν ἅμα
κοΐντῳ οὐαλερίῳ σαρδὼ τὴν νῆσον καταλαβεῖν σιτοφοροῦσαν. καὶ κατέλαβον. ἀσίνιος
πολλίων ἐς σικελίαν πεμφθείς, ἧς ἡγεῖτο κάτων. πυνθανομένῳ τῷ κάτωνι, πότερα
τῆς βουλῆς ἢ τοῦ δήμου δόγμα φέρων ἐς ἀλλοτρίαν ἐμβάλλοι, ὧδε ἀπεκρίνατο. ὁ
τῆς ἰταλίας κρατῶν, ἐπὶ ταῦτά με ἔπεμψε. καὶ κάτων μὲν τοσόνδε ἀποκρινάμενος
ὅτι φειδοῖ τῶν ὑπηκόων οὐκ ἐνταῦθα αὐτὸν ἀμυνεῖται, διέπλευσεν ἐς κέρκυραν καὶ ἐς
πομπήιον. ὁ δὲ καῖσαρ ἐς ῥώμην ἐπειχθείς, τόν τε δῆμον ἐν μνήμῃ τῶν ἐπὶ
σύλλα καὶ μαρίου κακῶν πεφρικότα, ἐπ' ἐλπίσι καὶ ὑποσχέσεσι πολλαῖς ἀνελάμβανε. καὶ τοῖς
ἐχθροῖς ἐνσημαινόμενος φιλανθρωπίαν, εἶπεν ὅτι καὶ λεύκιον δομέτιον ἑλών, ἀπαθῆ
μεθείη μετὰ τῶν χρημάτων. τὰ δὲ κλεῖθρα τῶν δημοσίων ταμιείων ἐξέκοπτε. καὶ
τῶν δημάρχων ἑνὶ μετέλλῳ κωλύοντι, θάνατον ἠπείλει. τῶν τε ἀψαύστων ἐκίνει
χρημάτων, ἅ φασιν ἐπὶ κελτοῖς πάλαι σὺν ἀρᾷ δημοσίᾳ τεθῆναι. μὴ σαλεύειν ἐς
μηδὲν εἰ μὴ κελτικὸς πόλεμος ἐπίοι. ὁ δέ, ἔφη κελτοὺς αὐτὸς ἐς τὸ ἀσφαλέστατον
ἑλών, λελυκέναι τῇ πόλει τὴν ἀράν. λέπιδον δὲ αἰμίλιον ἐφίστη τῇ πόλει. καὶ τὸν
δήμαρχον μάρκον ἀντώνιον τῇ ἰταλίᾳ καὶ τῷ περὶ αὐτὴν στρατῷ. ἐς τε τὰ ἔξω. κουρί-
ωνα μὲν ἀντὶ κάτωνος ᾕρητο στρατηγεῖν σικελίας. κόιντον δέ, σαρδοῦς. καὶ ἐς τὴν ἰλλυρίδα
γάιον ἀντώνιον ἔπεμπε. καὶ τὴν ἐντὸς ἄλπεων γαλατίαν ἐπέτρεπε λικινίῳ κράσσῳ.
ἐκέλευσε δὲ καὶ ναυτικὰ δύο γίγνεσθαι κατὰ σπουδήν. ἀμφί τε τὸν ἰόνιον καὶ περὶ
τυρρηνίαν. καὶ ναυάρχους αὐτοῖς ἔτι γιγνομένοις ἐπέστησεν ὁρτήσιόν τε καὶ δολο-
βέλλαν. οὕτω κρατύνας ὁ καῖσαρ, ἄβατον πομπηίῳ γενέσθαι τὴν ἰταλίαν, ἐς
ἰβηρίαν ᾔει. ἔνθα πετρηίῳ καὶ ἀφρανίῳ τοῖς πομπηίου στρατηγοῖς συμβαλών, ἡσσᾶτο
αὐτῶν ἐφ' ἑκάτερα τὰ πρῶτα. τὰ δέ, ἀγχωμάλοις ἀλλήλοις ἐπολέμουν ἀμφὶ τὴν
πόλιν ἰλέρδην. καὶ ἐστρατοπέδευεν ὁ καῖσαρ ἐπὶ κρημνῶν, ἐπὶ τὸ λοιπὸν διὰ γεφύρας
τοῦ σικόριος ποταμοῦ. χειμάρρου δ' ἀφανῶς τὴν γέφυραν καθελόντος, ἀνδρῶν
πλῆθος ἀπολειφθὲν ἐν τῇ περαίᾳ διέφθειραν οἱ περὶ τὸν πετρήιον. καὶ ὁ καῖσαρ

αὐτὸς ἐνώχλει μηδετέρου ἄλλου στρατοῦ πάνυ καρτερῶς, ὑπό τε δυσχωρίας καὶ λιμοῦ καὶ χειμῶνος ἢ διὰ πολεμίων, οὐδέν τε ἄλλο ἢ πολιορκίαν ἔργον ἦν. μέχρι θέρους ἐπελθόντος, ὁ μὲν Ἀφράνιος καὶ Πετρήιος ἐς τὴν ἐντὸς Ἰβηρίαν ἐχώρουν, ἕτερον στρατὸν ἀθροίσοντες. Καὶ ὁ Καῖσαρ αἰεὶ προλαμβάνων, διετάφρευε τὰς ὁδοὺς καὶ ἐκώλυεν ἐς τὸ πρόσω ἰέναι. Καί τι καὶ μέρος αὐτῶν προπεμπόμενον ἐς στρατοπέδου κατάληψιν ἐκυκλώσατο. οἱ δέ, ἐπέθεσαν ταῖς κεφαλαῖς τὰς ἀσπίδας, ὅπερ ἐστὶ σύμβολον ἑαυτοὺς παραδιδόντων. Καὶ ὁ Καῖσαρ οὔτε συνέλαβεν, οὔτε κατηκόντισεν. ἀλλὰ μεθῆκεν ἀπαθεῖς ἐς τοὺς περὶ τὸν Ἀφράνιον ἀπιέναι. δημοκοπῶν ἐς τὴν πανταχοῦ πολεμίους. ὅθεν ἐν ταῖς στρατοπεδείαις, ἐπιμίξεις τε ἐς ἀλλήλους ἐγίγνοντο συνεχεῖς. καὶ λόγοι περὶ ξυμβάσεων κατὰ τὸ πλῆθος. ἤδη δὲ καὶ τῶν ἡγεμόνων Ἀφρανίῳ μὲν καὶ ἑτέροις ἐδόκει τῆς Ἰβηρίας ἐκστῆναι Καίσαρι. καὶ ἀπαθεῖς ἐς Πομπήιον ἀπιέναι. Πετρήιος δὲ ἀντέλεγε. καὶ περιθέων ἀνὰ τὸ στρατόπεδον, ἔκτεινεν ὅσους εὑρίσκοι κατὰ τὴν ἐπιμιξίαν τῶν Καίσαρος· τῶν τε ἰδίων καὶ ἡγεμόνων ἀνισταμένων τινὰ αὐτοχειρὶ διεχειρίσατο. ἐξ ὧν ἔτι μᾶλλον ἀχθόμενοι τὴν σκυθρωπὸν τοῦ Πετρηίου ἐς τὸ φιλάνθρωπον τοῦ Καίσαρος ἐτρέποντο ταῖς γνώμαις. ἐπεὶ δέ που καὶ τοῦ ὕδατος αὐτοὺς προύλαβεν ὁ Καῖσαρ, ἐν ἀμηχανίᾳ γενόμενος ὁ Πετρήιος, ἐς λόγους τῷ Καίσαρι σὺν ἡγεμόνι Ἀφρανίῳ, ἐφορώντων αὐτοὺς τῶν στρατῶν ἑκατέρωθεν. καὶ συνέβησαν οἱ μέν, ἐκστῆναι τῆς Ἰβηρίας τῷ Καίσαρι. ὁ δὲ Καῖσαρ αὐτοὺς ἀπαθεῖς ἐπὶ τὸν Οὔαρον ποταμὸν διαγαγεῖν. καὶ ἀπὸ τοῦδε χωρεῖν ἐς Πομπήιον ἐᾶν. Γενόμενος δὲ ὁ Καῖσαρ ἐπὶ τοῦ δὲ τοῦ ποταμοῦ, συναγαγὼν αὐτῶν ἐς ἐπήκοον, ὅσοι ἦσαν ἐκ Ῥώμης καὶ Ἰταλίας ἐδημηγόρησεν ὧδε. ὑμῶν ὦ πολέμιοι, τῷ δὲ γὰρ ἔτι τῷ ῥήματι χρώμενος ἐναργεστέραν ὑμῖν τὴν ἐμαυτοῦ γνώμην ποιήσω. οὔτε τοὺς προπεμφθέντας ἐς τὴν κατάληψιν τοῦ στρατοπέδου, οἳ σφᾶς ἐμοὶ παρέδοσαν διέφθειρα, οὔτε τὸν ἄλλον ὑμῶν στρατὸν λαβὼν τὸ ὕδωρ δράματα Πετρηίου ἐκ τῶν ἐμῶν τὴν ὑπὸ τὸν Σικόριν ποταμὸν ἀποληφθέντων προανῃρηκότος. εἰ δέ τις ἐστί μοι παρ' ὑμῶν ὑπὲρ τούτου χάρις, φράζετε αὐτὰ τοῖς Πομπηίου στρατιώταις ἅπασι. τοσαῦτα εἰπών, τὴν μὲν ἀπήγαγεν ἀπαθεῖς. αὐτὸς δὲ τῆς Ἰβηρίας ἀπέφαινεν ἡγεμόνα, Κάσσιον Κόιντον. καὶ τάδε μὲν ἦν ἀμφὶ τὸν Καίσαρα. Λιβύης δὲ Οὔαρος Ἄττιος ἐστρατήγει Πομπηίῳ. Καὶ Ἰόβας ὁ τῶν Μαυρουσίων νομάδων βασιλεύς, τῷ Οὐάρῳ συνεμάχει. Κουρίων δ' ὑπὲρ Καίσαρος αὐτοῖς ἐκ Σικελίας ἐπέπλει δύο τέλεσι στρατοῦ. καὶ ναυσὶ

δυοκαίδεκα μακραῖς καὶ ὁλκάσι πολλαῖς. Ἰτύκῃ δὲ προσσχών, ἐν μέν τινι βραχεῖ περὶ αὐτὴν ἱππομαχίᾳ, τρεψάμενός τινας τῶν νομάδων ἱππέων, καὶ ὑπὸ τῆς στρατιᾶς αὐτοῖς ὅπλοις ἔτι οὖσιν αὐτοκράτωρ ὑπέστη προσαγορευθῆναι. ἔστι δὲ τιμὴ τοῖς στρατηγοῖς τόδε τὸ προσαγόρευμα παρὰ τῶν στρατῶν, καθάπερ αὐτοῖς ἐπιμαρτυρούντων ἀξίως σφῶν αὐτοκράτορας εἶναι. καὶ τήνδε τὴν τιμὴν οἱ στρατηγοὶ πάλαι μὲν ἐπὶ πᾶσι τοῖς μεγίστοις ἔργοις προσίεντο. νῦν δὲ ὅρον εἶναι τῇδε τῇ εὐφημίᾳ πυνθάνομαι τὸ μυρίους πεσεῖν. ἔτι δὲ τοῦ Κουρίωνος ἐπιπλέοντος ἐκ Σικελίας, οἱ ἐν τῇ Λιβύῃ νομίσαντες αὐτὸν διὰ δόξαν, ἀμφὶ τὸν χάρακα τὸν Σκηπίωνος κατὰ δόξαν τῆς ἐκείνου μεγαλουργίας στρατοπεδεύσειν, τὸ ὕδωρ ἐφάρμαξαν. καὶ ἦν ἐπίδοξος οὐ διήμαρτεν. ὅ, τε γὰρ Κουρίων ἐστάθμευσεν ἐνταῦθα, καὶ ὁ στρατὸς αὐτίκα ἐνόσει. ἐπί τε τὸ βλέμμα ἀμαυρὸν εἶναι ἐπῄει ὁμίχλη. καὶ ὕπνος ἐπεγίγνετο κάρῳ. μετὰ δὲ αὐτὸν ἀμετροφῆς ποικίλοι. καὶ σπασμὸς ὅλου τοῦ σώματος. ὧν δὴ χάριν ὁ Κουρίων παρ' αὐτὴν Ἰτύκην μετεστρατοπέδευε. διὰ ἑλῶν ἰσχυροῦ τε καὶ μακροῦ, τὸν στρατὸν ἀσθενῆ διὰ τὴν ἀρρωστίαν γεγονότα ἄγων. ὡς δὲ σφίσιν ἡ νίκη Καίσαρος ἡ περὶ τὴν Ἰβηρίαν ἀπηγγέλθη, ἀνεθάρρησάν τε, καὶ παρετάξαντο παρὰ τὴν θάλασσαν ἐν βραχεῖ χωρίῳ. μάχης δὲ καρτερᾶς γενομένης, Κουρίωνος μὲν εἷς ἀνὴρ ἔπεσεν. Οὐάρου δὲ ἑξακόσιοι. καὶ κατετρώθησαν ἔτι πλείους. Ἰόβα δὲ ἐπιόντος, δόξα ψευδὴς προέπεσεν ἀμφὶ τὸν Βαγράδαν ποταμόν. οὐ πολὺ ἀφεστῶτα, ὑποστραφῆναι τὸν Ἰόβαν. παρθουμένης αὐτῷ τῆς ἀρχῆς ὑπὸ τῶν γειτόνων, Σαβούρραν στρατηγὸν σὺν ὀλίγοις ἐπὶ τοῦ ποταμοῦ καταλιπόντα. καὶ τῷδε τῷ λόγῳ πιστεύσας ὁ Κουρίων θέρους θερμοῦ περὶ τρίτην ὥραν ἡμέρας, ἦγε τὸ κράτιστον τῆς στρατιᾶς ἐπὶ τὸν Σαβούρραν. ὁδὸν ψαμμώδη καὶ ἄνυδρον. ἡ γάρ τι καὶ νᾶμα χειμέριον ἦν, ἐξηράντο ὑπὸ τῆς φλογὸς τοῦ ἡλίου. Καὶ ὁ ποταμὸς ὑπό τε Σαβούρρα καὶ ὑπὸ αὐτοῦ παρόντος κατείχετο τοῦ βασιλέως. σφαλεὶς οὖν τῆς ἐλπίδος ὁ Κουρίων, ἐς λόφους ἀνέδραμεν ὑπό τε καύματος καὶ πόνου καὶ δίψης ἐνοχλούμενος. ὡς δὲ αὐτὸν κατεῖδον οὕτως ἔχοντα οἱ πολέμιοι, τὸν μὲν ποταμὸν ἐπέρων ἐς μάχην ἐσκευασμένοι. Καὶ ὁ Κουρίων κατέβαινεν. ἀφρόνως μάλα καὶ ἀφρόντιστα· ἀσθενῆ καὶ τὸν στρατὸν ἄγων. συγκυκλωθέντων δὲ αὐτὸν τῶν νομάδων ἱππέων, ἐπὶ μέν τινα χρόνον ὑπεχώρει. καὶ ἐς βραχὺ συνεστέλλετο. ἐνοχλούμενος δέ, ἀνέφευγεν αὖθις ἐς τοὺς λόφους. Ἀσίννιος μὲν δὴ Πολλίων ἀρχομένου τοῦ κακοῦ, διέφυγεν ἐπὶ τὸ ἐν Ἰτύκῃ στρατόπεδον σὺν ὀλίγοις. μή τις ἐξ Οὐάρου γένοιτο ὁρμὴ πρὸς τὴν δόξαν τῆς ἐνταῦθα κακοπραγίας ἐπίθεσις. Κουρίων δὲ φιλοκινδύνως μαχόμενος, σὺν ἅπασι

τοῖς πορθμεῦσιν ἐπέθεσαν, ὡς ἐπὶ τῷ Πολλίωνι μηδένα ἄλλον ἐπαναχθῆναι Ἰτύκην.
τοιοῦτον μὲν δὴ τὸ τέλος τῆς ἀμφὶ τὸν Βαγράδαν ποταμὸν μάχης ἐγένετο· καὶ
ἡ κεφαλὴ τοῦ Κουρίωνος ἀποτμηθεῖσα ἐς Ἰόβαν ἐφέρετο. ἐν δὲ τῷ περὶ τὴν Ἰτύκην
στρατοπέδῳ τοῦ κακοῦ φανεροῦ γενομένου, Φλάμμας μὲν ὁ ναύαρχος αὐτίκα
ἔφυγεν αὐτῷ στόλῳ, πρὶν τινὰ τῶν ἐπὶ τῆς γῆς ἀναλαβεῖν· Ἀσίννιος δὲ ἐς τοὺς
ἐμπόρους ἐν ἀκατίῳ διαπλεύσας, ἐδεῖτο αὐτῶν ἐπιπλεῦσαί τε καὶ τὸν στρατὸν
ἀναλαβεῖν· καί τινες ἐς τοῦτο νυκτὸς ἐπέπλεον· ἀθρόων δὲ ἐμβαινόντων ἐκείνων,
τά τε σκάφη κατεδύετο· καὶ τῶν ἀναχθέντων οἱ ἔμποροι τοὺς πολλοὺς χρήματα φέροντας,
ἕνεκα τῶν χρημάτων ἐς τὴν θάλασσαν ἐρρίπτουν· καὶ τάδε μὲν ἦν ἀμφὶ τοῖς ἀναχθεῖσι·
τὰ δὲ ἐν τῇ γῇ νυκτὸς ἐπὶ τοῖς ὑπολειφθεῖσιν ἐγίγνετο ὅμοια· καὶ μεθ' ἡμέραν,
οἱ μὲν τῷ Οὐάρῳ σφᾶς παρέδοσαν· ὁ δὲ Ἰόβας ἐπελθών, περιέστησεν αὐτοὺς ἐπὶ τῷ
τείχει· καὶ ὡς λείαν τῆς ἑαυτοῦ νίκης κατηκόντισε, οὐδέν τι φροντίσας οὐδὲ Οὐάρου
παρακαλοῦντος. οὕτω μὲν δὴ τὰ σὺν Κουρίωνι ἐν Λιβύῃ ἐπιπλεύσαντα Ῥω-
μαίων δύο τέλη διώλετο, καὶ ὅσοι μετ' αὐτῶν ἱππεῖς τε καὶ ψιλοὶ καὶ ὑπηρέται
τοῦ στρατοῦ· Ἰόβας δὲ ἐς τὰ οἰκεῖα ἀνέστρεφε, μέγιστον ἔργον τόδε Πομπηίῳ καταλο-
γιζόμενος. καὶ τῶν αὐτῶν ἡμερῶν Ἀντώνιός τε περὶ τὴν Ἰλλυρίδα ἡττᾶτο ὑπὸ Ὀκταουΐου
Δολοβέλλα Πομπηίῳ στρατηγοῦντος· καὶ στρατιὰ Καίσαρος ἄλλη περὶ Πλακεντίαν
στασιάσασα, τῶν ἀρχόντων κατεβόησε, ὡς ἔν τε τῇ στρατείᾳ βραδυνόντων, καὶ τὰς πέντε
μνᾶς οὐ λαβόντες, ἣν τὴν δωρεὰν αὐτοῖς ὁ Καῖσαρ ἔτι περὶ Βρεντέσιον ὑπέσχετο. ὧν
ὁ Καῖσαρ πυθόμενος, ἐκ Μασσαλίας ἐς Πλακεντίαν ἠπείγετο συντόμως· καὶ ἐς ἔτι
στασιάζοντας ἐπελθών, ἔλεξεν ὧδε· τάχει μὲν ὅσῳ περὶ ἕκαστα χρῶμαι, σύνιστέ μοι·
βραδύνει δὲ ὁ πόλεμος οὐ δι' ἡμᾶς, ἀλλὰ διὰ τοὺς πολεμίους ὑποφεύγοντας ἡμᾶς.
ὑμεῖς δὲ ἐν Γαλατίᾳ πολλὰ τῆς ἐμῆς ἀρχῆς ὀνάμενοι, καὶ ἐς τόνδε τὸν πόλεμον ὅλον
οὐκ ἐς μέρος αὐτοῦ μοι συνομόσαντες, ἐν μέσοις ἔργοις ἡμᾶς ἀπολείπετε· καὶ
τοῖς ἄρχουσιν ἐπανίστασθε· οἷς προσετάττετε γὰρ ἐξ οὗ τε παρ' ὧν χρὴ προστάγματα
λαμβάνειν. μαρτυρόμενος δὲ ἐμαυτὸν τῆς ἐς ὑμᾶς μέχρι δεῦρο φιλοτιμίας,
χρήσομαι τῷ πατρίῳ νόμῳ· καὶ τοῦ ἐνάτου τέλους ἐπεὶ δὴ μάλιστα τῆς στάσεως κατῆρξε,
τὸ δέκατον διακληρώσω θανεῖν. θρήνου δὲ ἀθρόου ἐξ ἅπαντος τοῦ τέλους γενομένου,
οἱ μὲν ἄρχοντες αὐτοῦ προσπεσόντες ἱκέτευον· ὁ δὲ Καῖσαρ μόλις τε καὶ κατ' ὀλίγον
ἀνιείς, ἐς τοσοῦτον μόνως ὑφῆκεν, ὡς ἑκατὸν καὶ εἴκοσι μόνους οἳ κατάρξαι μάλιστα
ἐδόκουν διακληρῶσαι· καὶ δυοκαίδεκα αὐτῶν τοὺς λαχόντας ἀνελεῖν. τῶν δὲ δυοκαίδεκα
τῶν δέ, ἐφάνη τις οὐδ' ἐπιδημῶν ὅτε ἡ στάσις ἐγίγνετο· καὶ ὁ Καῖσαρ τὸν ἐμφή-

λαβὼν

ναντα λοχαγὸν ἐκτεῖναι ἀντ' αὐτοῦ· ἡ μὲν δὴ περὶ Πλακεντίαν στάσις οὕτως ἐλύθη·
ὁ δὲ Καῖσαρ ἐς Ῥώμην παρῆλθε· καὶ αὐτὸν ὁ δῆμος περιφρικώς, ᾑρεῖτο δικτάτωρα.
οὔτε τῆς βουλῆς ψηφιζομένης, οὔτε προχειροτονοῦντος ἄρχοντος. ὁ δέ, εἴτε πρὸς
τι ἐμφαινόμενος τὴν ἀρχὴν ὡς ἐπίφθονον εἴτε οὐ χρῄζων, ἄρξας ἕνδεκα μόνας ἡμέ-
ρας (ὧδε γάρ πῃ δοκεῖ), ὑπάτους ἐς τὸ μέλλον ἀπέφηνεν, ἑαυτόν τε καὶ Πομπήιον Ἰσαυ-
ρικόν· ἡγεμόνας τε ἐς τὰ ἔθνη περιέπεμπε καὶ ἐνήλλαττεν, ἐφ' ἑαυτοῦ καταλέγων·
ἐς μὲν Ἰβηρίαν Μάρκον Λέπιδον· ἐς δὲ Σικελίαν Αὖλον Ἀλβῖνον· ἐς δὲ Σαρδὼ Σέξτον
Πεδουκαῖον· ἐς δὲ τὴν νεόληπτον Γαλατίαν Δέκιμον Βροῦτον. τῷ δὲ δήμῳ λιμώττοντι,
σῖτον ἐπέδωκε· καὶ τοὺς φυγάδας δεομένῳ κατάγειν, συνεχώρησε χωρὶς Μίλωνος·
αἰτοῦσι δ' αὐτοῖς καὶ χρεῶν ἀποκοπὰς διά τε πολέμους καὶ στάσεις καὶ τὴν ἐκ τῶνδε τοῖς ἐπι-
πρασκομένοις εὐωνίαν, τὰς μὲν ἀποκοπὰς οὐκ ἔδωκε· τιμητὰς δὲ τῶν ὠνίων
ἀπέφηνεν, οἷς ἔδει τὰ κτήματα τοῖς δανείσασιν ἀντὶ τῶν χρημάτων διδόναι. καὶ τάδε πράξας,
περὶ χειμερίους τροπάς, περιέπεμπε τὸν στρατὸν ἅπαντα ἐς Βρεντέσιον καὶ
αὐτός τε ἐξῄει Δεκεμβρίου μηνὸς Ῥωμαίοις ὄντος· οὐκ ἀναμείνας οὐδὲ τῆς ἀρχῆς
ἐν καταλύοντι μηνὶ ἀν τοῦ ἔτους πλησιάζοντος. ὁ δὲ δῆμος ἐπῄει, παρακαλῶν συμβῆναι
Πομπηίῳ· οὐ γὰρ ἄδηλον ἦν ἐς μοναρχίαν τὸν νικῶντα προάξεσθαι. καὶ ὁ μὲν ὤδευεν
οὐδὲν ὑφιστάμενος τῆς ἐπείξεως· ὁ δὲ Πομπήιος πάντα τὸν χρόνον τόνδε ναῦς
ἐποιεῖτο, καὶ στρατὸν ἀεὶ πλείονα καὶ χρήματα συνῆγε· καὶ τὰς ἐν τῷ Ἰονίῳ καὶ θέρος
τεσσαράκοντα ναῦς εἶχεν, ἐφύλασσεν αὐτοῦ τὸν διάπλουν· τόν τε στρατὸν ἐγύμναζε
συντρέχων καὶ συνιππεύων· καὶ πάντας ἐξάρχων παρ' ἡλικίαν. ὅθεν αὐτῷ εὐ-
ῥαδίως εὔνοια τῆς ἐκείνου, καὶ συνέθεεν ἐπὶ τὰ γυμνάσια Πομπηίου πάντες ὡς ἐπὶ
θέαν. ἦσαν δὲ τότε Καίσαρι μὲν δέκα τέλη πεζῶν, καὶ Κελτῶν ἱππεῖς μύριοι.
Πομπηίῳ δὲ πέντε μὲν ἐξ Ἰταλίας δι' ὧν τὸν Ἰόνιον ἦγεν διεπέπλευσε· καὶ τούτοις
ὅσοι συνετάσσοντο ἱππεῖς· ἐκ δὲ Παρθυαίων, δύο τῶν σὺν Κράσσῳ πεπολεμη-
κότων τὰ ὑπόλοιπα· καί τι μέρος ἄλλο τῶν ἐς Αἴγυπτον ἐσβαλόντων μετὰ Γαβινίου·
σύμπαντα δὲ ἦν Ἰταλῶν ἕνδεκα τέλη, καὶ ἱππεῖς ἀμφὶ τοὺς ἑπτακισχιλίους. σύμ-
μαχοι δὲ Ἐλεῶνί τε καὶ Μακεδονίας καὶ Πελοποννήσου καὶ Βοιωτοί· τοξόται τε Κρῆτες
καὶ σφενδονῆται Θρᾷκες· καὶ οἱ περὶ τὸν Πόντον βελέεσι χρώμενοι· ἱππεῖς τέ τινες
καὶ τῶν καὶ ἐκ Γαλατῶν ἑτέρων τῆς ἕω· Κομμαγηνοί τε ὑπὸ Ἀντιόχου πεμφθέντες
καὶ Κίλικες καὶ Καππαδόκαι, καὶ ἐκ τῆς βραχυτέρας Ἀρμενίας τινές, καὶ Παμφύ-
λιοι καὶ Πισίδαι, ὧν οὐ χρῆσιν ἐς μάχας ἀλλ' ἐς φρουρὰς καὶ ταφρείαν, καὶ τὴν
ἄλλην ὑπηρεσίαν τοῦ Ἰταλικοῦ στρατοῦ χρῆσθαι διενοεῖτο· ἵνα μηδένα τῶν

Ἰταλῶν τοῦ πολέμου περιίασι. καὶ τάδε μὲν ἦν αὐτῷ τὰ πεζά· νῆες δὲ μακραὶ μὲν ἦσαν ἐντελεῖς τοῖς πληρώμασιν, ἑξακόσιαι· καὶ τούτων αἱ ἑκατὸν ἦσαν Ῥωμαίων ἐπιβατῶν· αἷς μάλιστα προὔχειν ἐδόκουν. πολὺ δὲ ὁλκάδων καὶ σκευοφόρων ἄλλο πλῆθος· ναύαρχοί τε πολλοὶ κατὰ μέρος καὶ ἐπ' αὐτοῖς Μάρκος Βύβλος. ὡς δὲ οἱ πάντα ἦν ἕτοιμα, συναγαγὼν ὅσοι τε ἦσαν ἀπὸ τῆς βουλῆς, καὶ ἀπὸ τῆς ἱππέων, καὶ τὸν στρατὸν ἅπαντα, ἐπήκοον ἔλεξεν ὧδε· καὶ Ἀθηναῖοι τὴν πόλιν ἐξέλιπον, ὦ ἄνδρες, ὑπὲρ ἐλευθερίας τοῖς ἐπιοῦσι πολεμοῦντες, οὐ τὰ οἰκήματα πόλιν, ἀλλὰ τοὺς ἄνδρας εἶναι νομίζοντες· καὶ τόδε πράξαντες, ὀξέως αὐτὴν ἀνέλαβόν τε καὶ εὐκλεεστέραν ἀπέφηναν. καὶ ἡμῶν αὐτῶν οἱ πρόγονοι Κελτῶν ἐπιόντων, ἐξέλιπον τὸ ἄστυ· καὶ αὐτὸ ἀνεσώσατο, ἐξ Ἀρδέας Κάμιλλος ὁρμώμενος. πάντες τε οἱ εὖ φρονοῦντες τὴν ἐλευθερίαν, ὅπῃ ποτ' ἂν ὦσιν, ἡγοῦνται πατρίδα. ὃ καὶ ἡμᾶς ἐνθυμουμένους δεῦρο διεπλεύσαμεν· οὐ τὴν πατρίδα ἐκλιπόντες, ἀλλ' ὑπὲρ αὐτῆς παρασκευασόμενοί τε καλῶς ἐνθάδε, καὶ ἀμυνούμενοι τὸν ἐκ πολλοῦ μὲν ἐπιβουλεύοντα αὐτῇ, διὰ δὲ τοὺς δωροδοκοῦντας, τὴν πόλιν ἄφνω καταλαβόντα. ὃν ἡμεῖς μὲν ἐψηφισάμεθα εἶναι πολέμιον· ὁ δὲ, καὶ νῦν ἡγεμόνας ἐς τὰ ἔθνη τὰ ὑμέτερα περιπέμπει, καὶ τῇ πόλει τινὰς ἐφίστησι· καὶ ἑτέρους ἀνὰ τὴν Ἰταλίαν· τοσοῦτος ἐστὶ τόλμης, τὸν δῆμον ἀφαιρεῖσθαι τὴν ἡγεμονίαν. καὶ τάδε πολεμῶν ἔτι καὶ δεδιώς, καὶ δίκην σὺν θεῷ δώσων ἐξεργάζεται· τί χρὴ νικήσαντα προσδοκᾶν ἐκλείψειν ὠμότητος ἢ βίας; καὶ τάδε πράττοντα κατὰ τῆς πατρίδος, συνεπαινοῦσί τινες ἐωνημένοι χρήμασιν, ὧν ἐκεῖνος ἀπὸ τῆς ὑμετέρας Γαλατίας σφετερίζεται· δουλεύειν ἀντὶ τῆς πρὸς αὐτὸν ἐκεῖνον ἰσονομίας αἱρούμενοι. ἐγὼ δ' οὐκ ἐξέλιπον, οὔτ' ἂν ἐκλίποιμι, τὸν μεθ' ὑμῶν καὶ ὑπὲρ ὑμῶν ἀγῶνα· ἀλλὰ καὶ στρατιώτην ἐμαυτὸν ὑμῖν καὶ στρατηγὸν ἐπιδίδωμι. καὶ εἴ τίς ἐστί μοι πολέμων ἐμπειρία καὶ τύχη, ἀήττητόν με καὶ νῦν γενόμενον, καὶ τάδε μοι πάντα τοῖς θεοῖς εὔχομαι ἐς τὴν παροῦσαν συνενεγκεῖν χρείαν, καὶ γενέσθαι τῇ πατρίδι κινδυνευούσῃ, καθὰ καὶ περικτωμένῃ τὴν ἡγεμονίαν, αἴσιος. θαρρεῖν δὲ χρὴ τοῖς τε θεοῖς, καὶ αὐτῷ τῷ λογισμῷ τοῦ πολέμου, καλλίστην καὶ δικαίαν ἔχοντι φιλοτιμίαν, ὑπὲρ πατρίου πολιτείας. ἐπὶ δὲ τούτῳ τῷ πλήθει τῆς παρασκευῆς, ἥν τε νῦν ὁρᾶτε, ἥ μὲν κατὰ γῆν καὶ κατὰ θάλασσαν, καὶ τῶν γιγνομένων τε ἀεὶ καὶ προσεσομένων μᾶλλον· ἐπειδὰν τῶν ἔργων ἁψώμεθα. ὅσα γὰρ ἀπὸ τῆς ἕω καὶ τοῦ Εὐξείνου πόντου ἔθνη πάντα Ἑλληνικά τε καὶ βάρβαρα, ἡμῖν σύνεστι· καὶ βασιλεῖς ὅσοι Ῥωμαίοις καὶ ἐμοὶ φίλοι, στρατιὰν καὶ βέλη καὶ ἀγορὰν,

καὶ τὴν ἄλλην παρασκευὴν χορηγοῦσιν. ἴτε οὖν ἐπὶ τὸ ἔργον, ἄξιοι τῆς τε πατρίδος καὶ ἡμῶν αὐτῶν, καὶ ἐμοῦ, καὶ τῆς Καίσαρος ὕβρεως μνημονεύοντες, καὶ ὀξέως ἐς τὰ παραγγελλόμενα χωροῦντες. ὁ μὲν ὧδε εἶπεν· ὁ δὲ στρατὸς ἅπας, καὶ ὅσοι ἦσαν ἀμφ' αὐτὸν ἀπὸ τῆς βουλῆς, πολύ τε ἐπιγνωσιμώτατον πλῆθος, ἀφικόμενον ὁμοῦ, ἠλάλαζον, ἄγειν ἐκέλευον ἔνθα χρῄζοι. ὁ δέ, ἡγεῖτο γὰρ δὴ ὁ Καῖσαρ ἔτι τῆς ὥρας οὔσης, καὶ τῆς θαλάσσης ἀλιμένου, μετὰ χειμῶνα ἐπιπλεύσεσθαι τὸν Καίσαρα· ὑπαντήσεσθαι τε ὄντα, τὴν ἀρχὴν ἐν τοσῷδε διαθήσεσθαι· τοῖς μὲν ναυάρχοις προσέταττεν, ἐπιτηρεῖν τὴν θάλασσαν, τὸν δὲ στρατὸν, ἐς χειμάσια ἐπιδιῄρει· καὶ ἐπὶ Θεσσαλίαν καὶ Μακεδονίαν. καὶ Πομπήιος μὲν οὕτω τοῦ μέλλοντος ἀμελῶς ἐτεκμαίρετο· ὁ δὲ Καῖσαρ ὥσπερ μοι προείρηται, περὶ χειμερίους τροπὰς ἐς τὸ Βρεντέσιον ἠπείγετο, νομίζων τῷ ἀδοκήτῳ μάλιστα ἐκπλήξειν τοὺς πολεμίους. οὔτε δὲ ἀγορὰν οὔτε παρασκευὴν, οὔτε τὸν στρατὸν τὸν ἑαυτοῦ πάντα ἠθροισμένον ἐν τῷ Βρεντεσίῳ καταλαβὼν, τοὺς παρόντας ὅμως ἐς ἐκκλησίαν συναγαγὼν ἔλεξεν· οὔτε τῆς ὥρας τὸ χειμέριον, ὦ ἄνδρες, οἱ περὶ τῶν μεγίστων ἐμοὶ συναιρεσθε, οὐθ' ἡ τῶν ἄλλων βραδυτὴς, ἢ ἔνδεια τῆς πρεπούσης παρασκευῆς, ἐφέξει με τῆς ὁρμῆς. ἀντὶ γὰρ πάντων, ἡγοῦμαί μοι συνοίσειν τὴν ταχυεργίαν. καὶ πρώτοις ἡμᾶς, οἱ πρῶτοι συνεδράμομεν ἀλλήλοις, ἀξιῶ θεράποντας μὲν ἐνταῦθα καὶ ὑποζύγια καὶ παρασκευὴν καὶ πᾶσαν καταλιπεῖν· ἵνα ἡμᾶς αἱ παροῦσαι νῆες ὑποδέξωνται· μόνους δὲ ἐμβάντας, περᾶν· ἵνα τοὺς ἐχθροὺς λάθοιμεν. τῷ μὲν χειμῶνι, τύχην ἀγαθὴν ἀντιθέντες· τῇ δὲ ὀλιγότητι, τόλμαν· τῇ δ' ἀπορίᾳ, τὴν τῶν ἐχθρῶν περιουσίαν· ἧς ἐστὶν ὑμῖν ἐλθοῦσιν ἐπὶ τὴν γῆν, κρατεῖν· ἢν εἰδῶμεν ὅτι μὴ κρατήσασιν οὐδέν ἐστιν ἴδιον. ἴωμεν οὖν ἐπὶ θεράποντας τε καὶ σκευοφόρα καὶ ἀγορὰν τὴν ἐκείνων, ἕως χειμάζουσιν ἐν ὑποστέγοις· ἴωμεν ἕως Πομπήιος ἡγεῖται κἀμὲ χειμάζειν, ἢ περὶ πομπὰς καὶ θυσίας ὑπατικὰς εἶναι. εἰδόσι δ' ὑμῖν ἐκφέρω, δυνατώτατον ἐν πολέμοις ἔργον εἶναι, τὸ ἀδόκητον· φιλότιμον δὲ καὶ πρώτιστον, δόξαν ἀπενέγκασθαι τῶν ἐσομένων· καὶ τοῖς αὐτίκα διωξομένοις ἡμᾶς, ἀσφαλῆ τὰ ἐκεῖ προετοιμάσαι. ἐγὼ μὲν δὴ καὶ τόνδε τὸν καιρὸν, πλεῖν ἂν ἢ λέγειν μᾶλλον ἐβουλόμην, ἵνα με Πομπήιος ἴδῃ, νομίζων ἔτι τὴν ἀρχὴν ἐν Ῥώμῃ καλλιτιθέσθαι· τὸ δὲ ὑμέτερον, ὅμως ἀναμένω τὴν ἀπόκρισιν. ἀναβοήσαντος δὲ σὺν ὁρμῇ τοῦ στρατοῦ παντὸς, ἄγειν σφᾶς αὐτίκα ἐπὶ τὴν θάλασσαν, ἦγεν ἀπὸ τοῦ βήματος. πέντε πεζῶν τέλη·

καὶ ὑπὲρ λογάδας ἑξακοσίους· καὶ ἐπ' ἀγκύρας ἐπέβαλε, κλύδωνι διαταραττομένους.
χειμέριοι δὲ ἤδη ἦσαν τροπαί. καὶ τὸ πνεῦμα ἄκοντα καὶ ἀσχάλλοντα κατεκώλυε, μέχρι
καὶ τὸ πρῶτον τοῦ ἔτους ἡμερῶν, ἐν Βρεντεσίῳ διατρίψαι. καὶ δύο τινῶν ἄλλων ἐπελ-
θόντων· ὁ δέ, καὶ ταῦτα προσλαβών, ἀνήχθη τοῦ χειμῶνος ἐπὶ ὁλκάδων· αἱ γὰρ ἦσαν αὐτῷ
νῆες ὀλίγαι μακραί, ὅσπερ δὴ καὶ [illegible] ἐφρούρουν. ὑπὸ δὲ χειμῶνος ἐς τὰ Κεραύ-
νια ὄρη παριαχθείς, τὰ μὲν πλοῖα αὖθις ἐς Βρεντέσιον ἐπὶ τὴν ἄλλην στρατιὰν
περιέπεμψε· αὐτὸς δὲ νυκτὸς ἐπὶ πόλιν Ὤρικον διὰ τραχείας ἀτραποῦ στενῆς,
ἐν μέρει πολλὰ διασπώμενος ὑπὸ τῆς δυσχωρίας. ὡς δὲ ἐπιχείρητος ἂν ἥ τις ἦλθε τὸ
γενέσθαι· περὶ δὲ τὴν ἕω μόλις αὐτῷ συνῆν τὸ πλῆθος. καὶ ὁ φρούραρχος ὁ τῆς Ὠ-
ρίκου, τῶν ἔνδον αὐτῷ προσιόντων, οὐ κωλῦσαι ἐπιόντα τὸν Ῥωμαίων ὕπατον, τάς τε
κλεῖς παρέδωκε τῷ Καίσαρι, καὶ παρ' αὐτῷ κατέμεινε τιμῆς ἀξιούμενος. Λουκρήτιος
δὲ καὶ Μινούκιος ἐπὶ θατέρα τῆς Ὠρίκου, ναυσὶν ὀκτὼ καὶ δέκα μακραῖς, Πομπη-
ίῳ σῖτον ἐν πλοίοις φυλάττοντες, τά τε πλοῖα κατέδυσαν, ἵνα μὴ ὁ Καῖσαρ αὐτὰ
λάβοι, καὶ ἐς Δυρράχιον διέφυγον. ἀπὸ δὲ τῆς Ὠρίκου Καῖσαρ Ἀπολλωνίαν προῆλθε.
καὶ τῶν Ἀπολλωνιατῶν αὐτὸν δεχομένων, Σταβέριος ὁ φρούραρχος ἐξέλιπε τὴν πόλιν. καὶ
ὁ Καῖσαρ ἀθροίσας τὸν ἑαυτοῦ στρατόν, ἀνέμενεν ὅτι διὰ τὸ ταχὺ ἔργον τοῦ τε χειμῶνος
σὺν τῇ τύχῃ περιγένοιτο, καὶ θαλάσσης τοσαύτης δὲ χωρὶς νεῶν κρατήσειεν. Ὤρικόν τε
καὶ Ἀπολλωνίαν ἅμα λάβοι· καὶ τὴν τῶν πολεμίων ἔχοι, καθάπερ ἂν ἀγνοοῦντος
ἔτι Πομπηίου. ἃ δὲ καὶ Δυρράχιον φθάσας, τὸ ταμιεῖον τῆς Πομπηίου παρασκευῆς
προλάβοι μέν, ἔσται πάντα μέν, ἃ ἐκείνοις δι' ὅλου θέρους συνηγμένοις· τὸ δ' αὐ-
τῶν, ἠπείγετο μὲν ἐπὶ τὸ Δυρράχιον αὐτοῖς· ὁδὸν μακράν· οὔτε ἡμέρας, οὔτε
νυκτὸς ἀναπαύων. Πομπήιος δὲ προμαθών, ἀντιπαρώδευσεν ἐκ Μακεδονίας
σὺν σπουδῇ· καὶ δὲ πολλῇ. κόπτων τε τὴν ὕλην ἣν παρώδευεν, ἵνα Καίσαρι δύσ-
βατος ᾖ· καὶ ποταμῶν γεφύρας διαιρῶν. καὶ ἀγορὰν τὴν ἐν μέσῳ πᾶσαν ἐμπιπράς·
ἐν μεγίστῳ καθ' ἅπαξ καὶ οὐδέ τι θέμενος, τὴν ἑαυτοῦ παρασκευὴν διαφυλάξαι.
κονιορτὸν δὲ ἢ πῦρ ἢ καπνὸν ἅπερ τε μακρόθεν ἴδοιεν αὐτῶν ἑκάτεροι, νομί-
ζοντες εἶναι τὰ ἀλλήλων, ἐφιλονείκουν ὥσπερ ἐν ἀγῶνι δρόμον. καὶ οὔτε τροφῆς
καιρὸν ἐνεδίδοσαν, οὔτε ὕπνου· ἐπείξεις δὲ ἦν καὶ σπουδὴ καὶ βοαὶ τῶν ἀγόντων αὐτοῖς
ὑπὸ λαμπτῆρσι· καὶ θόρυβος ἐκ τοῦ δὲ πολὺς καὶ φόβος, ὡς τῶν πολεμίων ἀεὶ πλη-
σιαζόντων· ὑπὸ δὲ καμάτου τινές, ἀπερρίπτουν ἃ ἔφερον· καὶ ἐν φάραγξι
διελάνθανον ὑποδύντες· τὴν αὐτίκα ἀνάπαυσιν τοῦ παρὰ τῶν ἐχθρῶν φόβου
διαλλασσόμενοι· τοιαῦτα δὲ ἑκατέρων κακοπαθούντων, προύλαβεν ὅμως ὁ Πομπήιος

153

τὸ Δυρράχιον. καὶ παρ' αὐτὸ ἐστρατοπέδευσε. ναῦς τε ἐπιπέμψας, Ὤρικον
αὖθις εἷλε. καὶ τὴν θάλασσαν ἀκριβεστέραις φρουραῖς ἐφύλαττε. ὁ δὲ Καῖσαρ
τοῦ Πομπηίου τὸν Ἄλωρα ποταμὸν ἐν μέσῳ θεμένου, ἐστρατοπέδευσε. καὶ τὸν
ποταμὸν διαβαίνοντες, ἐπεμάχοντο ἀλλήλοις ἀνὰ μέρος. ἀθρόοις δὲ τοῖς
στρατοῖς οὐ συνεπλέκοντο. Πομπήιος μὲν ἔτι γυμνάζων τοὺς νεοστρατεύτους·
ὁ δὲ Καῖσαρ τοὺς ἐκ Βρεντεσίου περιμένων. νομίσας δὲ πρὸς μὲν αὐτοὺς ἐπὶ ὁλ-
κάδων διαπλεῖν, οὐ λήσοντας τὰς τοῦ Πομπηίου τριήρεις, θαμινὰ ἐν φυλακῇ
ἀναπλεούσας, χειμῶνος δὲ παραβάλλοιντο, ναυλοχούσας ἐν νήσοις τῶν πολεμίων.
λαθεῖν ἂν αὐτοὺς ἴσως, ἢ καὶ βιάσασθαι μεγέθει τε νεῶν καὶ πνεύματι, μετα-
πεμπομένων κατὰ σπουδήν. οὐκ ἀνυομένων δὲ ἐκείνων, αὐτὸς ἔκρινεν ἐπὶ τὴν
στρατιὰν διαπλεῦσαι λαθών. ὡς οὐ τινα αὐτὴν ἄλλου ῥᾳδίως ἐπαξομένου.
καὶ τὸ βούλευμα ἐπικρύψας, ἔπεμπε τρεῖς θεράποντας ἐπὶ τὸν ποταμόν, ἀπὸ
δύο καὶ δέκα σταδίων ὄντα· οἳ κελήτιον ὀξὺ καὶ κυβερνήτην τὸν ἄριστον ὡς δή
τινι πεμπομένῳ παρὰ Καίσαρος, ἔμελλον ἑτοιμάσειν. αὐτὸς δ' ἀπὸ δείπνου
ὑπεχώρησε μὲν ὡς κάμνων τῷ σώματι, τοῖς φίλοις ἔτι ἑστιᾶσθαι κελεύσας·
ἐπιθέμενος δὲ ἐσθῆτα ἰδιώτου, καὶ ὀχήματος αὖθις ἐπιβάς, ἐξήλασεν ἐπὶ τὴν ναῦν, ὡς
ὁ δεῖνα ὁ παρὰ τοῦ Καίσαρος ἀπεσταλμένος. τά τε λοιπὰ διὰ τῶν θεραπόντων προσέταττεν,
ἐγκεκαλυμμένος τε καὶ ἐν νυκτὶ μάλιστα ἀγνοούμενος. χειμερίου δὲ τοῦ πνεύματος ὄντος,
θαρρεῖν ἐκέλευον οἱ θεράποντες τὸν κυβερνήτην. ὡς ἐν τῷ δὲ μάλιστα λυόμενοι
τοὺς πολεμίους ἐκφεύγοντας. τὸν μὲν δὴ ποταμὸν ὁ κυβερνήτης εἰρεσίᾳ βιαζόμενος
ἔπλει. ὡς δὲ ἐπὶ τὰς ἐκβολὰς ἀφίκετο, καὶ ἡ θάλασσα σὺν κλύδωνι τὸ ταραχῶδες τὸ
ῥεῦμα ἀνέκοπτεν, ὁ μέν, ἐπὶ πολὺ χρόνον αὐτὸν τῶν πολεμίων ἐβιάζετο. καὶ ὡς ἐν
οὐδὲν προκόπτων ἀπέκαμνε, καὶ ἀπεγίνωσκεν. ὁ δὲ Καῖσαρ ἀποκαλυψάμενος, ἀνε-
βόησεν αὐτῷ, θαρρῶν ἴθι πρὸς τὸν κλύδωνα. Καίσαρα φέρεις, καὶ τὴν Καίσαρος τύχην.
ἐκπλαγέντων δὲ τῶν ἐρετῶν καὶ τοῦ κυβερνήτου, προθυμία τε πᾶσιν ἐνέπεσε, καὶ ἡ
ναῦς ὑποβιαζομένη ἐπὶ πλέον τοῦ ποταμοῦ. τὸ πνεῦμα δ' αὖθις καὶ τὸ κῦμα μετέωρον
ἐς τὰς ὄχθας διερρίπτει. μέχρι πλησιαζούσης ἡμέρας, οἱ μὲν ἐδεδοίκεσαν ὡς
ἐν φωτὶ καταδῆλοι τοῖς πολεμίοις ἐσόμενοι. ὁ δὲ Καῖσαρ τῷ δαίμονι χαλεπαίνων
ὡς φθονερῷ, ἐφῆκε τὴν ναῦν ἐπανιέναι. ἡ μὲν δὴ πνεύματι ταχεῖ τὸν ποταμὸν
ἀνέπλει. Καίσαρα δ' οἱ μὲν ἐθαύμαζον τῆς τόλμης. οἱ δὲ ἐμέμφοντο,
ὡς στρατιώτῃ πρέπον ἔργον εἰργασμένον οὐ στρατηγῷ. ὁ δ' οὐκέτι λήσεσθαι
προσδοκῶν, Ποστούμιον ἀνθ' ἑαυτοῦ προσέταξε διαπλεῦσαί τε καὶ φράσαι

Γαβινίῳ τοὺς στρατοὺς οἷς ἦγε διὰ θαλάσσης· ἂν δ' ἀπειθῇ, ταῦτα προσ-
τάγματα Ἀντωνίῳ· ἐπὶ τούτῳ μετὰ τὸν Ἀντώνιον Καληνῷ· εἰ δ' οἱ τρεῖς ἀποκνοῖεν,
ἐπιστολὴ πρὸς τὸν στρατὸν αὐτὸν ἐνεγέγραπτο ἄλλη· τὸν βουλόμενον αὐτῶν
ἐπὶ τὰς ναῦς ἕπεσθαι τῷ ποσουμένῳ· καταίρειν ἀναχθέντας ἐς χωρίον, ἐς
ὅ τι ὁ ἄνεμος ἐκφέροι· μηδὲν τῶν νεῶν φειδομένους· οὐ γὰρ νεῶν χρῄζειν Καί-
σαρα ἀλλὰ ἀνδρῶν. τοῦτο μὲν δὴ τι ἀγνοῶν ὁ Καῖσαρ ἐπεποίθει τῇ τύχῃ.
τάδε οὖν ὁ Πομπήιος προλαβεῖν ἐπειγόμενος, ἐς μάχην διεσκευασμένος
ἐπῄει. καὶ δύο αὐτοῦ στρατιωτῶν ἐν μέσῳ τὸν ποταμὸν ἐρευνωμένων ᾗ
μάλιστα εἴη διαβατός, τῶν τις Καίσαρος ἐπιδραμὼν, τοὺς δύο ἀνεῖλε·
ὁ δὲ Πομπήιος ἀνέζευξεν, οὐκ αἴσιον τὸ σύμβολον ἡγούμενος· αἰτίαν δ' ἔσχε
παρὰ πᾶσι καιρὸν ἄριστον ἐκλιπεῖν. Ποσουμένου δὲ διαπλέοντος ἐς
τὸ Βρεντέσιον, ὁ μὲν Γαβίνιος οὐχ ὑποστὰς τὸ πρόσταγμα, ἦγε τοὺς βουλο-
μένους διὰ τῆς Ἰλλυρίδος, οὐδαμοῦ διαναπαύων· καὶ ἀνῃρέθησαν ὑπὸ
τῶν Ἰλλυριῶν σχεδὸν ἅπαντες. Καὶ ὁ Καῖσαρ ἠμέλησεν ὑπ' ἀσχολίας. ὁ δ' Ἀντώ-
νιος τοῖς ἑτέροις ἐπὶ τὰς ναῦς ἐπιβήσας, Ἀπολλωνίαν μὲν παρέπλεον,
ἱστίοις μεστοῖς ἐπὶ πνέοντος ἀνέμου· χαλάσαντος δὲ τοῦ πνεύματος περὶ
μεσημβρίαν, εἴκοσι τοῦ Πομπηίου νῆες ἐς ἐπέρασιν τῆς θαλάσσης ἀναχθεῖσαι,
καθορῶσι τοὺς πολεμίους· καὶ ἐδίωκον· τοῖς δὲ, ὡς ἐν γαλήνῃ, δέος ἦν πολὺ,
μὴ σφᾶς ἀναρρήξωσιν, ἢ καταδύσωσιν αἱ μακραὶ τοῖς ἐμβόλοις· καὶ τὰ
ἤδη παρεσκευάζοντο σφενδόναις τε καὶ ξιφίαις, ὡς ἤδη ἐπεβοήθει· ἐς ἄνεμος
ἀθρόως μείζων ἢ πρότερον ἐπέρραξεν· αἱ μὲν δὴ μεγάλοις αὖθις ἱστίοις
ἐξ ἀέλπτου τὸ πνεῦμα ἐδέχοντο· καὶ διέπλεον ἀδεῶς· αἱ δ' ἐπὶ ἴσον τῷ
ῥοθίῳ καὶ πνεύματι τῆς θαλάσσης κοίλης κακοπαθοῦσαι· καὶ μόλις ἐς λι-
μένα ἐπιπετρώδη διερρίφησαν· δύο τινὰς ἐς τὰ τενάγη τῶν Καίσαρος
κατενεχθείσας, εἷλον αἱ· Ἀντώνιος δὲ ταῖς λοιπαῖς ἐς τὸ καλούμενον
Νυμφαῖον κατήχθη. καὶ τῷ Καίσαρι σύμπας ὁ στρατὸς ἤδη παρῆν.
παρῆν δὲ Πομπηίῳ. καὶ ἀντεστρατοπέδευον ἀλλήλοις ἐπὶ λόφων ἐν
φρουρίοις πολλοῖς· πεῖραί τε ἦσαν περὶ ἕκαστον φρούριον συχναὶ περι-
ταφρευόντων ἀποτειχιζόντων ἀλλήλους· καὶ γιγνομένων ὁμοῦ ἐπιπόνων
ἀναπόροις· ἐν δὲ ταῖς δὲ ταῖς πείραις, περί τε φρούριον ἡττωμένου
τοῦ Καίσαρος, στρατιώτης λοχαγὸς, ᾧ Σκεύας ὄνομα ἦν, πολλὰ ἐλαμπρύνατο·
ἐς τὸν ὀφθαλμὸν ἐτρώθη βέλει. καὶ προπηδήσας κατέσεισεν, ὡς

εἰπεῖν τι βουλόμενος· σιωπῆς δ' αὐτῷ γενομένης, Πομπηίου λοχαγὸν ὀνομαστὶ
ἀνδρείᾳ γνώριμον ἐκάλει· σῶζε τὸν ὅμοιον σεαυτῷ· σῶζε τὸν φίλον· ἐπίπεμ-
πέ μοι τὸν χειραγωγήσοντα, ἐπεὶ τέτρωμαι. προσδραμόντων δὲ ὡς αὐτομολοῦσί τι-
νων δύο ἀνδρῶν, τὸν μὲν, ἔφθασε κτείνας· τοῦ δὲ, τὸν ὦμον ἀπέκοψε. ὁ μὲν τάδε
ἔπραξεν, ἀπογιγνώσκων ἑαυτοῦ ἐπὶ τοῦ φρουρίου· τοῖς δ' ἄλλοις, αἰδὼς ἐπὶ τῷ
συμβεβηκότι ἐφορμᾶν προσέπεσε. καὶ τὸ φρούριον περιεσώθη· πολλὰ ἐπὶ
τοῦ φρουράρχου Μινουκίου παθόντος· ὥς γέ φασι τὴν μὲν ἀσπίδα ἑκατὸν καὶ εἴ-
κοσιν ἀναδέξασθαι βολάς· τὸ δὲ σῶμα ἓξ τραύματα· ἐπὶ τὸν ὀφθαλμὸν ὁμοίως
ἐκκοπῆναι. τούτους μὲν δὴ Καῖσαρ ἀριστείοις πολλοῖς ἐτίμησεν· αὐτὸς δὲ ἐκ
Δυρραχίου τινὸς αὐτῷ πλασσομένης προδοσίας, ἧκε μὲν ὡς συνέκειτο νυκτὸς
σὺν ὀλίγοις ἐπὶ πύλας ἐπὶ ἱερὸν Ἀρτέμιδος· τοῦ δ' αὐτοῦ χειμῶνος, ἄλλην στρατιὰν
ἐκ Συρίας ἦγε Πομπηίῳ ὁ κηδεστής· καὶ αὐτῷ Γάιος Καλουίσιος περὶ Μακεδο-
νίαν συμβαλὼν, ἡσσᾶτο· ἐπὶ τέλος σὺν αὐτοῦ κατεκόπη· χωρὶς ὀκτακοσίων ἀνδρῶν.
Καίσαρι μὲν δὴ οὐδὲν ἦν ἐκ θαλάσσης, διὰ Πομπηίου ναυκρατοῦντα· ἐδί-
μαινον οὖν ὁ στρατὸς αὐτῷ· καὶ τῇ πόᾳ ἠρτοποίουν· αὐτόμολοί τε Πομπηίῳ
τοιούς δὲ ἄρτους προσήνεγκαν, ὡς εὐφρανοῦντες ἰδόντα· ὁ δὲ, οὐχ ἥσθη· ἀλλ' ἔφη·
οἵοις θηρίοις μαχόμεθα. ὁ μὲν δὴ Καῖσαρ ὑπ' ἀνάγκης τὸν στρατὸν ἅπαντα συ-
νῆγεν, ὡς ἐπ' ἄκοντα Πομπήιον βιασόμενος ἐς μάχην. ὁ δὲ, αὐτοῦ τὰ πολλὰ
τῶν φρουρίων τοῦ δ' ἐκεκλιμένου προλαβὼν, ἡσύχαζε· καὶ τῷδε μάλιστα
ἀνιαθεὶς ὁ Καῖσαρ, ἐπετόλμησεν ἔργῳ δυσχερεῖ τε ἐπὶ παραλόγῳ· τὸν Πομπήιον
τὰ στρατόπεδα ἑνὶ τείχει περιλαβὼν, ἐκ θαλάσσης ἐς θάλασσαν ἀποτειχίσαι·
ὡς μεγάλην γε ἡ διαμάρτοι δόξαν, οἰόμενος ἐπὶ τῷ τολμήματι· στάδιοι γὰρ
ἦσαν διακόσιοι καὶ χίλιοι. καὶ ὁ μὲν, ἐνεχείρει τοσῷδε ἔργῳ· Πομπήιος
δ' αὖ τὸν ἀντιταφρεύειν καὶ ἀντοικοδόμει· ἐπὶ μάταια τὰ ἔργα ἀλλήλοις
ἐποίουν· γίγνεται δ' αὖ τοῖς αὐτῶν ἧσσα μέν· ἀνεῶ Πομπήιος τρέψαι τε τοὺς
Καίσαρος πάνυ λαμπρῶς· ἐς τὸ στρατόπεδον ἐδίωκε φεύγοντας· σημεῖά τε
πολλὰ ἦρεν αὐτῶν· καὶ τὸν ἀετὸν, ὃ δὴ κυριώτατον ἐστὶ Ῥωμαίοις, μόλις
ἔφθασεν ὁ φέρων ὑπὲρ τὸ χαράκωμα τοῖς ἔνδον ἐρρίψαι. γενομένης δὲ τῆς
τροπῆς λαμπρᾶς, ὁ Καῖσαρ ἑτέρωθεν ἦγεν ἄλλον στρατόν· οὕτω δή τι ἐπὶ τοῦτον
περίφοβον, ὡς Πομπηίου μακρόθεν ἐπιφανέντος, μήτε στῆναι, περὶ τὰς
πύλας οὔσας ἤδη, μήτε ἐσελθεῖν ἐν κόσμῳ· μήτε πεισθῆναι τοῖς προσ-
τάγμασιν, ἀλλὰ φεύγειν ἕκαστον ὅπῃ τύχοιεν ἀμεταστρεπτί· χωρὶς αἰδοῦς

ἡ παρασκευὴ μάτος ἡ [illegible]ανοῦ. καὶ φερόμενοι αὐτοῖς ἐπιθέντος τε, ἡ ζώνη ὁ
γὰρ δὴ μακρὰν ἔτι τοῦ Πομπηίου ὄντος ἐπιδιώκοντος ἢ ἐφορῶντος, τὰ ση-
μεῖα ἀπερρίπτουν ἢ ἔφευγον· οἱ δὲ, μόλις ὑπ' ἀδείας κατέκοπτον ἐν τῇ γῇ
ἄφρακτοι· τοσοῦτος αὐτοῖς θόρυβος ἐνεπεπτώκει· ὡς δὲ ἡ στρατιὰς τὸν Καίσαρα,
ἀνέτεινον φρούραρχον ἐς τὸν αὐτοκράτορα· καὶ τὸν δὲ μὲν οἱ Καίσαρος ὑπασπισταὶ
κατέκοπτον· οἱ δὲ ἐπῃθοῦντες, οὐδὲ ἐπὶ τὰς φυλακὰς ἀπήντων· ἀλλὰ μεθιέ-
μενα πάντα ἦν· ἡ τὸ χαράκωμα ἀφύλακτον· ὥστε αὐτὸ δοκεῖν εἶναι· συνεσπεῖρθαι
ἂν τότε ὁ Πομπήιος, ἑλεῖν κατὰ κράτος· ἡ τὸν πόλεμον ἀνῃρηκέναι τῷδε ἔργῳ πάντα
ἐξειργάσθαι, εἰ μὴ Λαβιηνὸς αὐτὸν, θεοῦ παράγοντος ἐπὶ τοὺς φεύγοντας ἔπεισε
τραπῆναι· ἢ αὐτὸς ἀμελῶν, ἢ τὸ ἀφύλακτον τοῦ χαρακώματος, ὡς ἐνέδραν
ὑφορώμενος, ἢ ὡς ἤδη κεκριμένου τοῦ πολέμου καταφρονῶν· ἐπὶ δὲ τοῖς ἔξω στρα-
τιώταις, ἑτέροις τε ἔκτεινε πολλοὺς, καὶ σημεῖα τῆσδε ἡμέρας ἔλαβεν ἐν ταῖς
δυσὶ μάχαις, ὀκτὼ ἐς εἴκοσι· καὶ δεύτερον τοῦδε καιρὸν ἐν ἔργοις παρῆκεν.
ὅ ἡ τὸν Καίσαρα φασὶν εἰπεῖν, ὅτι σήμερον ἂν ὁ πόλεμος ἐξείργαστο τοῖς πολεμίοις,
εἰ τὸν νικᾶν ἐπιστάμενον εἶχον· ὁ δὲ Πομπήιος τὴν νίκην ὑπερεπαίρων, ἐπέ-
στελλε βασιλεῦσι ἡ πόλεσι πάσαις· ἡ τὸν στρατὸν αὐτίκα τὸν Καίσαρος, ἤλπιζε
πρὸς ἑαυτὸν μεταβαλεῖσθαι, λιμῷ τε πιεζόμενον, καὶ ὑπὸ τῆς ἥττης κατα-
πεπληγμένον· μάλιστα δὲ τοὺς ἡγεμόνας αὐτοῦ, τὸ σφέτερον ἁμάρτημα φο-
βουμένους· οἱ δὲ, θεοῦ σφᾶς ἐπὶ μετάνοιαν ἄγοντος, τὸ ἁμάρτημα ᾐδοῦντο· ἡ
τοῦ Καίσαρος αὐτοῖς ἐπιμεμφομένου τε πρᾴως, ἡ συγγνώμην διδόντος, ἐτιμώρουν
ἠρέθιζον τὸ καθ' ἑαυτῶν· ἡ ἐκ παραδόξου μεταβολῆς, ἐκέλευον τῷ πατρίῳ νόμῳ
διακληρώσαντα αὐτοῖς, τὸ δέκατον μέρος ἀναιρεῖν· οὐ πειθομένου δὲ τοῦ Καί-
σαρος, μᾶλλον ᾐδοῦντο· καὶ συνεγίγνωσκον αὐτὸν οὐκ ἀξίως ὑπὸ σφῶν ἠδι-
κῆσθαι· ἡ τοὺς φέροντας τὰ σημεῖα κτείνειν ἐπεβόων· ὡς οὐκ ἂν αὐτοὶ ποτὲ φυ-
γόντες, εἰ μὴ τὰ σημεῖα προαπέστραπτο· ὡς δὲ ὁ Καῖσαρ οὐδὲ τοῦτ' ἠνείχετο,
ὀλίγους μόλις ἐκόλασεν, αὐτίκα πᾶσιν αὐτοῦ πρὸς τὴν μετριοπάθειαν ὁρμὴ
τοσήδε ἐνέπεσεν, ὡς εὐθὺς αὐτὸν ἄγειν ἀξιοῦν ἐπὶ τοὺς πολεμίους· καὶ ἐνέ-
κειντο σφόδρα προθύμως παρακαλοῦντες τε ἡ ὑπισχνούμενοι διορθώσεσθαι
τὸ ἁμάρτημα νίκῃ καλῇ· κατά τε σφᾶς ἐπιστρεφόμενοι πρὸς ἀλλήλους
εἰλαδὸν κατὰ μέρη συνώμνυντο· ἐφορῶντος αὐτοῦ Καίσαρος, μὴ ἐπανήξειν
ἐκ τῆς μάχης, εἰ μὴ κρατοῖεν· ὅθεν αὐτὸν οἱ μὲν φίλοι παρεκάλουν ἀποχρή-
σασθαι τοιᾷδε μετανοίᾳ ἡ προθυμίᾳ στρατοῦ· ὁ δὲ ἐς μὲν τὸ πλῆθος εἶπεν

ὅτι μεταβολὴ ποτὲ καιρῶν αὐτοὺς ἐπὶ τοὺς πολεμίους ἄξει· ἡ μεμνῆσθαι
τῆς δὲ τῆς προθυμίας διεκελεύσατο· τοῖς δὲ φίλοις ἀνεδίδασκεν, ὅτι χρὴ καὶ
τῶνδε προεξελθεῖν τὸν φόβον τῆς ἥττης, πολὺν αὐτοῖς ἐγγενόμενον· ἡ τῶν
πολεμίων φρόνημα, ἀκμάζον προκαθελεῖν· ὡμολόγει τε μεταγινώσκειν
πρὸς Δυρραχίῳ στρατοπεδεύσας, ἔνθα ἐστὶν ἡ παρασκευὴ πᾶσα Πομπηίῳ,
δέον ἀπαγαγεῖν αὐτὸν ἐς τὴν ὁμοίαν ἀπορίαν· ἡ τάδε εἰπὼν, ἐς Ἀπολλω-
νίαν ἀπὸ μετῄει· ἡ ἀπ' αὐτῆς ἐς Θεσσαλίαν νυκτὸς ὑπεχώρει λανθάνων·
Γόμφους τε πόλιν μικρὰν, οὐ δεχομένην αὐτὸν, ἐξεῖλεν ὑπὸ ὀργῆς· καὶ ἐπέ-
τρεψε τῷ στρατῷ διαρπάσαι· οἱ δ' ὡς ἐκ λιμοῦ πάντων ἐνεπίμπλαντο ἀθρόως,
ἡ ἐμεθύσκοντο ἀπρεπῶς· ἡ μάλιστα αὐτῶν οἱ Γερμανοὶ γελοιότατοι κατὰ τὴν
μέθην ἦσαν· ὥστε δοκεῖν καὶ τότε ἂν ὁ Πομπήιος ἐπελθὼν ἐργάσασθαί τι λαμπρὸν,
εἰ μὴ διώκειν ὅλως ὑπερεῖδεν ἐκ καταφρονήσεως· μέχρι Καῖσαρ ἑπτὰ συν-
τόνως ἡμέραις ὁδεύσας, ἐστρατοπέδευσε περὶ Φάρσαλον· λέγεται δὲ ἐν τοῖς
Γόμφοις γενέσθαι πάθη ματαιότατα· ἡ νεκροὺς τῶν ἐπιφανῶν γερόντων
ἐν ἰατρῷ φανῆναι· κύλικων αὐτοῖς παρακειμένων ἀτρώτοις· εἴκοσι μὲν
ὡς ὑπὸ μέθης κατακεκλιμένοις ἐπὶ τὸ ἔδαφος· ἕνα δὲ ἐπὶ θρόνου παρα-
καθεζόμενον οἷα ἰατρόν· ὃς τὸ φάρμακον αὐτοῖς ἄρα παρέσχε· Πομπήιος δὲ
ἐπεὶ τῆς Καίσαρος ἀναζεύξει, βουλευομένου τε· ἡ Ἀφρανίῳ μὲν ἐδόκει τὸ
ναυτικὸν, ᾧ δὴ ἡ πολὺ προύχων, ἐπιπέμπειν Καίσαρι· καὶ ἐνοχλεῖν θαλασσο-
κρατοῦντας, ἄλλῳ μὲν ὡς ἀποροῦντι· τὸ δὲ πεζὸν, αὐτὸν Πομπήιον ἄγειν
κατὰ σπουδὴν ἐς τὴν Ἰταλίαν· εὔνουν τε πρὸς αὐτὸν οὖσαν ἡ πολέμου ἔρημον·
κρατυνάμενον δ' αὖ τήν τε ἡ Γαλατίαν ἡ Ἰβηρίαν, ἐξ οἰκείας καὶ ἡγεμονίδος τῆς
αὖθις ἐπιχειρεῖν Καίσαρι· ὁ δὲ, καίτοι τάδε ἄριστα ἂν οἱ γενόμενα παριδὼν, ἐπεί-
θετο τοῖς λέγουσιν, αὐτίκα τὸν Καίσαρος στρατὸν μεταθήσεσθαι πρὸς αὐτὸν ὑπὸ
τοῦ λιμοῦ· ἢ οὐ πολὺ σφίσιν ἔσεσθαι τὸ ἐπίλοιπον, ἐπὶ τῇ κατὰ Δυρράχιον
γενομένῃ νίκῃ· τὸ δὲ ἐναντίον, αἴσχιστον εἶναι, καταλιπεῖν φεύγοντα Καίσαρα·
ἡ τοὺς ἡττηθέντας ὅμοιοι τοῖς νικῶσι φεύγειν· ὁ μὲν δὴ τοῖσδε προθέμενος,
αἰδοῖ μάλιστα τῶν ἑῴων ἐθνῶν ἐς αὐτὸν ἀφορώντων· ἡ φειδοῖ Λευκίου Σκιπίωνος
μή τι περὶ Μακεδονίαν ὢν ἔτι πάθοι· μάλιστα δὲ ἐς ἀγῶνα χρήσεσθαι θαρρῶν
τῷ στρατῷ διαφόρως, ἐπῆλθε· ἡ ἀντεστρατοπέδευσε τῷ Καίσαρι περὶ Φάρ-
σαλον· καὶ τριάκοντα σταδίοις ἀλλήλων ἀπεῖχον· ἀγορὰ δὲ Πομπηίῳ μὲν ἦν
πανταχόθεν· ἅπτω γὰρ αὐτῷ προδιῴκηντο ὁδοὶ καὶ λιμένες ἡ φρούρια, ὡς

ἔκ τε γῆς ἀεὶ φέρεσθαι καὶ διὰ θαλάσσης πάντα ἀνέμου αὐτῷ φέρειν· Καίσαρα
δὲ μόνον ἐν χειμῶνι ὅτι μόλις ἄρτοι καὶ λάβοι κακοπαθῶν· καὶ οὐδ' ὡς αὐτὸν ἀπήλπιζεν
οὐδείς· ἀλλὰ σπουδῇ δαιμονίῳ σπεύσειν συνενεχθῆναι τοῖς πολεμίοις ὠρέγοντο· καὶ τοσοῦτο
πολέμῳ μὲν εἶναι παρὰ πολὺ ἀμείνους· νεοστρατεύτων ἐπὶ οὕτω, δὲ καὶ ἔτεσιν
ἠσκημένοι· ἐν δὲ ταφρείᾳ καὶ περὶ τειχοποιίας ἐπὶ πόνοις, ἀσθεν-
έστεροι διὰ γῆρας· ὅλως τε κάμνουσιν αὐτοῖς, ἐδόκει δρᾶν τι μετ' ἀρετῆς καὶ μὴ τῷ λι-
μοῦ διαφθαρῆναι· ὧν ὁ Πομπήιος αἰσθανόμενος, ἐπὶ κίνδυνον μὲν οὐκ
ἤγετο γεγυμνασμένοις ἀπογινώσκουσιν αὐτῶν ἀνδράσι· καὶ τύχῃ Καίσαρος
λαμπρᾷ περὶ τῶν ὅλων συνενεχθῆναι δι' ἑνὸς ἔργου· δυνατώτερον δὲ καὶ ἀκιν-
δυνότερον ἐκτρῦσαι ταῖς ἀπορίαις αὐτούς, οὔτε γῆς εὐπόρου κρατοῦντας,
οὔτε θαλάσσῃ χρωμένους· οὔτε ναῦν ἐς φυγὴν ταχεῖαν ἐχόντων· ὁ μὲν δὴ κρατίστῳ
λογισμῷ τε τρίβειν τὸν πόλεμον ἐγνώκει· καὶ ἐς λιμὸν ἐκ λιμοῦ τοὺς πολεμίους
περιφέρειν· πολὺ δ' ἀμφ' αὐτὸν πλῆθος ἀνδρῶν ἀπό τε τῆς βουλῆς ὁμοτίμων
οἱ καὶ τῶν καλουμένων ἱππέων οἱ διαφανέστατοι· βασιλεῖς τε πολλοὶ καὶ δυνάσται·
οἱ μὲν ὑπ' ἀπειρίας· οἱ δ' ἀμέτρως τοῖς περὶ τὸ Δυρράχιον δὲ πράγμασιν ἐπηρμένοι·
οἱ δὲ καὶ τῷ πλείονες εἶναι τῶν πολεμίων· οἱ δὲ καὶ κάμνοντες ὅμως τῷ πολέμῳ
τὴν κρίσιν ταχυτέραν μᾶλλον καὶ εὐπρεπεστέραν ἐπειγόμενοι γενέσθαι, πάντες ἐξώ-
τρυνον αὐτὸν ἐς τὴν μάχην· ἐπιδεικνύοντες ἀεὶ τὸν Καίσαρα παρατάττοντά τε
καὶ προκαλούμενον· ὁ δὲ ἐξ αὐτοῦ μάλιστα τούτου δὲ αὐτοὺς ἀνεδίδασκεν, ὅτι Καί-
σαρι μὲν τοῦτο ἐξ ἀπορίας ἀναγκαῖον ἦν· σφίσι δὲ καὶ διὰ τοῦτο καιρὸν ἡσυχάζειν,
ὅτι Καῖσαρ ὑπ' ἀνάγκης ἐπείγοιτο· ἐνοχλούμενος δὲ ὑπό τε τοῦ στρατοῦ
παντός, ἐπηρμένου τοῖς περὶ τὸ Δυρράχιον ἀμέτρως, καὶ τῶν ἐπιφανῶν εἰωθότως
αὐτὸν ἐπιτωθαζόντων ἐς φιλαρχίαν. ὡς ἑκόντα βραδύνοντα· ἵνα ἀνδρῶν
ὁμοτίμων τοσῶνδε ἄρχοι· καὶ ἐπὶ τῷδε αὐτόν, βασιλέα τε βασιλέων καὶ Ἀγα-
μέμνονα καλούντων· ὅτι κἀκεῖνος βασιλέων διὰ τὸν πόλεμον ἦρχεν, ἐξέστη
τῶν οἰκείων λογισμῶν· καὶ ἐνέδωκεν αὐτοῖς θεοῦ βλάπτοντος ἤδη καὶ τἆλλα.
παράλογον τόνδε τὸν πόλεμον. νωθής τε γὰρ καὶ βραδὺς παρὰ τὴν αὐτοῦ φύσιν ἐν
ἅπασι γεγονώς, παρεσκευάζετο ἄκων ἐς μάχην· ἐπὶ κακῷ τε αὐτοῦ καὶ τῶν
αὐτὸν ἀναπειθόντων· Καῖσαρ δὲ τῆς νυκτὸς ἐκείνης, τρία μὲν ἐπὶ σιτολο-
γίαν ἐξέπεμψε τέλη· τὸν γὰρ Πομπήιον ἐπαινῶν τῆς βραδυτῆτος, καὶ οὐδαμοῦ
νομίζων μεταθήσεσθαι τοῦ βουλεύματος, διέπεμπεν ἐπὶ σῖτον· πυθό-
μενος δὲ τῆς παρασκευῆς, ἥσθη τε τῆς ἀνάγκης ἣν ἐν καιρῷ ἠναγκάσθαι

Πομπήιον ὑπὸ τοῦ στρατοῦ· καὶ τὸν ἑαυτοῦ τάχιστα ἀνεκάλει πάντα· καὶ αὐτὸς ἀντι-
παρεσκευάζετο· θυόμενός τε νυκτὸς μέσης, τὸν Ἄρη κατεκάλει· καὶ τὴν ἑαυτοῦ
πρόγονον Ἀφροδίτην· ἐκ γὰρ Αἰνείου καὶ Ἴλου τοῦ Αἰνείου, τὸ τῶν Ἰουλίων γένος παρε-
νεχθέντος τοῦ ὀνόματος, ἡγεῖτο εἶναι· νεών τε αὐτῇ νικηφόρῳ χαριστήριον
ἐν Ῥώμῃ ποιήσειν εὔχετο κατορθώσας. ὡς δὲ καὶ σέλας ἐξ οὐρανοῦ διαπτὰν ἀπὸ τοῦ
Καίσαρος ἐς τὸ Πομπηίου στρατόπεδον ἐσβέσθη, οἱ μὲν ἀμφὶ τὸν Πομπήιον
ἔσεσθαί τι λαμπρὸν αὐτοῖς ἔφασαν ἐκ τῶν πολεμίων· ὁ δὲ Καῖσαρ σβέσειν αὐτὸς
ἐμπεσὼν τὰ Πομπηίου· αὐτῷ δὲ τῷ Πομπηίῳ τῆς αὐτῆς νυκτὸς τινὰ τῶν
ἱερείων ἐκφυγόντα, οὐ συνελήφθη· καὶ μελισσῶν ἑσμὸς ἐπὶ τοῖς βωμοῖς
ἐκάθισε· ζῴου νωχελοῦς μικρόν τε πρὸ ἕω, πανικὸν ἀνέπεσεν αὐτοῦ
τῷ στρατῷ· καὶ τόδε περιδραμὼν αὐτὸς καὶ καταστήσας, ἀνεπαύετο ἐς ὕπνον
βαθύν· περιεγερθέντων δ' αὐτὸν τῶν φίλων, ὄναρ ἔφασκεν ἄρτι νεὼν ἐν Ῥώμῃ
καθιερῶν, Ἀφροδίτῃ νικηφόρῳ· καὶ τὸ δὲ μὲν ἀγνοίᾳ τῆς Καίσαρος εὐχῆς,
οἵ τε φίλοι καὶ ὁ στρατὸς ἅπας πυθόμενοι, ἥδοντο· καὶ τἆλλα ἀλόγως σὺν ὁρμῇ
καὶ καταφρονήσει χωροῦντες ἐπὶ τὸ ἔργον ὡς ἐπὶ ἕτοιμον· ὧν γε πολλοὶ
καὶ τὰς σκηνὰς δάφναις ἀνέστεφον ἤδη, σύμβολον νίκης· καὶ οἱ θεράποντες
αὐτοῖς δεῖπνα λαμπρὰ παρεσκεύαζον· εἰσὶ δ' οἳ καὶ περὶ τῆς Καίσαρος
ἀρχιερωσύνης ἐς ἀλλήλους ἤδη διήριζον· ἃ Πομπήιος οἷα πολέμων
ἔμπειρος ἀπεστρέφετο· καὶ νεμεσῶν ἐπ' αὐτοῖς, ἀνεκαλύπτετο· κατεσιώπα
δ' ὅμως, ὑπ' ὄκνου καὶ δέους· ὡς οὐ στρατηγῶν ἔτι, ἀλλὰ στρατηγού-
μενος· καὶ πάντα πράσσων ὑπ' ἀνάγκης παρὰ γνώμην· τοσοῦτον ἀνδρὶ με-
γαλουργῷ. καὶ τὰ πρὸ τῶν ἔργων ἐς ἐκείνην τὴν ἡμέραν εὐτυχεστάτῳ γενομένῳ,
τὸ δύσθυμον ἐνεπεπτώκει· ἤ τε ὅτι τὰ συμφέροντα κρίνων οὐκ ἔπειθεν,
ἀλλ' ἐπὶ κύβον ἐχώρει πλήθους ἀνδρῶν τοσῶνδε σωτηρίας, καὶ τῆς ἑαυτοῦ δόξης
ἐς τότε ἀηττήτου· ἤ τέ τι καὶ μαντικώτερον αὐτὸν πλησιάζοντος ἤδη τοῦ
κακοῦ συνετάρασσεν· μέλλοντα τῆς ἡμέρας ἐκείνης ἐκ δυναστείας τοσῆσδε
ἀθρόως καταπεσεῖσθαι· τοσοῦτον δ' εἰπὼν τοῖς φίλοις, ὅτι ἥδε ἡ ἡμέρα ὁπότερος
ἂν ἐπικρατήσῃ, μεγάλων ἐς αἰεὶ Ῥωμαίοις ἄρξει κακῶν, παρετάσσετο ἐς τὴν
μάχην· ὅθεν δὴ καὶ μάλιστα αὐτοῦ τὴν διάνοιαν προπεσεῖν τινες ἐν τῷ φόβῳ
νομίζοντες, ἔγνωσαν τοῦ δ' ἂν Πομπήιον κρατήσαντος, μεθεῖναι τὴν μοναρ-
χίαν· στρατιὰ δ' ἦν ὡς ἐμοὶ δοκεῖ, πολλῶν ἀμφιλογίας οὔσης, ἑπομένῳ
μάλιστα Ῥωμαίων τοῖς τὰ πιθανώτατα γράφουσι, περὶ τῶν ἐξ Ἰταλίας

ἀνδρῶν. οἳ δὴ καὶ μάλιστα θαρροῦντες τὰ συμμαχικὰ οὐκ ἀκριβοῦσιν
οὐδὲ ἀναγράφουσιν ὡς ἀλλότρια, καὶ ὀλίγην ἐν αὐτοῖς προσθήκης χώραν
ἔχοντα. Καίσαρι μὲν ἐς δισχιλίους ἐπὶ δισμυρίοις, καὶ τούτων ἱππῆς ἦσαν ἀμφὶ
τοὺς χιλίους. Πομπηΐῳ δὲ ὑπὲρ τὸ διπλάσιον. καὶ τούτων ἱππῆς ἑπτα-
κισχίλιοι. ὥστε μὲν τοῖς τὰ πιθανώτατα λέγουσι δοκεῖ μυριάδας ἑπτὰ
ἀνδρῶν Ἰταλῶν συμπεσεῖν ἀλλήλοις ἐν τῇ μάχῃ. οἱ δ' ὀλιγωτέροις ἑξακισμυ-
ρίων φασίν. οἱ δ' ὑπερεπαίροντες τεσσαράκοντα μυριάδας γενέσθαι λέγουσι.
καὶ τούτων οἱ μὲν, ἡμιόλιον. οἱ δὲ, ἐκ τριῶν νομίζουσιν ἀμφὶ τὰ δύο τῷ Πομπηΐου
γενέσθαι μέρη. τοσοῦτον μὲν ἀμφιγνοοῦσι περὶ τοῦ ἀκριβοῦς. ὅπως δ' οὖν ἔχει,
τοῖς δὲ μάλιστα τοῖς ἐξ Ἰταλίας ἑκάτερος αὐτῶν ἐθάρρει. τὸ δὲ συμμαχικὸν ἦν
Καίσαρι μὲν ἱππῆς τε Κελτοί, καὶ τῶν τῶν ὑπὲρ Ἄλπεις, ἀριθμὸς ἄλλος. ψιλοὶ
δὲ ἐπήταζον αὐτῷ, Δόλοπες. Ἀκαρνᾶνες. Αἰτωλοί. τοσοίδε μὲν τῷ Καίσαρι
συνεμάχουν. Πομπηΐῳ δὲ πάντα τὰ ἑῷα ἔθνη κατὰ πλῆθος. οἱ μὲν, ἐξ
ἵππων. οἱ δὲ, πεζοί. ἀπὸ μὲν τῆς Ἑλλάδος, Λάκωνες, ὑπὸ τοῖς ἰδίοις βασιλεῦσι
ταττόμενοι. καὶ ἡ ἄλλη Πελοπόννησος. καὶ Βοιωτοὶ μετ' αὐτῶν. ἐστράτευον δὲ
καὶ Ἀθηναῖοι. κηρυξάντων μὲν αὐτοῖς ἑκατέρων μηδὲν ἀδικεῖν τὸν στρατόν, ὡς
ἱεροῖς τῶν θεσμοφόρων. πρὸς δὲ τὴν δόξαν ἄρα τοῦ πολέμου τραπέντες, ὡς
ὑπὲρ τῆς τῶν Ῥωμαίων ἡγεμονίας ἀγωνιζόμενοι. ἐπὶ δὲ τοῖς Ἕλλησιν ὀλίγου
πάντες ὅσοι περίοικοι τῆς ἐν κύκλῳ θαλάσσης ἐπὶ τὴν ἕω. Θρᾷκές τε καὶ Ἑλλησ-
πόντιοι. καὶ Βιθυνοί. καὶ Φρύγες καὶ Ἴωνες. Λυδοί τε καὶ Παμφύλιοι. καὶ Πι-
σίδαι. καὶ Παφλαγόνες. καὶ Κιλικία. καὶ Συρία. καὶ Φοινίκη. καὶ τὸ Ἑβραίων
γένος. καὶ Ἄραβες οἱ τούτων ἐχόμενοι. Κύπριοί τε καὶ Ῥόδιοι. καὶ Κρῆτες
σφενδονῆται. καὶ ὅσοι ἄλλοι νησιῶται. παρῆσαν δὲ καὶ βασιλέες καὶ δυνάσται,
στρατὸν ἄγοντες. Δηιόταρος μὲν τετράρχης Γαλατῶν τῶν ἑῴων. Ἀριαράθης
δὲ Καππαδοκῶν βασιλεύς. Ἀρμενίων δὲ ἦγε τοὺς ἐντὸς Εὐφράτου στρατηγὸς
Ταξίλης. καὶ Ἀρμενίους τοὺς ὑπὲρ Εὐφράτην, Μεγαβάτης. ὕπαρχος Ἀρτάσου
τοῦ βασιλέως. ἄλλοι τε μικροὶ δυνάσται συνεπελάμβανον τοῦ πόνου. λέγονται
δὲ καὶ Αἰγύπτιοι νῆες ἑξήκοντα αὐτῷ παραγενέσθαι. παρὰ τῶν Αἰγύπτου
βασιλέων. Κλεοπάτρας τε καὶ τοῦ ἀδελφοῦ παιδὸς ἔτι ὄντος. ἀλλ' αἱ δὲ μὲν οὐ
συνεμαχήσαντο. οὐδὲ γὰρ τὸ ἄλλο ναυτικόν. ἀλλ' ἐπ' ἀργίας ἐν Κερκύρᾳ
κατέμενε. καὶ δοκεῖ Πομπήιος τοῦτο μάλιστα ἀφρόνως ἐργάσασθαι. τῶν
μὲν νεῶν καταφρονῆσαι, αἷς δὴ πολὺ προὔχων. ἐδύνατο πανταχοῦ τὸ

ἐπακτοῦ ἀφορμὴν τοῖς πολεμίοις ἀφαιρεῖσθαι. ἐν δὲ ἀγῶνι πεζῷ, συνεχθεὶς
ἀνδράσιν ἐκ πόνου πολλοῦ μεγαλαύχοις τε καὶ θηριώδεσιν ἐν μάχαις γενο-
μένοις. ἀλλὰ αὐτὸν αὐτοῖς φυλαξάμενον περὶ Δυρράχιον, αὐτῷ θεοβλάβεια
δοκεῖ παραγαγεῖν. ἐν ᾗ καὶ μάλιστα δὴ πάντων ἥδε τῷ Καίσαρι γενομένη. διὰ γὰρ
αὐτὴν ὁ στρατὸς ὁ τοῦ Πομπηΐου κουφόνως μάλα ἐπήρθη. καὶ τοῦ στρατηγοῦ
σφῶν κατεκράτησαν. καὶ ἐς τὸ ἔργον ἀπροπολέμως ἐτράποντο. ἀλλὰ τάδε
μὲν ᾠκονόμει θεός, ἐς ἀρχὴν τῆσδε τῆς νῦν ἐπεχούσης τὰ πάντα ἡγεμονίας.
τότε δ' αὖ τὴν στρατιὰν ἑκάτερος συναγαγών, ἐπιπαρῄει. Πομπήιος μὲν,
τοιάδε λέγων. ὑμᾶς ὦ συστρατιῶται στρατηγεῖτε τοῦ πόνου μᾶλλον ἢ στρατηγεῖσθε.
αὐτοὶ γὰρ ἐμοῦ τὰ Καίσαρος ἐκτρύχειν ἔτι βουλομένου, τὸν ἀγῶνα τόνδε πρου-
καλέσασθε. ὡς οὖν ἀγωνοθέται τῆς μάχης, χρῆσθε μὲν ὡς ἐλάττοσι πολὺ
πλείονες. καταφρονεῖτε δὲ ὡς ἡττημένων νενικηκότες. καὶ γερόντων νέοι. καὶ
πολλάκις κεκμηκότων ἀκμῆτες ἄνδρες. οἷς ὑπάρχει δύναμίς τοσήδε καὶ παρα-
σκευή. καὶ τὸ συνειδὸς ἀπὸ τῆς αἰτίας. ὑπὲρ γὰρ ἐλευθερίας καὶ πατρίδος ἀγωνιζόμεθα.
μετὰ νόμων καὶ δόξης ἀγαθῆς. καὶ τοσῶνδε ἀνδρῶν. τῶν μὲν, ἀπὸ βουλῆς.
τῶν δ' ἱππέων, πρὸς ἄνδρα ληστεύοντα τὴν ἡγεμονίαν. ἴτε οὖν ὥσπερ ἤλ-
θετε μετ' ἀγαθῆς ἐλπίδος, ἐν ὀφθαλμοῖς τιθέμενοι τήν τε φυγὴν αὐτῶν τὴν περὶ
τὸ Δυρράχιον γενομένην, καὶ ὅσα σημεῖα μιᾶς ἡμέρας κρατοῦντες αὐτῶν
ἐλάβομεν. ὁ μὲν δὴ Πομπήιος ὧδε ἔλεξεν. ὁ δὲ Καῖσαρ τοῖς ἰδίοις, τοιάδε.
τὰ μὲν δυσχερέστερα ἡμῖν ἤδη νενικήκαμεν ὦ φίλοι. ἀντὶ γὰρ λιμοῦ καὶ
ἀπορίας, ἀνδράσι μαχούμεθα. ἡ δὲ δὲ ἡμέρα κρινεῖ πάντα. μέμνησθε μοι
τῆς περὶ τὸ Δυρράχιον ἐπαγγελίας. καὶ ὧν ἐφορῶντος ἐμοῦ συνώμνυσθε
ἀλλήλοις μὴ νικῶντες οὐδὲ παραλείψειν. οὗτοί εἰσιν ὦ ἄνδρες, ἐφ' οὓς
ἐξ Ἡρακλείων στηλῶν ἤλθομεν. οἱ δὲ οἱ περιφυγόντες ἡμᾶς ἐξ Ἰταλίας.
οἱ τὴν δεκαετίαν ἀθλοῦντας ἡμᾶς καὶ πολέμοις τοσοῖσδε, καὶ νίκας διορθ-
μίτοις ἀνύσαντας, καὶ Ἰβήρων καὶ Κελτῶν καὶ Βρεττανῶν ἔθνη τετρακό-
σια περιποιήσαντας τῇ πατρίδι, διήνυον ἀγεράστους. ἀλλὰ θριάμβου τε καὶ
δωρεᾶς. καὶ οὐδὲ τὰ δίκαια αὐτοῖς ἐγὼ προκαλούμενος ἔπειθον. οὐδὲ
χάρισιν ἐξήνυον. ἴστε οὓς μεθῆκα καὶ ἀπαθεῖς. ἐλπίσας μέν τι παρ' αὐτῶν
ἔσεσθαι δίκαιον. τῶν δὲ οὖν μοι τήμερον ἀθρόως ἀνενέγκατε. καὶ τῆς
ἐμῆς πρὸς ὑμᾶς ἐπιστώσασθέ μοι κηδεμονίας καὶ πίστεως. καὶ δωρεῶν μεγαλο-
φροσύνης. ἔστι δὲ οὐ δυσχερὲς νεοστρατεύτων καὶ ἀπροπολέμων ἔτι, πολὺ

σου ἀγωνιστὰς περὶ ψυχῆς ἔσεσθαι· ἄλλως τε καὶ μειρακιωδῶς ἐν ἀταξίαις καὶ
δὶς ἐπιθεῖναι τοῦ στρατηγοῦντα προστάντων· οὓς ἐγὼ πυνθάνομαι δεδιότας καὶ
ἄκοντα χωρεῖν ἐπὶ τὸ ἔργον· τύχης τε παρακμάζοντα ἤδη, καὶ γνωσθέντα καὶ
βραδὺν ἐν ἅπασι γεγενημένον· καὶ οὐδὲ στρατηγοῦντα ἔτι μᾶλλον, ἀλλὰ
στρατηγούμενον· καὶ τάδε μοι περὶ μόνων ἐστὶ τῶν Ἰταλῶν· ἐπεὶ τῶν γε
συμμάχων μηδὲ φροντίζετε· μηδὲ ἐν λόγῳ τίθεσθε· μηδὲ μάχεσθε ὅλως
ἐκείνοις· ἀνδράποδα ταῦτα· Σύρια· καὶ Φρύγια· καὶ Λύδια· φυγῆς καὶ
καὶ δουλείας ἕτοιμα· οὓς ἐγὼ σαφῶς οἶδα, καὶ ὑμεῖς δὲ αὐτίκα ὄψεσθε, οὐδὲ
Πομπήιον αὐτὸν τάξειν ἐγνωκότα πολέμου· ἔχεσθε οὖν μοι τῶν Ἰταλῶν
μόνων· κἂν οἱ σύμμαχοι δίκην κυνῶν περιθέωσιν ὑμᾶς καὶ θορυβοποιῶσι·
τρεψάμενοι δ' αὐτούς, τῶν δὲ μὲν ὡς συγγενῶν φειδώμεθα· τοὺς δὲ συμμάχους
ἐν τῇ τῶνδε καταπλήξει ἐξεργασόμεθα· πρὸ δὲ πάντων, ὥσπερ ἂν δηλῶ ὑμᾶς
ἐγνωκότας ὅπως ἐπιθέσθε μεμνημένοις τε, καὶ νίκην πάντως ἢ θάνατον
αἱρουμένοι, καθέλετέ μοι προϊόντες ἐπὶ τὴν μάχην τὰ τείχη τὰ σφέτερα
αὐτῶν· καὶ τὴν τάφρον ἐγχώσατε· ἵνα μηδὲν ἔχωμεν ἂν μὴ κρατῶμεν·
ἴδωσι δὴ ἡμᾶς ἀσταθμεύτους οἱ πολέμιοι, καὶ συνῶσιν ὅτι πρὸς ἀνάγκης
ἐστὶν ἡμῖν ἐν τοῖς ἐκείνων σταθμεῦσαι· ὁ μὲν, τοσάδε εἰπών, φυλακὴν
ὅμως τῶν σκηνῶν κατέπεμπε δισχιλίοις τοῖς πάνυ γηρῶσιν· οἱ δὲ ἐξι-
όντες τὸ τεῖχος ἤρειπον μετὰ σιωπῆς βαθυτάτης· καὶ τὴν τάφρον αὐτοῦ ἐνε-
χώννυον· ὁρῶν δὲ ὁ Πομπήιος, ἐνίων μὲν οἰομένων τινῶν, ἐς φυγὴν αὐτοὺς συ-
σκευάζεσθαι, συνίει τοῦ τολμήματος· καὶ ἔστενε καθ' αὑτόν· ὅτι χωρήσειν
ἐς χεῖρας θηρίοις, λιμὸν ἔχουσιν, ἄριστον θηρίων φάρμακον· ἀλλ' οὐ γὰρ
ἦν ἀναδύεσθαι ἔτι, τῶν πραγμάτων οὕτως ἐπὶ ξυροῦ· διὸ δὴ καὶ τετρακισ-
χιλίους τῶν Ἰταλῶν φύλακας τοῦ στρατοπέδου καταλιπών, παρέταξε
τοὺς λοιπούς, ἐς τὸ μεταξὺ Φαρσάλου τε πόλεως καὶ Ἐνιπέως ποταμοῦ· ἔνθα
καὶ ὁ Καῖσαρ ἀντιδιεκόσμει· τοὺς μὲν Ἰταλοὺς ἑκάτερος αὐτῶν ἐν τρία
διαιρῶν ἐπὶ μετώπου· μικρὸν ἀλλήλων διεστῶτας· καὶ τοὺς ἱππέας ἐπὶ τοῖς
κέρασι τοῖς καταμερίζων· τοξόται δὲ πᾶσιν ἀναμεμίχατο καὶ σφενδο-
νῆται· καὶ τὸ μὲν Ἰταλικόν, οὕτως κεκόσμητο· ᾧ δὴ καὶ μάλιστα αὐτῶν
ἑκάτερος ἐθάρρει· τὰ συμμαχικὰ δὲ χωρὶς ἐφ' ἑαυτῶν, ὡς ἐν ἐπιδείξει·
πολύθρουν δὲ ἦν τὸ Πομπηίου συμμαχικὸν καὶ πολύγλωσσον· καὶ αὐτῶν
ὁ Πομπήιος, Μακεδόνας μὲν καὶ Πελοποννησίους καὶ Βοιωτοὺς καὶ Ἀθηναίους

ἀποδεξάμενος τῆς εὐταξίας καὶ σιωπῆς, παρέστησε τῇ φάλαγγι τῇ Ἰ-
ταλικῇ· τοὺς δὲ ἄλλους ὡς Καῖσαρ ᾔκαζεν, ἔξω τάξεως ἐκέλευσε κατὰ
φύλας ἐφεδρεύειν, ὁπόταν ἐν χερσὶν ὁ ἀγὼν γένηται κυκλοῦσθαι τοὺς πολεμίους
καὶ διώκειν· ὅσα δύναιντο βλάπτοντας· καὶ τὸ στρατόπεδον αὐτὸ Καίσαρος ἀφύλα-
κτον ὂν διαρπάζειν· ἡγοῦντο δὲ τῆς φάλαγγος, Πομπηίῳ μὲν ὁ κηδεστὴς Σκη-
πίων ἐν μέσῳ· καὶ ἐπὶ τοῦ λαιοῦ Δομέτιος· ἐπὶ δὲ τοῦ δεξιοῦ Λέντλος·
Ἀφράνιος δὲ καὶ Πομπήιος τὸ στρατόπεδον ἐφύλαττον· Καίσαρι δὲ ἐστρατήγουν
μὲν Σύλλας καὶ Ἀντώνιος καὶ Δομέτιος· αὐτὸς δὲ ἐπὶ κέρως συνετάσσετο τῷ
δεκάτῳ τέλει καθάπερ ἦν ἔθος αὐτῷ· καὶ τοῦτ' ἰδόντες οἱ πολέμιοι, μετῆ-
γον ἐπ' αὐτὸ τοὺς ἀρίστους τῶν ἱππέων· ἵνα πλεονεκτοῦντες, ἀδεῶς ἐθεῖεν κυ-
κλώσαιντο· συνιδὼν δὲ ὁ Καῖσαρ, τρισχιλίους τολμηροτάτους πεζοὺς ἐνήδρευσεν·
οἷς ἐκέλευσεν ὅταν αἴσθωνται τοὺς πολεμίους περιθέοντας, ἀναπηδᾶν· καὶ τὰ
δόρατα ἐμπηδῶντας ἀνίσχειν ὀρθὰ ἐς τὰ πρόσωπα τῶν ἀνδρῶν· οὐ γὰρ οἴσειν
ἀπείρους ὄντας καὶ ὡραϊζομένους ἔτι, τὸν ἐν τοῖς προσώποις κίνδυνον· οἱ μὲν
δὴ τοιάδε κατ' ἀλλήλων ἐμηχανῶντο· καὶ περιῄεσαν ἑκάστοις, καθιστάμενοι
τά τε ἐπείγοντα, καὶ ἐς τόλμαν παρακαλοῦντες· καὶ τὰ συνθήματα ἀνα-
διδόντες· ὁ μὲν Καῖσαρ, Ἀφροδίτην νικηφόρον· ὁ δὲ Πομπήιος Ἡρακλέα
ἀνίκητον· ὡς δὲ σφίσιν ἕτοιμα πάντα ἦν, ἐπὶ πολὺ καὶ ὡς ἀνέμενον ἐν βαθυτάτῃ
σιωπῇ· μέλλοντές τε ἔτι καὶ ὀκνοῦντες καὶ ἐς ἀλλήλους ἀποβλέποντες, ὁπότερος
ἄρξει τῆς μάχης· τό τε γὰρ πλῆθος ᾤκτειρον, οὐδενός πω τοσοῦδε Ἰταλοῦ στρατοῦ
ἐς ἕνα κίνδυνον συνελθόντος· καὶ τὴν ἀρετὴν ἐκκρίτου οὔσης ἑκατέρων, ἠλέουν· καὶ
μάλιστα ὅτε εἶδον Ἰταλοὺς Ἰταλοῖς συμφερομένους· ἐγγύς τε τοῦ κινδύνου γιγνο-
μένου αὐτοῖς· ἡ μὲν ἐκκαίουσα καὶ τυφλοῦσα πάντας φιλοτιμία, ἐσβέννυτο, καὶ
μετεβάλλετο ἐς δέος· ὁ δὲ λογισμὸς ἐκαθαίρετο δοξοκοπίας· καὶ τὸν κίνδυνον ἐμέτρει·
καὶ τὴν αἰτίαν ὅτι περὶ πρωτείων ἄνδρε δύο ἐρίζοντε ἀλλήλοιν, αὐτώ τε κινδυνεύετον
ἐπὶ τῷ σφάλματι, μὴ δὲ ἔσχατον πάντων ἡττηθέντε τεθνάναι· καὶ τοσόνδε πλῆθος ἀνδρῶν
κινδυνεύειν δι' αὐτούς· ἐσήει δὲ σφᾶς, ὅτι φίλοι καὶ κηδεσταὶ τέως ὄντες· καὶ πολλὰ
συμπράξαντες ἀλλήλοις ἐς ἀξίωμα καὶ δύναμιν, ἐξέφερον νῦν φόνον κατ' ἀλλήλων·
καὶ τοῖς ὑποστρατευομένοις ὁμοίως ἀθεμίστως ἄγουσιν, ὁμοεθνεῖς τε ὄντας
ἀλλήλοις καὶ πολίτας καὶ φυλέτας καὶ συγγενεῖς· ἐνίους δὲ καὶ ἀδελφούς· οὐδὲ γὰρ
ταῦτα ἀπέλιπεν ἐκείνην τὴν μάχην· ἀλλ' ὡς ἐν τοσαῖσδε μυριάσιν ἐξ ἑνὸς ἔθνους
ἐπ' ἀλλήλας ἰούσαις, πολλὰ τὰ παράδοξα συνέπιπτεν· ὧν ἐνθυμούμενοι

ἑκάτερος, μετέωροί τε δι᾽ ὠδῖνος ἐπιὼν τοῦ πόνου συνεπίμπλατο· καὶ ὡς ἐς ὅ-
μως ἐκάλει τῆς ἡμέρας τῶν ἐπὶ γῆς καὶ πρῶτος καὶ τηλικαῖος, ὤκνει τοσῆσδε
ἀμφιβολίας ἄρξαι· καί φασιν αὐτῶν ἑκάτερον δακρῦσαι. μελλόντων δέ τι καὶ
ἐς ἀλλήλους ἀποβλεπόντων, ἡ ἡμέρα προύκοπτε· καὶ τὸ μὲν Ἰταλικὸν ἅπαν
ἀπαθῶς ἐφεστηκὸς ἀκριβῶς ἀνέμενε· τὸ δὲ συμμαχικὸν ὁ Πομπήιος αὐτοῦ
ταρασσόμενον ὁρῶν ὑπὸ τῆς μελλήσεως, καὶ δείσας μὴ πρὸ τοῦ ἀγῶνος ἀταξίας κατάρξῃ,
ὑπεσήμαινεν πρῶτος· καὶ ἀντήχησεν ὁ Καῖσαρ. αὐτίκα δ᾽ αἵ τε σάλπιγγες αὐτοῖς ἐξώ-
τρυνον ὀρθίοις κλαγγαῖς, ὡς ἐν τοσῷδε πλήθει, πολλαὶ κατὰ μέρη, καὶ οἱ κήρυκες
καὶ οἱ ἐπιστάται περιθέοντες ἤπειγον· οἱ δὲ σοβαρῶς ἀλλήλοις ἐπῄεσαν μετά τε
θάμβους καὶ σιωπῆς βαθυτάτης, ὡς πολλῶν ἀγώνων τοιῶνδε ἐμπειροπόλεμοι·
πλησιάζουσι δ᾽ αὐτοῖς ἤδη, τοξεύματα καὶ λίθοι πρῶτον ἦν· καὶ τῶν ἱππέων βραχύ τι
προλαβόντων, ἀθρόα τε ἐπελάσαντες ἐπ᾽ ἀλλήλοις, καὶ περιέχοντες οἱ τοῦ
Πομπηίου, τὸ δέκατον τέλος ἐκυκλοῦντο. Καίσαρος δὲ τὸ σημεῖον τοῖς ἐφέδροις
ἄραντος, οἱ μὲν ἐξαναστάντες, ἐν τοῖς ἱππεῦσιν ἐχώρουν· ὀρθοῖς δὲ τοῖς δόρασιν,
ἐς τὰ πρόσωπα τίθεσθαι τοῖς ἐπικαθημένοις· οἱ δ᾽ οὐκ ἀνεχόμενοι αὐτῶν,
οὔτε τὴν ἀπόνοιαν, οὔτε τὰς ἐπὶ στόματα καὶ ὀφθαλμοὺς πληγάς, ἔφευγον ἀκόσμως·
καὶ τὸ ἐνταῦθα πεζὸν δ᾽ αὐτοῖς ἱππέων ἔρημον γενόμενον, ἐκυκλοῦντο οἱ τοῦ Καίσαρος
ἱππεῖς, αὐτοὶ δὴ ἐπιόντες περικυκλοῦσιν. Πομπήιος δὲ πυθόμενος, ἐκέλευε
τοῖς πεζοῖς μήτε ἐκθεῖν ἔτι, μήτε ἐκτρέχειν ἐκ τῆς φάλαγγος, μηδ᾽ ἀκοντίζειν,
ἀλλ᾽ ἐν προβολῇ διαστάντας, ἀμύνεσθαι κατὰ χρόνον τοῖς δόρασι τὸν ἐπιόντα· καὶ τόδε
τινὲς ἐν αὐτοῦ τὸ στρατήγημα ἐπαινοῦσιν ὡς ἄριστον ἐν περικυκλώσει· ὁ δὲ
Καῖσαρ ἐν ταῖς ἐπιστολαῖς καταμέμφεται· τάς τε γὰρ πληγὰς ὑπὸ τῆς βολῆς
δυνατωτέρας γίγνεσθαι, καὶ τοὺς ἄνδρας ὑπὸ τοῦ δρόμου προθυμοτέρους· ἑστῶτας δ᾽
ἀποψύχεσθαί τε· καὶ τοῖς ἐπιθέουσιν δ᾽ αὐτοὺς δι᾽ ἀτρεμίαν, οἷα σκοποὺς γίνεσθαι.
ὃ καὶ τότε γενέσθαι· τὸ γὰρ δέκατον τέλος σὺν αὐτῷ περιδραμὸν τὰ λαιὰ τοῦ
Πομπηίου, ἔρημα ἱππέων γενόμενα καὶ πανταχόθεν ἀτρεμοῦντα, ἐς τὰ πλάγια
ἐσηκόντιζον· μέχρι θορυβουμένοις ἐμπεσόντες, βιαίως τρέψασθαι· καὶ τῆς νίκης
κατάρξαι. κατὰ δὲ τὸ ἄλλο πλῆθος, ἦν ἔτι τραυμάτων καὶ φόνων ἔργα πολλὰ καὶ
ποικίλα· βοὴ δ᾽ οὐδεμία ἐκ τοσῆσδε φάλαγγος τοιᾶσδε δρώσης· οὐδ᾽ οἰμωγαὶ
τῶν ἀναιρουμένων ἢ πληττομένων· ἀλλὰ βρυχηθμὸς κατὰ μόνας καὶ στόνοι· ἐπὶ πολὺ
ἀνθαμίλλως ἐταλαιπώρησαν ἀσχημόνως· οἱ σύμμαχοι δὲ καθάπερ ἀγῶνα πολέμου
θεώμενοι, κατεπλήσσοντο τῇ ἀταξίᾳ· καὶ οὔτε τὰς σκηνὰς τοῦ Καίσαρος

159.

ἐτόλμων ὑπὸ θαύματος, ὀλίγων αὐτὰς καὶ πρεσβυτέρων ἀνδρῶν φυλασσόντων,
περιδραμεῖν, οὔτε ἄλλο, ἢ ἑστῶτες ἐθάμβουν. ὡς δ᾽ ἐνέδωκε τὸ λαιὸν τοῦ
Πομπηίου, αὐτοὶ μὲν καὶ τότε βάδην ὑπεχώρουν ἅμα καὶ συνεπλέκοντο. οἱ δὲ
σύμμαχοι πρὸς τροπὴν ἄδηλον ἔφευγον ἀπρονοήτοι· βοῶντες ἡσσήμεθα. καὶ τὰς σκηνὰς
σφῶν αὐτοὶ καὶ τὰ χαρακώματα ὡς ἀλλότρια προλαβόντες διέσπων· καὶ διήρ-
παζον ἐν τῇ φυγῇ, ὅτι δύναιντο ἐπαγόμενοι. ἤδη δὲ καὶ τὸ ἄλλο τῶν Ἰταλῶν ὁπλι-
τικὸν τῆς ἥττης ἤδη αἰσθανόμενον, ὑπεχώρει κατὰ πόδα πρῶτον ἐν κόσμῳ. καὶ
ἔτι ἐκ τῶν δυνατῶν ἀμυνόμενοι· ἐπικειμένων δ᾽ αὐτοῖς ὡς ἐν δ᾽ ἄρα ἤδη τῶν πο-
λεμίων, ἐστράφησαν ἐς φυγήν. καὶ ὁ Καῖσαρ δ᾽ εὐμηχάνως δὴ τότε μάλιστα, ἵνα μὴ
συνέλθοιεν αὖθις, μηδὲ τὸ ἔργον γένοιτο μάχης μιᾶς· ἀλλὰ παντὸς τοῦ πολέμου,
κήρυκας ἐν ταῖς τάξεσι πανταχοῦ περιέπεμπε· οἳ τοῖς νικῶσιν ἐκήρυσσον ἀφίεσθαι τοὺς(?)
τῶν ὁμοεθνῶν· ἐπὶ δὲ τοῖς συμμάχοις μόνον χωρεῖν· καὶ τοῖς ἡσσωμένοις προσέπε-
λαζον, παραινοῦντες ἀδεῶς ἑστάναι. ἀνήρ τε παρ᾽ ἀνδρὸς ἐκμανθάνων τὸ κή-
ρυγμα, ἵστατο· καὶ σύμβολον ἦν αὐτοῖς τῶν Πομπηίου στρατιωτῶν, ἦν τὸ ἀδεῶς
ἑστάναι. τὰ ἄλλα ὡς Ἰταλῶν ὁμοίως ἐσκευασμένων τε καὶ φωνὴν ὁμοίαν ἀφιέντων·
διεκθέοντες δ᾽ αὐτοὺς οἱ τοῦ Καίσαρος, τοῖς συμμάχοις οὐ δυναμένοις ἀντέχειν ἀνῄρουν·
καὶ ὁ πλεῖστος ἐνταῦθα ἐγίνετο φόνος. Πομπήιος δὲ ὡς εἶδε τὴν τροπὴν ᾔδει(?), ἔκφρων
αὑτοῦ γενόμενος, ἀπῄει βάδην ἐς τὸ στρατόπεδον· καὶ παρελθὼν ἐς τὴν σκηνήν,
ἐκαθέζετο ἄναυδος· οἷόν τι καὶ τὸν Τελαμῶνος Αἴαντά φασιν ἐν Ἰλίῳ παθεῖν, ἐν
μέσοις πολεμίοις, ὑπὸ θεοῦ βλαβέντα· τῶν δ᾽ ἄλλων ὀλίγοι πάνυ ἐσῆεσαν ἐς τὸ στρατό-
πεδον· τὸ γὰρ κήρυγμα τοῦ Καίσαρος, ἑστάναι τε ἀκινδύνως ἐποίει· καὶ παραδραμόντων
τῶν πολεμίων, διεσκίδνη κατὰ μέρος. ληγούσης δὲ τῆς ἡμέρας, ὁ Καῖσαρ τὸν στρατὸν
ἀσχέτως περιθέων, ἱκέτευε προσπονῆσαι, μέχρι καὶ τὸν χάρακα τοῦ Πομπηίου
λάβοιεν· ἐκδιδάσκων ὅτι συστάντες αὖθις οἱ πολέμιοι, μίαν ἡμέραν ἔσονται
νενικηκότες· εἰ δὲ τὸ στρατόπεδον αὐτῶν ἕλοιεν, τὸν πόλεμον ἐν ἑνὶ τῷδε ἔργῳ κατορ-
θωκότες ἂν εἶεν. τάς τε οὖν χεῖρας αὐτοῖς ὤρεγε, καὶ πρῶτος ἐξῆρχε δρόμου. τοῖς δὲ
τὰ μὲν σώματα ἔκαμνεν· ἡ δὲ ψυχή, ὅ τε γνωσθεὶς(?) καὶ ὁ αὐτοκράτωρ συντρέχων
ἐκούφιζε. ἠρέθιζε δὲ καὶ ἡ τῶν γεγονότων εὐπραξία καὶ ἐλπίς, ὅτι καὶ τὸν χάρακα
αἱρήσουσι· καὶ πολλὰ τὰ ἐν αὐτῷ. ἥκιστα δ᾽ ἐν ἐλπίσιν ἢ εὐτυχίαις ἄνθρωποι καμάτου
αἰσθάνονται. οἱ μὲν δὴ καὶ τῷδε προσπεσόντες, ἐπεχείρουν σὺν πολλῷ θράσει τοῖς ἀ-
πομαχομένοις καταφρονοῦντες. ὁ δὲ Πομπήιος μαθών, ἐξ ἀλλοκότου σιωπῆς τοσόνδε
ἀπέρρηξεν· οὐκοῦν καὶ ἐπὶ τὸν χάρακα ἡμῶν; καὶ εἰπών, τήν τε στολὴν ἤλλαξε·

καὶ ἵππου ἐπὶ βασιλεῦσι φίλοις τε οὖσιν, οὐκ ἀνέσχε δρόμου, πρὶν ἀρχομένης ἡμέρας
ἐν Λαρίσῃ γενέσθαι. ὁ δὲ Καῖσαρ ὡς [illegible], ἐν τῷ Πομπηίου
χάρακι ἐσταθμεύσε. καὶ αὐτός τε τὸ ἐκείνου βρῶμα, καὶ ὁ στρατὸς ἅπας τὰ τῶν πολεμίων
ἐδαίσαντο. ἀπέθανον δὲ ἐκατέρων, τῶν γε Ἰταλῶν· οὐ γὰρ δὴ τῶν γε συμμάχων οὐδὲ ἐξαρίθ-
μησις ἐγένετο ὑπὸ πλήθους καὶ καταφρονήσεως· ἐκ μὲν τοῦ Καίσαρος στρατοῦ, τριάκοντα λο-
χαγοὶ καὶ στρατιῶται διακόσιοι· ἢ ὡς ἑτέροις δοκεῖ χίλιοι καὶ διακόσιοι· ἐκ δὲ τῶν Πομπη-
ίου, βουλευταὶ μὲν δέκα· ὧν ἦν καὶ Λεύκιος Δομίτιος, ὁ αὐτῷ Καίσαρι πεμφθεὶς ἐπὶ
τὴν Γαλατίαν διάδοχος· τῶν δὲ καλουμένων ἱππέων, ἀμφὶ τεσσαράκοντα τῶν ἐπιφανῶν.
ἐκ δὲ τῆς ἄλλης στρατιᾶς, οἱ μὲν ἐπαίροντες φασὶ δισμυρίους ἀμφὶ πεντακισχιλίους.
Ἀσίννιος δὲ Πολλίων ὑπὸ Καίσαρι τῆσδε τῆς μάχης στρατηγῶν, ἑξακισχιλίους
ἀναγράφει νεκροὺς εὑρεθῆναι τῶν Πομπηίου. τοῦτο τέλος ἦν τῆς ἀοιδίμου περὶ
Φάρσαλον μάχης. ἀριστεῖα δὲ ὁ μὲν Καῖσαρ αὐτός τε πρῶτος καὶ [illegible] ἐφέρετο·
ὁμολογούμενος ἀριστεῦσαι· καὶ σὺν αὐτῷ τὸ τέλος τὸ δέκατον· τὰ δὲ τελ. Κρασίνιος
λοχαγός. ὃν Καῖσαρ μὲν ἐξιὼν ἐπὶ τὴν μάχην, ἤρετο, τί προσδοκώη· ὁ δὲ
λαμπρῶς ἀνεβόησε· νικήσομεν ὦ Καῖσαρ· κἀμὲ ἢ ζῶντα ἢ νεκρὸν ἐπαινέσεις.
καὶ ἡ στρατιὰ ἐμαρτύρει, καθάπερ ἐνθουσιῶντα ἑκάστην τάξιν διαθέοντα, πολλὰ
καὶ λαμπρὰ δρᾶσαι. ζητουμένου δὲ ἐν τοῖς νεκροῖς εὑρεθέντα, τὰ ἀριστεῖα ὁ
Καῖσαρ αὐτῷ περιέθηκε καὶ συνέθαψε· καὶ τάφον ἐξαίρετον ἀνέστησεν, ἐγγὺς τοῦ
πολυανδρίου. ὁ δὲ Πομπήιος ἐκ Λαρίσης ὁμοίῳ δρόμῳ μέχρι θαλάσσης ἐλθὼν,
σκάφους ἐπέβη μικροῦ· καὶ νεὼς παραπλεούσης ἐπιτυχὼν, ἐς Μιτυλήνην διέ-
πλευσε. ὅθεν τὴν γυναῖκα Κορνηλίαν ἀναλαβὼν, καὶ τεσσάρων τριήρων ἐπιβὰς,
αἳ αὐτῷ παρὰ Ῥοδίων καὶ Τυρίων ἀφίκοντο, Κορκύρας μὲν καὶ τότε καὶ Λιβύης
ὑπερεῖδεν· ἔνθα αὐτῷ στρατὸς ἦν ἄλλος πολὺς, καὶ ναυτικὸν ἀκραιφνές· ἐπὶ
δὲ τὴν ἕω φερόμενος, ἐπὶ τὸν Παρθυαῖον, ὡς δὴ ἐκείνου πάντα ἀναληψόμενος,
τὸ ἐνθύμημα ἀπέκρυπτε μέχρι περὶ τὴν Κιλικίαν. μόλις δὲ ἐξέφηνε τοῖς φίλοις.
οἱ δὲ αὐτὸν ἠξίουν φυλάσσεσθαι τὸν Παρθυαῖον, ἐπιβεβουλευμένον τε
ἔναγχος ὑπὸ Κράσσου, καὶ θυμούμενον ἔτι τῇ Κράσσου συμφορᾷ· μάλιστα δὲ
ἀκρατέσι βαρβάροις ἐπάγοντα τὴν γυναῖκα Κορνηλίαν· Κράσσου μάλιστα γε-
γενημένην. ὑποτεθέντος δὲ ἐς Αἴγυπτον ἢ Ἰόβα· Ἰόβα
μὲν ὑπερεώρων ὡς ἀδόξου· ἐς δὲ τὴν Αἴγυπτον αὐτῷ συνεφρόνουν· ἐγγύς τε
οὖσαν καὶ μεγάλην ἀρχήν. ἔτι δὲ εὐδαίμονα· καὶ δύναμιν ναυσὶ καὶ σίτῳ
καὶ χρήμασι· τούς τε βασιλεύοντας αὐτῆς, εἰ καὶ παῖδες εἶεν, πατρικοὺς εἶναι

τῷ Πομπηίῳ φίλους. ὁ μὲν δὴ διὰ ταῦτα ἐς Αἴγυπτον ἔπλει· ἄρτι δὲ ἐκ-
πεσούσης ἀπ' Αἰγύπτου Κλεοπάτρας, ἣ τῷ ἀδελφῷ συνῆρχε· καὶ στρατὸν ἀμφὶ
Συρίαν ἀγειρούσης, Πτολεμαῖος ὁ τῆς Κλεοπάτρας ἀδελφὸς ἀμφὶ τὸ Κάσιον
τῆς Αἰγύπτου, ταῖς Κλεοπάτρας ἐμβολαῖς ἐφήδρευε· καί πως κατὰ δαίμονα ἐς τὸ Κάσι-
ον τὸ πνεῦμα τὸν Πομπήιον κατέφερε. θεασάμενος δὲ στρατὸν πολὺν ἐπὶ τῆς γῆς, ἔστησε
τὸν πλοῦν· καὶ εἰκάσας ὅπερ ἦν, παρεῖναι τὸν βασιλέα, πέμψας τε ἔφραζε περὶ ἑαυτοῦ
καὶ τοῦ πατρὸς φιλίας. ὁ δὲ ἦν μὲν ἀμφὶ τρεῖς καὶ δέκα ἔτη μάλιστα γεγονώς· ἐπετρό-
πευον δὲ αὐτοῦ τὴν μὲν στρατιὰν, Ἀχιλλᾶς· τὰ δὲ χρήματα Ποθεινὸς εὐνοῦχος· οἳ βουλὴν
προυτίθεντο περὶ τοῦ Πομπηίου. καὶ παρὼν ὁ Σάμιος Θεόδοτος ὁ ῥήτωρ, διδάσκαλος
ὢν τοῦ παιδὸς, ἀθέμιστον ἐσηγεῖτο ἔργον, ἐνεδρεῦσαι καὶ κτεῖναι Πομπήιον, ἐς
χάριν γενομένοις Καίσαρι. κυρωθείσης δὲ τῆς γνώμης, σκάφος εὐτελὲς ἐπ' αὐτὸν ἐπέμ-
πετο, ὡς τῆς θαλάσσης οὔσης ἀλιτενοῦς, καὶ μεγάλαις ναυσὶν οὐκ εὐχεροῦς. ὑπηρέται
τέ τινες τῶν βασιλικῶν ἐνέβαινον ἐς τὸ σκάφος. καὶ Σεμπρώνιος ἀνὴρ Ῥωμαῖος,
τότε μὲν ὢν σὺν βασιλεῖ· πάλαι δὲ αὐτῷ Πομπηίῳ στρατευσάμενος, δεξιάν τε ἔφερε
παρὰ τοῦ βασιλέως τῷ Πομπηίῳ· καὶ ἐκέλευεν ὡς ἐς φίλον τὸν παῖδα διαπλεῦσαι.
ἅμα δὲ ταῦτ' ἐγίγνετο. καὶ ὁ στρατὸς ὡς ἐπὶ τιμῇ τοῦ Πομπηίου παρὰ τὸν αἰγιαλὸν
ἐξετάσσετο ἅπας. καὶ ὁ βασιλεὺς ἐν μέσῳ τῇ φοινικίδι δῆλος ἦν περικείμενος.
ὁ δὲ Πομπήιος, ὑπώπτευε μὲν ἅπαντα, καὶ τὴν παράταξιν τοῦ στρατοῦ, καὶ τοῦ σκά-
φους εὐτέλειαν· καὶ τὸ μὴ τὸν βασιλέα αὐτὸν οἱ παραγενέσθαι· μηδὲ τῶν ἐπι-
φανῶν τινας πέμψαι. τοῦτο δὲ ἐκ τῶν Σοφοκλέους ἰάμβων προσεῖπεν ἀνε-
νεγκὼν, ὅστις γὰρ ὡς τύραννον ἐμπορεύεται, κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος
μόλῃ, ἀνέβαινεν ἐς τὸ σκάφος. καὶ ἐν τῷ διάπλῳ σιωπώντων ἁπάντων, ἔτι
μᾶλλον ὑπώπτευε· καὶ τὸν Σεμπρώνιον, ἤτε ἐπιγινώσκων Ῥωμαῖον ὄντα καὶ
ἐστρατευμένον ἑαυτῷ, ἤ τε τὸ [illegible] ἐκ τοῦ μόνου ἑστάναι. κατὰ δὴ τὴν στρατιω-
τικὴν γὰρ ἀδιδασκαλίαν οὐ συνεδρεύοντα αὐτοκράτορι, ἐπιστραφεὶς ἐς αὐτὸν,
ἦ που, φησὶν, ἐγὼ γιγνώσκω σὺ στρατιώτα; ὁ δὲ αὐτίκα μὲν ἐπένευσεν. ἀποστρα-
φέντα δὲ αὖθις ἐπάταξε πρῶτος. οἱ δὲ ἕτεροι. καὶ τὸ μὲν γύναιον τοῦ Πομπη-
ίου καὶ οἱ φίλοι ταῦτα μακρόθεν ὁρῶντες, ἀνῴμωζόν τε· καὶ χεῖρας ἐς θεοὺς ἐκ-
δίκους σπονδῶν ἀνίσχοντες, ἀπέπλεον τάχιστα ὡς ἐκ πολεμίας. Πομπηίου
δὲ τὴν μὲν κεφαλὴν ἀποτεμόντες οἱ περὶ Ποθεινὸν, ἐφύλασσον Καίσαρι, ὡς ἐπὶ
μεγίσταις ἀμοιβαῖς. ὁ δὲ αὐτοὺς ἠμύνατο ἀξίως τῆς ἀθεμιστίας. τὸ δὲ λοιπὸν
σῶμά τις ἔθαψεν ἐπὶ τῆς ἠϊόνος· καὶ τάφον ἤγειρεν εὐτελῆ· καὶ ἐπίγραμμα

ἄλλος ἐπέγραψε· τῷ ναοῖς βρίθοντι, πόση σπάνις ἔπλετο τύμβου. χρόνῳ
δὲ τὸν τάφον τόν τε ἐπικρυφθέντα ὅλον ὑπὸ ψάμμου, καὶ εἰκόνας ὅσας ἀπὸ χαλ-
κοῦ τῷ Πομπηΐῳ περὶ τὸ Κάσιον ὄρος οἱ προσήκοντες ἀνέθηκαν, λελωβη-
μένα πάντα, καὶ εἰς τὸ ἄδυτον τοῦ ἱεροῦ κατενεχθέντα, ἐζήτησε καὶ ἀνεῦρεν ὁ ὕστερον
Ῥωμαίων βασιλεὺς Ἀδριανὸς ἐπιδημῶν, καὶ τὸν τάφον ἀνεκάθηρε γνώριμον αὖθις
εἶναι· καὶ τὰς εἰκόνας αὐτοῦ Πομπηΐου διωρθώσατο· τὸ δὲ μὲν δὴ τοῦ βίου τέλος ἦν
Πομπηΐῳ τῷ μεγίστοις πολέμοις ἀνύσαντι· καὶ μέγιστα τῶν Ῥωμαίων ἀρχῶν ἐπι-
φθάσαντι· καὶ μεγάλῳ διὰ ταῦτα ὀνομασθέντι· καὶ οὐχ ἡττηθέντι ποτὲ πρότερον,
ἀλλ' ἀηττήτῳ καὶ εὐτυχεστάτῳ ἐξ ἔτι νέου γενομένῳ· ἀπὸ γὰρ τριῶν καὶ εἴκοσιν ἐτῶν, οὐ
διῆγεν εἰς ὀκτὼ καὶ πεντήκοντα τῇ μὲν ἰσχύϊ μοναρχικῶς δυναστεύων· τῇ δὲ δόξῃ
διὰ τὸν Καίσαρος ζῆλον δημοτικὸς γενόμενος ψήφοις ἦρχεν· Λεύκιος δὲ Σκηπίων ὁ κηδεστὴς
τοῦ Πομπηΐου καὶ ἄλλοι τῶν ἐπιφανῶν, ἐκ τοῦ κατὰ Φάρσαλον ἔργου διεσώθησαν· ἐπὶ
Κέρκυραν ἀπήντησαν πρὸς Κάτωνα· ἐστρατοῦ καὶ τριακοσίων τριήρων ἀρχὴν ὑπολελειμ-
μένον ... · οἱ δὲ τοῦ Πομπηΐου καὶ αὐτῶν οἱ ἐπιφανέστατοι ἅμα μὲν τὸ ναυτικὸν, καὶ αὐτοὶ
μὲν ἐς τὸν Πόντον ἔπλει πρὸς Φαρνάκην· ὡς διὰ τῆς αὐτῶν ἐπὶ Καίσαρα· Σκηπίων δὲ καὶ
Κάτων ἐς Λιβύην ἔπλευσαν, οὐδ' ὥστε ἐπὶ σωτηρίᾳ· καὶ τῷ μετὰ Οὐάρου στρατῷ· καὶ Ἰόβα· Νομάδων
βασιλεῖ συμμαχοῦντι· Πομπήϊος δὲ ὁ τοῦ Πομπηΐου πρεσβύτερος υἱὸς καὶ Λαβιηνὸς
σὺν αὐτῷ· καὶ Ἀφράνιος τὸ μέρος ἔχοντες, ἐπήγοντο ἐν Ἰβηρίᾳ· καὶ αὐτὸ ἀποστάντες
ἀπὸ τοῦ Καίσαρος, στρατὸν ἄλλον ἐξ αὐτῶν Ἰβήρων τε καὶ Κελτιβήρων καὶ θεραπόντων συνέλεγον·
ὧν τε Φαρνάκης μείζονι ἐγίνοντο· τηλικαῦται δυνάμεις τῆς Πομπηΐου παρασκευῆς
ἦσαν ὑπόλοιποι· καὶ αὐτῶν ὑπὸ θεοβλαβείας ὑπεριδὼν ὁ Πομπήϊος, ἔφυγε· τῶν δὲ ἐν Λιβύῃ
καὶ τῶν σφῶν στρατηγῶν αἱρουμένων, ὁ Κάτων οὐχ ὑπέστη, πρὸ ἀνδρῶν ὑπάτων. οἱ
κατὰ ἔθος ἐπιτρέποντες αὐτοῦ· μόνον ἄρχειν ἄρξαντος ἐν Ῥώμῃ, τὸ στρατηγῆσαι· γίνεται
μὲν δὴ Σκηπίων αὐτοκράτωρ· ὁ στρατὸς κἀνταῦθα πολὺς ἠθροίζετο· καὶ ἐν μιᾷ
ζητο· καὶ Νομάδες μάλιστα ἀξιόλογοι παρασκευαὶ περὶ Λιβύην καὶ Ἰβηρίαν ἐπὶ Καίσαρα
συνεκροτοῦντο· αὐτὸς δὲ ἐπὶ τὴν ... μὲν ἡμέραν ἐν Φαρσάλῳ διέτριψε· θύων·
καὶ τὸν στρατὸν ἐκ τῆς μάχης ἀναλαμβάνων· ἔνθα καὶ Θεσσαλοῖς ἐλευθέροις ἀφῆκε συμμαχή-
σαντάς οἱ· καὶ Ἀθηναίοις αἰτησαμένοις συγγνώμην, ἐπεδίδου· καὶ ἐπεῖπε· ποσάκις ὑμᾶς
ὑπὸ σφῶν αὐτῶν ἀπολλυμένους, ἡ δόξα τῶν προγόνων περισώσει· τῇ τρίτῃ δὲ ἐξή-
λαυνεν ἐπὶ τὴν ἕω· κατὰ πίστιν τῆς Πομπηΐου φυγῆς· καὶ τὸν Ἑλλήσποντον ἀποσείσας
τριήρεσι, συνέφεσιν ἐπιφερόμενος· Κάσσιος δὲ σὺν τῷ μέρει τῶν τριήρων ἐπι-
φανεὶς καὶ μεταπορευόμενος· πρὸς Φαρνάκην ἐπειγόμενος· καὶ δείσας ἂν πολλαῖς

τριήρεσι κατὰ σφῶν μετ' ὀλίγων, ὑπὸ δέους τῆς Καίσαρος εὐτυχίας· περὶ πίστεως δὴ καὶ ἐπὶ φόβον
τότε οὖν ἐξεπλάγη· καὶ νομίζων οἱ τὸν Καίσαρα ἐπιτίθεσθαι ἐπὶ πολὺν, τὰς χεῖρας ὤρεξεν αὐ-
τῷ ἀπὸ τριήρους εἰς σκάφη· καὶ συγγνώμην ᾔτει· καὶ τὰς τριήρεις παρεδίδου· τοσοῦτον
ἴσχυεν ἡ δόξα τῆς Καίσαρος εὐπραγίας· οὐ γὰρ ἔγωγε τὴν ἄνοιαν αἰτιῶμαι· οὐδὲ ἔργον τούτου
ἡγοῦμαι τύχης τῷ Καίσαρι γενέσθαι μᾶλλον, ἢ Κασσίου τοῦ πολεμικωτάτου· ἐπὶ
τριήρων ἑβδομήκοντα ἀπαρασκεύῳ Καίσαρι συντυχὼν μηδὲ ἐς χεῖρας ἐλθεῖν ὑποστῆναι·
ὃ δ' οὕτως ἑαυτὸν αἰσχρῶς ὑπὸ φόβου μόνου παραπλέοντι παρέδωκεν, ὕστερον ἐν Ῥώμῃ
δυναστεύοντα ἤδη κατέκανεν· ὡς καὶ αὐτὸ δῆλον ἐστί· τὸν πρότερον τῷ Κασσίῳ φόβον ὑπὸ τύχης
ἐγγενέσθαι, τὸν Καίσαρα ἐπαιρομένου· διασωθεὶς δ' οὕτω παραδόξως ὁ Καίσαρ καὶ τὸν Ἑλλή-
σποντον περαιωθεὶς, Ἴωσι μὲν καὶ Αἰολεῦσι καὶ τὰ ἄλλα ἔθνη τὴν μεγάλην χερρόνησον οἰ-
κοῦσι· καὶ καλοῦσιν αὐτὴν ἐν ὀνόματι Ἀσίαν τὴν κάτω, συνεγίνωσκε παραιτουμένοις
ἐς αὐτὸν καὶ παρακαλοῦσι· πυθόμενος δὲ Πομπήϊον ἐπ' Αἴγυπτον φέρεσθαι, διέπλευ-
σεν ἐς Ῥόδον· καὶ οὐδὲ ἐνταῦθα τὸν στρατὸν αὐτοῦ κατὰ μέρη προσιόντα περιμείνας, ἐν ταῖς
Κασσίου καὶ ἐκ Ῥοδίων τριήρεσιν ἀνέβη σὺν τοῖς παροῦσιν· οὐδενί τε ἐκφήνας ὅποι τὸν
πλοῦν ποιήσεται, περὶ ἑσπέραν ἀνήχθη· ἐπαγγείλας τοῖς λοιποῖς κυβερνήταις
πρὸς τὸν λαμπτῆρα τῆς ἑαυτοῦ νεὼς καὶ καθ' ἡμέραν πρὸς τὸ σημεῖον ἀφορῶσιν· τῷ δὲ
αὐτοῦ κυβερνήτῃ πολὺ τῆς γῆς ἀποσχών, προσέταξεν ἐς Ἀλεξάνδρειαν φέρεσθαι·
καὶ ὁ μὲν, τρισὶν ἡμέραις πελάγιος ἀμφὶ τὴν Ἀλεξάνδρειαν ἦν· ἐνδεχόμενοι δὲ αὐτὸν
οἱ τοῦ βασιλέως ἐπιτρόπου τοῦ ἐπὶ τοῦ βασιλέως ἀμφὶ τὸ Κάσιον ὄντος· καὶ πρῶτα μὲν,
ἀπραγμοσύνην τινὰ διὰ τὸ ὀλίγον τῆς τῶν σὺν αὐτῷ ὑπεκρίνετο· φιλοφρόνως τε
τοὺς ἐντυγχάνοντας ἐξεδέχετο· καὶ τὴν πόλιν περιϊὼν, τοῦ κάλλους ἐθαύμαζε· καὶ
τῶν φιλοσόφων μετὰ τοῦ πλήθους ἑστὼς, ἠκροᾶτο· ὅθεν αὐτῷ χάρις τε καὶ δόξα
ἀγαθὴ ὡς ἀπράγμονι, παρὰ τοῖς Ἀλεξανδρεῦσιν ἐφύετο· ἐπεὶ δ' ὁ στρατὸς αὐτῷ
κατέπλευσε, Ποθεινὸν μὲν καὶ Ἀχιλλᾶν ἐκόλασε θανάτῳ, τῆς ἐς τὸν Πομπήϊον
παρανομίας· Θεόδοτον δὲ διαδράσαντα, Κάσσιος ὕστερον ἐκρέμασεν ἀνευρὼν ἐν Ἀσίᾳ.
θορυβουμένων δὲ ἐπὶ τῷδε τῶν Ἀλεξανδρέων καὶ τῆς στρατιᾶς τῆς βασιλικῆς ἐπ' αὐτὸν
ἰούσης, ἀγῶνες ἐς αὐτῷ πυκνοὶ περὶ τὸ βασίλειον ἐγίνοντο· καὶ ἐν τοῖς περὶ αὐτὸ
αἰγιαλοῖς· ἔνθα καὶ φεύγων ἐς τὴν θάλασσαν ἐξήλατο· καὶ ἐς πολὺ ἀνὰ τῷ βυθῷ
διενήξατο· καὶ τὴν χλαμύδα αὐτοῦ λαβόντες οἱ Ἀλεξανδρεῖς περὶ τρόπαιον
ἐκρέμασαν· τὸ δὲ τελευταῖον δ' ἅμα τὸν Νεῖλον αὐτῷ γίνεσθαι πρὸς τὸν βασιλέα
ἀγῶνα· ὧδε μάλιστα ἐκράτει· καὶ ἐς ταῦτα διετρίφθησαν αὐτῷ μῆνες ἐννέα·
μέχρι Κλεοπάτραν ἀντὶ τοῦ ἀδελφοῦ βασιλίδα ἀπέφηνεν Αἰγύπτου· καὶ τὸν

νεῖλον ἐπὶ τετρακοσίων νεῶν τὴν χώραν θεώμενος, περιέπλει μετὰ τῆς Κλεοπάτρας·
καὶ τἆλλα ἡδόμενος αὐτῇ. ἀλλὰ τάδε μὲν ἕκαστα ὅπως ἐγένετο, ἀκριβέστερον
ἡ περὶ Αἰγύπτου συγγραφὴ διέξεισι· τὴν δὲ κεφαλὴν τοῦ Πομπηίου προσ-
φερομένην, οὐχ ὑπέστη· ἀλλὰ προσέταξε ταφῆναι· καί τι αὐτῇ τέμενος βραχὺ
πρὸ τῆς πόλεως περιετέθη, νεμέσεως τέμενος ἐκαλεῖτο· ὅπερ ἐπ᾽ ἐμοῦ κατὰ
Ῥωμαίων αὐτοκράτορα Τραϊανόν, ἐξολλύντα τὸ ἐν Αἰγύπτῳ Ἰουδαίων γένος, ὑπὸ
τῶν Ἰουδαίων ἐς τὰς τοῦ πολέμου χρείας κατηρείφθη. τοιάδε μὲν δὴ Καῖσαρ ἐργα-
σάμενος ἐν Ἀλεξανδρείᾳ, διὰ Συρίας ἐπὶ Φαρνάκην ἠπείγετο. ὁ δέ, ἤδη μὲν ἠρ-
γάσατο πολλά· καὶ περιέσπακέ τινα Ῥωμαίων χωρία· καὶ Δομιτίῳ Καίσαρος στρατη-
γῷ συνενεχθεὶς ἐς μάχην, ἐνενικήκει πάνυ λαμπρῶς· καὶ τῷδε μάλιστα
ἐπαρθείς, Ἀμισὸν πόλιν τὴν ἐν τῷ Πόντῳ Ῥωμαΐζουσαν ἐξηνδραποδίσατο· καὶ τοὺς
παῖδας αὐτῶν τομίας ἐποιήσατο πάντας. προσιόντος δὲ τοῦ Καίσαρος ἐταράσ-
σετο καὶ μετεγίγνωσκε· καὶ σταδίους διακοσίους γενομένῳ, πρέσβεις ἔπεμπεν
ὑπὲρ εἰρήνης· στέφανόν τε χρύσεον αὐτῷ φέροντας, καὶ ἐς γάμον ὑπ᾽ ἀνοίας ἐγγυ-
ῶντας Καίσαρι τὴν Φαρνάκους θυγατέρα. ὁ δ᾽ αἰσθόμενος ὧν φέρουσι, προῆλθε
μετὰ τοῦ στρατοῦ· καὶ ἐν τῷ προάγεσθαι ἐβάδιζε λεσχηνεύων τοῖς πρέσβεσι· μέ-
χρι προσπελάσας τῷ χάρακι τοῦ Φαρνάκους καὶ τοσόνδε εἰπών, οὐ γὰρ αὐτίκα δώσει
δίκην ὁ πατροκτόνος; ἐπὶ τὸν ἵππον ἀνεπήδησε· καὶ εὐθὺς ἐκ πρώτης βοῆς
ἐτρέψατο τὸν Φαρνάκην· καὶ πολλοὺς ἔκτεινε, σὺν χιλίοις που μάλιστα ἱππεῦσιν
αὐτοῖς πρώτοις αὐτῷ συνδραμοῦσιν· ὅτε καὶ φασὶν αὐτὸν εἰπεῖν· ὦ μακάριε
Πομπήιε· τοιούτοις ἄρα κατὰ Μιθριδάτην τὸν τοῦδε πατέρα πολεμῶν ἀνδράσι,
μέγας τε ἐνομίσθης καὶ μέγας ἐπεκλήθης; ἐς δὲ Ῥώμην περὶ τῆσδε τῆς μάχης
ἐπέστελλεν· ἐγὼ δέ, ἦλθον· εἶδον· ἐνίκησα. μετὰ δὲ τοῦτο Φαρνάκης μὲν
ἀγαπῶν, ἐς τὴν ἀρχὴν Βοσπόρου τὴν δεδομένην οἱ, παρὰ Πομπηίου συνέφυγεν·
ὁ δὲ Καῖσαρ οὐ σχολὴν ἄγων περὶ μικρὰ τρίβεσθαι, τοσῶνδε πολέμων αὐτὸν
περιμενόντων, ἐς τὴν Ἀσίαν μετῆλθε· καὶ περιοδεύων αὐτὴν ἐχρημάτιζε
ταῖς πόλεσιν ἐνοχλουμέναις τε ὑπὸ τῶν μισθουμένων τοὺς φόρους, ὡς μοι κατὰ τὴν
Ἀσιανὴν συγγραφὴν δεδήλωται. πυθόμενος δὲ ἐν Ῥώμῃ στάσιν εἶναι, καὶ Ἀντώ-
νιον τὸν ἵππαρχον αὐτοῦ τὴν ἀγορὰν στρατιᾷ φυλάσσειν, πάντα ὑπερθέμενος, ἐς
Ῥώμην ἠπείγετο. ὡς δ᾽ ἦλθεν, ἡ μὲν στάσις ἡ πολιτικὴ κατεπαύετο· ἑτέρα δ᾽
ἐπανίστατο τοῦ στρατοῦ· ὡς οὔτε τὰ ἐπηγγελμένα σφίσιν ἐπὶ τῷ
κατὰ Φάρσαλον ἔργῳ λαβόντων, οὔτε ἀνόμως ἔτι βραδυνόντων ἐν τῇ στρατείᾳ·

ἀφεθῆναί τε πάντων ἐπὶ τὰ αὑτῶν ἠξίουν· ὁ δὲ ἐπηγγέλλετο μὲν αὐτοῖς ἀό-
ριστά τινα ἐν Φαρσάλῳ καὶ ἑτέρας ἀόριστα, ὅταν ὁ ἐν Λιβύῃ πόλεμος καὶ τελεσθῇ·
τότε δὲ ἔπεμπεν ἄλλας ὁ εἴζων ἑκάστῳ χιλίας δραχμάς. οἱ δέ, αὐτὸν οὐχ ὑπισχνεῖσθαι
μᾶλλον ἢ αὐτίκα διδόναι πάντα ἐκέλευον. καὶ περὶ τούσδε Σαλούστιον Κρίσπον
πεμφθέντα πρὸς αὐτούς, ὀλίγου καὶ διέφθειραν, εἰ μὴ διέφυγεν. πυθόμενος δ᾽ ὁ
Καῖσαρ, τέλος μὲν ἄλλο στρατιωτῶν, οἳ τὴν πόλιν ἐξ Ἀντωνίου περιεφύλασσον, περιέ-
στησε τῇ οἰκίᾳ καὶ ταῖς τῆς πόλεως ἐξόδοις, δείσας περὶ ἁρπαγῆς· αὐτὸς δὲ πάντων
δεδιότων, καὶ παραινούντων αὐτῷ τὴν ὁρμὴν τοῦ στρατοῦ φυλάξασθαι, μάλα
θρασέως αὐτοῖς ἔτι στασιάζουσιν ἐς τὸ Ἄρειον πεδίον ἐπῆλθεν· οὐ προμη-
νύσας· καὶ ἐπὶ τοῦ βήματος ὤφθη. οἱ δέ, σὺν θορύβῳ τε ἄνοπλοι συνέτρεχον· καὶ ὡς
ἔθος, ἄφνω φανέντα σφίσιν, ἠσπάζοντο αὐτοκράτορα. κελεύσαντος δ᾽ ὅ τι θέλοιεν εἰπεῖν,
περὶ μὲν τῶν δωρεῶν ἐς ὄψιν ἥκοντες αὐτοῦ πρῶτον· οὐδὲ ἐτόλμησαν ὑπὸ τῆς
αὐτῆς ἐκπλήξεως· ὡς δὲ μέτριον ἀφεθῆναι τῆς στρατείας ἀνεβόησαν, ἐλ-
πίσαντες στρατοῦ δεόμενον ἐς τοὺς ὑπολοίπους πολέμους αὐτόν, ἐρεῖν τι καὶ περὶ
τῶν δωρεῶν. ὁ δὲ παρὰ τὴν ἁπάντων δόξαν οὐδὲ μελλήσας, ἀπεκρίνατο· ἀφίημι. κατα-
πλαγέντων δ᾽ αὐτῶν ἔτι μᾶλλον, καὶ σιωπῆς βαθυτάτης γενομένης, ἐπεῖπε· καὶ
δώσω γε ὑμῖν τὰ ἐπηγγελμένα ἅπαντα, ὅταν θριαμβεύσω μεθ᾽ ἑτέρων. ἀδοκήτου δ᾽
αὐτοῖς ἅμα καὶ τοῦδε καὶ φιλανθρώπου φανέντος, αἰδὼς αὐτίκα πᾶσιν ἐνέπεσε· καὶ
λογισμὸς μετὰ ζήλου, ἀδοξοῦσι μὲν αὐτοὶ καταλιπόντες τὸν αὐτοκράτορα ἐν
μέσοις τοῖς δὲ πολεμίοις· θριαμβεύσουσι δ᾽ ἀντ᾽ αὐτῶν ἕτεροι, καὶ σφεῖς τῶν ἐν Λι-
βύῃ κερδῶν ἐκπεσοῦνται, μεγάλων ἔσεσθαι νομιζομένων· ἐχθροί τε ὁμοῦ τοῦ τε
Καίσαρος ἔσονται καὶ τῶν πολεμίων. δείσαντες οὖν ἔτι μᾶλλον ἡσύχαζον ἐξαπο-
ροῦντες· ἐλπίζοντες ἐνδώσειν τι καὶ τὸν Καίσαρα· καὶ μεταγνώσεσθαι διὰ τὴν ἐν χερσὶ
χρείαν. ὁ δ᾽ ἀνθησύχαζε· καὶ τῶν φίλων αὐτὸν παρακαλούντων ἐπιφθέγξασθαί τι
πρὸς αὐτοὺς ἄλλο, καὶ μὴ βραχεῖ καὶ αὐστηρῷ λόγῳ πολλὰ συνεστρατευμένους ἐγκαταλιπεῖν,
ἀρχόμενος λέγειν, πολίτας ἀντὶ στρατιωτῶν προσεῖπεν· ὅπερ ἐστὶ σύμβολον ἀφει-
μένων τῆς στρατείας καὶ ἰδιωτευόντων. οἱ δ᾽ οὐκ ἐνεγκόντες ἔτι, ἀνέκραγον μετανοεῖν·
καὶ παρεκάλουν αὐτῷ συστρατεύεσθαι. ἀποστρεφομένου τε τοῦ Καίσαρος καὶ ἀπιόντος
ἀπὸ τοῦ βήματος· οἱ δέ, σὺν ἐπιτάσει βοῶντες ἐνέκειντο, παραμένειν τε
αὐτόν, καὶ κολάζειν σφῶν τοὺς ἁμαρτάνοντας. ὁ δ᾽ ἔτι μέν τι διέτριψεν, οὔτε ἀπιὼν
οὔτε ἐπανιών, ὑποκρινόμενος ἀπορεῖν· ἐπανελθὼν δ᾽ ὅμως ἔφη· κολάσειν μὲν
αὐτῶν οὐδένα· ἄχθεσθαι δ᾽ ὅτι καὶ τὸ δέκατον τέλος, ὃ προετίμησεν ἀεί, τοιαῦτα

θορύβῳ. ὁ δὲ ἔφη μόνον· ἀφίημι μετὰ τῆς στρατιᾶς. δώσω δὲ ὅμως τὰ ὑπε-
σχημένα ἅπαντα ἐπανελθὼν ἐκ Λιβύης. δώσω δὲ καὶ γῆν ἅπασιν ἐκτελε-
σθέντων τῶν πολέμων· οὐ καθάπερ Σύλλας ἀφαιρούμενος ἑτέρων ἣν ἔχουσι·
καὶ τοῖς ἀφαιρεθεῖσι τοὺς λαβόντας συνοικίζων· καὶ ποιῶν ἀλλήλοις ἐς ἀεὶ πολεμίους·
ἀλλὰ τὴν τοῦ δήμου γῆν ἐπινέμων καὶ τὴν ἐμαυτοῦ· καὶ τὰ δέοντα προσωνούμενος· κρό-
του δὲ καὶ εὐφημίας παρὰ πάντων γενομένης, τὸ δέκατον ὑπεραλγῆσαν, εἰ μόνον αὐτοῦ
τοῦ Καίσαρος ἀεὶ ἀλλ' ἀπηνοῦς φανέντος· σφᾶς αὐτοὺς καὶ ἐς ὅσον διακληρῶσαί τε καὶ τὸ μέρος
θανάτῳ ζημιῶσαι. ὁ δέ, οὐδὲν αὐτοῖς ὑπερεθίζειν ἔτι δεόμενος, ἀκριβῶς μεταμε-
λοῦντας, συνηλλάσσετο ἅπασι. καὶ εὐθὺς ἐπὶ τὸν ἐν Λιβύῃ πόλεμον ἐξῄει. διαβαλὼν
δὲ ἐκ Ῥηγίου τὸν πορθμόν, ἐπὶ Μεσσήνης ἐς Λιλύβαιον ἦλθε. καὶ πυθόμενος Κάτωνα
μὲν τὴν παρασκευὴν τοῦ πολέμου ναυσί καὶ πεζῶν τινι μέρει φρουρεῖν ἀμφὶ τὴν Ἰτύκην μετὰ
τῶν τριακοσίων, οὓς ἀπὸ σφῶν ἐκ πολλοῦ προβούλους ἐπεποίηντο τοῦ πολέμου· καὶ
σύγκλητον ἐκάλουν· τὸν δ' αὐτοκράτορα Λεύκιον Σκιπίωνα καὶ τοὺς ἀρίστους ἐν Ἀδρυ-
μητῷ στρατεύειν, διέπλευσεν ἐπὶ τὸν Σκιπίωνα. καὶ αὐτὸν οἰχόμενον ἐς Ἰόβαν κατα-
λαβὼν παρετάσσετο ἐς μάχην. περὶ αὐτὸ τὸ τοῦ Σκιπίωνος στρατόπεδον· ὥστε ὁ Καῖσαρ
σπευδόμενος τοῖς πολεμίοις χωρεῖ ἐς αὐτοκράτορος ὄψιν. ἀντέπεσον δ' αὐτῷ
Λαβιηνός τε καὶ Πετρήιος, οἱ τοῦ Σκιπίωνος ὑποστράτηγοι· καὶ ἐκράτουν τῶν
Καίσαρος παρὰ πολύ. καὶ τραπέντων ἐδίωκον σοβαρῶς μετά τινος καταφρονήσεως·
μέχρι Λαβιηνὸν μὲν ὁ ἵππος ἐς τὴν γαστέρα πληγεὶς ἀπεσείσατο· καὶ αὐτὸν οἱ ὑπα-
σπισταὶ συνήρπαζον. ὁ δὲ Πετρήιος ὡς ἀκριβῆ τοῦ στρατοῦ λαβὼν πεῖραν, καὶ νι-
κήσων ὅτε βούλοιτο, διέλυε τὸ ἔργον, εἰπὼν τοῖς ἀμφ' αὐτόν· μὴ ἀφελώμεθα
τὴν νίκην τὸν αὐτοκράτορα ἡμῶν Σκιπίωνα. καὶ τὸ μὲν ἄλλο μέρος τῆς Καίσαρος
τύχης ἔργον ἐφαίνετο, κρατηθέντων ὡς ἐδόκει τῶν πολεμίων, ἄφνω τὴν μάχην
ὑπὸ τῶν νικώντων διαλυθῆναι· αὐτὸς δὲ λέγεται παρὰ τὴν φυγὴν ἐγχριμπτόμενος ἅπασιν
ἐπιστρέφειν αὐτούς· καί τινα τῶν τὰ μέγιστα σημεῖα τῶν ἀετῶν φερόντων, τῇ ἑαυτοῦ
χειρὶ περισπάσας μετενεγκεῖν ἀπὸ τῆς φυγῆς ἐς τὸ πρόσθεν, ἕως Πετρήιος ἀνέζευξε.
καὶ Καῖσαρ ἀγαπητῶς ἀνεχώρει. τοιοῦτο μὲν δὴ τῆς πρώτης ἐν Λιβύῃ Καίσαρι μάχης
τέλος ἦν. οὐ πολὺ δὲ ὕστερον αὐτοῦ τε Σκιπίωνος ὀκτὼ τέλεσι πεζῶν καὶ ἱππεῦσιν
δισμυρίοις, ὧν οἱ πολλοὶ Λίβυες ἦσαν, ἀστρατεύτοις τε πολλοῖς καὶ ἐλέφασιν ἐς
τριάκοντα προσδοκωμένου περιέσεσθαι, σὺν Ἰόβᾳ τῷ βασιλεῖ· καὶ τῷ δὲ ἄγοντι πε-
ζοὺς ἄλλους ἀμφὶ τρισμυρίους, καὶ ἱππέας νομάδας ἐς δισμυρίους, καὶ ἀκοντιστὰς πολλούς,
καὶ ἐλέφαντας ἑξήκοντα ἑτέρους, ἡ στρατιὰ τοῦ Καίσαρος ἐδείμαινεν. καὶ ὀφθεῖσιν

αὐτοῖς ἐθορυβοῦντο, κατά τε πεῖραν ὧν ἤδη ἐπεπόνθεσαν, καὶ κατὰ δόξαν
τῶν ἐπιόντων τό τε πλῆθος, καὶ ἀρετῆς μάλιστα τῶν νομάδων ἱππέων. ὅ τε τῶν
ἐλεφάντων πόλεμος, ἀήθης σφίσιν ὤν, ἐξέπλησσε. Βόκχου δὲ τότε τοῦ Μαυρουσίου
Σιττίῳ ἅμα, Κίρταν τὴν βασίλειον Ἰόβα καταλαβόντος, ὁ μὲν Ἰόβας ἐξαγγελθέντος
αὐτῷ τοῦδε, ἐς τὰ οἰκεῖα μάλιστα ἀνεζεύγνυ μετὰ τοῦ ἰδίου στρατοῦ· τριάκοντα δ'
αὐτοῦ μόνους ὑπολιπὼν ἐλέφαντας τῷ Σκιπίωνι. ἡ δὲ στρατιὰ τοῦ Καίσαρος ἐπὶ τούτῳ
ἀνεθάρρησεν, ὥστε τὸ πέμπτον τέλος αἰτῆσαν ἀντιταχθῆναι τοῖς ἐλέφασι, κρα-
τῆσαι πάνυ καρτερῶς. καὶ νῦν ἀπ' ἐκείνου τῷδε τῷ τέλει, ἐλέφαντες ἐς τὰ σημεῖα
ἐπίκεινται. μακρᾶς δὲ καὶ ἐπιπόνου κατὰ πάντα τὰ μέρη τῆς μάχης καὶ πολυτρόπου
γενομένης, περὶ ἑσπέραν μόλις ὁ Καῖσαρ ἐνίκα. καὶ τὸ στρατόπεδον εὐθὺς ἐξῄρει τὸ
τοῦ Σκιπίωνος· οὐδὲν ἀνιεὶς οὐδὲ νυκτὶ τῆς νίκης, μέχρι τὸ σύμπαν ἐξειργά-
σατο. οἱ δὲ ἐχθροὶ κατ' ὀλίγους ὅπῃ δύναιντο διέφευγον. καὶ Σκιπίων αὐτὸς
ἅμα Ἀφρανίῳ, πάντα μεθείς, ἔφευγεν ἀνὰ τὸ πέλαγος ἐπὶ δώδεκα ἀφράκτων.
ὧδε μὲν δὴ καὶ ὅδε ὁ στρατὸς ἐς ὀκτὼ μυριάδας μάλιστα συνελθών, ἔκ τε πολλοῦ
γεγυμνασμένος καὶ ἐκ τῆς προτέρας μάχης ἐν ἐλπίδι καὶ θάρσει γενόμενος, διεφθάρη
τῇ δευτέρᾳ συμβολῇ συντριβεὶς ἀθρόως. καὶ τὸ τοῦ Καίσαρος κλέος ἐς ἄμαχον εὐτυχίαν
ἐδοξάζετο· οὐδὲν ἔτι τῶν ἡσσωμένων ἐς ἀρετὴν αὐτοῦ μεριζόντων. ἀλλὰ καὶ τὰ
σφέτερα αὐτῶν ἁμαρτήματα τῇ Καίσαρος τύχῃ προστιθέντων. ἐδόκει γὰρ δὴ
καὶ ὅδε ὁ πόλεμος ἀβουλίᾳ τῶν στρατηγῶν, οὔτε διατριψάντων αὐτόν, ἕως ἀπο-
ρήσειεν ὁ Καῖσαρ ὡς ἐν ἀλλοτρίᾳ, οὔτε τὴν πρώτην νίκην ἐς τέλος προαγαγόντων,
συντριβείς, οὕτως ὀξέως διαλυθῆναι. ἐξαγγελθείσης δὲ τούτων ἐς Ἰτύκην, τρίτῃ
μάλιστα ἡμέρᾳ· καὶ τοῦ Καίσαρος εὐθὺς ἐπὶ τὴν Ἰτύκην ἰόντος, ἐγίγνετο φυγὴ
πάντων. ὁ δὲ Κάτων οὐδένα κατεῖχεν· ἀλλὰ καὶ ναῦς ἐδίδου τοῖς αἰτοῦσι τῶν
ἐπιφανῶν. αὐτὸς δὲ ἀσφαλῶς ὑπέμενε. καὶ τοῖς Ἰτυκαίοις ὑπισχνουμένοις
πρὸ ἑαυτῶν ὑπὲρ ἐκείνου δεήσεσθαι, ἐπιμειδιῶν ἀπεκρίνατο· οὐδὲν δεῖν
αὐτῷ πρὸς Καίσαρα διαλλακτῶν. καὶ τοῦτο ᾔδει καὶ τὸν Καίσαρα καλῶς. σημή-
νας μέντοι δὲ τῇ θησαυρὸν ἅπαντα. καὶ συγγραφὰς ὑπὲρ ἑκάστου τοῖς Ἰτυκαίων
ἄρχουσιν ἐπιδίδωσι, περὶ ἑσπέραν ἀμφὶ λουτρὰ καὶ δεῖπνον ἦν. καθεζόμενος
ἐγεύετο, ὥσπερ ἔθιστο ἐξ οὗ Πομπήιος ἀνῄρητο· οὐδέν τε τῶν συνήθων
συναλλάσσων· οὐδὲ ἐλάσσω προσφερόμενος ἢ πλείω· συνδιελέγετο τοῖς
παροῦσι περὶ τῶν ἐκπεπλευκότων· καὶ ἠρώτα περὶ τοῦ πνεύματος εἰ κατὰ πρύμναν
ἐστὶν αὐτοῖς· καὶ τοῦ διαστήματος εἰ φθάσουσι πόρρω γενέσθαι, πρὶν Καῖσαρ ἐς

καὶ ταῦτα ἀληθῆ ἦν· οὐ μὴν οὐδὲ ἐς ὕπνον ἀπιών, ἐνήλλαξέ τι τῶν συνήθων· πλὴν ὅτι τὸν υἱὸν ἠσπάσατο φιλοφρονέστερον. τὸ δὲ ξιφίδιον τῇ κλίνῃ κατὰ τὸ σύνηθες οὐχ εὑρὼν παρακείμενον, ἐξεβόησεν· ὅτι προδίδοιτο ὑπὸ τῶν οἰκετῶν τοῖς πολεμίοις· τίνι γὰρ ἔφη χρήσεσθαι προσιόντων, ἂν νύκτωρ ἐπίωσι· τῶν δὲ αὐτὸν παρακαλούντων μηδὲν ἐφ' ἑαυτὸν βουλεύειν, ἀλλ' ἀναπαύεσθαι χωρὶς ξιφιδίου, ἀξιοπιστότερον ἔτι εἶπεν· οὐ γάρ ἐστί μοι θέλοντι καὶ δίχα ξίφους ἐμαυτὸν ἀποπνῖξαι; ἢ ἐς τὰ τείχη τὴν κεφαλὴν ἀπαράξαι; ἢ ἐς τράχηλον κυβιστῆσαι; καὶ τὸ πνεῦμα κατασχόντα ἐκτρῖψαι; πολλά τε τοιαῦτα εἰπών, παρήγαγεν αὐτοὺς παρατεθῆναι τὸ ξιφίδιον. ὡς δὲ τέθη, Πλάτωνος αἰτήσας τὸ περὶ ψυχῆς σύγγραφην, ἀνεγίγνωσκε. καὶ ἐπεὶ τέλος ἦχε τῷ Πλάτωνι ὁ λόγος, ἀναπαύεσθαι τοὺς περὶ θύρας ὑπολαβών, ἔτρωσεν αὑτὸν ὑπὸ τὰ στέρνα· προπεσόντων δὲ τῶν σπλάγχνων, καὶ στόνου τινὸς ἐξακουσθέντος, ἐπεσέδραμον οἱ περὶ θύρας· καὶ οἱ ἰατροὶ τὰ σπλάγχνα ἔτι σῶα ὄντα, ἀνέθηκαν ἔνδον· καὶ τὰς πληγὰς ἐπιρράψαντες, ἐπέδησαν. ὁ δέ, ἀνενεγκών, αὖθις ὑπεκρίνατο· καὶ κατεμέμφετο μὲν ἑαυτῷ τῆς πληγῆς ἀσθενοῦς· χάριν δὲ ὡμολόγει τοῖς περισώσασι· καὶ καταδαρθεῖν ἔφη δεῖσθαι. οἱ μὲν δὴ τὸ ξίφος ἔχοντες, ᾤχοντο· καὶ τὰς θύρας ὡς ἠρεμοῦντι ἐπέκλεισαν. ὁ δ' ὕπνου δόξαν αὐτοῖς παρασχών, τὰ δεσμὰ ταῖς χερσὶ μετὰ σιγῆς διερρήγνυ· καὶ τὰς ῥαφὰς τοῦ σώματος ἀνέλυσεν, οἷα θηρίον· τό τε τραῦμα καὶ τὴν γαστέρα διευρύνων ὄνυξι καὶ δακτύλοις ὀρύσσων· καὶ τὰ σπλάγχνα διαρριπτῶν· μέχρι ἐτελεύτησεν· ἔτη μὲν ἀμφὶ πεντήκοντα γεγονώς· ὁμολογούμενος δὲ τήν τε γνώμην ἐς ὅ,τι κρίνειε, πάντων ἀνδρῶν ἐπιμονώτατος φῦναι· καὶ τὸ δίκαιον, ἢ πρέπον, ἢ καλόν, οὐκ ἔθεσι μᾶλλον ἢ μεγαλοψυχίαις λογισμοῖς ὁρίσαι. Μαρκίαν γοῦν τὴν Φιλίππου συνῴκει ἐκ παρθένου· καὶ ἀρεσκόμενος αὐτῇ μάλιστα· καὶ παῖδας ἔχων ἐξ ἐκείνης, ἔδωκεν ὅμως αὐτὴν Ὁρτησίῳ τῶν φίλων τινί· παίδων τε ἐπιθυμοῦντι καὶ τεκνοποιοῦ γυναικὸς οὐ τυγχάνοντι· μέχρι κἀκείνῳ κυήσασαν, ἐς τὸν οἶκον αὖθις ὡς χηρεύσασαν ἐδέξατο. τοιόσδε μὲν δὴ Κάτων ἦν· καὶ αὐτὸν οἱ Ἰτυκαῖοι λαμπρῶς ἔθαπτον. ὁ δὲ Καῖσαρ ἔφη μὲν οἱ φθονῆσαι Κάτωνα καλῆς ἐπιδείξεως. Κικέρωνος δὲ ποιήσαντος ἐγκώμιον ἐς αὐτόν, καὶ ἐπιγράψαντος Κάτων, ἀντέγραψε κατηγορίαν ὁ Καῖσαρ· καὶ ἐπέγραψεν Ἀντικάτων. Ἰόβας δὲ καὶ Πετρήιος τῶν γιγνομένων πυθόμενοι, καὶ οὐδεμίαν ἀποφυγὴν ἢ σωτηρίαν ἐπινοοῦντες, ἐπὶ τῇ διαίτῃ ξίφεσι διεχρήσαντο ἀλλήλοις. καὶ τὴν ἀρχὴν τοῦ Ἰόβα Καῖσαρ ὑποτελῆ Ῥωμαίοις ἐποίησεν, αὐτῆς Σαλούστιον Κρίσπον ἐγκαταστήσας. Ἰτυκαίοις δὲ καὶ τῷ Κάτωνος υἱῷ

συνέγνω· καὶ τὴν θυγατέρα τοῦ Πομπηίου μετὰ δύο παίδων αὐτῆς ἐν Ἰτύκῃ καταλαβών, ἐξέπεμψε σώους ἐς Πομπήιον· τῶν δὲ τριακοσίων ὅσους ηὗρε διέφθειρε. Λεύκιος δὲ Σκιπίων ὁ αὐτοκράτωρ, χειμαζόμενος ἐν τῇ θαλάσσῃ καὶ πολεμίαις ναυσὶν ἐντυχών, [illegible] γενναίως· μέχρι καταλαμβανόμενος αὑτόν τε διεχρήσατο· καὶ τὸ σῶμα μεθῆκεν ἐς τὴν θάλασσαν. τοῦτο μὲν δὴ καὶ τὸ περὶ Λιβύην [illegible] τέλος ἐγίγνετο· αὐτὸς δὲ ἐπανελθὼν ἐς Ῥώμην, ἐθριάμβευε τέσσαρας ὁμοῦ θριάμβους· ἐπί τε Γαλάταις, ὧν δὴ πολλὰ καὶ μέγιστα ἔθνη προσέλαβε· καὶ ἀφιστάμενα ἄλλα ἐκρατύνατο· καὶ Ποντικὸν ἐπὶ Φαρνάκῃ, καὶ Λιβυκὸν ἐπὶ Λιβύων τοῖς συμμαχήσασι τῷ Σκιπίωνι· ἔνθα καὶ Ἰόβα παῖς Ἰόβας ὁ συγγραφεύς, βρέφος ὢν ἔτι παρήγετο. παρήγαγε δέ τινα καὶ τῆς ἀνὰ τὸν Νεῖλον ναυμαχίας θρίαμβον Αἰγύπτιον, μεταξὺ τοῦ Γαλατικοῦ καὶ Φαρνάκους. τὸ δὲ Ῥωμαίων φυλαξάμενος ἆρα ὡς ἐμφύλια, ἀπρεπῆ οἱ καὶ Ῥωμαίοις αἰσχρὰ καὶ ἀπαίσια ἐπιγράψαι θριάμβῳ, παρήνεγκεν ὅμως αὐτῶν ἐν τοῖς δὲ τὰ παθήματα ἅπαντα· καὶ τοὺς ἄνδρας εἰκόσι καὶ ποικίλαις γραφαῖς, χωρὶς γε Πομπηίου· τοῦτον γὰρ δὴ μόνον ἐφυλάξατο δεῖξαι, σφόδρα ἔτι πρὸς πάντων ἐπιποθούμενον. ὁ δὲ δῆμος ἐπὶ μὲν τοῖς οἰκείοις κακοῖς, καίπερ δεδιώς, ἔστενε· καὶ μάλιστα ὅτε ἴδοι Λεύκιόν τε Σκιπίωνα τὸν αὐτοκράτορα πλησσόμενον ἐς τὰ στέρνα ἐφ' ἑαυτοῦ· καὶ μεθιέμενον ἐς τὸ πέλαγος· καὶ Πετρήιον ἐπὶ διαίτῃ διαχρώμενον ἑαυτόν· καὶ Κάτωνα ὑφ' ἑαυτοῦ διασπώμενον ὡς θηρίον. Ἀχιλλᾷ δὲ ἐφήσθησαν καὶ Ποθεινῷ· καὶ τῇ Φαρνάκους φυγῇ ἐγέλασαν. χρήματα δὲ ἐν τοῖς θριάμβοις φασὶ παρενεχθῆναι μυριάδας ἓξ καὶ ἡμίσου ταλάντων· καὶ στεφάνους δύο καὶ εἴκοσι καὶ δισχιλίους ἐπὶ τοῖς ὀκτακοσίοις, ἀπὸ χρυσοῦ ἕλκοντας ἐς δισμυρίας καὶ δέκα καὶ τέσσαρας καὶ τετρακοσίας λίτρας· ἀφ' ὧν εὐθὺς ἐπὶ τῷ θριάμβῳ διένειμε τὰ μετὰ τὰς ὑποσχέσεις πάντα ὑπερβάλλων· στρατιώτῃ μὲν ἀνὰ πεντακισχιλίας δραχμὰς Ἀττικάς· λοχαγῷ δὲ τοῦ τὸ διπλάσιον· καὶ χιλιάρχῳ καὶ ἱππάρχῳ τὸ ἔτι διπλάσιον· καὶ τοῖς δημόταις ἑκάστῳ μνᾶν Ἀττικήν. ἐπέδωκε δὲ καὶ θέας ποικίλας· ἵππων τε καὶ μουσικῆς· καὶ πεζομαχίας ἀνδρῶν χιλίων πρὸς ἑτέρους χιλίους· καὶ ἱππομαχίαν διακοσίων πρὸς ἴσους· καὶ ἀναμὶξ ἄλλων πεζῶν τε καὶ ἱππέων ἀγῶνα· ἐλεφάντων τε μάχην εἴκοσι πρὸς εἴκοσι· καὶ ναυμαχίαν ἐρετῶν τετρακισχιλίων, ἐπιβεβηκότων ἐς μάχην χιλίων ἑκατέρωθεν. ἀνέστησε δὲ τῇ Γενετείρᾳ τὸν νεών, ὥσπερ ηὔξατο, μέλλων ἐν Φαρσάλῳ μαχεῖσθαι. καὶ τέμενος τῷ νεῷ περιέθηκεν, ὃ Ῥωμαίοις ἔταξεν ἀγορὰν εἶναι· οὐ τῶν ὠνίων, ἀλλ' ἐπὶ πράξεσι

συνιόντων ἐς ἀλλήλους· καθὰ καὶ Πέρσαις ἦν τις ἀγορὰ ζητοῦσιν ἢ μανθά-
νουσι τὰ δίκαια· Κλεοπάτρας τε εἰκόνα καλὴν τῇ θεῷ παρεστήσατο· ἣ καὶ νῦν
συνέστηκεν αὐτῇ· τὸ δὲ τοῦ δήμου πλῆθος ἀναγραψάμενος, ἐς ἥμισυ λέγεται
τῶν πρὸ τοῦδε τοῦ πολέμου γενομένων ἀνδρῶν· ἐς τοσοῦτον καθεῖλεν ἡ τῶνδε φιλονει-
κία τὴν πόλιν. αὐτὸς δὲ ἤδη τὸ τέταρτον ὑπατεύων, ἐπὶ τὸν νέον Πομπήιον ἐστρά-
τευεν ἐς Ἰβηρίαν· ὡς περὶ αὐτῷ λοιπὸς ἦν ἔτι πόλεμος ἐμφύλιος οὐκ εὐκαταφρό-
νητος· τῶν τε γὰρ ἀρίστων ὅσοι διέφυγον ἐκ Λιβύης, ἐκεῖ συνέδραμον· καὶ
στρατὸς ὁ μὲν, ἐξ αὐτῆς Λιβύης τε καὶ Φαρσάλου τοῖς ἡγεμόσι συνῆλθεν· ὁ δὲ,
ἐξ Ἰβήρων τε καὶ Κελτιβήρων, ἔθνους ἀλκίμου καὶ χαίροντος αἰεὶ μάχαις· πολὺ δὲ καὶ
δουλικὸν ὅμιλος ἐστρατολόγητο τῷ Πομπηίῳ· καὶ τέταρτον ἔτος ἦσαν ἐν τοῖς γυμνάσμασι·
καὶ γνώμῃ ἕτοιμοι ἀγωνίσασθαι μετὰ ἀπονοίας· ὃ δὴ καὶ μάλιστα ἔσφηλε τὸν Πομπήιον,
οὐκ ἀναβαλλόμενον τὴν μάχην· ἀλλ' εὐθὺς ἐπελθόντι τῷ Καίσαρι συμπλακέντα· καίτοι
τῶν πρεσβυτέρων αὐτῷ παραινούντων, ἐκ τῆς πείρας τῆς ἀμφί τε Φάρσαλον καὶ Λιβύην
ἐπὶ πόνθεσιν(?), ἐκτρίβειν τῷ χρόνῳ τὸν Καίσαρα· καὶ ἐν ἀπορίᾳ ὡς ἐν ἀλλοτρίᾳ γῇ
περιφέρειν. ὁ δὲ Καῖσαρ ἧκε μὲν ἀπὸ Ῥώμης ἑπτὰ καὶ εἴκοσιν ἡμέραις βαρυτάτῳ
στρατῷ μακροτάτην ὁδὸν ἐπελθών· δέος δ' ἴδιον οὐ πρότερον ἐπέσχεν αὐτοῦ
τῷ στρατῷ κατὰ δόξαν τῶν πολεμίων· τοῦ τε πλήθους καὶ ἀσκήσεως καὶ ἀπογνώσεως·
διὰ καὶ ὁ Καῖσαρ αὐτὸς ἐβράδυνεν· ἔς τε τοῦτο αὐτῷ κατασκεπτομένῳ, προσ-
ελάσας ὁ Πομπήιος, ὠνείδισεν ἐς δειλίαν· καὶ τὸ ὄνειδος οὐκ ἐνεγκὼν ὁ Καῖσαρ,
ἐξέταττε παρὰ πόλιν Κορδύβην· σύνθημα καὶ τότε δοὺς Ἀφροδίτην· ἔδωκε
δὲ καὶ ὁ Πομπήιος Εὐσέβειαν· ὡς δὲ καὶ συνιόντων ἤδη τοῦ Καίσαρος στρατοῦ τὸ
δέος ἥπτετο, καὶ ὄκνος ἐπεγίγνετο τῷ φόβῳ, θεοὺς πάντας ὁ Καῖσαρ ἱκέτευε τὰς
χεῖρας ἐς τὸν Ὄλυμπον ἀνίσχων, μὴ ἑνὶ πόνῳ τῷδε πολλὰ καὶ λαμπρὰ εἰργασμένον χρᾶναι·
καὶ τοὺς στρατιώτας ἐπιθέων, παρεκάλει· τό τε κράνος τῆς κεφαλῆς ἀφαιρῶν, ἐς
πρόσωπον ἐδυσώπει καὶ προύτρεπεν· οἱ δὲ, οὐδέν τι μετέβαλλον ἀπὸ τοῦ δέους,
ἕως ὁ Καῖσαρ αὐτὸς ἁρπάσας τινὸς ἀσπίδα, καὶ τοῖς ἀμφ' αὐτὸν ἡγεμόσιν εἰπών,
ἔσται τόδε τέλος ἐμοί τε τοῦ βίου, καὶ ὑμῖν τῶν στρατειῶν, προύδραμε τῆς τάξεως
ἐς τοὺς πολεμίους ἐπὶ τοσόνδε, ὡς μόνους αὐτῶν ἀποσχεῖν δέκα πόδας· καὶ διακό-
σια αὐτῷ δόρατα ἐπιβληθῆναι· καὶ τούτων τὰ μὲν αὐτὸν ἐκκλῖναι· τὰ δὲ, ἐς
τὴν ἀσπίδα ἀναδέξασθαι· τότε γὰρ δὴ τῶν τε ἡγεμόνων προσθέων ἕκαστος ἵστατο
παρ' αὐτόν, καὶ ὁ στρατὸς ἅπας συμπεσὼν μετ' ὁρμῆς, ὅλην ἠγωνίζετο τὴν ἡμέραν·
προύχων τε καὶ ἡττώμενος αἰεὶ παρὰ μέρος· μέχρις ἐς ἑσπέραν μόλις ἐνί-

κησε· ὅτε καὶ φασὶν αὐτὸν εἰπεῖν, ὅτι πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης,
νῦν δὲ καὶ περὶ ψυχῆς· φόνου δὲ πολλοῦ γενομένου καὶ φυγῆς τῶν Πομπηίου
στρατιωτῶν ἐς τὴν Κορδύβην, ὁ μὲν Καῖσαρ ἵνα μὴ διαφύγοιεν οἱ πολέμιοι, πάλιν
ἐς μάχην παρασκευάσαιντο, ἐκέλευε τὸν στρατὸν ἀποτειχίσαι τὴν Κορδύβην· οἱ δὲ,
κάμνοντες τοῖς γεγονόσι, τά τε σώματα καὶ τὰ ὅπλα τῶν ἀνῃρημένων ἐπεφόρουν
ἀλλήλοις· καὶ δόρασιν αὐτὰ διαπηγνύντες ἐς τὴν γῆν, ἐπὶ τοιοῦδε τείχους ηὐλί-
σαντο· τῆς δὲ ἐπιούσης ἑάλω μὲν ἡ πόλις· τῶν δὲ ἡγεμόνων τοῦ Πομπηίου,
Σκάπουλας μὲν νήσας πυρὰν ἑαυτὸν ἐνέπρησεν· Οὐάρου δὲ καὶ Λαβιηνοῦ καὶ τῶν ἄλλων
ἀνδρῶν ἐπιφανῶν, ἐκομίσθησαν αἱ κεφαλαὶ Καίσαρι· Πομπήιος δ' αὐτὸς διέφυγε
μὲν ἀπὸ τῆς ἥττης σὺν ἑκατὸν καὶ πεντήκοντα ἱππεῦσιν ἐπὶ Καρθαίας· ἔνθα αὐτῷ
ναυτικὸς στόλος ἦν· καὶ παρῆλθεν ἐς τὸν νεώσοικον(?) λαθών, ὥς τις ἰδιώτης φορείῳ κομιζό-
μενος· ὁρῶν δὲ καὶ τούτους ἀπογιγνώσκοντας ἑαυτοῦ, ἔδεισε περὶ ἐκδόσεως· καὶ
ἔφευγεν αὖθις ἐπὶ βραχέος σκάφους· ἐμπλακέντα δ' αὐτοῦ τὸν πόδα καλωδίῳ,
κόπτων τις τὸ καλώδιον ξιφιδίῳ, τὸν ταρσὸν ἔτεμεν ἀντὶ τοῦ καλωδίου τοῦ ποδός·
καὶ διαπλεύσας ἔς τι χωρίον ἐθεραπεύετο· ζητούμενος δὲ κἀνταῦθα, ἔφευγε
διὰ δυσβάτου καὶ ἀκανθώδους ὁδοῦ, τὸ τραῦμα περικνώμενος· μέχρι κάμνων
ὑπό τι δένδρον ἐκαθέζετο· καὶ τῶν ζητούντων ἐπιστάντων, οὐκ ἀγεννῶς αὐτοὺς ἀ-
μυνόμενος, κατεκόπη· τοῦ δὲ μὲν δὴ τὴν κεφαλὴν ὁ Καῖσαρ ἀνενεχθεῖσάν οἱ, προσέ-
ταξέ τινι θάψαι· καὶ ὁ πόλεμος ὧδε ἑνὶ ἔργῳ καὶ παρὰ δόξαν ἐλέλυτο· τοὺς δ' ἐξ
αὐτοῦ διαφυγόντας, ἤθροιζεν ὁ τοῦδε τοῦ Πομπηίου νεώτερος ἀδελφός· Πομπήιος
μὲν καὶ ὅδε ὤν, Σέξστος δὲ καλούμενος τῷ προτέρῳ τῶν ὀνομάτων· ἀλλ' ὅδε μὲν ἔτι
λανθάνων καὶ διαδιδράσκων ἐλῄστευεν· ὁ δὲ Καῖσαρ ἐς Ῥώμην ἠπείγετο· τὰ ἐμφύ-
λια πάντα καθελὼν, ἐπὶ φόβου καὶ δόξης, οἵας οὔτις πρὸ τοῦ· ὅθεν αὐτῷ τιμαὶ
πᾶσαι ὅσαι ὑπὲρ ἄνθρωπον, ἀμέτρως ἐς χάριν ἐπενοοῦντο· θυσιῶν τε πέρι καὶ ἀγώνων
καὶ ἀναθημάτων ἐν πᾶσιν ἱεροῖς καὶ δημοσίοις χωρίοις· ἀνὰ φυλὴν ἑκάστην καὶ
ἐν ἔθνεσιν ἅπασι· καὶ σὺν βασιλεῦσιν ὅσοι Ῥωμαίοις φίλοι· σχήματά τε ἐπεγρά-
φοντο ταῖς εἰκόσι ποικίλα· καὶ στέφανος ἐκ δρυὸς ἦν ἐπ' ἐνίαις· ὡς σωτῆρι τῆς πατρίδος,
ᾧ πάλαι τοὺς ὑπερασπίσαντας ἐγέραιρον οἱ περισωθέντες· ἀνερρήθη δὲ καὶ πατὴρ πατρίδος·
καὶ δικτάτωρ ἐς τὸν ἑαυτοῦ βίον ᾑρέθη· καὶ ὕπατος ἐς δέκα ἔτη· καὶ τὸ σῶμα
ἱερὸς καὶ ἄσυλος εἶναι· καὶ χρηματίζειν ἐπὶ θρόνων ἐλεφαντίνων τε καὶ χρυσέων·
καὶ θύειν μὲν αὐτὸν αἰεὶ θριαμβικῶς ἠμφιεσμένον· τὴν δὲ πόλιν ἀνὰ ἔτος ἕκαστον,
αἷς αὐτὸς ἡμέραις ἐν παρατάξεσιν ἐνίκα· ἱερέας δὲ καὶ ἱερείας ἀνὰ πενταετὲς

ἀλλ' ἃς δῆμος ἐπ' αὐτοῦ τίθεσθαι· καὶ τὰς ἀρχὰς δὶς καθίστασθαι, ὃ μὴ ἐξεῖναι μηδενὶ
τῶν ὑπὸ Καίσαρος ἐσομένων ἄντικρυς πρᾶξαι. ἔς τε τιμὴν τῆς γενέσεως αὐτοῦ τὸν Κυιν-
τίλιον μῆνα Ἰούλιον ἀντὶ Κυιντιλίου μετονομάσαι ἔγνωσαν· καὶ νεὼς ἐψηφίσαντο
πολλοὺς αὐτῷ γενέσθαι καθάπερ θεῷ· καὶ κοινὸν αὐτοῦ τῇ ἐπιεικείᾳ, ἀλλήλοις δεξιου-
μένων· οὕτως ἐδεδοίκεσαν μὲν ὡς δεσπότην, ηὔχοντο δὲ σφίσιν ἐπιεικῆ γενέσθαι.
ἐπεὶ δ' οἱ καὶ βασιλέα προσειπεῖν ἐπενόουν, μέχρι μαθὼν αὐτὸς, ἀπηγόρευσέ καὶ
ἐπέπληξεν· ὡς ἀχθόμενος τὸ ὄνομα μετὰ τὴν τῶν προγόνων ἀράν· ἀφῆκε δ' ὅσαι στρατη-
γίδες αὐτὸν ἐκ τῶν πολέμων ἔτι ἐσωματοφυλάκουν, ἀπέστησε τῆς φυλακῆς. καὶ μηδὲ
τῆς δημοσίας ὑπηρεσίας ἐπαγγελλομένης. ὧδε δ' ἔχοντι καὶ χρηματίζοντί περὶ τῶν
ἐμβόλων τὸ ψήφισμα τῶν προληφθέντων τιμῶν, ἡ βουλή, τῶν ὑπάτων ἡγουμένων
σὺν κόσμῳ τῷ πρέποντι ἑκάστῳ προσέφερον. ὁ δὲ, αὐτοὺς ἐδεξιοῦτο μὲν, οὐχ ὑπανέστη
δὲ προσιοῦσιν οὐδ' ἐπαινοῦσιν. ἀλλὰ τοῖς διαβάλλουσιν αὐτὸν ἐς τὴν ἐπιθυμίαν
τῆς βασιλικῆς προσηγορίας, καὶ τόδε παρέσχε· τὰς δὲ ἄλλας τιμὰς χωρὶς τῆς
δεκαετοῦς ὑπατείας προσέμενος, ὑπάτους ἐς τὸ μέλλον ἀπέφηνεν αὑτόν τε καὶ Ἀντώ-
νιον τὸν ἵππαρχον ἑαυτοῦ. Λεπίδῳ προστάξας ἱππαρχεῖν ἀντὶ τοῦ Ἀντωνίου· ἄρχοντι
μὲν Ἰβηρίας, ἡγεμονεύοντι δ' αὐτῆς διὰ φίλων· κατεκάλει δὲ καὶ τοὺς φεύγοντας
ὁ Καῖσαρ, πλὴν εἴ τις ἐπὶ ἀνηκέστοις ἔφευγε· καὶ τοῖς ἐχθροῖς διηλλάσσετο· καὶ τῶν
πεπολεμηκότων, πολλοὺς προήγαγεν ἐς ἐτησίους ἀρχάς· καὶ ἐς ἐθνῶν καὶ
στρατοπέδων ἡγεμονίαν· ᾧ δὴ καὶ μάλιστα ὑπαχθεὶς ὁ δῆμος, ἤλπιζε καὶ τὴν δημο-
κρατίαν αὐτὸν αὐτοῖς ἀποδοῦναι· καθάπερ Σύλλας, ἐς ἴσον αὐτῷ δυναστεύσας
ἐποίησεν· ἀλλὰ τοῦδε μὲν ἐσφάλησαν. καὶ εἰκόνα δ' αὐτοῦ τις τῶν ὑπερεθιζόντων
τὸ [illegible] τῆς βασιλείας ἐστεφάνωσε δάφναις, ἀναπεπλεγμένης ταινίας
λευκῆς· καὶ αὐτὸν οἱ δήμαρχοι Μάρυλλός τε καὶ Ἐπίδιος [illegible], ἐς τὴν φυλακὴν
ἐσέβαλλον· ὑποκρινάμενοι τί καὶ τῷ Καίσαρι χαρίζεσθαι· προαπειλήσαντί ποτε τοῖς
περὶ βασιλείας λέγουσιν. ὁ δὲ, τοῦτο μὲν ἤνεγκε ῥᾳθύμως. ἑτέρων δ' αὐτὸν ἀμφὶ
τὰς πύλας ἰόντα ποθὲν, βασιλέα προσειπόντων· καὶ τοῦ δήμου στενάξαντος, ἀμηχανῶν
εἶπε τοῖς ἀσπαζομένοις, οὐκ εἰμὶ βασιλεύς, ἀλλὰ Καῖσαρ· ὡς δὴ περὶ τὸ ὄνομα
ἐσφαλμένοις· οἱ δ' ἀμφὶ τὸν Μάρυλλον, καὶ τῶν δὲ τῶν ἀνδρῶν τὸν ἀρξάμενον [illegible]·
καὶ τοῖς ὑπηρέταις ἐκέλευσαν ἄγειν ἐς δίκην ἐπὶ τὸ ἀρχεῖον αὐτῶν. ὁ δὲ Καῖσαρ [illegible]
[illegible], καὶ κατηγορήσας ἐπὶ τῆς βουλῆς τῶν περὶ τὸν Μάρυλλον· ὡς ἐπιβουλευόντων
οἱ μετὰ τέχνης ἐς τυραννίδος διαβολήν· καὶ ἐπενεγκὼν ἀξίους μὲν αὐτοὺς
εἶναι θανάτου· μόνης δ' αὐτοὺς ἀφαιρεῖσθαι καὶ παραλύειν τῆς τε ἀρχῆς καὶ τοῦ

βουλευτικοῦ. ὁ δὴ καὶ μάλιστα αὐτὸν διέβαλεν, ὡς ἐπιθυμοῦντα τῆς ἐπικλήσεως
καὶ τὰς ἐπὶ τοῦτο παρρησίας καθιέντα· καὶ τυραννικὸν ὅλως γεγονότα. καί τε γὰρ πρόφασις
τῆς κολάσεως, περὶ τῆς βασιλικῆς ἐπωνυμίας ἦν, καί τε τῶν δημάρχων ἀρχὴ ἱερὰ
καὶ ἄσυλος ἦν, ἐκ νόμου καὶ ὅρκου παλαιοῦ· τήν τε ὀργὴν ὁ ἐξῆγεν ἐπί τε τὸ μὴ διαμεῖναι
τῆς ἀρχῆς τὸ ὑπόλοιπον· ὧν καὶ αὐτὸς αἰσθανόμενος καὶ μεταγινώσκων, καὶ τότε πρῶτον
ἡγούμενος ἀνδρὶ πολεμικῷ ἀρχῆς ἀνῃρημένῳ βραδὺ καὶ δυσχερὲς διαπράξασθαι,
λέγεται τοῖς φίλοις αὐτὸν ἐντείλασθαι φυλάττειν· ὡς δεδιότα τοῖς ἐχθροῖς λαβὴν
ἐκ τοιούτου κατ' αὐτοῦ· πυθομένων δὲ ἐκείνων εἰ συγχωρεῖ πάλιν αὐτὸν σωματοφυλακεῖν
τὰς Ἰβηρικὰς σπείρας, οὐ δεῖν ἔφη [illegible] φυλακῆς· εἶπε γὰρ καὶ
3 δεδιότος. οὐ μὴν ἀλλὰ περὶ τῆς βασιλείας πεῖραι κατεπαύοντο οὐδέπω. ἀλλὰ θεώ-
μενον αὐτὸν ἐν ἀγορᾷ τε λουπερκαλίοις ἐπὶ θρόνου χρυσοῦ πρὸ τῶν ἐμβόλων, Ἀντώ-
νιος ὑπατεύων σὺν αὐτῷ Καίσαρι· καὶ διαθέων τότε γυμνὸς ἀληλιμμένος, ὥσπερ
εἰώθασιν οἱ τῆς δὲ τῆς ἑορτῆς ἱερέες, ἐπὶ τὰ ἔμβολα ἀναδραμὼν, ἐστεφάνωσε
διαδήματι· κρότου δὲ πρὸς τὴν ὄψιν παρ' ὀλίγων γενομένου, καὶ στόνου παρὰ τοῦ
πλήθους, ὁ Καῖσαρ ἀπέρριψε τὸ διάδημα. καὶ ὁ Ἀντώνιος αὖθις ἐπέθηκε· καὶ
ὁ Καῖσαρ αὖθις ἀπέρριψε· καὶ ὁ δῆμος διεσίζοντων μὲν ἔτι ἡσύχαζε· μετέ-
ωρος ὢν ὅπῃ τελευτήσει τὸ γιγνόμενον· ἐπικρατήσαντος δὲ τοῦ Καίσαρος,
ἀνεβόησαν ἥδιστον· καὶ αὐτὸν ἅμα εὐφήμουν οὐ προσέμενον. ὁ δὲ, εἴτε ἀπογνοὺς,
εἴτε κάμνων, καὶ ἐκκλίνων ἤδη δὲ τὴν πεῖραν, καὶ διαβολήν, εἴτε τισὶν
ἐχθροῖς τῆς πόλεως ὑφιστάμενος, εἴτε νόσημα τοῦ σώματος θεραπεύων ἐπι-
ληψίαν καθεζόμενον, αἰφνίδιον ἁπτόμενον αὐτῷ μάλιστα παρὰ τὰς ὀργίας,
ἐπενόει στρατεύειν μακράν· ἔς τε Γέτας καὶ Παρθυαίους. Γέταις μὲν αὐστηροῖς
καὶ φιλοπολέμοις καὶ γείτοσιν ἔθνεσι πρὸς ἐπιβουλίαν· Παρθυαίοις δὲ τινύμενος
τῆς ἐς Κράσσον παρασπονδήσεως. στρατιὰν δὲ προϋπέπεμψε καὶ δὴ τὸν Ἰόνιον
πέραν· ἑκκαίδεκα τῶν πεζῶν· καὶ ἱππεῖς μυρίους· καὶ λόγος ἄλλως φοιτᾷ,
σιβύλλειον εἶναι πρόρρημα μὴ πρὶν ὑπακούσεσθαι Ῥωμαίοις Παρθυαίους,
εἰ μὴ βασιλεὺς αὐτοῖς ἐπιστρατεύσειε· καί τινες ἀπὸ τούτου δὲ τολμῶν λέγειν
ὅτι χρῆναι μὲν αὐτὸν ὡς πρὶν δικτάτορα καὶ αὐτοκράτορα καλεῖν· καὶ
ὅσα ἄλλα εἶχεν αὐτοῖς ἀντὶ βασιλείου ὀνόματα· τῶν δὲ ἐθνῶν ὅσα Ῥωμαίοις
ὑπήκοα, ἄντικρυς ἀνειπεῖν βασιλέα. ὁ δὲ, καὶ τόδε παρῃτεῖτο· καὶ τὴν ἔξοδον
ὅλως ἔσπευδεν· ἐπίφθονος ὢν ἐν τῇ πόλει· ἐξιέναι δ' αὐτὸν μέλλοντα
πρὸ τεττάρων ἡμερῶν, οἱ ἐχθροὶ κατέκανον ἐν τῷ βουλευτηρίῳ. εἴτε

διὰ ζῆλον δ' ἐπὶ τύχῃ τε ἅμα δυνάμεως ὑπερόγκου πάνυ γενομένης· ἔνιοι δ' ὥς φασιν
αὐτοὶ τῆς πατρίου πολιτείας ἐπιθυμίᾳ· δεῖ γὰρ ἤδη σφᾶς αὐτὸν μὲν ἅμα τά τε ἔθνη
προσλαβὼν ἂν ἀμφιλόγως γένοιτο βασιλεύς· ταύτης δὲ σκοπὸν ἡγοῦνται τῆς
προσθήκης ἀφορμὴν λαβεῖν ἐγχειρήσεως· τὸ ὄνομα μόνον αὐτοῖς διαφέρον·
ἔργῳ δὲ τοῦ δικτάτορος οὕτως ἀκριβῶς βασιλέως· συνεστήσαντο δὲ τὴν ἐπι-
βουλὴν μάλιστα τρεῖς ἄνδρες· Μάρκος τε Βροῦτος ὁ Καιπίων ἐπίκλην, Βρούτου
τοῦ κατὰ Σύλλαν ἀνῃρημένου παῖς· αὐτός τε Καίσαρι προσφυγὼν ἐκ τοῦ κατὰ
Φάρσαλον ἀτυχήματος· ὁ Γάιος Κάσσιος· ὁ τὰς τριήρεις κατὰ τὸν Ἑλλήσποντον
ἐγχειρίσας τῷ Καίσαρι· οἳ δὲ μὲν ἄμφω τῆς Πομπηίου μοίρας γεγονότε· τῶν δ'
αὐτῷ Καίσαρι φιλτάτων· Δέκμος Βροῦτος Ἀλβῖνος· ἅπαντες ἀεὶ παρὰ Καίσαρι
τιμῆς ἐπίσης χρηματίζοντες ἄξιοι· οἷς γε ἐπὶ πράξεσιν ἐνεχείρισε μεγίστας·
καὶ ἐπὶ τὸν Λιβυκὸν πόλεμον ἀπιὼν, στρατεύματα ἔδωκε· ἐπὶ Κελτικὴν ἐπέ-
τρεψε, τὴν μὲν ὑπεράλπειον Δέκμῳ· τὴν δὲ ἐντὸς Ἄλπεων, Βρούτῳ· μέλλοντες δὲ
ὁμοῦ τότε τῆς πόλεως στρατηγεῖν ὅ τε Βροῦτος καὶ ὁ Κάσσιος, ἐν ἀλλήλοις διήριζον
περὶ τῆς καλουμένης πολιτικῆς στρατηγίας· καὶ τῶν ἄλλων προτιμᾶσθαι, εἴτε τῷ
ὄντι φιλοτιμούμενοι περὶ αὐτήν, εἴθ' ὑπόκρισις ἦν, τοῦ μὴ πάντα συμπράττειν
ἀλλήλοις νομίζεσθαι· ὁ δὲ Καῖσαρ αὐτοῖς διαιτῶν, λέγεται πρὸς τοὺς φίλους εἰπεῖν,
ὡς τὰ μὲν δίκαια Κάσσιον ἀποφαίνοι· Βρούτῳ δ' αὐτὸς χαρίζοιτο· τοσαύτῃ δὲ
ἐν ἅπασιν εὐνοίᾳ τε τιμῇ πρὸς τὸν ἄνδρα ἐκέχρητο· ὁ γὰρ αὐτῷ ὁ παῖς ἐνομίζετο
γεγονέναι· Σερουιλίας τῆς Κάτωνος ἀδελφῆς ἐρασθείσης τοῦ Καίσαρος, ὅτε ὁ Βροῦτος
ἐγεννᾶτο· διὸ καὶ νικῶν ἐν Φαρσάλῳ, μετὰ σπουδῆς λέγεται τοῖς ἡγεμόσιν εἰπεῖν,
Βροῦτον ὅπη δύναιντο περισώζειν· ἀλλ' ὅ γε ἀχάριστος ὢν ὁ Βροῦτος, εἴτε δὴ τῆς
μητρὸς ἁμαρτήματα ἀγνοῶν, καὶ ἀπιστῶν καὶ αἰδούμενος, εἴτε φιλελεύθερος ὢν μᾶλλον
τὴν πατρίδα προτιμῶν, εἴθ' ὅτι ἔγγονος ὢν Βρούτου τοῦ πάλαι τοὺς βασιλέας ἐξε-
λάσαντος, ἐρεθιζόμενος ὀνειδιζόμενος μάλιστα ἐν τούτῳ ὑπὸ τοῦ δήμου·
πολλὰ γὰρ τοῖς ἀνδριᾶσι τοῦ πάλαι Βρούτου τῷ δικαστηρίῳ τοῦ δὲ τοῦ Βρούτου
τοιάδε ἐπεγέγραπτο λάθρα· Βροῦτε δωροδοκεῖς· Βροῦτε νεκρὸς εἶ· καὶ ὤφελές γε
νῦν περιεῖναι· καὶ ἀνάξια αὐτοῦ τὰ ἔκγονα· καὶ οὐδὲ ἔκγονος εἶ σὺ τοῦδε· ταῦτα δὲ
τοιουτότροπα ἄλλα πολλὰ τὸν νεανίαν ἐξέκαυσεν ἐπὶ τὸ ἔργον· ὡς ἔτ' αὐτὸν
προγονικόν· ἀκμαιότερος δὲ ἔτι τοῦ περὶ βασιλείας λόγου· ἐπισυνόδου μελλούσης
ἔσεσθαι τῆς βουλῆς μετ' ὀλίγον· ὁ Κάσσιος ἐμβαλὼν τὴν χεῖρα τῷ Βρούτῳ, τί
ποιήσομεν ἔφη, περὶ τὸ βουλευτήριον· ἂν οἱ κόλακες τοῦ Καίσαρος γνώμην

περὶ βασιλείας προθῶσι· ὁ δὲ Βροῦτος, οὐκ ἔφη παρέσεσθαι τῷ βουλευτηρίῳ·
ἐπανερομένου δὲ τοῦ Κασσίου, τί δ' ἂν ἡμᾶς καλῶσιν ὡς στρατηγούς· τί ποιή-
σομεν ὦ ἀγαθὲ Βροῦτε, ἀμυνῶ τῇ πατρίδι ἔφη μέχρι θανάτου· ὁ δὲ Κάσσιος
αὐτὸν ἀσπασάμενος, τίνα δὲ ἔφη οὐ προσλήψῃ τῶν ἀρίστων, οὕτω φρονοῦν· καὶ σοὶ δο-
κοῦσιν οἱ χειροτέχναι καὶ κάπηλοι καταγράφειν σοι ταῦτα δικαστήριον λαθραίως μᾶλλον,
ἢ οἱ πρῶτοι καὶ ἄριστοι· παρὰ μὲν τῶν ἄλλων στρατηγῶν θέας αἰτοῦντες ἱππικὰς καὶ
θηρίων· παρὰ δὲ σοῦ τὴν ἐλευθερίαν· ὡς τὸ προγονικὸν ἔργον· οἱ μὲν δὴ τάδε πρό-
τερον ἐκ πολλοῦ διανοούμενοι, τότε πρῶτον εἰς τὸ φανερὸν ἀλλήλοις προύφερον· καὶ τῶν
ἰδίων καὶ πρὸς φίλων λόγον ἐπειρῶντο· καὶ τῶν αὐτοῦ Καίσαρος· οὓς ἐδόκουν μάλιστα
ἑκατέρων ἐπιτήδειοι· καὶ συνήγαγον ἐκ μὲν τῶν σφετέρων, ἀδελφοὺς δύο· Καικίλιον
ὄντε καὶ Βουκολιανόν· ἐπὶ τούτοις Ῥούβριον Ῥῆγα· καὶ Κόιντον Λιγάριον· καὶ Μάρκον
Σπόριον· καὶ Σερουίλιον Γάλβαν· καὶ Σέξτιον Νάσωνα· καὶ Πόντιον Ἀκύλαν·
τούτους δὲ μὲν ἐκ τῶν οἰκείων σφίσιν· ἐκ δὲ τῶν αὐτοῦ φίλων Καίσαρος, Δέκμον
τε, περὶ οὗ μοι προείρηται· καὶ Γάιον Κάσκαν· καὶ Τρεβώνιον· καὶ Τίλλιον· καὶ Κίμ-
βρον· καὶ Μινούκιον· καὶ Βασίλλον· ὡς δὲ σφίσιν ἐδόκουν ἅλις ἔχειν, καὶ
πλείοσιν ἐμφέρειν οὐκ ἐδόκει μᾶλλον, συνέθεντο μὲν ἀλλήλοις, ἀντί τε ὅρκων
ἢ ἀνδροσφαγίων· καὶ οὐδεὶς μετέθετο· οὐδὲ προύδωκε· καιρὸν δ' ἐζήτουν καὶ
τόπον· ὁ μὲν δὴ καιρὸς ὑπῆρχεν ἤδη· ὡς Καίσαρος εἰς τετάρτην ἡμέραν δὴ
ἐξιόντος ἐπὶ τὰς στρατείας· ὁ φυλακῆς αὐτὸν αὐτίκα περιεξούσης στρατιω-
τικῆς· χωρίον δὲ ἐπενόουν τὸ βουλευτήριον· ὡς τῶν βουλευτῶν οἵ τε μὴ προ-
μάθοιεν, προθύμως ὅτε εἰδεῖεν τὸ ἔργον συνεπιληψομένων· ὃ καὶ περὶ Ῥω-
μύλον τυραννικὸν ἐκ βασιλικοῦ γενόμενον, ἐλέγετο συμβῆναι· δόξειν τε τὸ
ἔργον, ὥσπερ ἐκεῖνο τότε, ἐν βουλευτηρίῳ γενόμενον, οὐ κατ' ἐπιβουλήν· ἀλλ'
ὑπὲρ τῆς πόλεως πεπρᾶχθαι· ἀκίνδυνόν τε ὡς κοινὸν ἔσεσθαι παρὰ τῶν Καίσαρος
στρατῶν· ἐπεὶ τιμωρήσειν σφίσι μὲν ἦν, οὐκ ἀγνοουμένοις ὅτι κρέξαν· διὰ μὲν δὴ ταῦτα
τὸ βουλευτήριον ἐπελέξαντο πάντες ὁμαλῶς· περὶ δὲ τοῦ τρόπου διέφεροντο·
οἱ μὲν, Ἀντώνιον συναναιρεῖν ἠξίουν, ὑπατεύοντα σὺν τῷ Καίσαρι·
καὶ φίλον αὐτοῦ δυνατώτατον· ἐπὶ τοῖς στρατιώταις γνωριμώτατον· ὁ δὲ Βροῦτος
ἔλεγεν ἐπὶ μὲν τῷ Καίσαρι μόνῳ δόξειν οἴσεσθαι τυραννοκτόνοι ὡς βασιλέα
ἀναιροῦντες· ἐπὶ δὲ τοῖς φίλοις αὐτοῦ ἐχθροί· ὡς Πομπηίου στασιῶται·
οἱ μὲν, τῷ δὲ μάλιστα ἀναπεισθέντες, τὸ προσιόντων αὐτῷ εἰς τὰς βουλῆς συνό-
δους ἐφύλαττον· ὁ δὲ Καῖσαρ προεῖπε τοὺς δὲ τοῦ βουλευτηρίου χωρίου ἐπὶ

δειπνοῦν ἐν λεπίδου τοῦ ἱππάρχου, ἐπήγετο δέκμον βροῦτον ἀλβῖνον ἐς τὸν
πότον· καὶ λόγον ἐπὶ τῇ κύλικι προύθηκε· τίς ἄριστος ἀνθρώπῳ θάνατος· αἱρου-
μένων δὲ ἕτερα ἑτέρων, αὐτὸς ἐκ πάντων ἐπῄνεσε τὸν αἰφνίδιον· καὶ ὁ μέν, ὧδε προε-
μαντεύετο ἑαυτῷ· καὶ ἐλεσχήνευε περὶ τῶν ἐς τὴν αὔριον ἐσομένων· ἐπὶ δὲ τῷ πότῳ
νυκτὸς αὐτῷ τὸ σῶμα νωθρὸν ἐγίγνετο· καὶ ἡ γυνὴ καλπουρνία, ἐνύπνιον αἵ-
ματι πολλῷ καταρρεόμενον ἰδοῦσα, κατεκώλυε μὴ προελθεῖν· θυομένῳ τε πολλάκις,
ἦν τὰ σημεῖα φοβερά· καὶ πέμπειν ἔμελλεν ἀντώνιον διαλύσοντα τὴν βουλήν· ἀλλὰ
δέκμος παρών, ἔπεισε μὴ λαβεῖν ὑπεροψίας διαβολήν· αὐτὸν δὲ αὐτὴν ἐπελθόντα
διαλῦσαι· καὶ ὁ μέν, ἐπὶ τούτῳ ἐκομίζετο φορείῳ· θέας δ' οὔσης ἐν τῷ πομπηΐου
θεάτρῳ· καὶ βουλευτήριον ἔμελλε τῶν τις περὶ αὐτὸ οἴκων ἔσεσθαι· ὡς ἔθος
ἐπὶ ταῖς θέαις ὧδε γίγνεσθαι· ὡς δ' ἀμφὶ τὸν βροῦτον ἕωθεν κατὰ τὴν στοὰν τὴν πρὸ
τοῦ θεάτρου τοῖς δεομένοις σφῶν ὡς στρατηγῶν, ἀπαθέστατα ἐχρημάτιζον·
πυνθανόμενοι δὲ περὶ τῶν γιγνομένων ἱερῶν τῷ καίσαρι· καὶ τῆς ἀναθέσεως
τοῦ βουλευτηρίου πάνυ ἠπόρουν τα· καί τις αὐτῶν ὧδε τυχόντων, τῆς κάσκα
χειρὸς λαβόμενος, ἦ σε· σὺ μὲν οὖν ἐμὲ φίλον ἀπέκρυψας· βροῦτος δ' ἀνή-
νεγκέ μοι· καὶ ὁ μὲν κάσκας ὑπὸ τοῦ συνειδότος ἄφνω τεθορύβητο· ὁ δὲ ἐπι-
μειδιάσας, ἔφη· πόθεν οὖν ἔσται σοι τὰ χρήματα τῆς ἀγορανομίας· καὶ ὁ
κάσκας ἀνέκυψεν· αὐτὸν δὲ βροῦτον καὶ κάσσιον συνόντας τε ὄντας καὶ συλλα-
λοῦντας ἀλλήλοις, τῶν τις βουλευτῶν ἐπὶ ἀσπασμὸν πούπλιος λαίνας, ἔφη
συνεύχεσθαι περὶ ὧν ἔχοιτε κατὰ νοῦν· καὶ παρῄνει ἐπιταχύνειν· οἱ δέ, ἐθορύ-
βηθησαν μέν· ὑπὸ δὲ ἐκπλήξεως ἐσιώπων· φερομένου δὲ ἤδη τοῦ καί-
σαρος, τῶν οἰκείων τις αὐτῷ περὶ τῆς δὲ τῆς ἐπιβουλῆς μαθών, ἔθει μηνύσων
ὃ ἔμαθεν· καὶ ὁ μέν, ἐς καλπουρνίαν ἦλθε· καὶ τοσοῦτον δὲ μόνον εἰπών, ὅτι χρῄζοι
καίσαρος ὑπὲρ ἔργων ἐπειγόντων, ἀνέμενεν αὐτὸν ἐπανελθεῖν ἀπὸ τοῦ
βουλευτηρίου· οὐκ ἀκριβῶς ἅπαντα τὰ γιγνόμενα πάντα πεπυσμένος· ὁ δ' ἐν
κνίδῳ γεγονὼς αὐτῷ ξένος ἀρτεμίδωρος, ἐς τὸ βουλευτήριον ἐνδραμών,
εὗρεν ἄρτι ἀναιρούμενον· ὑπὸ δ' ἄλλου καὶ βιβλίον περὶ τῆς ἐπιβουλῆς ἐπιδοθὲν
αὐτῷ προθυομένῳ πρὸ τοῦ βουλευτηρίου· καὶ αὖθις ἐσιόντι μετὰ χεῖρας εὑρέθη τεθνεῶτος·
ἄρτι δὲ ἐκβαίνοντι τοῦ φορείου, λαίνας ὁ τοῖς ἀμφὶ τὸν κάσσιον πρὸ ὀλίγου συνευ-
ξάμενος, ἐντυχὼν διελέγετο διὰ μακρᾶς σπουδῆς· καὶ τοὺς μέν, ἥ τε ὄψις αὐτίκα
τοῦ γιγνομένου κατέπληξε, καὶ τὸ μῆκος τῆς ἐντεύξεως· καὶ διένευον ἀλλήλοις
διαχρήσασθαι σφᾶς αὐτοὺς πρὸ συλλήψεως· προϊόντος δὲ τοῦ λόγου, τὸν λαίναν

ὁρῶντες, οὐ μηνύοντι μᾶλλον ἀλλ' ἐπί του δεομένῳ καὶ λιπαροῦντι ἐοικότα, ἀνέ-
φερον· ὡς δὲ ἐπὶ τῷ λόγῳ καὶ ἀσπασάμενον εἶδον, ἀνεθάρρησαν· ἔθος δ' ἐστὶ τοῖς ἄρχουσιν,
ἐν τῇ βουλῇ εἰσιοῦσιν, οἰωνίζεσθαι προσιοῦσι· καὶ πάλιν τῶν ἱερῶν ἦν τῷ καίσαρι
τὸ μὲν πρῶτον ἄνευ καρδίας· καὶ ὥς τινες λέγουσιν, ἡ κεφαλὴ τοῖς σπλάγχνοις ἔλιπε·
καὶ τοῦ μάντεως εἰπόντος θανάτου τὸ σημεῖον εἶναι, γελάσας ἔφη· τοιοῦτον αὐτῷ
καὶ περὶ ἰβηρίαν γενέσθαι πολεμοῦντι πομπηΐῳ· ἀποκριναμένου δὲ τοῦ μάντεως
ὅτι καὶ τότε κινδυνώδης ἐλαμπρύ, καὶ νῦν ἔτι ἐπιθανώτερον εἶναι τὸ σημεῖον, αὖθις
αὐτὸν ὁ καῖσαρ ἐκέλευε θύεσθαι· καὶ οὐδενὸς οὐδ' ὣς καλλιερουμένου, τὴν βουλὴν
βραδύνουσαν αἰδούμενος· καὶ ὑπὸ τῶν ἐχθρῶν ὡς φίλων ἐπειγόμενος, ἐσῄει
τῶν ἐχθρῶν καταφρονήσας· χρῆν γὰρ ἃ ἐχρῆν καίσαρι γενέσθαι· οἱ δ' ἀντώ-
νιον μὲν πρὸ θυρῶν ἀποδιατρίβειν ἔμελλε τρεβώνιος δ' ἐξ αὐτῶν ὑπηγίποντο· καὶ
καίσαρα δὲ ἐπὶ τοῦ θρόνου προκαθίσαντα, περιέστησαν οἷα φίλοι σὺν λεληθόσι ξιφιδίοις·
καὶ αὐτῶν ἀτίλλιος μὲν κίμβρος ἐντυχὼν ἐς πρόσωπον, ἀδελφῷ φυγάδι κάθοδον
ᾔτει· ἀντιτιθεμένου δὲ καὶ ἀντιλέγοντος ὅλως τοῦ καίσαρος, ὁ μὲν κίμβρος αὐτοῦ τῆς
πορφύρας ὡς ἔτι δεόμενος ἐλάβετο· καὶ τὸ ἱμάτιον περισπάσας, ἐπὶ τὸν τράχηλον εἷλκε βοῶν·
τί βραδύνετε ὦ φίλοι· κάσκας δὲ ἐπιστὰς ὑπὲρ κεφαλῆς, ἐπὶ τῆς σφαγῆς τὸ ξίφος
ἤρεισε πρῶτος· παρολισθὸν δέ, ἀνέτεμε τὸ στῆθος· καὶ ὁ καῖσαρ τὸ ἱμάτιον ἀπὸ τοῦ
κίμβρου ἐπισπάσας, καὶ τῆς χειρὸς τοῦ κάσκα λαβόμενος καὶ καταδραμὼν ἀπὸ τοῦ θρόνου
καὶ ἐπιστραφείς, τὸν κάσκαν ᾔκιζε σὺν βίᾳ πολλῇ· οὕτω δὲ ἔχοντος αὐτοῦ, τὸ πλευρὸν ἕτερος
ὡς ἐπὶ στροφῆς τεταμένου διήλασε ξιφιδίῳ· καὶ κάσσιος ἐς τὸ πρόσωπον ἔπληξε·
καὶ βροῦτος ἐς τὸν μηρὸν ἐπάταξε· καὶ βουκολιανὸς ἐς τὸ μετάφρενον· ὥστε τὸν καί-
σαρα ἐπὶ μέν τι σὺν ὀργῇ καὶ βοῇ καθάπερ θηρίον ἐς ἕκαστον αὐτῶν ἐπιστρέφεσθαι· μετὰ
δὲ τὴν βρούτου πληγήν, εἴτε ἀπογνώσας ἤδη, τὸ ἱμάτιον περικαλύψασθαι καὶ πεσεῖν
εὐσχημόνως παρὰ ἀνδριάντι πομπηΐου· οἱ δέ, καὶ ὡς ἐνύβριζον αὐτῷ πεσόντι μέχρι
τρεῖς ἐπὶ εἴκοσι πληγῶν· πολλοί τε διωθιζόμενοι μετὰ τῶν ξιφῶν, ἀλλήλους ἔπληξαν·
ἐκτελεσθέντος δὲ τοῖς φονεῦσι τοσοῦδε ἄγους ἐν ἱερῷ χωρίῳ, καὶ ἐς ἄνδρα ἱερὸν καὶ
ἄσυλον, φυγή τε ἦν ἀνὰ τὸ βουλευτήριον αὐτίκα καὶ ἀνὰ τὴν πόλιν ὅλην· καὶ ἐτρώθησάν
τινες τῶν βουλευτῶν ἐν τῷδε τῷ θορύβῳ καὶ ἀπέθανον ἕτεροι· πολὺς δὲ καὶ ἄλλος
ἀστῶν τε καὶ ξένων ἐγίγνετο φόνος· οὐ προβεβουλευμένος· ἀλλ' οἷος ἐκ θορύβου
πολιτικοῦ· καὶ ἀγνωσίᾳ τῶν ἐπιτυχόντων· οἵ τε γὰρ μονομάχοι ὡπλισμένοι ἕωθεν
ὡς ἐπὶ δή τινα θέας ἐπίδειξιν, ἐκ τοῦ θεάτρου διέθεον ἐς τὰ τοῦ βουλευτηρίου
παραφράγματα· καὶ τὸ θέατρον ὑπὸ ἐκπλήξεως καὶ φόβου καὶ δρόμου διελύετο·

τῶν τε ὠνίων διηρπάζετο· καὶ τὰς θύρας ἅπαντες ἀπέκλειον· καὶ ἀπὸ τῶν τεγῶν ἐς ἄμυναν ἡτοιμάζοντο. Ἀντώνιός τε τὴν οἰκίαν ὠχύρου· τεκμαιρόμενος συνεπιβουλεύεσθαι τῷ Καίσαρι. καὶ Λέπιδος ὁ ἵππαρχος, ἐν ἀγορᾷ μὲν ὢν ἐπύθετο τοῦ γεγονότος· ἐς δὲ τὴν ἐν τῷ ποταμῷ νῆσον διαδραμὼν, ἔνθα ἦν αὐτῷ τέλος στρατιωτῶν, ἐς τὸ πεδίον αὐτοὺς μετεβίβαζεν· ὡς ἑτοιμοτέροις ἕξων ἐς τὰ παραγγελλόμενα ὑπ' Ἀντωνίου· Ἀντωνίῳ γὰρ ἐξίστατο· φίλῳ τε τοῦ Καίσαρος ὄντι μᾶλλον καὶ ὑπάτῳ. Καὶ αὐτοῖς σκεπτομένοις, ὁρμὴ μὲν ἦν ἀμύνειν τῷ Καίσαρι τοιάδε παθόντι· τὴν δὲ βουλὴν πρὸς τῶν ἀνδροφόνων ἐσομένην ἐδεδίεσαν· καὶ τὸ μέλλον ἔτι περιεσκόπουν. ἀμφὶ δὲ αὐτὸν Καίσαρα στρατιωτικὸν μὲν οὐκ ἦν· οὐ γὰρ δορυφόροις ἠρέσκετο· τὴν δὲ τῆς ἡγεμονίας ὑπηρεσίαν μόνην· καὶ οἱ πλέονες τῶν ἀρχῶν καὶ πολὺς ὅμιλος ἄλλος ἀστῶν τε ξένων· καὶ πολλοὶ θεράποντες καὶ ἐξελεύθεροι αὐτὸν ἐπὶ τὸ βουλευτήριον ἐκ τῆς οἰκίας παρέπεμπον· ὧν ἀθρόως διαφυγόντων, τρεῖς θεράποντες μόνοι παρέμειναν· οἳ τὸ σῶμα ἐς τὸ φορεῖον ἐνθέμενοι, ἐκόμιζον οἴκαδε ἀνωμάλως οἱ τρεῖς, τὸν πρὸ ὀλίγου γῆς καὶ θαλάσσης προστάτην. οἱ δὲ σφαγεῖς ἐβούλοντο μέν τι εἰπεῖν ἐν τῷ βουλευτηρίῳ· οὐδενὸς δὲ παραμείναντος, τὰ ἱμάτια ταῖς λαιαῖς ὥσπερ ἀσπίδας περιελιξάμενοι, καὶ τὰ ξίφη μετὰ τοῦ αἵματος ἔχοντες, ἔθεον δρόμῳ, βασιλέα καὶ τύραννον ἀνῃρηκέναι· καὶ πῖλόν τις ἐπὶ δόρατος ἔφερε, σύμβολον ἐλευθερώσεως· ἐπί τε τὴν πάτριον πολιτείαν παρεκάλουν· καὶ Βρούτου τοῦ πάλαι καὶ τῶν τότε σφίσιν ὀμωμοσμένων ἐπὶ τοῖς πάλαι βασιλεῦσιν, ἀνεμίμνησκον· συνέθεον δὲ αὐτοῖς τινες χειρισάμενοι ξιφίδια· οἳ τοῦ ἔργου μὲν οὐ μετέσχον, προσεποιοῦντο δὲ τὴν δόξαν· Λέντλος τε ὁ Σπινθὴρ καὶ Φαώνιος· καὶ Ἀκουῖνος· καὶ Δολοβέλλας· καὶ Μοῦρκος· καὶ Πατίσκος· οἳ τῆς μὲν δόξης οὐ μετέσχον, τῆς δὲ τιμωρίας τοῖς ἁμαρτοῦσι συνέτυχον. τοῦ δήμου δὲ αὐτοῖς οὐ προσθέντος, ἠπόρουν καὶ ἐδεδίεσαν· τὴν μὲν βουλὴν καὶ αὐτίκα ὑπ' ἀγνοίας καὶ θορύβου διέφυγε, θαρροῦντες ὅμως συγγενέσι τε σφῶν καὶ φίλοις οὖσι· βαρυνομένοις τε τὴν τυραννίδα ὁμοίως· τὸν δὲ δῆμον ὑφορώμενοι· καὶ τοὺς ἐστρατευμένους τῷ Καίσαρι πολλοὺς ἐν τῇ πόλει τότε παρόντας· τοὺς μὲν, ἄρτι τῆς στρατείας ἀφειμένους· καὶ ἐν κληρουχίαις διατεταγμένους· τοὺς δὲ, προαπῳκισμένους μὲν, ἐν δὲ παραπομπὴν τοῦ Καίσαρος ἐξιόντος ἀφιγμένους· Λέπιδόν τε ἐδεδίεσαν· καὶ τὸν ὑπὸ τῷ Λεπίδῳ στρατὸν ἐν τῇ πόλει· καὶ Ἀντώνιον ὑπατεύοντα· μὴ ἀντὶ τῆς βουλῆς τῷ δήμῳ μόνῳ χρώμενος, ἐργάσαιτό τι δεινὸν αὐτούς· ὧδε δὲ ἔχοντες, ἐς τὸ Καπιτώλιον σὺν τοῖς μονομάχοις ἀνέθορον. καὶ αὐτοῖς βουλευομένοις, ἔδοξεν ἐπὶ τὰ πλήθη μισθώματα περιπέμπειν· ἤλπιζον γὰρ

ἀρξαμένων τινῶν ἐπαινεῖν τὰ γεγενημένα· καὶ τοὺς ἄλλους συνεπιλήψεσθαι· λογισμῷ τε τῆς ἐλευθερίας· καὶ πόθῳ τῆς πολιτείας· ἔτι γὰρ ᾤοντο τὸν δῆμον εἶναι Ῥωμαῖον ἀκριβῶς, οἷον ἐπὶ τοῦ πάλαι Βρούτου· τὴν τότε βασιλείαν καθαιροῦντες, ἐπυνθάνοντο γενέσθαι· καὶ οὐ συνίεσαν, δύο τάδε ἀλλήλοις ἐναντία προσδοκῶντες· φιλελευθέρους ὁμοῦ καὶ μεμισθωμένους σφίσιν ἔσεσθαι χρησίμως τοὺς παρόντας· ὧν θάτερον ἀληθέστερον ἦν, διεφθαρμένης ἐκ πολλοῦ τῆς πολιτείας· παμμιγές τε γάρ ἐστιν ἤδη τὸ πλῆθος ὑπὸ ξενίας, καὶ ὁ ἐξελεύθερος αὐτοῖς ἰσοπολίτης ἐστί· καὶ ὁ δουλεύων ἔτι, τὸ σχῆμα τοῖς δεσπόταις ὅμοιος· χωρὶς γὰρ τῆς βουλευτικῆς, ἡ ἄλλη στολὴ τοῖς θεράπουσίν ἐστιν ἐπίκοινος· τό, τε σιτηρέσιον τοῖς πένησι χορηγούμενον ἐν μόνῃ Ῥώμῃ τὸν ἀργὸν καὶ πτωχεύοντα καὶ ταχουργὸν τῆς Ἰταλίας ἐς τὴν Ῥώμην ἐπάγεται· τό, τε πλῆθος τῶν ἀποστρατευομένων οὐ διαλυόμενον ἐς τὰς πατρίδας ἔτι ὡς πάλαι, καθ' ἕνα ἄνδρα, δέει τοῦ μὴ ἀδίκοις πολέμοις ἐνίοις ὡς ἐπολεμηκέναι· κοινῇ δὲ ἐς κληρουχίας ἀδίκους ἀλλοτρίας τε γῆς καὶ ἀλλοτρίων οἰκιῶν ἐξιόν, ἀθροούμενοι τότε ἐσταθμευον ἐν τοῖς ἱεροῖς καὶ τεμένεσιν ὑφ' ἑνὶ σημείῳ καὶ ὑφ' ἑνὶ ἄρχοντι τῆς ἀποικίας· τὰ μὲν ὄντα σφίσιν ὡς ἐξοδεύειν ἤδη διαπεπρακότες· ὤνιοι δ' ἐς ὅ τι μισθοῖντο· ὅθεν οὐ δυσχερῶς ἐκ τοσῶνδε καὶ τοιῶνδε ἀνδρῶν, πλῆθός τε τοῖς ἀμφὶ τὸν Κάσσιον ἐς τὴν ἀγορὰν ἀθρόως ἠγείρετο· οἳ καίπερ ὄντες ἔμμισθοι, τὰ μὲν γενόμενα ἐπαινεῖν οὐκ ἐθάρρουν· δεδιότες τὴν Καίσαρος δόξαν καὶ τὸ πρὸς τῶν ἑτέρων ἐσόμενον· ὡς δὲ ἐπὶ συμφέροντι κοινῷ τὴν εἰρήνην ἐπεβόων, καὶ θαμὰ ἐς τὴν ἀρχόντας ἐπ' αὐτὴν παρεκάλουν, τεχνασάμενοι τοῦτο ἐπὶ τῶν ἀνδροφόνων σωτηρίᾳ ἐπινοοῦντες· οὐ γὰρ ἔσεσθαι τὴν εἰρήνην μὴ γενομένης αὐτοῖς ἀμνηστίας· ὧδε δὲ αὐτοῖς ἔχουσι, πρῶτος ἐπιφαίνεται Κίννας στρατηγός· οἰκεῖος ὢν ἐξ ἐπιγαμίας τῷ Καίσαρι· καὶ παραδόξως προελθὼν ἐς μέσους, τήν τε ἐσθῆτα τὴν στρατηγικὴν ἀπεδύσατο, ὡς παρὰ τυράννου δεδομένης ὑπερορῶν, καὶ τὸν Καίσαρα τύραννον ἐκάλει· καὶ τοὺς ἄνδρας τυραννοκτόνους· καὶ τὸ πεπραγμένον ἐσεμνύνετο, ὡς ὅμοιον τῷ μάλιστα τῷ προγονικῷ· καὶ τοὺς ἄνδρας ὡς εὐεργέτας καλεῖν ἐκέλευεν ἐκ τοῦ Καπιτωλίου καὶ γεραίρειν· καὶ Κίννας μὲν οὕτως ἔλεξεν· οἱ δέ, τὸ καθαρὸν τοῦ πλήθους οὐχ ὁρῶντες ἐπιμιγνύμενον αὐτοῖς, οὐκ ἐκάλουν τοὺς ἄνδρας· οὐδέ τι πλέον ἢ περὶ τῆς εἰρήνης μόνης αὖθις παρεκάλουν· ἐπεὶ δὲ καὶ Δολοβέλλας νέος ἀνὴρ καὶ περιώνυμος, ὕπατος ὑπ' αὐτοῦ Καίσαρος ἐς τὸ ἐπίλοιπον τοῦ ἔτους ᾑρημένος, ὅτε ὁ Καῖσαρ ἐξορμήσειν ἔμελλε τῆς πόλεως, τὴν μὲν ὑπατικὴν ἐσθῆτα ἠμφιέσατο· καὶ τὰ σημεῖα τῆς ἀρχῆς περιεστήσατο· τὸν δὲ ταῦτά οἱ παρασχόντα, [illegible] ὁ δὲ ἐλοιδόρει· καὶ

συνεγνωκέναι τοῖς ἐπ' αὐτῷ βεβουλευμένοις ὑπεκρίνετο· καὶ μόνης δεῖσθαι τῆς
χειρὸς ἀπολειφθῆναι. ὅσοι δ' οὖν καὶ λέγειν αὐτὸν ἐσκευάσθαι τὸ ἡμέτερον θεᾶσθαι
τῇ πόλει γενέθλιον. τότε δὴ καὶ οἱ μεμιασμένοι ἀνεθάρρουν, ὡς στρατηγοῦ
καὶ ὑπάτου σφίσι συγγνώμονος ὄντων. καὶ τοὺς ἀμφὶ τὸν Κάσσιον ἐκ τοῦ ἱεροῦ
κατεκάλουν. οἱ δὲ, καὶ ἥδοντο μὲν τῷ Δολοβέλλᾳ· καὶ ἐνόμιζον ἀνδραγαθοῦν καὶ
γνώριμον καὶ ὕπατον, ἕξειν ἐν ἀνθιστῶσιν αὐτῶν τινί· κατῄεσαν δὲ αὐτῶν
μόνοι Κάσσιός τε καὶ Βροῦτος ὁ Μάρκος ἡμαγμένος τὴν χεῖρα· συγκατήνεγκαν
γὰρ δὴ τὰς πληγὰς ἐπὶ τὸν Καίσαρα, Κάσσιός τε καὶ Βροῦτος. ἐπεὶ δὲ προῆλθον
εἰς τὸ μέσον, οὐδὲν ταπεινὸν δὲ προσέφησαν· ἀλλ' ὡς ἐπὶ καλοῖς ὁμολογου-
μένοις, ἀλλήλους ἐπῄνουν· καὶ τὴν πόλιν ἐμακάριζον· καὶ Δέκμον μάλιστα
ἐμαρτύρουν· ὅτι τοὺς μονομάχους σφίσιν ἐν καιρῷ παράσχοι. τόν τε δῆμον
ἐξώτρυνον, ὅμοια τοῖς προγόνοις ἐργάσασθαι, τοῖς καθελοῦσι τοὺς βασιλέας·
οὐκ ἐκ βίας ἄρχοντας ὡς τὸν Καίσαρα· ἀλλ' ᾑρημένους ὑπὸ νόμοις· συνεξῆπτόν τε
Πομπήιον τὸν Πομπηίου Μάγνου τοῦ Καίσαρι τῆς δημοκρατίας πολεμή-
σαντος, καλεῖν ἠξίουν· πολεμοῦντα ἔτι πρὸς τοὺς Καίσαρος στρατηγοὺς ἐν Ἰβηρίᾳ·
καὶ τοὺς δημάρχους Καισέτιον καὶ Μάρυλλον, οἳ τὴν ἀρχὴν ὑπὸ τοῦ Καίσαρος ἀφῃρέθησαν,
ἠλῶντο. τοιαῦτα μὲν εἰπόντες περὶ τὸν Κάσσιον· καὶ ἐπανῆλθον αὖθις εἰς τὸ
Καπιτώλιον. οὐ γὰρ ἐθάρρουν πω τοῖς παροῦσι. τῶν δ' οἰκείων σφίσι καὶ συγγενῶν
τότε πρῶτον εἰς τὸ ἱερὸν ἐλθεῖν πρὸς αὐτοὺς δυνηθέντων, ᾑρέθησαν οἱ πρεσβεύσοντες
ὑπὲρ αὐτῶν ἐς Λέπιδόν τε καὶ Ἀντώνιον. ὁμονοίας πέρι, καὶ προνοίας τῆς ἐλευθερί-
ας καὶ φυλακῆς τῶν ἐσομένων τῇ πόλει κακῶν, ἂν μὴ συμφρονοῖεν· καὶ ἐδέοντο
πεμφθέντες, οὐκ ἐπαινοῦντες μὲν τὸ πεπραγμένον, οὐ γὰρ ἐθάρρουν ἐν φί-
λοις Καίσαρος, γενόμενον δ' ἐνεγκεῖν ἀξιοῦντες· ἔλεγόν τε τῶν δεδρακότων,
οὐ κατὰ μῖσος ἀλλ' ἐπ' εὐνοίᾳ τῆς πατρίδος, καὶ οἴκτῳ τῆς πόλεως, κινουμένοις
στάσεσιν ἤδη κακῶς ἐχούσης· ἢ καὶ τοὺς ὑπολοίπους ἀγαθοὺς ἄνδρας, ἡ μέλλουσα
στάσις διολέσῃ· οὐδὲ γὰρ ὅσιον εἶναί τισιν αὐτοῖς ἐστὶν ἔχθρα πρὸς ἐκείνους ἐν τοῖς δημο-
σίοις κινδύνοις ἐξερίζειν· πολὺ δὲ μᾶλλον ἐν τοῖς κοινοῖς καὶ τὰ ἴδια καταθέσθαι.
καὶ εἴ τις ἀνηκέστως ἔχει τὰ ἴδια ἐν τῷ παρόντι ἀναθέσθαι. Ἀντώνιος δὲ καὶ Λέπιδος,
ἐβούλοντο μὲν ἀμύνειν Καίσαρι ὥς μοι προείρηται· εἴτε φιλίας ἕνεκα, εἴτε τῶν ὀ-
μωμοσμένων· εἴτε ἀρχῆς ὀρεγόμενοι· καὶ νομίζοντες ἀμφότερα σφίσιν ἀπαντή-
σεσθαι. τοιῶνδε καὶ τοσῶνδε ἀνδρῶν ἀθρόων ἐκ ποδῶν γενομένων· τοῖς δὲ φίλοις
καὶ συγγενέσιν αὐτῶν ἐδεδοίκεσαν· καὶ τὴν ἄλλην βουλὴν ἐπιρρέπουσαν ἐς ἐκείνους.

170

Δέκμον τε μάλιστα τῆς ὁμόρου Κελτικῆς ᾑρημένον ὑπὸ Καίσαρος ἄρχειν· στρατὸν
πολὺν ἔχοντα. ἐδόκει δὲ καραδοκεῖν ἔτι τὰ γινόμενα καὶ τεχνάζειν, ἐνδέχεσθαι τὸ
περιμεῖναι, προσεταιρίσασθαι πρὸς ἑαυτὸν τὴν στρατιὰν τοῦ Δέκμου καθ' ὑμῶν ἐν τοῖς ἀτρύτοις πόνοις
γεγυμνασμένην. οὕτω δὲ δόξαν αὐτοῖς, ὁ Ἀντώνιος τῇ ἑαυτοῦ ἠμείψατο. καὶ τὰ μὲν
ἐχθρὰ ἴδια οὐδὲν ἐργασόμεθα· ἐγκαλεῖ δὲ τοῦ μύσους· καὶ ὧν Καίσαρι πάντες
ὠμόσαμεν· φύλακες αὐτῷ τοῦ σώματος ἢ τιμωροὶ παθόντι τι ἔσεσθαι, δι' ὅρκον
ἢ τὸ ἄγος ἐξελαύνειν· καὶ μετ' ὀλίγων τῶν καθαρῶν βιοῦν μᾶλλον, ἢ πάντων ἐνόχους
ὄντας ταῖς ἀραῖς. ἀλλ' ὅμως ὑμᾶς οἷς ἐπιδοκεῖ σκεψόμεθα μεθ' ὑμῶν ἐν τῷ βου-
λευτηρίῳ· καὶ νομιεῖμεν ἀγαθὰ ἔσεσθαι τῇ πόλει, ὅ τι ἂν κοινῇ δοκιμάσητε.
ὁ μὲν, ἀσφαλῶς οὕτως ἀπεκρίνατο. οἱ δὲ, χάριν τε ᾔδεσαν καὶ ἀπεχώρουν
ἐν ἐλπίσι βεβαίαις τὰ πάντα θέμενοι. τὴν γὰρ βουλὴν σφίσι συμπράξειν εὖ
πάντα ἐπεποίθεσαν. ὁ δὲ Ἀντώνιος τὰς μὲν ἀρχὰς ἐκέλευε νυκτοφυλακεῖν
τὴν πόλιν. ἐκ διαστήματος ἐν μέσῳ προκαθημένας· ὡς παρ' ἐν ἡμέρᾳ. καὶ
ἦσαν πυραὶ πανταχοῦ κατὰ τὸ ἄστυ. καὶ διὰ τῶν ἐθέον ἀνὰ τὴν νύκτα πᾶσαν, ὑπάτου
εἰς τὰς τῶν βουλευτῶν οἰκίας οἱ τῶν ἀνδροφόνων οἰκεῖοι παρακαλοῦντες ὑπὲρ
αὐτῶν καὶ ὑπὲρ τῆς πατρίου πολιτείας. ἀντιπαρέθεον δὲ καὶ οἱ τῶν κληρούχων ἡγε-
μόνες, ἀπειλοῦντες, εἰ μή τις αὐτοῖς φυλάξει τὰς κληρουχίας· τάς τε ἤδη δεδο-
μένας καὶ τὰς ἐπηγγελμένας. ἤδη δὲ καὶ τῶν ἀστῶν ὁ καθαρώτατος λεὼς, ἀνε-
θάρρει. τὴν ὀλιγότητα τῶν δεδρακότων πυνθανόμενοι· καὶ ἐν μνήμῃ τοῦ
Καίσαρος ὑπεφέρετο· καὶ ταῖς γνώμαις διῃροῦντο. τῆς δ' αὐτῆς νυκτὸς καὶ
τὰ χρήματα τοῦ Καίσαρος καὶ τὰ ὑπομνήματα τῆς ἀρχῆς εἰς τὸν Ἀντώνιον
μετεκομίζετο· εἴτε τῆς γυναικὸς αὐτῆς τῆς Καίσαρος ἐξ ἐπικινδύνου
τότε οἰκίας, ἐς ἀκινδυνοτέραν τὴν Ἀντωνίου μεταφερούσης, εἴτε τοῦ Ἀντωνίου
κελεύσαντος. γιγνομένων δὲ τούτων, δι' ἀγρυπνίας νυκτὸς ἀνεγιγνώσκετο· Ἀν-
τωνίου τὴν βουλὴν συγκαλοῦντος ἔτι πρὸ ἡμέρας ἐς τὸ τῆς Γῆς ἱερόν· ἀγχο-
τάτω μάλιστα ὂν τῆς οἰκίας Ἀντωνίου. οὔτε γὰρ ἐς τὸ βουλευτήριον ἐθάρρει
κατελθεῖν, ὑποκειμένου τῷ Καπιτωλίῳ. μονομάχων ὄντων ἐκείνοις συμμάχων,
οὔτε στρατιὰν ἐσαγαγὼν ἐς τὴν πόλιν διαταράξαι. Λέπιδος δ' ὅμως ἐσή-
γαγε. πλησιαζούσης δὲ τῆς ἡμέρας, οἵ τε ἄλλοι βουλευταὶ συνέθεον ἐς τὸ
τῆς Γῆς ἱερόν· καὶ Κίννας ὁ στρατηγὸς αὖθις ἐπικείμενος τὴν στρατηγικὴν
ἐσθῆτα, ἣν ἐχθὲς ὡς τυράννου δόντος ἐξέρριψε· θεασάμενοι δ' αὐτόν
τινες τῶν ἀκελάστων καὶ τῶν ἐστρατευμένων τῷ Καίσαρι, δι' ὀργῆς εἶχον τ

ὅτι πρῶτος ἐπὶ τῷ Καίσαρι, καίπερ οἰκεῖος ὢν αὐτοῦ, βλασφήμως ἐδημη-
γόρησε, λίθοις ἔβαλλον καὶ ἐδίωκον. καὶ ἔς οἰκίαν τινὰ συμφυγόντος αὐτοῦ,
ξύλα συμφέροντες, ἐμπρήσειν ἔμελλον· ἕως μὲν Λέπιδος μετὰ στρατιᾶς ἐπελθὼν
ἐκώλυσε. τοῦτο μὲν δὴ πρῶτον ἔργον παρρησίας ἦρξεν ἐπὶ τῷ Καίσαρι· καὶ
αὐτὸ κατέδεισαν οἵ τε μεθ' ἑαυτοὶ καὶ οἱ σφαγεῖς αὐτοί. ἐν δὲ τῷ βουλευτηρίῳ
βραχὺ μὲν ἦν τὸ καθαρεῦον ἀπὸ σπουδῆς βιαίου καὶ ἀγανακτοῦν· οἱ δὲ πλέονες
σὺν παρασκευῇ ποικίλῃ τοῖς ἀνδροφόνοις συνήργουν· καὶ πρῶτα μὲν αὐτοὺς
ἀξιοπίστοις ἥκειν· καὶ παρεῖναι σφίσι καὶ συνεδρεύειν ἐξ ὑπευθύνων ἐς κρίσιν
μεταφέροντες. καὶ ὁ Ἀντώνιος οὐκ ἐκώλυεν, ἴσως οὐκ ἐλευσομένους. οὐδὲ ἦλθον.
ἐς δὲ διάπειραν τῆς βουλῆς, οἱ μέν, αὐτῶν μάλα θρασέως τὸ πεπραγμένον
ἐπῄνουν ἄντικρυς· καὶ τοὺς ἄνδρας ἐκάλουν τυραννοκτόνους καὶ γεραίρειν
ἐκέλευον. οἱ δέ, τὰ μὲν γέρα περιῄρουν· ὡς δὲ ἐκείνων δεομένων, οὐδὲ ἐπὶ τῷδε
αὐτὰ πραξάντων· ἀφιέναι δὲ μόνον αὐτοὺς ἐδικαίουν ὡς εὐεργέτας. οἱ δέ,
καὶ τὸ ἀφιέναι ὑπανῄρουν· καὶ φείσασθαι μόνον αὐτῶν ἠξίουν· καὶ οἱ μέν, τάδε
ἐτέχναζον καὶ περιεώρων ὅ τι πρῶτον ἐνδέξαιτο μάλιστα ἡ βουλή, πρὸς
τὰ λοιπὰ κατ' ὀλίγον ἐπιχείρητος αὐτοῖς ἔσοιτο. οἱ δὲ καθαρώτεροι τὸ μὲν
ἔργον ὡς ἄγος ἀπεστρέφοντο· αἰδοῖ δὲ μεγάλων οἴκων περισώζειν αὐτοὺς
οὐκ ἐκώλυον· ἠγανάκτουν δὲ εἰ καὶ τιμήσουσιν ὡς εὐεργέτας. οἱ δέ, ἀντέ-
λεγον μὴ χρῆναι περισώζοντας φθονεῖν τῶν περὶ αὐτῶν ἐς ἀσφάλειαν· ὡς
δέ τις εἶπεν ὅτι τούτων τιμὴ ὕβριν Καίσαρι φέρει, οὐκ εἴων ἔτι τόν τε
θνῄσκοντα τῶν περιόντων προτεθῆναι· ἑτέρου δὲ κρατῶς εἰπόντος, ὅτι
χρὴ δύο τῶν δὲ πάντως τὸ ἕτερον, ἢ Καίσαρα τύραννον προαποφῆναι, ἢ
τούσδε ἐλεῶν περισώζειν, τοῦτο μόνον δεξάμενοι τὸ λεχθὲν οἱ ἕτεροι, ἤτουν
σφίσι ψῆφον ἀναδοθῆναι περὶ τοῦ Καίσαρος ἐπὶ ὅρκῳ, καὶ καθαρῶς
ἐθέλοντας κρῖναι, μηδὲν αὐτοῖς ἐπιθέσθαι τὰ ἐξ ἀνάγκης ἐψηφισμένα,
ἄρχοντι ἤδη μόνῳ οὐδὲν ἑκόντας, οὐδὲ πρὶν ἢ δεῖσαι περὶ σφῶν αὐτῶν,
ἀνῃρημένου τε Πομπηίου, καὶ ἐπὶ Πομπηίῳ μυρίων ἄλλων, ψηφιεῖσθαι.
ὁ δὲ ἂν τῶνδε ἐφορᾷ αὐτοῖς καὶ ἐφεδρεύων, ἐπελθὼν ἐν ἀγνῶσιν ὕλαις ἄπορον
οὐδὲ ἀναμφίλογον ἤδη ἐν φερομένῃ, ἐγγὺς τὸ ἐνθύμημα αὐτοῦ οἰκείῳ
φόβῳ καὶ φροντίδι περὶ σφῶν αὐτῶν διελέγχειν· ἴσως οὖν τῶν βουλευτῶν
αὐτῶν πολὺ πλῆθος, ἔς τε τὰς ἀρχὰς τὰς ἐπετείους, καὶ ἐς ἱερωσύνας καὶ
ἐθνῶν καὶ στρατοπέδων ἡγεμονίας, ὑπὸ τοῦ Καίσαρος ἐς τὸ μέλλον ᾑρημένοι.

ὡς γὰρ ἐπὶ χρόνιον στρατείαν ἀπιὼν, ἐπὶ πενταετὲς ᾕρητο, σιωπὴν
ὡς ὕπατος ἐπικηρύξας, φησί· τοῖς αἰτοῦσι περὶ Καίσαρος ψῆφον, ἀναγκαῖον
τάδε προειδέναι· ὅτι ἄρχοντος μὲν αὐτοῦ καὶ αἱρετοῦ προστάτου γενομένου,
τὰ πεπραγμένα καὶ δεδογμένα πάντα κύρια μένει· ἀποδειχθέντος δὲ ἐπὶ βίᾳ
τυραννικῇ, τό τε σῶμα ἄταφον τῆς πόλεως ὑπερορίζεσθαι, καὶ τὰ πε-
πραγμένα πάντα ἀκυροῦσθαι. ἐπὶ δὲ ὡς ὅρῳ τοῦδε λαβεῖν ἐπὶ πᾶσαν διακε-
χειρισμένα γῆν καὶ θάλασσαν· καὶ τὰ πολλὰ αὐτῶν οὐδὲ βουλομένοις ἡμῖν
ὑπακούσεται. καὶ δὴ ἔξω μετ' ὀλίγον· ὃ δὲ ἐπὶ μόνοις ἐφ' ἡμῖν, ὅτι καὶ περὶ
μόνων ἐστὶν ἡμῶν, τοῦτο ὑμῖν προθήσω πρὸ τῶν ἄλλων. ὥσπερ ἐν τῷ δυσμορφῇ
τὰ εἰκότα τῶν δυσχερεστέρων λάβοιτε. ἡμᾶς γὰρ αὐτοὺς σχεδὸν ἅπαντες,
οἱ μὲν ἤρξαμεν ὑπὸ τῷ Καίσαρι· οἱ δὲ ἐπάρχομεν αἱρετοὶ πρὸς ἐκείνου
γενόμενοι· οἱ δέ, ἐς τὸ μέλλον ἀρχὴν κεχειροτονήμεθα· ἐς γὰρ πενταετὲς ὡς
ἴστε, τὰ ἀστικὰ ὑμῖν καὶ τὰ ἐτήσια, καὶ τὰς τῶν ἐθνῶν καὶ στρατοπέδων ἡγεμο-
νίας διετάξατο. ἃ δὴ ταῦτα ὑμᾶς ἑκόντας ἀποθήσεσθαι, ἐστὲ γὰρ ὑμεῖς
τοῦδε μάλιστα κύριοι, τόδε πρῶτον ὑμᾶς ἀξιῶ κρῖναι· καὶ τὰ λοιπὰ ἐποίσω.
ὁ μέν, δὴ τοιοῦτον αὐτοῖς, οὐ περὶ Καίσαρος ἀλλὰ περὶ σφῶν αὐτῶν δαλὸν
ἐξάψας, ἡσύχαζεν· οἱ δ' αὐτίκα ἀνεπήδων ἀθρόοι μετὰ βοῆς· οὐκ ἀξιοῦντες
ἐπὶ χειροτονίας ἄλλας, οὐδὲ ἐπὶ τῷ δήμῳ γενέσθαι μᾶλλον, καὶ βεβαίως ἔχειν
ἃ ἔλαβον· τοῖς δέ, καὶ ἡλικίᾳ νεωτέροις καὶ ἄλλῃ πρὸς χειροτονίαν ἐναντι-
ώσει ὑπονοίᾳ, ἀνηρέθιζε· καὶ τῶν δὲ αὐτὸς ὁ ὕπατος ἐξ ἦρχε Δολοβέλλας·
οὐ γὰρ αὐτῷ δυνατὸν ἐφαίνετο, κατὰ τὸν νόμον χειροτονίαν ὑπατεύειν· πέντε
καὶ εἰκοσιν ἔτη γεγονότι. ὁ ἐξ ἴσης δὴ τοῦ χθὲς ὑποκρινομένου μέρος χὴν τότε
γεγονότος ἐν ταύτῃ τῇ μεταβολῇ· λοιδορουμένου τοῖς πολλοῖς, καὶ τοὺς ἀνδροφόνους
τιμᾶν ἀξιοῦντος, τοὺς ἄρχοντας σφῶν ἀτιμῶσιν, ἐν δ' ἀπρεπὲς ἀνυπεικ-
τὸν ἐπῄνει. οἱ δέ, αὐτόν τε τὸν Δολοβέλλαν καὶ τοὺς ἄλλους ἐπ' ἐλπίδι ζῶν· χωρὶς ἐκ τοῦ
δήμου λαβόντες, ἐν τὰς αὐτὰς ἀρχὰς ἀποφαίνειν αὐτίκα, καὶ οὐκ ἀρχὴν ἀλλάττειν·
ἀλλὰ μόνης ἔσεσθαι χειροτονίας ἐπὶ τὸ νομιμώτερον ἐκ τοῦ μοναρχικοῦ. ὁ καὶ
κόσμον αὐτοῖς οἴσειν, ἄν τε μόναρχοι καὶ δημοκρατία ταῖς ὁμοίαις προτιμωμένοις· καὶ
τούτων ἔτι λεγομένων, ἔνιοι τῶν στρατηγῶν τὰς ἐσθῆτας ἐπὶ ἐν ἕδρᾳ τῶν ἀντελε-
γον ἐπὶ τοῦδε· ὡς καὶ αὐτοὶ μετὰ τῶν ἄλλων αὐτὰς ἀντιληψόμενοι νομιμώτερον·
τοῖς δέ, ἥ τε αὐτῶν ἔδρα κατεφαίνετο· καὶ οὐδὲ κύριοι ἔτι τῆς δὲ τῆς χειροτονίας ἐσο-
μένοις ἐδέοντο. ὧδε δὲ ἔτι ἐχόντων, ὁ Ἀντώνιος καὶ ὁ Λέπιδος ἐκ τοῦ βουλευτη-

προκαλῶν· ἢ γάρ τιν' αὐτοῖς ἐκ πολλοῦ συνθέμενοι ἐκάλουν· ὡς δὲ ὤφθησαν
ἐκ μετεώρου, καὶ συγκεκραγότων μόλις ἐγένετο, ἧς μέν τις ἐβόησεν, ἥ τε
κατεγνωσμένη ἰδέα, ἥ τε περιεσπασμένος φυλάσσεσθαι παθὴν ὁμοία. ὁ Ἀντώ-
νιος αὐτῷ παραλύσας τὸν χιτωνίσκον, θώρακα μὲν ἐν τοῖς ἐπεδείκνυεν, ὑπὸ δὲ
θίζων ἄρα τοὺς ὁρῶντας, ὡς οὐκ ἐνὸν σώζεσθαι χωρὶς ὅπλων· οὐδὲ ὑπάτοις ἐπι-
βοώντων δὲ κατέρων τὸ ἐσπαραγμένον ἐπεδείξεν, ἢ τῶν ὅλων περὶ τῆς εἰρήνης
παρακαλοῦσι, τοῖς μὲν περὶ τῆς εἰρήνης ἔφη· δεῖ τοῦτο σκοποῦμεν ὡς ἔσται τε. ἢ
γενησομένη βεβαία· δυσεύρετον γὰρ ἤδη τὸ ἀσφαλὲς αὐτῆς· ὅτι καὶ δὲ Καί-
σαρα ὤνησαν ὅρκοι τοσοίδε ἢ ἀραί. ἐν δὲ τοῖς ἐπιξίφεσι παρακαλοῦσι τὰς ἱεροδ.
ἐπηνεγμένων ὡς δίορκοί τε καὶ ἀσεβέστεροι ἀπρογενομένοι. ἢ αὐτὸς ἀνέφη, σώσε-
ταστόμενον ὑμῖν, ἢ ἐν αὐτῇ πρῶτος βοῶν, ἢ μὴ ὕπατος ἦν· τὸ τοῦ λεγομένου
συμφέρειν μᾶλλον ἢ τοῦ δικαίου μέλλει· ὁ δὲ γὰρ ἤ μὲν οἱ ἀνδρῶν παραινοῦσιν· οὕτω
δὲ που ἢ Καίσαρ αὐτὸς οἷς ἦν λέγε πολέμου τῶν πολιτῶν διὰ τὸ συμφέρον τῆς πόλεως
περισώσας, ὑπ' αὐτῶν ἀπέθανε· τοιαῦτα τοῦ Ἀντωνίου παραμώσ τεχνάζοντος,
οἱ δ' ἀμύνειν τοῖς γεγονόσιν ἀξιοῦντες, λέγειν οὐκ ἠξίουν ἀμύνειν· λέγειν δὲ
μόνους λέγειν, οἱ πόρρω συνεστῶτες κατελθεῖν αὐτὸν ἐς τὴν ἀγορὰν ἠξίουν.
ἵνα ὁμαλῶς ἅπαντες ἐπακούσωσιν· ὁ μὲν δὴ αὖθις ἠγνομέζων ἢ διὰ τὸ πλῆθος
τρέπεσθαι· ἢ ἐπὶ τὰ ἔμβολα παρελθών, ἔστηνε ἢ ἐκλαιεν ἐπὶ πολύ ὀπίσω μετ-
πολλοῦ· ἀνενεγκὼν δέ ποτε ἦν· ἐνταῦθα χθὲς μετὰ Καίσαρος ἱστάμην, ἔνθα
νῦν ἀναγκάζομαι ζητεῖν περὶ Καίσαρος ἀνῃρημένου. τί βούλεσθε; ἀναβοη-
σάντων δὲ πολλῶν ἀμύνειν σε τῷ Καίσαρι, ἀντανεβόησαν οἱ μέτριοι τὴν εἰ-
ρήνην τῇ πόλει. ὁ δὲ, τούτοις μὲν ἔφη βουλόμεθα· ἀλλὰ ποίαν λέγετε εἰρήνην
ἢ ποίοις ὅρκοις ἀσφαλὴς ἔσται· τῇ μὲν γὰρ πατρίοις πάντες ὤμνυμεν Καίσαρι.
ἢ κατεπατήσαμεν οἱ τῶν ὀμωμοκότων ἄριστοι εἶναι λεγόμενοι· πρὸς δὲ
τοὺς ἀμύνειν ἀξιοῦντας ἐπιστραφείς, ὁ μὲν Καῖσαρ ἡμῶν ἔφη μεθέστηκεν,
ἱερὸς τῷ ὄντι ἢ τίμιος ἀνήρ· τὴν δὲ πόλιν τοῖς ὑπολοίποις ἀεὶ δύναμε θαυ-
βλάψαι. καὶ τάδε ἔφη σκοποῦσιν ἢ μόνοι προσῆκοι· ἢ δοκεῖ τοῖς πλέοσιν.
ἀνακραγόντων δὲ αὖθις, ἐπὶ ἐξ ἑαυτοῦ μόνος βουλόμενος ἀπέθ. Καῖσαρ καὶ ἐπὶ μοι
ἢ μόνῳ· ἀλλ' οὐκ ἐμὲ ἢ ὑμᾶς βουλεύεσθαι δεῖ μόνους· οὐδὲ μόνοις ἀντιτίθεσθαι.
τοιαῦτα καὶ τοῦτον τεχνάζοντα, οἱ μέσοι τῷ φιλοτίμῳ ἦδον τῷ ἐπήνουν.
Καὶ κύριον ἐπὶ τῇ Καίσαρος ἱερωσύνῃ. τοῦ δέ, ἤττατο μὲν ἢ ὑπῆρχε μέ-
μνησθαι δέ φησί μοι τοῦ δὲ ἢ ὕστερον, ἀναξίος εἶναι δοκῶ· μέλλουσιν ἐπὶ πρη-

πραγμ.

σύλατο ἱερωσύνην, ὑπὸ τῆς εἰρήνης εὖ μέσῳ τῶν ἀνισταμένων, ἀσεβὰς μ-
ὲ φησι ἢ προαγόμενον. ἐργάσομαι δὲ ὅμως ὃ βούλεσθε· ἢ εἰπών, ἐς τὸ βουλευτήριον
ἀνέτρεχεν. ἐν ᾧ παντὶ τὸν χρόνον τοῦτον δὲ Δολοβέλλας ὑπὸ τῆς ἀρχῆς ἀνίστατο
ἀσχημόνως· ἢ ὁ Ἀντώνιος ἀνῄει ἅμα τὰ ἐν τῷ δήμῳ γιγνόμενα, συνιεὶς ὅτι
αὐτοῦ ἐφεώρα· καὶ γὰρ ἦν διαφορώ, ὥστε ἄλις ἔσχε τὸ ὄψεως· ἢ οὐδὲν τῷ δήμῳ
τι γεγονὸς ἑτερμότερον· τοῖς μὲν οὖν ἀνδράσιν ἐγὼ περισώζειν ὑπ' ἀνάγκης
ἐπικρύπτων τὴν ἀνάγκην. ἢ ὡς ἂν βαρυτάτῃ χάριτι περισώζειν· τὰ δὲ τῷ
Καίσαρι πεπραγμένα, κύρια σύμβολα. ἢ τὰ βεβουλευμένα σώζειν. σιω-
πῶντε καὶ κηρύξας αὖθις ἔλεγεν· ἐγὼ περὶ μὲν τῶν ἁμαρτόντων πολιτῶν
ὦ ἄνδρες ὁμότιμοι, σκεπτομένοις ὑμῖν οὐδὲν ἐπεφθεγξάμην· περὶ δὲ
Καίσαρος ἀντεκάνων ψῆφον αἰτοῦσιν, ἀλλ' ἐκ τῶν Καίσαρος ἔργων προ-
θήκαμεν χείρων. ἢ τοσούτοις ὑμῖν προενδῶσας ἤγειρεν καλῶς· εἰ γὰρ
ἀποθησόμεθα τὰς ἀρχάς, ὁμολογήσομεν ἄνδρες τοσοίδε ἢ τοιοίδε, ἀναξί-
ων τῶν τετυχηκέναι· ὅσα οὖν μηδὲ ἐπακούσεται ῥᾳδίως, ἐπισκέψασθε
νῦν αὐτά, ἢ συναριθμεῖτε κατά τε πόλεις ἢ κατὰ ἔθνη. καὶ βασιλέας ἢ
δυνάστας. πάντα γὰρ δὴ σχεδὸν ἀπὸ τῆς ὁδοῦ ἠοῦς ἐπὶ δύσιν ὁ Καῖσαρ ἡμῖν
ἐχειρώσατο δυνάμει ἢ κρατήσας ὠκοδόμησε, νόμοις ἐνορίοις ἢ φιλανθρω-
πίας βεβαιωσάμενος· ὧν τίνας ὑποστήσεσθαι δοκεῖτε, ἀφαιρουμένοις
ἃ ἔλαβον, ἢ μὴ πάντῃ ἐμπλῆσαι πολέμων ἐθέλετε, οἳ τῇ πατρίδι ὥσπερ ἀθε-
νεστάτῃ μάλιστα ἀνεκτοῖς ἀναγκαῖς περισώζειν ἀξιοῦτε. ἢ τὰ μὲν πορ-
ρωτέρω, τοῖς τε δεινοῖς ἔτι ἢ τοῖς φόβοις ἀφεστηκότα ἐάσω· ἃ δὲ οὐκ
ἐγγὺς μόνον ἐστὶν ὑμῖν, ἀλλὰ σύνοικα ἀνὰ τὴν Ἰταλίαν αὐτήν, τοὺς τὰ
νικητήρια λαβόντας, ἢ κατὰ πλῆθος ἅμα τοῖς ὅπλοις ἐστρατευμένους
ὑπὸ τῇ αὐτῇ συντάξει οἰκισμένους ὑπὸ Καίσαρος, ὧν ἔτι πολλοὶ μὲν
εἰσὶ δὲ ἔτι ἂν τῇ πόλει, τίνα νομίζετε πράξειν. ἀφαιρουμένοις ὧν
εἰλήφασιν ἢ προσδοκῶσι λήψεσθαι πόλεών τε ἢ χωρίων. ἢ τοῦ δὲ μὲν
ὑμῖν ἢ ἐπαρησθεῖσα νὺξ τὴν εἰκόνα ἔδειξε. δεομένοις γὰρ ὑμῖν ὑπὲρ τῶν
ἁμαρτόντων, ἀντιπαρέθεον ἐκεῖνοι μετὰ ἀπειλῆς· τὸ δὲ σῶμα τοῦ Καίσαρος
συρόμενον ἢ αἰκιζόμενον ἢ ἄταφον ἐκπουμένον, ἢ γὰρ ταῦτα ἐκ τῶν
νόμων τοῖς τυράννοις ἐπιτέτακται, περιόψεσθαι νομίζετε τοὺς ἐ-
στρατευμένους αὐτῷ. ἢ τὰ χθὲς τῶν ἢ βρεταννῶν νομέας ἀνειλήφασιν
δέξειν βέβαια, τοῦ δόντος ὑβριζομένου. τί δὲ τὸν δῆμον αὐτὸν ἐρ

γάσασθαι. τί δὲ τοῖς Ἰταλιώταις; πόσον δὲ ὑμῖν ἔσεσθαι φθόνον παρά τε ἀν-
θρώπων καὶ θεῶν, ἂν ὑβρίζωσιν ἐς τὸν ὑμῶν τὴν ἡγεμονίαν μέχρι ὠκεανοῦ
ἐπὶ τὰ ἄγνωστον προαγαγόντα· καὶ οὐκ ἐπαιτίῳ καὶ καταγνώσει μᾶλλον ἔσεσθαι
τῇ τοσῇδε ἡμῶν ἀνωμαλίᾳ· ἢ τοῖς μὲν ὕπατον ἐν βουλευτηρίῳ καὶ
ἱερὸν ἄνδρα ἐν ἱερῷ χωρίῳ βουλῆς ἐγκατειργμένης ὑπ' ὄψεσι θεῶν κατα-
κτανοῦσι τιμῶν ἀξιώσομεν· ἀτιμώσομεν δὲ τὸν καὶ τοῖς πολεμίοις
δι' ἀρετὴν τίμιον. τούτων μὲν οὖν ὡς ἀσεβῶν οὔτε ἐφ' ἡμῖν ὄντων προ-
λέγω πάντων ἀπέχεσθαι. γνώμην δὲ ἀποφαίνω, τὰ μὲν πεπραγμένα καὶ βε-
βουλευμένα τῷ Καίσαρι πάντα κύρια· τοῖς δὲ ἁμαρτοῦσιν ἐπαινεῖν μὲν οὐδενὶ
τρόπῳ· οὐ γὰρ ὅσιον οὐδὲ δίκαιον οὐδὲ σύμφωνον ἔτι τῷ κυροῦντι τὰ Καί-
σαρι πεπραγμένα· περισῴζειν δὲ ἐξ ἐλέου μόνον, εἰ ἐθέλοιτε, διὰ τοὺς οἰκεί-
ους αὐτῶν καὶ φίλους· εἰ δὴ καὶ τόδε αὐτοὶ λαμβάνειν ὑπὲρ ἐκείνων ὁμολογοῖεν,
ἐν χάριτος μέρει. τοιαῦτα εἰπόντος τοῦ Ἀντωνίου σὺν ἀνατάσει τε καὶ ὁρμῇ
βαρυτέρᾳ, γίγνεται δόγμα ἡσυχαζόντων ἤδη καὶ ἀγαπώντων ἁπάντων, φόνου
μὲν οὐκ εἶναι δίκας ἐπὶ τῷ Καίσαρι· κύρια δὲ εἶναι τὰ πεπραγμένα αὐτῷ
πάντα καὶ ἐγνωσμένα, ἐπεὶ τῇ πόλει συμφέρει. ἐβιάσαντο γὰρ τόδε ἐς
ἀσφάλειαν οἱ τῶν περισῳζομένων οἰκεῖοι προστεθῆναι μάλιστα, ὡς οὐ δικαίως
φυλασσόμενα μᾶλλον, ἢ διὰ χρείαν· καὶ ὁ Ἀντώνιος αὐτοῖς ἐς τοῦτο συνέδωκεν.
ἐψηφισμένων δὲ τούτων, ὅσοι τῶν κληρούχων ἡγεμόνες ἦσαν, ἠξίουν ἴδιον
περὶ σφῶν ἐπὶ τῷ κοινῷ δόγμα ἕτερον γενέσθαι· βεβαιοῦντας κληρουχίας·
καὶ οὐκ ἐκώλυσεν ὁ Ἀντώνιος· ἐπιδεικνὺς τῇ βουλῇ τὸν φόβον. γίγνεται καὶ
δὴ καὶ τοῦτο· καὶ ἕτερον αὖ περὶ τῶν ἐξιόντων ἐπὶ τὰς ἐποικίας ὅμοιον. Λεύκιος δὲ
Πείσων ὁ τὰς διαθήκας ὁ Καῖσαρ παρετέθειτο, τούτου ἤδη τὸν τρόπον τῆς βουλῆς
διαλυομένης τινὲς περιστάντες, παρεκάλουν μήτε τὰς διαθήκας προφέρειν,
μήτε θάπτειν τὸ σῶμα φανερῶς· μή τι νεώτερον ἕτερον ἐκ τούτων γένοιτο·
καὶ οὐ πειθόμενος, καὶ ἀπειλοῦσιν ἐπήγγελλεν· ὅτι τὴν δημοσίαν τηλικαύτην
ἀφαιροῖντο γιγνομένην κοινήν· αὖθις δρᾶν σχηματιζόμενοι τὴν τυραννίδα. ἐκ-
βοήσαντος οὖν ὁ Πείσωνος ὅτι μέγιστον, καὶ τοὺς ὑπάτους ἐπὶ παροῦσιν ἔτι τῇ βουλῇ
ἀξιῶ συναγαγεῖν, εἶπεν· οἱ τύραννον λέγοντες τὸν Καίσαρα ἀνῃρηκέναι, τοσοῦτοι δὲ ἡμῶν
ἀνθ' ἑνὸς ἤδη τυραννοῦσιν· οἳ θάπτειν με κωλύουσι τὸν ἀρχιερέα· καὶ τὰς
διαθήκας ἀπειλοῦσι προφέρειν· καὶ τὴν οὐσίαν δημεύουσιν αὖθις ὡς τυράννου.
καὶ τὰ μὲν ἐπὶ τούτοις αὐτῷ πεπραγμένα κεκύρωται· ἃ δὲ ἐφ' ἑαυτῷ κατέλιπε,

ἀκυροῦσιν· οὐ Βροῦτος ἔτι οὐδὲ Κάσσιος· ἀλλ' οἱ κἀκείνους ἐς τὸν δὲ τὸν
ὄλεθρον ἐκεῖ ἐπισπῶντες· τῆς μὲν οὖν ταφῆς, ὑμεῖς ἐστὲ κύριοι· τῶν δὲ διαθη-
κῶν ἐγώ· καὶ οὔποτε ἃ ἐπιστεύθην προδώσω, πρὶν κἀμέ τις ἐπανέλῃ· θορυβούντων δὲ καὶ
ἀγανακτούντων ἁπάντων γνωμένης περὶ πάντων· καὶ μάλιστα τῶν ἐλπιζόντων ἐκ τῶν διαθηκῶν
αὐτοῖς ἔσεσθαι· τάς τε διαθήκας ἐς τὸ μέσον ἔδοξε προφέρειν· καὶ θάπτειν τὸν ἄνδρα
δημοσίᾳ· καὶ ἐπὶ τοῖς δὲ ἡ βουλὴ διελύθη. Βροῦτος δὲ καὶ Κάσσιος αἰσθόμενοι τῶν γε-
γονότων, ἐς τὸ πλῆθος περιέπεμπον καὶ παρεκάλουν πρὸς αὐτοὺς ἀνελθεῖν ἐς τὸ Καπιτώ-
λιον· συνδραμόντων δὲ ὀξέως πολλῶν, ὁ Βροῦτος ἔλεξεν· ἐνταῦθα ὑμῖν ἐντυγχάνομεν,
ὦ πολῖται, οἱ χθὲς κατ' ἀγορὰν συντυχόντες· οὔτε ὡς ἱερὸν καταφυγόντες, οὐ γὰρ
ἡμάρτομεν, οὔτε ὡς ἐπὶ κρημνόν, οἳ τὰ καθ' ἑαυτοὺς ἐπιτρέπομεν ὑμῖν· ἀλλὰ τὸ
Κίννα πάθος ὀξύτερόν τε καὶ ἀλογώτερον αὐτῷ γενόμενον, συνηνάγκασε· καὶ τῶν ἠθροισμένων
δὲ τῶν ἐχθρῶν διαβαλλόντων ἡμᾶς ἐς ἐπιορκίαν· καὶ ἐς αἰτίαν ἀπορίας εἰρήνης
ἀσφαλοῦς· ἃ δὴ περὶ τούτων ἔχομεν εἰπεῖν ὑμῖν, ἐρῶμεν ὦ πολῖται· μεθ' ὧν
καὶ τἄλλα δημοκρατούμενοι πράξομεν. ἐπεὶ δὴ Γάιος Καῖσαρ ἐκ Γαλατίας ἐπὶ τὴν
πατρίδα ἤλαυνε σὺν ὅπλοις πολεμίοις· καὶ Πομπήιος μὲν ὁ δημοκρατικώτατος
ὑμῶν, ἔπαθεν οἷα ἔπαθεν· ἐπὶ δ' αὐτῷ πλῆθος ἄλλο πολιτῶν ἀγαθῶν. ἐς τε Λιβύην
καὶ Ἰβηρίαν ἐλαυνόμενοι διωλώλεσαν, εἰκότως αὐτῷ δέει ὅτι καὶ βέβαιον ἔχοντι
τὴν τυραννίδα, ἀμνηστίαν αἰτοῦντι ἔδομεν· καὶ ὠμόσαμεν ὑπὲρ αὐτῆς· ἃ δέ γε μὲν
ὀμνύειν προσέταττεν οὐ τῷ παρελθόντι μόνον οἷον ἐγκρατῶς, ἀλλὰ δουλώσειν ἐς
τὸ μέλλον ἔχοντας, τί ἂν ἔπραξαν οἱ νῦν ἐπιβουλεύοντες ἡμῖν· ἐγὼ μὲν προοῦντ(ες) τῇ
Ῥωμαίοις, οἳ καὶ πολλάκις ἀποθανεῖν ἑλέσθαι μᾶλλον, ἢ δουλεύειν ἑκόντες ἐπιόρκως·
ἢ μὴ δὴ μηδὲν ἔτι ἐς δουλείαν ἐργαζομένου Καίσαρος ἐπιορκήσαμεν· ἃ δὲ οὔτε τὰς
ἀρχὰς τὰς ἀνὰ ἔτος, οὔτε τὰς τῶν ἐθνῶν ἡγεμονίας, οὔτε στρατιᾶς, ἢ ἱερωσύνας, ἢ κληρου-
χίας, ἢ τιμὰς ἄλλας ὑμῖν ἀπέδωκε· οὐδὲ προβουλεύει ἡ βουλὴ περὶ οὐδενὸς,
οὐδ' ὁ δῆμος ἐπεκύρου· ἀλλὰ πάντα τὸ Καίσαρος ἦν ἅπασιν ἐξ ἐπιτάγματος. καὶ
οὐδὲ κόρος αὐτῷ τοῦ κακοῦ τις ἐγίγνετο, οἷος ἐγένετο Σύλλα· ἀλλ' ὁ μὲν τοὺς
ἐχθροὺς καθελὼν, ἀπέδωκεν ὑμῖν τὴν πολιτείαν· ὁ δὲ ἐπὶ ἄλλην στρατείαν χρόνιον
ἀπιὼν, ἐς πενταετὲς ὑμῶν τὰ ἀρχαιρέσια προύλαμβανε, ποία ταῦτ' ἦν ἐλευθε-
ρία; ἧς οὐδὲ ἐλπὶς ὑπεφαίνετο ἔτι· τί δὲ οἱ τοῦ δήμου προστάται, Σίτιος καὶ
Μαρύλλος, οὐχ ἱερὰν καὶ ἄσυλον ἄρχοντες ἀρχὴν, ἐξηλαύνοντο σὺν ὕβρει. καὶ ὁ
μὲν νόμος ὁ τῶν προγόνων καὶ ὅρκος, οὐδὲ παύεσθαι δίκην ἔτι τοὺς δημάρχους
ἐπιτρέπουσιν· ὁ δὲ Καῖσαρ αὐτοὺς ἐξήλασεν· οὐδὲ δίκην ἐπαγαγών. πότεροι

οἷα ἐν τοῖς ἀσύλοις ἥμαρτον. ἢ καὶ σὺ παρ' ἡμῖν ἱερὸς καὶ ἄσυλος, ὅτῳ ταῦτα οὐχ ἑκόντι ἀλλ' ὑπ' ἀνάγκης· οὐδὲ παρ' ἐπιθυμίαν αὐτὸν ἐν τῇ πειθοῖ σὺν ὅπλοις· καὶ τοὺς δὲ καὶ τοιούτους δὲ ἀγαθοὺς πολλάκις κατελύσαμεν ἐθέμεθα· τὸ δὲ τῶν δημάρχων ἀρχὴν οὐχ ἱερὰν καὶ ἄσυλον οἱ πρὶν ἡμῶν ἐν δημοκρατίᾳ χωρεῖς ἀνάγκης ὤμοσάν τε καὶ ἐπράξαντο ἔσεσθαι· ποῦ δὲ οἱ φόροι τῆς ἡγεμονίας καὶ ἐγγύησεις ζῶσι φέρονται. τίς δὴ ἡμῶν ἄκων ἠνοίγετο ταμεῖα· τίς τῶν ἀψαύστων καὶ ἀθίκτων χρημάτων προσήψατο. καὶ ἔτρωσε δημάρχων κωλύοντα θάνατον καὶ ἀπειλῇ· ἀλλὰ τίς φασιν ἔτι ὅρκος ἐν ἀσφαλείᾳ ἂν ῥήγνυσθαι δύναιτο. ἦ μὴν οὐ τυραννήσειν τις, οὐδὲ ὁρκωθῆ· οὐδὲ γὰρ τοῖς πρὸ ἡμῶν ἐδέησεν οὐδέποτε. ἢ δὲ ἐπιθυμήσαντί τις ἄλλος τυραννίδος, οὐδὲν πιστὸν ἐπὶ Ῥωμαίοις πρὸς τύραννον οὐδ' ὅρκον. καὶ ταῦτα δὲ προλεγόμενα ἔτι ὄντα ὑπὸ τῶν κινδύνων καὶ προειρημένων ὑπὲρ τῆς πατρίδος αὐτῇ. καὶ τὸ οὔτ' ἐν ἀσφαλεῖ τιμῇ παρὰ Καίσαρι, τὸ δὲ πατρίδα τῆς ἡμετέρας τιμῆς προετιμήσαμεν· διαβάλλουσι δὲ ἡμᾶς καὶ ἐπὶ ταῖς κληρουχίαις ἐρεθίζοντες ὑμᾶς. ἡ δὲ τίνες τῶν ᾠκισμένων καὶ οἰκισθησομένων πώποτε, χαρίσασθέ μοι. καὶ ἐπισημήναντες ἑαυτοῖς· ἐπισκεψαμένων δὲ πολλάκις γε περὶ ὦ ἄνδρες. τοῖς ἄλλοις ἐποικήσαντες συνήθοντες. χρὴ δὲ ὑμᾶς ταῦτα ἠκόντα τιμωμένους τε καὶ πεποιημένους ἐκ τῆς πατρίδος ταύτην τὴν ἐκπέμπουσαν ἀντεπαίρειν· ὑμᾶς ὁ δῆμος ἔδωκεν ἐπινίκια τοῖς καὶ Βρεττανοῖς τῷ Καίσαρι· καὶ ἀριστεύοντας, ἐν τιμῶν καὶ ἀρίστων τύχην· ὁ δὲ, ὑμᾶς τοῖς ὅρκοις προλαβὼν, ἐπήγαγε μὲν ἐπὶ τὴν πόλιν μάλα ἀβουλοῦντας· ἐπήγαγε δὲ τοῖς ἀρίστοις τῶν πολιτῶν ἐν Λιβύῃ· ὁμοίως. ἦ μὴν δὴ μόνα ταῦτα ὑμῖν ἐπέπρακτο, καὶ δήπου θεὸν ἴσως ἐπὶ τοιούτοις αὐτὴν ἀριστεῖα· ἐπεὶ δὲ οὐδεὶς φθόνος ἢ χρόνος ἀνθρώποις ἐπιλήθει, τὰ ἐπινίκια τοῖς καὶ Βρεττανοῖς ὑμῖν εἰργασμένα, ὑπὸ τούτων ὑμῖν ἐστι τὰ ἀριστεῖα. ἃ καὶ τοῖς ἄλλοις στρατευομένοις ὁ δῆμος ἐδίδου· οἰκείων μὲν ἀνδρῶν καὶ ἀναμαρτήτων, οὔποτε γῆν ἀφαιρούμενος· οὐδὲ ἑτέροις ἐπινέμων τὰ ἀλλότρια· οὐδ' ἀγανακτήσας δυνάμενος, αἱ ἰδίᾳ κτήματα τῶν δὲ πολεμίων ὅτε κρατήσειεν, οὐδὲ τούτων ἅπασαν τὴν γῆν ἀφῃροῦντο· ἀλλὰ ἐμέριζον· καὶ ἐν τῷ μέρος ᾤκιζον τοῖς ἐστρατευμένοις· φύλακας εἶναι τῶν πεπολεμηκότων· καὶ ἐγκαρπούσης αὐτοῖς τε τῆς δορικτήτου γῆς, καὶ τὸ δημόσιον ἐπένεμον· καὶ ἑαυτοὺς ἐπὶ ἑτέραν· οὕτω μὲν ὑμᾶς ὁ δῆμος συνῴκιζεν ἀλύπως ἅπασι· Σύλλας δὲ καὶ Καῖσαρ, οἷς ὑμῶν ὅπλοις ἐν τῇ πατρίδα ὡς πολεμίαν ἐμβάλλοντες, ἐπὶ αὐτῇ τῇ πατρίδι φρουρὰν καὶ δορυφόρων

δεόμενοι, οὔτε διεξίασιν ὑμᾶς ἐν ταῖς πατρίδας, οὔτε τὴν ὑμετέραν ὠνοῦντο· καὶ τὸ τῶν δεδημευμένων ἀνδρῶν ἐπένεμον· οὔτε τὰς τιμὰς τοῖς ἀφαιρημένοις ἐν πράξει ἀνεδίδοσαν· πολλὰ μὲν ἐκ τῶν ταμιείων ἔχοντες, πολλὰ δὲ ἐκ τῶν δεδημευμένων. ἀλλὰ τὴν Ἰταλίαν οὐδὲν ἁμαρτοῦσαν, οὐδὲ ἀδικοῦσαν, πολεμουμένῳ ἀληστείᾳ νόμῳ, τήν τε γῆν ἀφῃροῦντο καὶ οἰκίας καὶ τάφους καὶ ἱερά· ὧν οὐδὲ τοῖς ἀλλοφύλοις πολεμίοις ἀφῃρούμεθα, ἀλλὰ δεκάτην αὐτοῖς μόνην καρπῶν ἐπιτάσσομεν. οἱ δὲ ὑμῖν τὰ τῶν ὑμετέρων ὁμοεθνῶν διένεμον· ὧν ἐπὶ καὶ τοῖς ὑμᾶς αὐτῷ Καίσαρι στρατευσάντων καὶ προπεμψάντων καὶ ἐξαρμένων πολλὰ κατὰ τῶν ὑμετέρων νικητηρίων· καὶ συνῴκιζον ὑμᾶς ἐν ταῦτα ἀθέοις ὑποσημαίοις καὶ σὺν τάξει στρατιωτικῇ· μήτε ἀρημένας δυναμένοις, μήτε ἀδεῶς εἶναι τῶν ἐξελαθέντων· ὁ γὰρ ἀλώμενος καὶ τῶν ὄντων ἀφῃρημένος, ἔμελλεν ὑμῖν παρ' ἐπὶ πολὺ ἐφεδρεύειν καιροφυλακῶν· τοῦτο δὴ γὰρ οἱ τύραννοι μάλιστα ἐβούλοντο· οὐ γῆν ὑμᾶς λαβεῖν, ἣν δὴ καὶ ἑτέρωθεν εἶχον παρασχεῖν· ἀλλ' ὅπως ἐχθροῖς ἐφεδρεύοντας ἔχοντες ἀεί, βέβαιοι φύλακες εἶεν τε τῆς ἀρχῆς, τῆς ταύτῃ ὑμῖν συναδικούσης· ὅμοια γὰρ ἐν τυράννοις γίγνεται δορυφόρων, ἐκ τοῦ συναδικεῖν καὶ συνδεδιέναι· καὶ τοῦτο ὡς θεοὶ σῶοι κινδύνων ἐκάλουν· ὦ θρῆνος ὁμοφύλων ἀνδρῶν ἐπὴν καὶ ἀναστάσεις οὐδὲν ἀδικούντων· ἀλλ' ἐκεῖνοι μὲν ὑμᾶς δὴ ἐπὶ τῇδε ἐχθροὺς ἐποίουν τοῖς ὁμοεθνέσιν, ὑπὲρ τοῦ σφετέρου συμφέροντος· ἡμᾶς δὲ οἷς οἱ νῦν τῆς πατρίδος προστάται φασὶ ἐγὼ περισώζειν, τήν τε γῆν ὑμῖν τήνδε αὐτὴν ἔσεσθαι βεβαιοῦμεν καὶ βεβαιώσομεν· καὶ μάρτυρα τὸν θεὸν τούτων δὲ ποιούμεθα. καὶ ἔχετε καὶ ἕξετε ἃ εἰλήφατε. καὶ οὐ μή τις ὑμᾶς ἀφέληται ταῦτα· οὐ Βροῦτος, οὐ Κάσσιος. οὐχ οἱ δὲ πάντες. οἱ τῆς ὑμετέρας ἐλευθερίας προεκινδυνεύσαμεν. ὃ δὲ ἐν τῷ ἔργῳ μόνον ἐστὶν ἐπίμεμπτον, ἰασόμεθα ἡμεῖς· διαλλακτήριον ὑμῖν γὰρ ἅμα ἐς τοὺς ὁμοεθνεῖς ἐσόμενον· καὶ ἥδιστον ἡδομένοις· οἷς τὴν τιμὴν τῆς δὲ τῆς γῆς τοῖς ἀφῃρημένοις ἡμεῖς ἐκ τῶν δημοσίων χρημάτων αὐτίκα ἐκ πρώτης ἀφορμῆς ἀποδώσομεν. ἵνα μὴ βέβαιον ἔχητε μόνον ὑμᾶς τὴν κληρουχίαν, ἀλλὰ καὶ ἄφθονον· τοιαῦτα τοῦ Βρούτου λέγοντος. ἀκροώμενοί τε ἔτι πάντες καὶ διαλεγόμενοι κατὰ σφᾶς, ἐπήνουν ὡς δικαιότατα· καὶ τοὺς ἄνδρας ὡς ἀκαταπλήκτους δὴ καὶ μάλιστα φιλοδήμους, ἐθαύμαζον τι ἐποιοῦντο. καὶ

εὐλόγως ἂν πρὸς αὐτοὺς μετετίθεντο· ὧν ὧδε ἐπὶ τούτων αὐτοῖς σύμπραξιν ἐμήνυον· ἅμα δὲ ἡμέρᾳ, οἱ μὲν ὕπατοι τὸ πλῆθος ἐς ἐκκλησίαν συνεκάλουν· καὶ ἀνεγίγνωσκον αὐτοῖς τὰ δόξαντα· καὶ Κικέρων πολὺ τῆς ἀμνηστίας ἐγκώμιον ἐπέλεξεν· οἱ δέ, ἡδόμενοι, κατεκάλουν ἐκ τοῦ ἱεροῦ τοὺς ἀμφὶ τὸν Κάσσιον· καὶ οἱ δὲ ἀναπέμψαι αὐτοῖς ἐν τοσῷδε ὅμηρα ἐκέλευον· καὶ ἀνεπέμποντο οἱ παῖδες Ἀντωνίου τε καὶ Λεπίδου· ὀφθέντων δὲ τῶν ἀμφὶ τὸν Βροῦτον, κρότος ἦν καὶ βοή· καὶ τῶν ὑπάτων εἰπεῖν τι βουλομένων, οὐκ ἀνασχόμενοι, δεξιώσασθαι αὐτοὺς καὶ συναλλαγῆναι πρότερον ἐκέλευον· καὶ ἐγίγνετο μὲν οὕτως· καὶ ἐς τὸ μάλιστα τοῖς ὑπάτοις ἡ γνώμη ὑπὸ δέους ἢ φθόνου· ὡς τῶν ἀνδρῶν καὶ τὰ ἄλλα αὐτοῖς ὑπέρτεροι ἔσονται ἐν τῇ πόλει τῇ· διαθῆκαι δὲ τοῦ Καίσαρος ὤφθησαν φερόμεναι· καὶ αὖθις αὐτὰς τὸ πλῆθος ἐκέλευον ἀναγιγνώσκειν· θετὸς μὲν δὴ τῷ Καίσαρι παῖς ἐγίγνετο ἐν αὐταῖς, ὁ τῆς ἀδελφῆς θυγατριδοῦς Ὀκταούιος· τῷ δήμῳ δὲ οἱ κῆποι ἐς ἐνδιαίτημα δεδομένοι· καὶ κατ᾽ ἄνδρα Ῥωμαίων τῶν ὄντων ἐπὶ ἄστει, ὧν τε ἑβδομήκοντα πέντε δραχμαί· καὶ ὧδε ὑπηλλάγη αὖθις ἐς ὀργὴν ὁ δῆμος· τύραννον μὲν κατηγορούμενον προπεπυσμένοι, διαθήκας δὲ φιλοπόλιδος ἀνδρὸς ὁρῶντες· οἴκτιστον δὲ φανὲν μάλιστα αὐτοῖς, ὅτι τῶν ἀνδροφόνων Δέκμος ὁ Βροῦτος ἐν τοῖς δευτέροις κληρονόμοις ἐγγέγραπτο παῖς· ἔθος γάρ τι Ῥωμαίοις παραγράφειν τοῖς κληρονόμοις ἑτέρους, εἰ μὴ κληρονομοῖεν οἱ πρότεροι· ἐφ᾽ ὧ δὴ καὶ μᾶλλον συνεταράσσοντο· καὶ ἀθέμιστον ἐνόμιζον καὶ τοῦτο, Δέκμον ἐπιβουλεῦσαι Καίσαρι, παῖδα αὐτῷ γεγραμμένον εἶναι· ἐπεὶ δὲ Πείσωνος τὸ σῶμα φέροντος ἐς τὴν ἀγοράν, πλῆθος τε ἄπειρον ἐς φρουρὰν συνέδραμεν σὺν ὅπλοις, καὶ μετὰ βοῆς καὶ πομπῆς δαψιλοῦς ἐπὶ τὰ ἔμβολα προυτέθη· οἰμωγή τε καὶ θρῆνος ἦν αὖθις ἐπὶ πλεῖστον· καὶ τὰ ὅπλα ἐπατάγουν οἱ ὡπλισμένοι· καὶ κατὰ μικρὸν ἐν μετανοίᾳ τῆς ἀμνηστίας ἐγίγνοντο· καὶ ὁ Ἀντώνιος ὧδε ἔχοντας ἰδὼν οὐ μεθῆκεν, ἀλλ᾽ ᾑρημένος εἰπεῖν τὸν ἐπιτάφιον, οἷα ὕπατος ὑπάτου, καὶ φίλος φίλου, καὶ συγγενὴς συγγενοῦς, ἦν γὰρ δὴ καὶ Ἀντώνιος κατὰ μητέρα συγγενής, ἐτέχνασεν αὖθις καὶ ἔλεγεν ὧδε· οὐκ ἄξιον ὦ πολῖται τοῦδε ἀνδρὸς ἐπιτάφιον ἔπαινον ὑπ᾽ ἐμοῦ μᾶλλον ἑνὸς ὄντος, ἢ παρὰ τῆς πατρίδος ὅλης αὐτῷ γενέσθαι· ὅσα δὴ τῆς ἀρετῆς αὐτὸν ἀγάμενοι πᾶσα ὁμαλῶς,

ἥ τε βουλὴ καὶ ὁ δῆμος ἔτι περιόντι ἐψηφίσατο, ὑμετέραν οὐκ Ἀντωνίου τὴν φωνὴν εἶναι τιθέμενος, ἀναγνώσομαι· καὶ ἀνεγίνωσκε, τῷ μὲν προσώπῳ σοβαρῷ καὶ σκυθρωπῷ· τῇ φωνῇ δ᾽ ἐνσημαινόμενος ἕκαστα· καὶ ἐφιστάμενος, οἷς μάλιστα αὐτὸν ἐν τῷ ψηφίσματι ἐξεθείαζον· ἱερὸν καὶ ἄσυλον· ἢ πατέρα πατρίδος· ἢ εὐεργέτην· ἢ προστάτην, οἷον οὐχ ἕτερον ὀνομάζοντες· ἐφ᾽ ἑκάστῳ δὲ τούτων, ὁ Ἀντώνιος τὴν ὄψιν καὶ τὴν χεῖρα ἐς τὸ σῶμα τοῦ Καίσαρος ἐπιστρέφων, ἐν παραβολῇ τοῦ λόγου τὸ ἔργον ἐπεδείκνυ· ἐπεφθέγγετο δέ που καί τι βραχὺ ἑκάστῳ, μεμιγμένον οἴκτῳ καὶ ἀγανακτήσει· ἔνθα μὲν τὸ ψήφισμα εἴποι πατέρα πατρίδος, ἐπιλέγων· τοῦτο ἐπιεικείας ἐστὶ μαρτυρία· ἔνθα δὲ ἦν ἱερὸς καὶ ἄσυλος καὶ ἀπαθής· καὶ ὅστις αὐτῷ καὶ ἕτερος προσφύγοι, οὐχ ἕτερος ἐφ᾽ ἑτέρῳ δὲ προσφάγων, ἀλλ᾽ αὐτὸς ὑμῖν ὁ ἄσυλος καὶ ἱερὸς ἀνῄρηται· οὐ βιασάμενος οἷα τύραννος λαβεῖν τὰς δὲ τὰς τιμὰς ἃς οὐδὲ ᾔτησεν· ἀνελευθερώτατοι δ᾽ ἄρα καὶ ἡμεῖς οἱ τοιάδε τοῖς ἀναξίοις οὐδὲ αἰτοῦσι δίδομεν· ἀλλ᾽ ὑμεῖς καὶ μὲν ὑπεραπολογεῖσθε ὡς οὐκ ἀνελευθέρων, ὦ πιστοὶ πολῖται· τοιαύτην καὶ νῦν προστεθνεῶτα χρώμενοι τιμήν· καὶ αὖθις ἀνεγίγνωσκε τοὺς ὅρκους· ἦ μὴν φυλάξειν Καίσαρα καὶ τὸ τοῦ Καίσαρος σῶμα παντὶ σθένει πάντας· ἢ εἴ τις ἐπιβουλεύσειεν, ἐξώλεις εἶναι τοὺς οὐκ ἀμύναντας αὐτῷ· ἐφ᾽ ὅτῳ δὴ μάλιστα τὴν φωνὴν ἐπιτείνας, καὶ τὴν χεῖρα ἐς τὸ Καπιτώλιον ἀνασχών, ἐγὼ μὲν εἶπεν, ὦ Ζεῦ πάτριε καὶ θεοί, ἕτοιμος ἀμύνειν ὡς ὤμοσα καὶ ἠρασάμην· ἐπεὶ δὲ τοῖς ὁμοτίμοις δοκεῖ συνοίσειν τὰ ἐγνωσμένα, συνενεγκεῖν εὔχομαι· θόρυβον δὴ τῆς βουλῆς ἐπὶ τῷδε μάλιστα, προφανῶς ἐς αὐτὴν εἰρημένῳ γενομένου, ἐπικαταψήχων αὖθις ὁ Ἀντώνιος καὶ παλινῳδῶν, ἔφη· ἔοικεν ὦ πολῖται τὰ γεγενημένα, ἀνθρώπων μὲν οὐδενὸς, ἀλλά του δαιμόνων ἔργα εἶναι· καὶ χρὴ τὸ παρὸν σκοπεῖν μᾶλλον ἢ τὸ γεγενημένον· ὡς ἐν ἀκμῇ μεγάλων ἐπικινδύνων ἢ μὲν τὰ μέλλοντα ἢ τὰ ὄντα· μὴ ἐς τὰς προτέρας στάσεις ὑπαχθῶμεν· καὶ ἐκτριφθῇ πάνυ ὅ τι λοιπὸν ἐστὶν ἀγαθὸν ἐν τῇ πόλει· παραπέμπωμεν οὖν τὸν ἱερὸν τόνδε ἐπὶ τοὺς εὐδαίμονας· τὸν νενομισμένον ὕμνον αὐτῷ καὶ θρῆνον ἐπᾴδοντες· τοιάδε εἰπών, τὴν ἐσθῆτα οἷά τις ἔνθους ἀνεσύρατο· καὶ περιζωσάμενος ἐς τὸ τῶν χειρῶν εὔκολον, τὸ λέχος ὡς ἐπὶ σκηνῆς περιέστη· κατακύπτων τε ἐς αὐτὸ καὶ ἀνίσχων, πρῶτα μὲν ὡς θεὸν οὐράνιον ὕμνει· καὶ ἐς πίστιν θεοῦ γενέσεως τὰς χεῖρας ἀνέτεινεν· ἐπιλέγων ὁμοῦ σὺν δρόμῳ φωνῆς, πολέμους αὐτοῦ καὶ μάχας· καὶ νίκας καὶ ἔθνη, ὅσα προσποιήσειε τῇ πατρίδι· καὶ λάφυρα ὅσα πέμψειεν, ἐν θαύματι ποιούμενος ἕκαστα αὐτῶν· καὶ συνεχῶς ἐπιβοῶν· μόνος ὅδε ἀήττητος,

ἐκ πάντων τῶν ἐς χεῖρας αὐτῷ ἐληλυθότων· σὺ δ' ἔφη καὶ μόνος ἐκ τριακοσίων
ἐτῶν ὑβρισμένῃ τῇ πατρίδι ἐπήμυνας· ἄγρια ἔθνη τὰ μόνα ἐς Ῥώμην ἐμ-
βαλόντα, καὶ μόνα ἐμπρήσαντα αὐτήν, ἐς γόνυ βαλών. πολλά τε ἄλλα ἐπιθειάσας,
τὴν φωνὴν ἐς τὸ θρηνῶδες ἐκ τοῦ λαμπροτέρου μετεποίει· καὶ ὡς φίλον ἄδικα πα-
θόντα ὠδύρετο καὶ ἔκλαιε· καὶ ηὔχετο τὴν ἑαυτοῦ ψυχὴν ἐθέλειν ἀντιδοῦναι τῆς Καί-
σαρος. ἀφορώτατα δὲ ἐς τὸ πάθος ἐκφερόμενος, τὸ σῶμα τοῦ Καίσαρος ἐγύμνου·
καὶ τὴν ἐσθῆτα ἐπὶ κοντοῦ φερομένην ἀνέσειε, λελακισμένην ὑπὸ τῶν πληγῶν,
καὶ πεφυρμένην αἵματι αὐτοκράτορος. ἐφ' οἷς ὁ δῆμος οἷα χορὸς αὐτῷ πενθιμώ-
τατα συνωδύρετο· καὶ ἐκ τοῦ πάθους αὖθις ὀργῆς ἐνεπίπλατο. ὡς δὲ ἐπὶ τοῖς λό-
γοις ἕτεροι θρῆνοι μετὰ ᾠδῆς κατὰ τὸ πάτριον ἔθος ὑπὸ χορῶν ἐς αὐτὸν ᾔδοντο, καὶ τὰ
ἔργα αὖθις αὐτοῦ καὶ τὸ πάθος κατέλεγον· καί που τῶν θρήνων αὐτὸς ὁ Καῖσαρ ἐδόκει
λέγειν, ὅσους εὐποιήσειε τῶν ἐχθρῶν ἐξ ὀνόματος· καὶ περὶ τῶν σφαγέων αὐτῶν ἐπέλεγεν
ὥσπερ ἐν θαύματι· ἐμὲ δὲ καὶ τούσδε περισῶσαι τοὺς κτενοῦντάς με; οὐκ ἔφερον
ὅτι ὁ δῆμος, ἐν παραλόγῳ ποιούμενος, τὸ πάντας αὐτοὺς τοὺς σφαγέας χωρὶς μόνου
Δέκμου, αἰχμαλώτους ἐκ τῆς Πομπηίου στάσεως γενομένους, ἀντὶ κολάσεως, ἐπ' ἀρχὰς
καὶ ἡγεμονίας ἐθνῶν καὶ στρατοπέδων προαχθέντας, ἐπιβουλεῦσαι· Δέκμον δὲ καὶ παῖδα
αὐτῷ θετὸν ἀξιωθῆναι γενέσθαι. ὧδε δὲ αὐτοῖς ἔχουσιν ἤδη, καὶ χειρῶν ἐγγὺς οὖσιν,
ἀνέσχε τις ὑπὲρ τὸ λέχος ἀνδρείκελον αὐτοῦ Καίσαρος, ἐκ κηροῦ πεποιημένον·
τὸ μὲν γὰρ σῶμα ὡς ὕπτιον ἐπὶ λέχους οὐχ ἑωρᾶτο· τὸ δὲ ἀνδρείκελον ἐκ μη-
χανῆς ἐπεστρέφετο πάντῃ· καὶ σφαγαὶ τρεῖς καὶ εἴκοσιν ὤφθησαν ἀνά τε τὸ
σῶμα πᾶν, καὶ ἀνὰ τὸ πρόσωπον θηριωδῶς ἐς αὐτὸν γενόμεναι. τὴν δὲ οὖν τὴν
ὄψιν ὁ δῆμος, οἰκτίστην σφίσι φανεῖσαν, οὐκέτι ἐνεγκών, ἀνῴμωξάν τε, καὶ
διαζωσάμενοι τὸ βουλευτήριον ἔνθα ὁ Καῖσαρ ἀνῄρητο, κατέφλεξαν· καὶ τοὺς
ἀνδροφόνους ἐκφυγόντας πρὸ πολλοῦ, περιθέοντες ἐζήτουν· οὕτω δὴ μανιωδῶς
ὑπὸ ὀργῆς τε καὶ λύπης, ὥστε τὸν δήμαρχον Κίνναν ἐξ ὁμωνυμίας τοῦ στρατη-
γοῦ Κίννα τοῦ δημηγορήσαντος ἐπὶ τῷ Καίσαρι, οὐκ ἀνασχόμενοι τὴν περὶ
τῆς ὁμωνυμίας ἀκοῦσαι, διέσπασαν θηριωδῶς· καὶ οὐδὲν αὐτοῦ μέρος ἐς
ταφὴν εὑρέθη. πῦρ δὲ ἐπὶ τὰς τῶν ἄλλων οἰκίας ἔφερον· καὶ καρτερῶς αὐτοὺς
ἐκείνων τε ἀμυνομένων, καὶ τῶν γειτόνων δεομένων, τοῦ μὲν πυρὸς ἀπέσχοντο, ὅπλα
δὲ ἠπείλησαν ἐς τὴν ἐπιοῦσαν. καὶ οἱ μὲν σφαγεῖς διέφυγον ἐκ τῆς πόλεως
διαλαθόντες· ὁ δὲ δῆμος ἐπὶ τὸ λέχος τοῦ Καίσαρος ἐπανελθών, ἔφερον αὐτὸ
ἐς τὸ Καπιτώλιον ὡς ἅγιον θάψοντές τε ἐν ἱερῷ καὶ μετὰ θεῶν θέσθαι· κωλυόμενοι

δὲ ὑπὸ τῶν ἱερέων, ἐς τὴν ἀγορὰν αὖθις ἐπέθεσαν, ἔνθα τὰ πάλαι Ῥωμαίων ἐστὶ
βασίλεια· καὶ ξύλα αὐτῷ καὶ βάθρα, ὅσα πολλὰ ἦν ἐν ἀγορᾷ, καὶ ἕτερα τοιουτότροπα ἄλλα
συνενεγκόντες, καὶ τὴν πομπὴν δαψιλεστάτην οὖσαν ἐπιβαλόντες, στεφάνους τε
ἔνιοι παρ' ἑαυτῶν, καὶ ἀριστεῖα πολλὰ ἐπιθέντες, ἧψαν· καὶ τὴν νύκτα πανδημεὶ τὴν
πυρὰν παρέμενον. ἔνθα βωμὸς πρῶτος ἐτέθη· νῦν δὲ ἐστὶ νεὼς αὐτοῦ Καίσαρος,
θείων τιμῶν ἀξιουμένου· ὁ γάρ τοι θετὸς αὐτῷ παῖς Ὀκτάουιος, τό τε ὄνομα ἐς
τὸν Καίσαρα μεταβαλών, καὶ κατ' ἴχνος ἐκείνου τῇ πολιτείᾳ προσιών, τήν τε ἀρχὴν
τὴν ἐπικρατοῦσαν ἔτι νῦν, ἐρριζωμένην ὑπ' ἐκείνου, μειζόνως ἐκρατύνατο· καὶ
τὸν πατέρα τιμῶν ἰσοθέων ἠξίωσεν· ὧν δὴ καὶ νῦν ἐξ ἐκείνου Ῥωμαῖοι,
τὸν ἑκάστοτε τῆς ἀρχῆς τῆσδε ἄρχοντα, ἢν μὴ τύχῃ τυραννικὸς ὢν ἢ ἐπί-
μεμπτος, ἀποθανόντα ἀξιοῦσιν· οἱ πρότερον οὐδὲ περιόντας αὐτοὺς φέρουσι καλεῖν
βασιλέας. οὕτω μὲν Γάιος Καῖσαρ ἐτελεύτησε, τῇ ἡμέρᾳ ἣν καλοῦσιν Εἰ-
δοὺς Μαρτίας, ἀνθεστηριῶνος μάλιστα μέσον· ἥντινα ἡμέραν αὐτὸν ὁ
μάντις οὐ περιέσεσθαι προύλεγεν. ὁ δὲ ἐπισκώπτων αὐτόν, ἔφη περὶ τὴν ἕω
παρεῖναι ἤδη· καὶ ὁ μέν, οὐδὲν καταπλαγείς, ἀπεκρίνατο· ἀλλ' οὐ παρελήλυ-
θεν. ὁ δὲ καὶ τοιῶνδε προαγορεύσεων αὐτῷ βεβαίως τοῦ μάντεως
προαγγελομένων, καὶ σημείων ἑτέρων ὑπεριδών, προῆλθε καὶ
ἐτελεύτησεν, ἔτος ἄγων ἐκ τοῦ ἐπὶ πεντήκοντα· ἀνὴρ ἐπιτυχέστατος ἐς πάντα,
καὶ δαιμόνιος, καὶ μεγαλοπράγμων, καὶ εἰκότως ἐξομοιούμενος Ἀλεξάνδρῳ·
ἄμφω γὰρ ἐγενέσθην φιλοτιμότατοί τε καὶ πολεμικώτατοι· καὶ τὰ δόξαντα
ἐπιθεῖναι ταχύτατοι, καὶ τοῖς κινδύνοις παραβολώτατοι, καὶ τοῦ σώματος
ἀφειδέστατοι, καὶ οὐ στρατηγίᾳ πεποιθότες μᾶλλον ἢ τόλμῃ καὶ τύχῃ. ὧν
ὁ μὲν ἄνυδρόν τε πολλὴν ἐς Ἄμμωνος ὥδευεν ὥρᾳ καύματος· καὶ τὸν Παμφύ-
λιον κόλπον τῆς θαλάσσης ἀνακοπείσης διέτρεχε δαιμονίως· καὶ τὸ πέλαγος
αὐτῷ τοῦ δαίμονος κατέχοντος, ἕως παρῆλθοι· καὶ καθ' ὁδὸν ὄμβρου ὕοντος,
καὶ πλωτόν τε θαλάσσης ἐν Ἰνδοῖς ἀπεπείρασε· καὶ ἐπὶ κλίμακα πρῶτος
ἀνέβη, καὶ ἐς πολεμίων τεῖχος ἐσήλατο μόνος· καὶ τρεισκαίδεκα τραύματα
μόνος ὑπέστη· καὶ ἀήττητος ἀεὶ γενόμενος, ἐν ἰσχεδὸν ἢ δυσὶν ἔργοις, ἕκαστον
πόλεμον ἐξήνυσε· τῆς μὲν Εὐρώπης πολλὰ βάρβαρα ἔθνη, καὶ τὴν Ἑλλάδα
χειρωσάμενος, δυσαρκτότατον ἔθνος καὶ φιλελεύθερον, καὶ οὐδενὶ πρὸ αὐτοῦ
πλὴν Φιλίππῳ κατ' ὀλίγον ἐν ἡγεμονίᾳ πολέμου δόξασαν ὑπακοῦσαι
ἐπ' ὀλίγον· τὴν δὲ Ἀσίαν σχεδὸν ἐπὶ πᾶσαν ὅλην ἐπέδραμε· καὶ ὡς ἐν βραχεῖ τὴν

ἀλέξανδρον τύχην ἡδύναμιν ἐπῆν, ὅσην ἤδη ἐκτήσατο. καὶ τῆς
λοιπῆς ἐνθυμούμενός τε καὶ διανοούμενος ἀπέθανεν. Καίσαρι δὲ καὶ, ὅ τε
Ἰόνιος θάλασσα ἐξ χειμῶνος μέσου πλωτὴ καὶ εὔπλοος γενομένη, καὶ τὸν
ἑσπέριον ὠκεανὸν ἐπὶ Βρεττανοὺς διέπλευσε, οὔπω πλεόμενον πρότερον.
κρημνοῖς τε τῶν Βρεττανῶν τοὺς κυβερνήτας ἐποκέλλοντας ἐκέλευε τὰς
ναῦς περιαγνύναι. καὶ πρὸς ἄλλον κλύδωνα μόνος ἐν σκάφει σμικρῷ
νυκτὸς ἐβιάζετο· καὶ τὸν κυβερνήτην ἐκέλευε προχαλᾶν τὰ ἱστία. καὶ
θαρρεῖν τῇ Καίσαρος τύχῃ μᾶλλον, ἢ τῇ θαλάσσῃ. ἔν τε πολεμίοις προπη-
δήσας μόνος ἐκ πάντων δεδιότων πολλάκις. καὶ τεσσαρακοντάκις αὐτὸς
ἐν Κελτοῖς μόνος παρετάξατο. μέχρι τετρακόσια αὐτῶν ἐχειρώσατο
ἔθνη. οὕτω δὴ Ῥωμαίοις ἐπίφοβα, ὡς νόμῳ τῶν περὶ ἀστρατείας ἱερέων
καὶ γερόντων ἐγγραφῆναι· πλὴν εἰ μὴ Κελτικὸς πόλεμος ἐπίοι· τότε δὲ καὶ
γέροντας καὶ ἱερέας στρατεύεσθαι. περί τε τὸν ἀλεξανδρινὸν πόλεμον. καὶ
ἀποληφθεὶς ἐπὶ γεφύρας μόνος καὶ κακοπαθῶν, τὴν πορφύραν ἀπέρριψε.
καὶ ἐς τὴν θάλασσαν ἐξήλατο. καὶ ζητούμενος ὑπὸ τῶν πολεμίων ἐν τῷ
μυχῷ διενήχετο λανθάνων ἐπὶ πολύ. μόνην ἐκ διαστήματος ἀνίσχων
τὴν ἀναπνοήν. μέχρι φιλίᾳ νηὶ προσπελάσας, ὤρεξε τὰς χεῖρας. καὶ
ἑαυτὸν ἔδειξε καὶ περιεσώθη. ἐν δὲ τοῖς ἐμφυλίοις τοῖσδε, ἢ διὰ δέος,
καθάπερ αὐτὸς ἔφασκεν, ἢ δι' ἀρχῆς ἐπιθυμίαν συμπεσών, στρατηγοῖς
τοῖς καθ' αὐτὸν ἀρίστοις συνηνέχθη. καὶ στρατοῖς πολλοῖς τε καὶ μεγάλοις,
οὐ βαρβάροις ἔτι, ἀλλὰ Ῥωμαίων ἀκμαζόντων μάλιστα εὐπραξίαις
καὶ τύχαις, ἁπάντων ἐκράτησε· διὰ μιᾶς καὶ δευτέρας ἑκάστων, ἢ διὰ δύο.
οὐ μὴν ἀκαταγωνίστου καθάπερ ἀλεξάνδρῳ τοῦ στρατοῦ γενομένου. ἐπεὶ
καὶ ὑπὸ Κελτῶν ἡσσῶντο λαμπρῶς, ὅτε δὴ μεγάλη σφᾶς συμφορὰ κατέ-
λαβε, Κόττα καὶ Τιτουρίου στρατηγούντων. καὶ ἐν Ἰβηρίᾳ Πετρήιος αὐτοὺς
καὶ Ἀφράνιος συνέκλεισαν οἷα πολιορκουμένους. ἔν τε Δυρραχίῳ
καὶ Λιβύῃ, λαμπρῶς ἔφυγον. καὶ ἐν Ἰβηρίᾳ Πομπήιον τὸν νέον
κατεπλάγησαν. ὁ δὲ Καῖσαρ αὐτὸς ἦν ἀκατάπληκτος, καὶ ἐς παντὸς
πολέμου τέλος ἀήττητος. τήν τε Ῥωμαίων ἰσχὺν γῆς καὶ θαλάσσης
ἐκ δύσεων ἐπὶ τὸν ποταμὸν Εὐφράτην κρατοῦσαν, ἐχειρώσατο βίᾳ καὶ
φιλανθρωπίᾳ. πολὺ βεβαιότερον καὶ πολὺ ἐγκρατέστερον Σύλλα. βασιλεύς τε
αὐτὸν ἀπέφηνεν ἀκόντων, εἰ καὶ τὴν προσηγορίαν οὐκ ἐδέχετο. καὶ πο-

λέμους ἄλλους ἔτι διανοούμενος ἀνῃρέθη. ἐῴκει δὲ τοῖς καὶ τὰ
στρατόπεδα ὅμοια· πρόθυμα μὲν ἐς ἄμφω καὶ μάλα εὔνοια γενέσθαι. καὶ
ἐν μάχαις θηριώδη· δυσπειθῆ δὲ πολλάκις ἑκατέρῳ καὶ
πολυστασίαστα διὰ τοὺς πόνους. ἀποθανόντας γε μὴν ὁμοίως ὠδύρων
καὶ ἐπεπόθησαν. καὶ θεῶν τιμῶν ἠξίωσαν. ἐγένοντο δὲ καὶ τὰ σώματα
εὐφυεῖς ἄμφω καὶ καλοί. καὶ τὸ γένος ἐκ Διὸς ἦστην ἑκάτερος. ὁ μὲν, αἰα-
κίδης τε καὶ ἡρακλείδης. ὁ δὲ, ἀπὸ ἀγχίσου τε καὶ ἀφροδίτης. φιλονεικό-
τατοι δὲ τοῖς ἐξερίζουσιν ὄντες, ταχύτατοι πρὸς διαλλάξεις ἦσαν. καὶ συγ-
γνώμονες τοῖς ἁλοῦσιν. ἐπὶ δὲ τῇ συγγνώμῃ, καὶ εὐεργέται. καὶ οὐδὲν
ἢ κρατῆσαι μόνον ἐνθυμούμενοι. καὶ τάδε μὲν ἐς τοσοῦτον συγκε-
κρίσθω. καὶ προὔκειτο ἐξ ἴσης δ' ὅμως ἐπὶ τὴν ἀρχὴν ὁρμηθέντος
αὐτῶν ἑκατέρου. ἀλλὰ τοῦ μὲν ἐκ βασιλείας ἐσκηνωμένης ὑπὸ φιλίππου,
τοῦ δὲ ἐξ ἰδιώτου, εὐγενοῦς μὲν καὶ περιφανοῦς. χρημάτων δὲ πάνυ
ἐνδεοῦς. ἐγένοντο δὲ καὶ σημείων τῶν ἐπὶ σφίσιν ἑκάτερος ὑπερόπτης.
καὶ τοῖς μάντεσι τὴν τελευτὴν προειποῦσιν, οὐκ ἐχαλέπηναν. καὶ τὰ σημεῖα
αὐτοῖς ὅμοιά τε πολλάκις, καὶ ἐς τὸ ὅμοιον ἀμφοῖν συνηνέχθη. ἐγένετο
γὰρ ἑκατέρῳ δὶς ἄλοβα. καὶ τὰ μὲν πρῶτα κίνδυνον σφαλερὸν ὑπέδει-
ξεν. ἀλεξάνδρῳ μὲν, ἐν ὀξυδράκαις ἐπὶ τὸ τῶν ἐχθρῶν τεῖχος
ἀναβάντι πρὸ τῶν μακεδόνων. καὶ τῆς κλίμακος συντριβείσης, ἀπο-
ληφθέντι τε ἄνω καὶ ὑπὸ τόλμης ἐς τὸ ἔνδον ἐπὶ τοὺς πολεμίους ἐξαλο-
μένῳ καὶ πληγέντι τὰ στέρνα χαλεπῶς. καὶ ἐς τὸν τράχηλον ὑπέρου
βαρυτάτῳ. καὶ ἐπιπεσόντι ἤδη. καὶ περισωθέντι μόλις ὑπὸ τῶν μακεδό-
νων. ἀναρρηξάντων τὰς πύλας ὑπὸ δέους. καίσαρι δὲ ἐν ἰβηρίᾳ τοῦ
στρατοῦ περιφόβου γεγονότος ἐπὶ πομπηίῳ τῷ νέῳ, καὶ ὀκνοῦντος ἐς
μάχην ἰέναι, προδραμόντι πάντων ἐς τὸ μεταίχμιον, καὶ διακόσια
ἀναδεξαμένῳ δόρατα ἐς τὴν ἀσπίδα, μέχρι καὶ τὸν δέους στρατὸς ἐπιδραμών,
ὑπὸ αἰδοῦς καὶ φόβον περιέσωσεν. οὕτω μὲν αὐτοῖς τὰ πρῶτα ἄλοβα,
ἐς κίνδυνον ἦλθε θανάτου. τὰ δεύτερα δὲ ἐς τὸν θάνατον αὐτόν. πυ-
θαγόρας τε γὰρ ὁ μάντις, ἀπολλοδώρῳ δεδιότι, ἀλέξανδρόν τε καὶ ἡφαι-
στίωνα, θυόμενος ἔφη μὴ δεδιέναι. ἐκ ποδῶν γὰρ ἀμφοτέρους αὐτίκα
ἔσεσθαι. καὶ τελευτήσαντος εὐθὺς ἡφαιστίωνος, ὁ ἀπολλόδωρος ἔδεισε,
μή τις ἐπιβουλὴ γένοιτο κατὰ τοῦ βασιλέως. καὶ ἐξήνεγκεν αὐτῷ τὸ

τὸ μάντευμα. ὁ δέ, ἐπεμειδίασε· καὶ πυθαγόραν αὐτὸν ἤρετο, ὅτι
λέγοι τὸ σημεῖον· τοῦ δέ, εἰπόντος ὅτι τὰ ἔσχατα λέγοι, αὖθις ἐπεμει-
δίασε καὶ ἐπῄνεσεν ὁμῶς, ἀπολλόδωρόν τε τῆς εὐνοίας. καὶ τὸν μάντιν
τῆς παρρησίας. καίσαρι δὲ ἐς τὸ ἔσχατον βουλευτήριον ἐσιόντι, καθ᾽ ἃ μοι
πρὸ βραχέος εἴρηται, τὰ αὐτὰ σημεῖα γίγνεται· καὶ ἐχλεύασεν, ὅτι καὶ
τοιαῦτα οἱ περὶ ἰβηρίαν γεγόνει· τοῦ δὲ μάντεως εἰπόντος, καὶ
τότε αὐτὸν κινδυνεῦσαι, καὶ νῦν ἐπιθανατώτερον ἔχειν τὸ σημεῖον,
ἐνδούς τι πρὸς τὴν παρρησίαν, ἐθύετο ὅμως αὖθις· μέχρι βραδύ-
νοντων αὐτῷ τῶν ἱερῶν δυσχεράνας, ἐσῆλθε καὶ ἀνῃρέθη· τὸ δ᾽ αὐτὸ
καὶ ἀλεξάνδρῳ συνέπεσεν· ἐπανιόντι γὰρ ἐξ ἰνδῶν ἐς βαβυλῶνα μετὰ
τοῦ στρατοῦ· καὶ πλησιάζοντι ἤδη, παρεκάλουν οἱ χαλδαῖοι τὴν ἔσοδον
ἐπισχεῖν ἐν τῷ παρόντι· τοῦ δέ, τὸ ἰαμβεῖον εἰπόντος, ὅτι μάντις ἄριστος
ὅστις εἰκάζει καλῶς, δεύτερα γοῦν οἱ χαλδαῖοι παρεκάλουν μὴ ἐν
δύσιν ὁρῶντα μετὰ τῆς στρατιᾶς ἐσελθεῖν. ἀλλὰ περιοδεῦσαι. καὶ τὴν πόλιν
λαβεῖν, πρὸς ἥλιον ἀνίσχοντα· ὁ δὲ τοῦτο μὲν ἐνδοῦναι λέγεται. καὶ ἐπι-
χειρῆσαι περιοδεῦσαι· λίμνης δὲ καὶ τέλματος δυσχεραίνων καταφρονῆσαι καὶ τοῦ
δευτέρου μαντεύματος. καὶ ἐσελθεῖν ἐς δύσιν ὁρῶν· ἐσελθών γε μὴν καὶ
πλέων κατὰ τὸν εὐφράτην, ἐπὶ ποταμὸν παλλακόπαν· ὃς τὸν εὐφράτην ὑπο-
λαμβάνων, ἐς ἕλη καὶ λίμνας ἐκφέρει· καὶ κωλύει τὴν ἀσσυρίαν γῆν ἀρδεύειν ἐπι-
πλέειν· ἐπινοοῦντα δὲ τοῦτον διατειχίσαι τὸν ποταμόν, καὶ ἐπὶ τοῦτ᾽ ἐκ-
πλέοντα, φασὶν ἐπιτωθάσαι τοῖς χαλδαίοις, ὅτι σῶος ἐς βαβυλῶνα
ἐσέλθοι τε καὶ ἐκπλέοι· ἔμελλε δὲ ἐπανελθὼν αὐτίκα καὶ αὐτὸς τεθνήξεσθαι.
ἐπετώθασε δὲ καὶ ὁ καῖσαρ ὅμοια· τοῦ γὰρ μάντεως αὐτῷ τὴν μοῖραν
τῆσδε τῆς ἡμέρας προειπόντος, ὅτι μὴ περιέσοιτο τὰς μαρτίας εἰδούς, ἡκούσης
τῆς ἡμέρας, ἔφη τὸν μάντιν χλευάζων, ὅτι παρῆσαν αἱ εἰδοί· καὶ ὁ μὲν αὐτοῖς
ὅμως ἀπέθανεν· τοσάδε μὲν δὴ καὶ σημεῖα τὰ περὶ σφῶν ἐχλεύασαν ὅμοιοι.
καὶ τοῖς προειποῦσιν αὐτὰ μάντεσιν, οὐκ ἐχαλέπηναν· καὶ ἑάλωσαν ὁμοίως
ὑπὸ τῷ λόγῳ τῶν μαντευμάτων. ἐγένοντο δὲ καὶ ἐν ἐπιστήμῃ τῆς ἀρετῆς καὶ
τῆς τε πατρίου καὶ ἑλληνικῆς καὶ ξένης, φιλόκαλοι· τὰ μὲν ἰνδῶν ἀλέ-
ξανδρος ἐξετάζων τοὺς βραχμᾶνας· οἳ δοκοῦσιν ἰνδῶν εἶναι μετεω-
ρολόγοι τε καὶ σοφοί· καθὰ περσῶν οἱ μάγοι· τὰ δὲ αἰγυπτίων ὁ καῖσαρ.
ὅτε ἦν ἐν αἰγύπτῳ γενόμενος, καθίστατο κλεοπάτραν· ὅθεν δὴ καὶ τῶν

εἰρηνικῶν πολλὰ ῥωμαίοις διωρθώσατο· καὶ τὸν ἐνιαυτὸν ἀνώ-
μαλον ἔτι ὄντα, διὰ τοὺς ἔτι τότε μῆνας ἐμβολίμους, κατὰ γὰρ σελήνην
αὐτοῖς ἠριθμεῖτο, ἐς τὸν τοῦ ἡλίου δρόμον μετέβαλεν, ὡς ἦγον αἰγύ-
πτιοι· συνέβη δὲ αὐτῷ, καὶ τῶν ἐν τῷ σώματι ἐπιβουλευσάντων, μηδένα
διαφυγεῖν· ἀλλὰ τῷ παιδὶ δοῦναι δίκην ἀξίαν· καθάπερ ἀλεξάνδρῳ
τοὺς φίλιππον ἀνελόντας· ὅπως δὲ ἔδοσαν, αἱ ἑξῆς βίβλοι δηλώσουσιν:-

+ τῆς ἐμφυλίου [illegible]

· F. 1443 24 Sᵗ Rome.

V. RHEDIGERSCHE STADT-BIBLIOTHEK ZU BRESLAU.

BIBL. UNIV. WRATISL.

G 682/11.

THOMAS REDIGER

AVEC LE TEMPS

THOMAS REDIGER
AVEC LE TEMPS

THOMAS REDIGER
AVEC LE TEMPS

THOMAS REDIGER
AVEC LE TEMPS

THOMAS REDIGER
AVEC LE TEMPS